Digitized by Google

Ga 116.12
A

HARVARD
COLLEGE
LIBRARY

Digitized by Google

Digitized by Google

Digitized by Google

ΑΡΣΕΝΙΟΥ ΙΩΝΙΑ.

ARSENII VIOLETUM

EX CODD. MSS.

NUNC PRIMUM EDIDIT, ANIMADVERSIONIBUS
INSTRUXIT ET ALIA QUAEDAM INEDITA
ADJECIT

CHRISTIANUS WALZ,

PH. DR. REGII SEMINARII TUBINGENSIS REPETENS.

STUTTGARTIAE,

IN LIBRARIA LOEFLUNDIANA.

MDCCCXXXII.

Digitized by Google

Ga 116.12
A

HARVARD COLLEGE LIBRARY
$1.20
Nov. 15. 1861
Gray.

Digitized by Google

Amicis candidissimis

CHRISTOPHORO EBERHARDO FINKH

LUDOVICO DE SINNER

CHRISTOPHORO FRIDERICO STAELIN

HENRICO STIRM

libellum hunc

pro amicitiae suae tessera

D. D. D.

CHRISTIANUS WALZ.

Digitized by Google

Digitized by Google

PRAEFATIO.

De Arsenii violeto, hucusque inedito, magnam exspectationem movit Wyttenbachius, cum annuntiatione editionis, a Christiano Frid. Matthaei, Professore Moscovensi, praeparatae, in bibliotheca critica Vol. II. P. I. p. 126. facta, tum gravissimo judicio, quod in praefatione ad Plutarchum Tom. I. p. XLI. his verbis tulit: „Collectio illa exempli Moscovensis quantivis est pretii, quippe quae multa habet nova, nec aliunde cognita, sive illa ex pleniore, quam nunc fertur, Stobaeo, sive ex aliis perditis libris ducta: quod equidem affirmare haud dubito, qui ejus apographum ipse tractavi [1], ex eoque excerpta servavi.“ Quod quidem summi viri judicium eo magis apud me valuit, quo severiori examini idem similis argumenti librum, Eudociae violetum dico, in bibliotheca critica subjecerat. Itaque quum his quatuor abhinc annis, anno 1828 Dresdae versarer, admonitus ab amicissimo Bar-

1) Matthaei apographum suum cum Ruhnkenio communicavit, isque inspiciendum dedit Wyttenbachio, Wyttenbachius excerpta sua transmisit ad Gaisfordium, vide Praefat. Stobaei p. IX.

Digitized by Google

dili, apographum codicis Moscovensis, a Christiano Fr. Matthaei a. 1779 confectum, quod in illa bibliotheca adservatur, inspexi, et liberalissime permittente Eberto, bibliothecae praefecto illustrissimo, descripsi. Alius violeti codex [2] exstat in bibliotheca Mediceo-Laurentiana, a Moscovensi ita diversus, ut propriam recensionem continere videatur. Est enim multo locupletior, plurima in ordinem a Moscovensi diversum redacta exhibet, et praeter proverbia, sententias et apophthegmata, quae ei cum illo communia sunt, quartam partem, historias mythicas, continet, contra sententias e sanctis patribus petitas, quas Moscovensis habet, plerumque omittit.

Nostrum jam est, ut, quid de indole libri compertum nobis sit, diligentius exponamus.

Michaël Apostolius, Byzantinus, medio seculo decimo quinto clarus, Caspari, Osmi in Hispania episcopo, *παροιμιῶν συναγωγὴν* compositurum se pollicitus est. Quo consilio cum veteres auctores perlegeret, simul ad sententias et apophthegmata virorum sapientium animum advertit, totumque opus, hoc modo adornatum, *ἰωνιὰν* appellavit [3]. Proverbiorum collectionem postquam ad finem perduxerat, Caspari tradidit, reliqua se-

2) Apographum, in vita Reiskii p. 172. memoratum ubinam existat, et utrum violetum integrum, an apophthegmata sola contineat, videant, qui possunt.

3) Vide praefationem Arsenii, coll. Fabricio Bibl. Gr. Vol. V. p. 110. ed. Harl.

Digitized by Google

cundis curis castiganda in aliud tempus rejecit. Super his quum morte abreptus esset, ARSENIUS, filius ejus, Monembasiae, quae hodie Napoli di Malvasia vocatur, archiepiscopus, paternae eruditionis haeres, *ἰωνιὰν* plurimis a se proverbiis auctam, Leoni decimo Pontifici Maximo dedicatam, Romam transmisit, et aliquanto post eam partem, quae apophthegmata continebat, eidem Leoni dedicatam, typis imprimendam curavit [4], proverbiis quibusdam et sententias huc illuc immixtis. Apostolii adagiorum epitomen graece edidit Hervagius Basileae a. 1538. 8., plenam collectionem, latine versam et annotationibus illustratam, Petr. Pantinus Lugd. Bat. 1619. 4.

Jam, quaenam inter has duas violeti partes editas et violetum ineditum ratio intercedat, facilius erit explicatu.

Proverbia quidem maxima ex parte eadem sunt, quae in Apostolii edito libro, sed dimidiam fere partem Arsenius omisit, alia in brevius contraxit, alia amplificavit, alia de suo adjecit, quamquam discrimine inter proverbia et sententias minus severe observato. Sententiae fere omnes ex Stobaei florilegio, nonnullae ex Clemente Alexandrino aliisque scriptoribus sanctis petitae sunt: quod vero de pleniore Stobaeo co-

4) Praeclara dicta philosophorum, imperatorum et poëtarum, ab Arsenio archiepiscopo Monembasiae collecta, sine loco et anno: 8. min. Vide Ebert. lex. bibliogr. nr. 1253.

gitavit Wyttenbachius, id quidem ad S. Maximi vel Antonii Melissae locos communes referre malim; nam hos fontes adiisse Arsenium liquet ex Pantelii in Cynaegirum et Callimachum, Atheniensium in pugna Marathonia duces, versibus, qui in violeto p. 214., in Maximi locis commun. T. II. p. 543. ed. Combefis. leguntur [5]. Apophthegmata, quorum multa ex Diogene Laërtio et Plutarcho hausta sunt, in libello impresso numerosiora sunt, quam in violeti codicibus, ex qua re ipsa apophthegmata post violetum Leoni X. traditum impressa esse conjeci. Sed codices etiam multa continent, quae desiderantur in impresso libello, ita ut difficile sit intellectu, cur Arsenius in secunda eaque pleniore violeti recensione, quam in codice Mediceo contineri censeo, quaedam omiserit, quae receperat in primam codicis Moscovensis, et in imprimenda apophthegmatum collectione non pauca, quae in violeto conscripta erant, ejecerit.

Quae cum ita sint, in violeto edendo hanc secutus sum rationem. Sententias, cum ad Stobaeum aditus cuique pateat, et lectionis varietas, ut in codicibus recentissimis levissima et plerumque mendosa, a Wyttenbachio cum Gaisfordio, quamquam minus accurate, in Stobaei usum communicata sit, omisi [6]. Apophthegmata lectu

5) Vide Fabric. Bibl. Gr. Vol. IX. p. 662. ed. Harl.
6) Si quis vero hujus generis inedita desideret, ad-

jucundissima, quum multa contineant, quae nusquam alibi inveni, et exemplaria impressa non minus rara sint, quam codices, omnia, quaecunque seu collectio impressa seu codices suggererent, recepi; ita quidem, ut ea, quae collectioni impressae propria essent, asterisco, seu nominibus, seu singulis apophthegmatibus praefixo, notarem; alia quaedam in codicibus Vaticanis 151 et 711 inventa notis inserui, aliam collectionem minorem ex codice Monacensi 8. ad calcem libri subjeci; quae vero in codice Farnesino I. E. 48. continentur *ἀποφθέγματα ἔξωθεν σοφῶν*, eorum, cum ad unum omnia ex Diogene Laërtio descripta esse viderem, in Aristippo tantum p. 111. sqq. quasi speciminis loco rationem habui. Praecipuam vero curam proverbiis impendi. Saepe enim miratus, quin indignatus sum, nostra aetate, qua tot alii levioris saepe momenti auctores ad taedium usque typis recuduntur, paroemiographos, in quibus tot egregia Graeci ingenii monumenta recondita sunt, in paucis cum publicis, tum privatis bibliothecis inveniri, prorsusque neglectos jacere. Toti vero collectioni publicandae et illustrandae cum nec vires nec tempus, edendis Graecis Rhetoribus satis occupatum, mihi suppetant, in eo certe operae pre-

eat duos codices Barberinos, qui tanti aestimantur a bibliothecae illius praefecto, ut veniam eos accuratius investigandi ab eo petere verecundiae caussa non auderem, quantum autem raptim pervolanti ex frequentibus SS. Patrum locis conjicere licuit, aut S. Maximi et Antonii gnomologia aut simile opus esse suspicatus sum.

tium me facturum censui, si ea, quae mihi ad paroemiographos emendandos et illustrandos praesto essent, hac occasione oblata proferrem, ut ei, qui majori operi, quam maxime necessario, sese accingere velit, utilia esse possint. Nam non modo ea, quae in legendis auctoribus veteribus sese mihi obtulerunt, ad proverbia explicanda adhibui, sed etiam Macarii Chrysocephali proverbia, nequaquam parvi aestimanda, quorum specimen Villoisonus Anecd. Tom. II. p. 68. proposuit, ex codice Marciano descripsi, et suis singula locis in notas retuli; alia mihi commentarii in rhetores Graecos inediti, alia Eustathii Opuscula, quibus edendis Tafelius noster de litteris Graecis egregie meritus est, suggesserunt, denique ex codice Mediceo Plut. LVII. 24. Aesopi proverbia, et alia quaedam, qualia plurimis codicibus *ὡς ἐν παρόδῳ* adlita inveniuntur, appendicis loco subjeci. Ab reliquis paroemiographis et lexicographis, unde facili negotio ingens adnotationum apparatus congeri poterat, consulto abstinui, ne nimis excresceret plagularum numerus. Historias mythicas e codice Mediceo recepi.

Haec erant, lector benevole, quae praemonenda mihi viderentur.

Scribebam Tubingae, mense Februario a. MDCCCXXXII.

ΑΡΣΕΝΙΟΥ ΙΩΝΙΑ.

Τῷ παναγιωτάτῳ καὶ μακαριωτάτῳ κυρίῳ κυρίῳ, ἡμετέρῳ κυρίῳ, Λέοντι δεκάτῳ, τῆς ἁγίας τοῦ θεοῦ Ῥωμαϊκῆς καὶ καθολικῆς ἐκκλησίας ἄκρῳ ἀρχιερεῖ, Ἀρσένιος ὁ Μονεμβασίας ἀρχιεπίσκοπος τὴν ἰωνιὰν ἀνατίθησιν. [1]

Ὁ μὲν ἐμὸς πατὴρ, παναγιώτατε καὶ μακαριώτατε δέσποτα, πάλαι ποτὲ διατρίβων ἐν Ῥώμῃ Γάσπαρι [2] τῷ ἀδεσιμωτάτῳ ἐπισκόπῳ τοῦ Ὄσμου συναγωγὴν παροιμιῶν συνθεῖναι ὑπέσχετο. Ἀρξάμενος δὲ τῶν παροιμιῶν, συνεμνήσθη καὶ γνωμῶν ἀποφθεγμάτων τε καὶ ὑποθηκῶν ἀρχαιοτάτων καὶ σοφωτάτων ἀνδρῶν· ταυτὶ [3] γὰρ δήπουθεν ἀλλήλων εἰσὶν ἀδελφά· ὅθεν κἀπὶ τοῖς τῶν ἔνδον, κἀπὶ τοῖς ἔξωθεν ἔστιν εὑρεῖν παροιμιαστὰῖς [4] οὐκ ὀλίγας καὶ γνώμας καὶ ὑποθήκας καὶ ἀποφθέγματα. Ταῖς μὲν οὖν παροιμίαις τέλος ἐπιθεὶς, ᾧ καὶ ὑπεσχέθη, ἐξέδοτο· τὰ λοιπὰ δὲ καταλιπὼν, ἑτέραις φροντίσιν ἀσχοληθεὶς, καὶ νόσῳ ἀνηκέστῳ περιπεσὼν, συμπεφυρμένα καὶ ἄτακτα, καὶ ἵν' εἴπω κατ' Ἀναξαγόραν, πάνθ' ὁμοῦ χρήματα, νοῦ τινος δεόμενα, ἐξ ἀταξίας εἰς τάξιν παρα-

1) Pro τὴν ἰωνιὰν ἀνατίθησι, ut est in Moscovensi, Laur. habet: σὺν Θεῷ εὐτυχεῖν.

2) Γάσπαρι Laur. Γασπάριϊ Mosc.

3) Laur. ταῦτα. omisso δήπουθεν.

4) παροιμιαστὰῖς Laur. Apogr. Dresd. παροιμίας, αῖς.

γαγεῖν, τὸν βίον μετήλλαξεν οἷόν τι οὐκ ἐῤῥαμένον ἀλλ' ἄῤῥαφον ὑπόδημα, ὡς ἄλλος τις Ἰστιαῖος Ἀριστα γόρ᾽ ἀφεὶς ὑποδήσασθαι [5]. ἐγὼ δὲ ταῦτα διαδεξάμενος καὶ τοῖς πατρικοῖς [6] ἱδρῶσι συγκαταμίξας τοὺς ἐμαυτοῦ, τέλος ξὺν θεῷ τῷ ἔργῳ ἐπέθηκα, ἐξ ἀταξίας εἰς τάξιν παραγαγών, καὶ πρὸς τοῖς ἐκείνου πάμπολλα, οὐχ ὅτι τῶν ἔξω, ἀλλὰ καὶ τῶν ἔσω σοφῶν ξυναγηοχὼς [7] καὶ ταῖς παροιμίαις ξυντεταχὼς, ἅπερ, εἴπερ τῶν ἐκείνου παρευρημένων ἀρχαιότερα λέγοιμ᾽ ἂν εἶναι καὶ ὡραιότερα, θαῤῥῶν ἂν εἴποιμι τἀληθές. Τούτου δέ μοι γέγονεν αἴτιος ὁ λογιώτατος ἀνὴρ, Ἰωάννης ὁ Λάσκαρις, ὁ τοῦ γένους τῶν Ἑλλήνων ἐπισημότατος, ὃς ἤδη τὰς τῶν παλαιῶν ἐκείνων καὶ μακαρίων βίβλους ἀνδρῶν, ὧν οὐχ ὅτι γε οἱ καθ᾽ ἡμᾶς, ἀλλὰ καὶ οἱ πολλῷ ὑμῶν πρότεροι οὐδ᾽ ἴσως ἤδεσαν τὰ ὀνόματα, μὴ ὅτι γε τὰ συγγράμματα, τὰς μὲν ὅποι γῆς τῷ χρόνῳ κρυβείσας, τὰς δ᾽ ἡμιβρώτους σησὶ καὶ κόνισι γενομένας, πόνοις οὐκ ὀλίγοις τοῖς ἑαυτοῦ καὶ ἀναλώμασιν οὐκ εὐκαταφρονήτοις τοῦ γενναιοτάτου καὶ περιφανεστάτου πατρὸς τῆς ὑμετέρας παναγιότητος ἐν Φλωρεντίᾳ γε ἀνεσώσατο· ὅπου τὰς μὲν ἐκγράφων ἐγὼ [8] Πέτρῳ τῷ μεγαλοπρεπεῖ καὶ γενναίῳ συγγόνῳ τῆς δεσποτείας σου, τὰς πλείους γὰρ ἐκείνων δι᾽ ἐμοῦ ἀνεκαίνισε, τοῦ ἀοιδίμου τότε πατρὸς ὑμῶν πρὸ ὀλίγου εἰς χοροστασίας ἁγίων ἀποιχομένου, τὰς δὲ μετιὼν κατὰ δύναμιν ἡμετέραν ἐρανιζόμην καὶ ἀγελεγόμην τὰ κάλλιστα, ὡς αἱ μέλισσαι τῶν ἀνθέων τὰ εὐωδέστατά τε καὶ ὡραιότατα. Εἵλκυσε

5) Mosc. μετήλλαξεν, Ἀριστα γόρ᾽ ἀφεὶς ὑποδήσασθαι οὐκ ἐῤῥαμμένον, ἀλλ᾽ ἄῤῥαφον τὸ ὑπόδημα. Alludit ad proverbium, quod sub litt. τ. μετὰ τοῦ ὃ. exprimitur, brevius inter παροιμίας aliquot in Cod. Laur. Plut. LVIII. Cod. 24. Παρὰ τοῦτο τὸ ὑπόδημα ἔῤῥαψεμὲν Ἰστιαῖος, ὑπεδύσατο δ᾽ Ἀριστα γόρας. Sumtum ex Herod. VI. 1. Ὁ δὲ Ἀρταφέρνης ὁρέων αὐτὸν τεχνάζοντα, εἶπε, εἰδὼς τὴν ἀτρεκίην τῆς ἀποστάσεος· οὕτω τοι, Ἰστιαῖε, ἔχει κατὰ ταῦτα τὰ πρήγματα· τοῦτο τὸ ὑπόδημα ἔῤῥαψας μὲν σὺ, ὑπεδήσατο δὲ Ἀρισταγόρης.

6) Apogr. Dresd. ἰατρικοῖς.

7) Laur. et Mosc. ξυναγηωχώς.

8) ἐγὼ Laur. om.

γὰρ κἀμὲ τότ' ἐν Φλωρεντίᾳ διὰ τοῦ σοφωτάτου Λασκάρεως ὁ φιλέλλην ἐκεῖνος καὶ μεγαλόνους Λαυρέντιος, τὸ ἄκρον τῆς τῶν Φλωρεντίων γερουσίας ἄωτόν τε καὶ κλέος, ὅπου καὶ τὴν σὴν ἔγνων μακαριότητα [9]. Πότε δὴ πότε τοῖτ' ἦν; ὅτε καὶ Θυμέλην ὡς ἐν ἄλλαις Ἀθήναις ἐν τῇ πολιτελεῖ σου οἰκίᾳ τῷ Ἀριστοφάνους πλούτῳ παρεσκευάκεις λαμπρῶς. Τὸ μὲν οὖν βιβλίον [10], παναγιώτατε δέσποτα, πέρας ἤδη δεξάμενον πέμπεταί σοι τῷ σοφωτάτῳ γε ἀρχιποίμενι, οἷόν τι δῶρον ἀμοιβαῖον τῆς τε εὐνοίας, ἣν ὁ μεγαλοπρεπέστατος Πέτρος καὶ γενναιότατός σοι ὁμαίμων ἐν Φλωρεντίᾳ μοι ἐνεδείξατο καὶ ἣν ἡ ὑμετέρα [11] παναγιότης ἐκ πατέρων σώζει περὶ τὸν Ἕλληνα λόγον σπουδήν [12]· σὺ δ' αὐτὸς, παναγιώτατε κύριε, εὐμενῶς ὑποδέξαιο, καὶ χάριν ἀντιπαράσχοις οὐχ ὅπως ἐμοὶ, ἀλλὰ καὶ παντὶ τῷ γένει τῷ ἡμετέρῳ, κἀμοὶ [13] μὲν γράμμασιν ἀποστολικοῖς ἀντικαταπέμψαις τὴν εὐλογίαν σου καὶ πρὸ τοῦ ἐλθεῖν καὶ σωματικῶς προσκυνῆσαι τὴν δεσποτείαν σου. Προσεκύνησα γὰρ τότε πρῶτον ἀκούσας ἐπιβάντα σε τῆς ἄκρας ἀρχῆς, καί ἡσπασάμην τοὺς ἀχράντους σου πόδας πνευματικῶς μετὰ πάντων Κρητῶν, οἳ καὶ συνήσθημέν σοι καὶ συνηυφράνθημεν [14] ὁμοθυμαδὸν, πολλὰ καλά τε καὶ ἀγαθὰ λογισάμενοι τὸν θεὸν διὰ τῆς παναγιότητός σου τὸ πολύπτονον γένος Ἑλλήνων ποιήσειν ἰδεῖν [15]. ἔχομεν δ' ἔξαρχον τῆς εὐφροσύνης [16] καὶ θυμηδίας γε ταυτησὶ Ἰωάννην τὸν [17] Λάντον, τὸν αἰδεσιμώτατον τῆς Κρήτης ἐπίσκοπον [18], τὸν Ἑνετοῖς ἰσότιμον εὐπατρίδην, τὸν ἐξ ἀγαθῶν ἀγαθὸν, τὸν καλὸν τὴν γνώ-

9) Laur. παναγιότητα.
10) Mosc. et Laur. βυβλίον.
11) Laur. σή.
12) Apogr. Dresd. σπουδῆς.
13) Apogr. Dresd. ἐμοί.
14) Apogr. Dresd. συνευφράνθημεν. Laur. συνηυφ.
15) Mosc. τὸ πολύπονον γένος Ἑλλήνων λογισάμενοι τὸν θεὸν διὰ σοῦ ποιήσειν ἰδεῖν.
16) εὐφροσύνης Mosc. χορείας Laur.
17) τὸν Laur. om.
18) Laur. ἀρχιεπίσκοποι, τὸν ἰσότιμον Ἑνετοῖς.

μην καὶ ἄριστον ἐν ταῖς πράξεσιν· ὃς ποῖον εἶδος ἀγαλλιάσεως τότε καὶ εὐφροσύνης οὐκ ἐνεδείξατο ἔνδον καὶ ἔξω τῆς αὐτοῦ μητροπόλεως, πυρσοὺς μυρίους ἐν τοῖς κωδωνεῶσιν ἀνῆψε, κώδωνας ἠχεῖν τοῖς ἐπ' αὐτὸ τοῦτο τεταγμένοις ἐς ὀγδόην ἀδιαλείπτως προσέταξε [19], λιτανίας ποιεῖν ἐν [20] ἡμέραις ὅλαις ὀκτὼ οὐκ ἐπαύσατο, Γραικῶν καὶ Λατίνων ἱερέων καὶ ἱερομονάχων [21] συνηθροισμένων ὁμοῦ καὶ τὸ θεῖον ἐκλιπαρούντων [22] τὴν σὴν μακαριότητα ἐπαπολαύειν καὶ ὑγείας σωματικῆς εἰς κυβέρνησιν τοῦ χριστωνύμου λαοῦ. Ἀλλ' ἐμὲ μὲν, ὡς ἔφην, ἐφοδιάσαις [23] τῇ εὐλογίᾳ σου, ἐκείνῳ δὲ γένοιο πρὸς θεοῦ [24] πανάριστε ἀρχιποίμην, ἀντιλήπτωρ καὶ βοηθὸς καὶ τὸ νῦν εἶναι τελέσαις αὐτῷ τὸ ποθούμενον [25]· νῦν γὰρ οὐκ ἔστιν ἔτι [26] τοῦ μέλλειν καιρὸς, ἀνάστηθι τοίνυν, ἀνάστηθι, ὦ μακαριώτατε [27], ἔξιθι, ἀνάλαβε κατὰ βαρβάρων ἀθέων τὸ σταυρικὸν τρόπαιον, ἐκκάλεσον τοὺς ἡγεμόνας τῶν Εὐρωπαίων, ὀψὲ γοῦν κατὰ τῶν Τεύκρων στρατεύσασθαι, ὧν εἷς καὶ δύο μόνον οἱ μέγιστοι συμφωνήσωσι [28] καὶ τοῖς γενναιοτάτοις καὶ μεγαλοψύχοις Ἐνετοῖς ξυμμαχήσωσι, πᾶσαν τὴν ἡγεμονίαν τῶν Τεύκρων καὶ δύναμιν καταστρέψουσιν. Ἀπόδος οὖν [29] τὸ πανταχοῦ διεσπαρμένον γένος ἡμῶν τῇ πατρίδι, τὸ ποτὲ μὲν ὑψηλότατον καὶ σοφώτατον, νῦν δ' ἐξουθενημένον οἴμοι [30] καὶ ταπεινότατον· νόμισον νῦν ἀκούειν τῶν Ἑλλήνων βοώντων καὶ πρὸς ἐλευθερίαν ἐκκαλουμένων [31] σὲ τὸν κράτιστον ἀρχιποίμενα· δεῖξον καὶ ἐν Ἰταλίᾳ Ἕλληνας ἰταλίζοντας, καὶ ἐν Ἑλλάδι Ἰταλοὺς

19) κώδωνας ἠχεῖν — — ἀδιαλ. προσέταξε Moscov. om.

20) ἐν Laur. ἐφ' Mosc.

21) pro ἱερέων καὶ ἱερομονάχων Laur. habet παντὸς τοῦ κλήρου.

22) Laur. ἐκλιπαροῦντος τὴν σὴν μακ. καὶ ὑγείας ἐπαπολαύειν.

23) Laur. ἐφοδιάσαις, ὡς προέφην.

24) πρὸς θεοῦ Laur. om.

25) Apogr. Dresd. προθυμούμενον.

26) ἔτι Laur. om. Pro μέλλειν apogr. Dresd. μέλειν.

27) τοίνυν, ἀνάστηθι, ὦ μακαριώτατε Laur. om.

28) Laur. ξυμφωνήσωσι.

29) οὖν Laur. om.

30) οἴμοι Laur. om.

31) Laur. ἐπεκκαλουμένων.

ἑλληνίζοντας· ἕκατέρους ἀρίστους ἑκατέραιν ταῖν γλώτταιν, οἵ σε καὶ ὑμνήσουσι λόγοις καὶ ἐπαινέσουσιν ἐγκωμίοις τὴν ἀληθῆ σου σοφίαν, τὴν ἀρίστην σου φρόνησιν, τὴν τῆς ἀληθείας τιμὴν, τὸ ἱλαρὸν σου καὶ κόσμιον καὶ φιλάνθρωπον, τὸ ἐλευθέριον τῆς οὐρανίου σου καὶ μεγαλόνου ψυχῆς· ἄλλα τε πολλὰ [32] *καὶ ἀγαθὰ, καὶ τοῖς χρήζουσι τὴν ἐπάρκειαν, ὅ σοι μεγίστην δόξαν εἰς τὸν ἐσόμενον σώσει, καὶ ἀπαθανατίσει τὴν μνήμην παιδὸς δεχομένου παρὰ πατρός. Μεταπέμψαις δὲ κἀμὲ τὸν ἐλάχιστον τῆς* [33] *Μονεμβασίας ἀρχιεπίσκοπον, τὸν* [34] *ἀδίκως καὶ ἀκρίτως παρ᾽ ἀνδρὸς Κρητὸς ἐν Ῥώμῃ καὶ ταῦτα διάγοντος, ὅπου δεῖ μάλιστα τὴν ἀλήθειαν σώζεσθαι, ἀπογυμνωθέντα τοῦ ἀξιώματος, ἵνα καὶ πρώην διάκονος ὢν ὑπηρετήσας ἐν Φλωρεντίᾳ Πέτρῳ τῷ ἀοιδίμῳ συγγόνῳ τῆς δεσποτείας σου ὑπηρετήσω καὶ ἐν Ῥώμῃ τῇ θειοτάτῃ σου καὶ ἱερᾷ κεφαλῇ, ἢ βίον ἄλυπον τῇδε τὸ θεῖον καὶ ἐπιμήκιστον σὺν ὑγείᾳ καὶ εὐεξίᾳ, κἀκεῖ μετὰ τῶν πρώτων ἀνδρῶν ἐκείνων καὶ μακαρίων τὴν ἀγήρω καὶ μακαρίαν δοίη ζωήν. Ἀλλὰ σοὶ μὲν τῷ παναγιωτάτῳ μοι πατρὶ καὶ κυρίῳ κυρίῳ πάλιν καὶ πολλάκις πολλὰ τὰ ἔτη καὶ πᾶσα ἐν θεῷ εὐτυχία. Ἡμῖν* [35] *δὲ πολλὰς τῶν παροιμιῶν πρὸς ταῖς τοῦ πατρὸς ξυναγηοχόσι* [36]*, καὶ σὺν ἐκείναις ξυντεταχόσιν, ἵνα μή τις ἡμῶν ἐπιλάβοιτο, ὡς μὴ συναγωγὴν παροιμιῶν ποιουμένων τὴν παροιμίαν ὁριζομένων, ἢ δὴ καὶ ὁ σοφὸς Κικέρων ἐπελάβετο Παναιτίου, Ῥωμαῖος Ἕλλην, συγγεγραφότος μὲν περὶ τοῦ καθήκοντος, τί δὲ ὄν ἐστιν* [37]*, οὐδαμοῦ εἰπόντος αὐτῷ τοῦ συγγράμματος, ὁριστέον ἂν εἴη τὴν παροιμίαν, ἢ λαβόντες ἄνωθεν ἔχομεν.*

32) Laur. *ἄλλα τε πολλά τε καὶ ἀγ.*

33) *τῆς* Moscov. om.

34) *τὸν ἀδίκως καὶ ἀκρίτως — — τοῦ ἀξιώματος* Moscov. om. Ab eodem post *πρώην* verba: *διάκονος ὢν* absunt.

35) Moscov. *ἡμῖν δ᾽ ἵνα μή τις* omissis reliquis.

36) Laur. *ξυναγηωχόσι.*

37) *ὄν ἐστιν* Achill. Tat. V. 10. *ἀσμένως δε, ὅποι ποτ᾽ ἂν ὦσιν ὄντες, μάθωσι τὴν ἐγγύην, καὶ ἀφίξονται·* ubi vide notam

Παροιμία τοίνυν ἐστὶ λόγος ἐπικαλύπτων τὸ σαφὲς ἀσαφείᾳ, ἢ δι' αἰσθητῶν πραγμάτων σημαίνων πράγματα νοητά, ἢ ἐπικεκρυμμένως τὴν ἀλήθειαν ἐπεμφαίνων, καὶ ἔτι τόνδε τὸν τρόπον. Παροιμία ἐστὶ διήγημα παροδικὸν, ἢ ῥῆμα τετριμμένον ἐν τῇ χρήσει τῶν γε πολλῶν, ἀπό τε μικρῶν τινων καὶ ὀλίγων ἐφ' ὅμοια πλείω καὶ μείζω μεταληφθῆναι δυνάμενον· ἢ λόγος ἐπιτετηδευμένος τοῖς ἤθεσι καὶ τῇ ἀνθρωπίνῃ ζωῇ κατὰ τὸ ἔθος τῶν ζώντων· καὶ ἔτι γε οὑτωσί. Παροιμία ἐστὶ λόγος ὠφέλιμος ἤτοι βιωφελὴς ἐπικρύψει μετρίᾳ πολὺ τὸ χρήσιμον ἔχων ἐν ἑαυτῷ· ἢ λόγος προτρεπτικὸς παρὰ πᾶσαν τοῦ βίου τὴν ὁδὸν χρησιμεύων· διαφέρει δὲ τοῦ αἴνου· ὅτι ὁ μὲν αἶνός ἐστι λόγος μυθικὸς ἐκφερόμενος ἀπὸ ἀλόγων ζώων ἢ φυτῶν πρὸς ἀνθρώπων παραίνεσιν· ἢ λόγος εὐκτικὸς, ἤτοι παρακλητικὸς ἐκ δημιουργημάτων καὶ καθορθωμάτων μνημονευόμενος, ἢ παροιμία ἐξηπλωμένη μετὰ διηγήσεως ἀπαρτίζουσα τὸ νοούμενον, ἢ λόγος κατὰ ἀναπόλησιν μυθικὴν ἀπὸ ἀλόγων ζώων ἢ φύτῶν πρὸς ἀνθρώπους εἰρημένος, ὡς φησι Λούκιος[38] *Ταῤῥαῖος ἐν τῷ πρώτῳ περὶ παροιμιῶν, οἷον ἀπὸ μὲν ἀλόγων ζώων, ὡς παρ' Ἀρχιλόχῳ*[39]· *„αἶνές τις ἀνθρώπων ὅδε, ὡς ἄρ' ἀλώπηξ κἀετὸς ξυνωνίην ἔθεντο" καὶ τὰ ἑξῆς. καὶ πάλιν*[40] *„ἐρέω τιν' ὑμῖν αἶνον ὦ Κηρυδίκη ἀχνυμένη σκυτάλη," εἶτ' ἐπιφέρει, „πίθηκος ἦει θηρίον ὑποκριθεὶς μοῦνος ἀν' ἐσχατιὴν, τῷ δ' ἀρ' ἀλώπηξ κερδαλῆ συνήντετο πυκνὸν ἔχουσα νόον." Καὶ Ἡσίοδος*[41]·

Νῦν δ' αἶνον βασιλεῦσ' ἐρέω νοέουσι καὶ αὐτοῖς,
Ὧι δ' ἴρηξ προσέειπεν ἀηδόνα ποικιλόδειρον.

Jacobsii: Boisson. ad Philostr. p. 660. ad Eunap. p. 357. 593.

38) Eustath. ad Il. *A.* p. 855. ed. Rom. *Λούκιλλος ὁ Ταῤῥαῖος.* quem sequitur Schoell. litt. Graec. Vol. II. p. 540. vers. germ.

39) Fragm. XXXVIII. ed. Gaisf.

40) Fragm. XXXIX.

41) *Ἔργ.* 201.

ἀπὸ δὲ φυτῶν, ὡς ἔχει τὸ τοῦ Καλλιμάχου[42], „ἄκουε δὴ τὸν αἶνον, ἔν κοτε Τμώλῳ δάφνην ἐλαίᾳ νεῖκος οἱ πάλαι Λυδοὶ λέγουσι θέσθαι· ἡ δὲ παροιμία τὴν ἀπὸ κεφαλαίου ἐπὶ τὸ χεῖρον ἀναφορὰν ἔχει, ἐνδέουσα[43] τοῦ αἴνου, καὶ τὴν ἔξωθεν ἐνδέχομένη μετάβασιν· οἷον μένε βοῦς ποτὲ βοτάνην· καὶ Ἄκισσος μετ' ἀνθεστήρια. Ἐτυμολογεῖται δὲ ὁ μὲν αἶνος παρὰ τὸ ἰαίνω τὸ πέμπω καὶ διαχέω· ἰαίνεται γὰρ καὶ διαχέεται ἡ ψυχὴ τῇ διηγήσει τῶν τοιῶνδε λόγων· ἴαινος καὶ ἀφαιρήσει αἶνος, ὁ τὴν διάνοιαν ἰαίνων καὶ περιτέρπων[44]· Ὅμηρος, ἰαίνεται δὲ φρένας εἴσω. Ἡ δὲ παροιμία ἐκ τῆς παρὰ προθέσεως, καὶ τοῦ οἶμος, ἡ ὁδὸς, παραοιμία καὶ παροιμία ἤτοι τὸ παροδικὸν ῥῆμα τε καὶ διήγημα. Ἐν γὰρ τῇ ἀρχῇ ἔτι τῶν τρίβων ἀσήμων οὐσῶν διὰ τὸ τοὺς ὁδεύοντας μὴ ἀποκάμνειν τῷ μὴ γινώσκειν πόσον τῆς ὁδοῦ διήνυσαν, καὶ τί λείπεται, τὰ νῦν προσαγορευόμενα μίλια πρὸς Ῥωμαίων, τότε σημεῖα καλούμενα, οἱ παλαιοὶ κατά τινας τῆς ὁδοῦ τόπους ἐπέθεσαν, καὶ τούτοις ἐπέγραφόν τινα ζητήματα. Τοῦτο δὲ ἐποίουν δυοῖν ἕνεκα[45], τοῦ τε γνωρίζειν τὸν ὁδεύοντα τῆς ὁδοῦ τὸ ποσὸν, καὶ τοῦ ἀναγινώσκοντα τὸ ἐπίγραμμα καὶ τὴν περὶ τούτου σαφήνειαν καταγιγνόμενον τοῦ καμάτου ἐπικουφίζεσθαι. Περιέχει δὲ παίδευσιν ἠθῶν καὶ παθῶν ἐπανόρθωσιν, καὶ τῶν πρακτέων πυκνὰς ἐποθήκας. Περὶ μὲν οὖν ἐτυμολογίας καὶ διαφορᾶς αἴνου καὶ παροιμίας, ἔτι τε περὶ τῶν ὅρων τοῖνδε αὐτῶν ἔχουσι φάναι καὶ ἄλλα, ἱκανά γε ὅμως εἰρημένα τοσάδε.

42) Fragm. XCIII. ed. Ern.
43) Laur. ἐνδέουσαν.
44) Archil. Fragm. XXXIII. | ἀλλ' ἄλλος ἄλλῳ καρδίην ἰαίνεται, ubi Gaisf. et quos ille laudat.
45) Laur. ἕνεκεν.

Digitized by Google

ΑΡΣΕΝΙΟΥ

ΤΟΥ

ΜΟΝΕΜΒΑΣΙΑΣ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ

ΙΩΝΙΑ.

Ἐπίγραμμα.

Ἰωνιὰν κέκληκα τόνδε τὸν πόνον,
Ῥώμης Λέον πρόεδρε καὶ σοφῶν κλέος [1].
Σὺ δ᾽ οὖν τρύγησον τῶν ἴων, ὅσ᾽ ἂν θέλῃς [2],
Κρίνον, κρόκον, νάρκισσον, θύρσον ἢ ῥόδον.

1) Pro σοφῶν κλέος Laur. πατριάρχῶν τε. | 2) Apogr. Dresd. θέλεις.

ΑΡΣΕΝΙΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΜΟΝΕΜΒΑΣΙΑΣ

ΤΟΥ

ΑΠΟΣΤΟΛΙΔΟΥ

α

Ἰωνιᾶς Συνθήκης.

Ἀρχὴ

τοῦ α μετὰ τοῦ β στοιχείου.

Ἀβυδηνῶν ἐπιφόρημα [1]· ἐπὶ τῶν ἀηδῶν εἴωθε τάττεσθαι· ἔθος γὰρ ἦν τοῖς Ἀβυδηνοῖς μετὰ τὸ δεῖπνον καὶ τὰς σπονδὰς προσάγειν τοὺς παῖδας τῶν τιτθῶν τοῖς εὐωχουμένοις· κεκραγότων δὲ τῶν παίδων καὶ θορύβου γενομένου ἀηδίαν πολλὴν εἶναι τοῖς δαιτυμόσιν.

Ἄβυδός ἐστιν [2]· ἐπὶ συκοφάντου τάττεται, διὰ τὸ δοκεῖν συκοφάντας εἶναι τοὺς Ἀβυδηνούς.

Ἀβασάνιστος [3] ἄνθρωπος εἶ· ἀγύμναστος ἢ ἀνεξέταστος, ἀδόκιμος. εἴρηται δὲ ἀπὸ τῆς βασάνου, τῆς χρυσοχοϊκῆς λίθου, ἐν ᾗ δοκιμάζουσι τὸν χρυσόν.

Ἄβρωνος βίος [4]· ὁ πολυτελής. Ἄβρων γάρ τις ἐγένετο πλούσιος· ὅθεν καὶ ἁβροδίαιτος [5]· ταὐτὸν καὶ Σικελικὴ τράπεζα καὶ Συβαριτικὸς βίος.

1) Apost. Cent. I. 1. Macar. Chrysoceph. brevius, ut solet: ἐπὶ τῶν ἀηδῶν καὶ ὀχληρῶν.

2) Apost. Cent. I. 2. Cfr. Bernhardy Synt. Gr. p. 47.

3) Apost. Cent. I. 3.

4) Apost. Cent. I. 4. Macar. ἐπὶ τῶν πολυτελῶν· τοιοῦτος γὰρ ὁ Ἄβρων, ἐξ οὗ καὶ τὸ ἁβρὸς καὶ ἁβροδίαιτος.

5) Aesch. Pers. 41. ἁβροδιαίτων δ' ἕπεται Λυδῶν ὄχλος, ubi Blomf.

Τὸ α̅ μετὰ τοῦ γ̅.

Ἀγαθῶν θάλασσα· [1] ἐπὶ πολλῶν ἀγαθῶν καὶ μεγάλων τάσσεται· λέγεται δὲ καὶ ἀγαθῶν πόντος, καὶ ἀγαθῶν σωρός [2].

Ἀγαθῶν μυρμηκιά [3]· ἐπὶ πλήθους εὐδαιμονίας, διὰ τὸ ἐνεργὸν καὶ πολύμοχθον τῶν μυρμήκων· φασὶ δὲ [4] αὐτοὶς τὴν ἑαυτῶν γεωργίαν ἐργάζεσθαι σκολιωτάτην, τοῖς ἐπιβουλεύουσι σφίσιν [5] τῶν θηρίων τὴν πάροδον δύσπορον, ἢ καὶ παντελῶς ἄπορον ἀποφαίνοντας· τὴν δὲ γῆν, ἣν ἐξορύττουσιν, ἀλλὰ καὶ ταύτην ὑπὲρ τοῦ στομίου περιβαλόντες, οἱονεὶ τείχη τινὰ ἐργάζονται, ὡς μὴ τὸ ὕδωρ, τὸ ἐξ οὐρανοῦ καταθέον, ἐπικλύσαν αὐτοὺς ἀπολέσῃ. Αἱμασιὰς δέ τινας ἀπειργούσας [6] ἀπ᾽ ἀλλήλων τοὺς χηραμοὺς διασχίζουσιν· εἶεν δ᾽ ἂν οἱ χῶροι τρεῖς, καὶ τὸν μὲν ἀποφαίνουσιν ὅσον ἀνδρῶν εἶναι, ἐν ᾧ διαιτῶνται οἱ ἄρρενες, καὶ ὅσον σὺν αὐτοῖς θῆλυ· τὸν δὲ ἕτερον, ἔνθα ἀποτίκτουσι κύουσαι μύρμηκες, οἱονεὶ γυναικῶνα· τρίτον δ᾽ ἕτερον θησαυρόν τε καὶ σιρὸν [7] ἀποκρίνουσι τοῖς

1) Apost. Cent. I. 5. Macar. ἀγαθῶν μυρμηκιὰ, ἐπὶ πλήθους εὐδαιμονίας, et paullo ante: ἀγαθῶν σωρὸς, ἐπὶ πολλῆς εὐδαιμονίας, et: ἀγαθῶν θάλασσα· ἐπὶ πλήθους ἀγαθῶν. Voces θάλασσα, πόντος, πέλαγος, κλύδων ad significandam rei alicujus magnitudinem frequenter usurpantur: κακῶν πέλαγος Eur. Suppl. 834. κλύδων πολεμίων Iphig. T. 316. κλύδων δορὸς Suppl. 484. ῥεῦμα στρατοῦ Iphig. T. 1437. πλείονι κλύδωνι κακῶν βεβυθισμένοι Heliod. Aethiop. II. 17. Cfr. Döderl. ad Soph. Oed. Col. 659.

2) σωρὸς χρημάτων Aristoph. Plut. 269. σωρὸς ἀγαθῶν Achill. Tat. VI. 4. ubi Jacobs. cfr. ib. c. 12. — Laur. σορός.

3) Apost. Cent. I. 8. Cfr. Theodor. Hyrtac. in Boisson. Anecd. I. p. 254. καὶ μυρμηκιὰ τις ἀτεχνῶς ἦν ἀγαθῶν.

4) Apost. Cent. I. 8. Hic locus totus est expressus ex Ael. Hist. Anim. L. VI. c. 43. Math.

5) σφίσι Laur.

6) διειργούσας Laur.

7) Male Apostol. σωρὸν, cfr. Demost. de Cherson. p. 101 ὑπὲρ δὲ τῶν μελινῶν καὶ τῶ ὀλυρῶν τῶν ἐν τοῖς Θρᾳκίοις σιροῖς ἐν τῷ βαράθρῳ χειμάζειν Julian. Ep. 55. in. ἐν Θρᾴκῃ διάγειν μέλλῃ, καὶ τοῖς ἐνταῦθα σιροῖς ἐγχειμάζειν. De fovei

ἠθροισμένοις σπέρμασιν· οἱ δὲ μύρμηκες ὠσπεροῦν ἐπισιτίσασθαι προϊόντες τοῖς μεγίστοις ἔπονται· οἱ δὲ ἄγουσι στρατηγῶν δίκην, καὶ εἰς τὰ λήϊα ἐλθόντες, οἱ μὲν ἔτι νεαροὶ τὴν καλάμην ὑφεστᾶσιν, οἱ δὲ ἡγεμόνες ἀνέρπουσι, καὶ τοὺς καλουμένους οὐραχοὺς τῶν καρπίμων διαιραγόντες τῷ δήμῳ τῷ κάτω ῥίπτουσιν· οἱ δὲ περιελθόντες τοὺς μὲν ἀθέρας ἀποκόπτουσιν· ἐκλέπουσι δὲ τὰς τὸν πυρὸν στεγούσας καὶ περιαμπεχούσας θυλακίδας, καὶ μήτε ἀλοητοῦ δεόμενοι, μήτε ἀνδρῶν λικμῆσαι δυναμένων, μήτε μὴν ἐπειγομένων πνευμάτων ἀποκρῖναι καὶ διασεῖσαι τὰς ἄχνας· καὶ τὸν καρπὸν ἀνθρώπων ἀρούντων τε καὶ σπειρόντων τροφὰς ἔχουσι, καὶ τοὺς τεθνεῶτας δὲ μύρμηκας οἱ προσήκοντες ἐν ταῖς τῶν πυρῶν κηδεύουσι θυλακίσιν [8], ὡς πατέρας ἢ πῶν τὸ φίλιον ἐν ταῖς [9] σοροῖς οἱ ἄνθρωποι. Φασὶ δὲ αὐτοὺς, ὡς ἐν τοῖς πανσελήνοις οὐδὲ νύκτωρ βλακεύουσιν, οὐδὲ ἐλιννύουσιν, ἀλλ᾽ ἔχονται τῆς σπουδῆς, ὦ ἄνθρωποι, μυρίας προφάσεις καὶ σκήψεις εἰς τὸ ῥαστωνεύεσθαι ἐπινοοῦντες.

Ἀγάθωνος αὔλησις [10]· ἡ μήτε χαλαρὰ, μήτε πικρὰ, ἀλλ᾽ εὔκρατος καὶ ἡδίστη, μαλακὴ καὶ ἐκλελυμένη, ἀπὸ Ἀγάθωνος αὐλητοῦ· οὗτος ἀγαθὸς [11] ἦν τὸν τρόπον καὶ ποθεινὸς τοῖς φίλοις· ἐκωμῳδεῖτο δὲ εἰς θηλύτητα.

Ἀγαθὴ μάζα [12] μετ᾽ ἄρτον· ἐπὶ τῶν τὰ δεύτερά τισι διδόντων· ὁμοία τῇ· Δέχεται καὶ βῶλον ἀλήτης.

Ἀγαθὸς [13] ψάλτης, ἀγαθὸς ζωμοποιός· ὡς οὐδὲν διάφορον ἡ δι᾽ ὀργάνων φωνὴ ἡδονὴν ἐμποιεῖ τῆς δι᾽ ὄψων καὶ ζώμου σκευασίας. Ἀρχίδαμος γὰρ, ὁ Ζευξίππου πρὸς τὸν συνιστάντα ψάλτην καὶ εἰπόντα, οὗτος ἀγαθὸς ψάλτης ἐστῖν, εἶπε, παρ᾽ ἡμῖν δέ γε οὗτος ἀγα-

ad feras captandas Long. Past. p. 10. ubi Villois.

8) Apogr. Dresd. θηλακίοι.

9) Codd. τοῖς σορροῖς (Apost. ωροῖς). Sqq. Φασὶ δὲ αὐτοὺς — ἐπινοοῦντες Apost. adjecit.

10) Apost. Cent. I. 9.

11) Aristoph. Ran. 84.

12) Apost. Cent. I. 10. Macar. ἀγαθὴ καὶ μάζα μετ᾽ ἄρτον· ἐπὶ τῶν τὰ δευτερεῖά τ. δ.

13) Apost. Cent. I. 11.

θὸς ζυμοποιός· πρὸς δὲ τὸν ἐπαινοῦντα κιθαρῳδὸν καὶ θαυμάζοντα τὴν δύναμιν αὐτοῦ, ὦ λῷστε, ἔφη, ποῖον γέρας παρὰ σοῦ τοῖς ἀγαθοῖς ἀνδράσιν ἔσται, ὅταν οὕτως ἐπαινῇς [14];

Ἀγαθοῦ δαίμονος [15]· ἔθος εἶχον οἱ παλαιοὶ μετὰ τὸ δεῖπνον πίνειν ἀγαθοῦ δαίμονος, ἐπιῤῥοφοῦντες ἄκρατον· καὶ τοῦτο δὲ τρίτον· καὶ ἡμέραν δὲ τὴν δευτέραν τοῦ μηνὸς, οὕτως ἐκάλουν· καὶ ἐν Θήβαις [16] ἦν ἡρῷον ἀγαθοῦ δαίμονος.

Ἀγαθὰ Κιλίκων [17]· ἐπὶ τῶν ἀπὸ τῶν οὐ προσηκόντων πλουτούντων· προδότης γάρ τις τῶν Κιλίκων, Μίλητον προδοὺς, ηὐπόρησεν· ὁμοία ταύτῃ καὶ ἡ· Ἀπὸ νεκρῶν φορολογεῖ.

Ἀγαθῶν ἀγαθίδες [18]· ἐπὶ πολλῶν ἀγαθῶν λέγεται.

Ἀγαμέμνονος θυσία [19]· ἐπὶ τῶν δυσπειθῶν καὶ σκληρῶν· θύοντος γὰρ Ἀγαμέμνονος ὁ βοῦς φυγὼν μόλις ἐλήφθη· ἢ ὅτι τὴν ἑαυτοῦ ἐβούλετο Ἀγαμέμνων θυσιάσαι θυγατέρα, ἡ δ' ἔφυγεν.

14) Apogr. Dresd. ἐπαινεῖς.

15) Apost. Cent. I. 12. Aristoph. Equ. 85. ἄκρατον οἶνον ἀγαθοῦ δαίμονος, ubi interpp. ibid. 106. οπονδὴν λαβὲ δὴ καὶ σπεῖσον ἀγαθοῦ δαίμονος. Matthaei laudat Aelianum Var. Hist. I. 20. τὴν παρακειμένην ἀργυρᾶν τῷ Ἀπόλλωνι τράπεζαν κελεύσας ἀφελεῖν (sc. Dionysius) ἀγαθοῦ δαίμονος τῷ θεῷ διδόντας πρόποσιν.

16) Pausan. IX. 39, 5.

17) Apost. Cent. I. 13. Macar. ἀγαθὰ Κιλικίων· λείπει τὸ ἔχει· προδότης γὰρ ὁ Κιλικίων Μιλήσιος· καὶ προδοὺς Μίλητον εὐπόρησεν.

18) Apost. I. 17. Macar. ἀγαθῶν ἀγαθὰ καὶ ἀγαθῶν ἀγαθίδες ἐπὶ τῶν σφόδρα εὐδαιμονούντων. Laur. in sequentibus mutat proverbiorum ordinem. Ita enim sibi succedunt: ἀγαθὰ Κιλίκων. ἀγέλαστος πέτρα. ἀγνότερος πηδαλίου. ἀγαθῶν ἀγαθίδες. ἀγνὴ γάμων. ἀγρὸς ἡ πόλις. ἀγορᾷ λύκιος. ἀγορᾷ κερκώπων. ἀγύῤῥιός ἐστι. ἄγουσιν ἑορτῶν οἱ κλέπται. ἀγόμενος διὰ φρατόρων κύων. ἀγραπτότερος βάτος αὖος (sic). ἀγεωμέτρητος μηδείς. ἀγροῦ πηγή. ἀγρίπου ἀκαρπότερος. ἀγὼν οὐ δέχεται. Ἀγαμέμνονος θυσία. Ἀγαμεμνόνειοι φρέατα. ἀγαθοὶ δ' ἀριδάκρυες ἄνδρες.

19) Apost. Cent. I. 52. Ma

Ἀγαμεμνόνεια φρέατα [20]· *ἐπὶ τῶν ἐλευθερίων. Ἀγαμέμνων γὰρ παρὰ τὴν Αὐλίδα καὶ τὴν ὅλην Ἑλλάδα φρέατα ὤρυξεν.*

Ἀγαθοὶ [21] *δ' ἀριδάκρυες ἄνδρες· ἐπὶ τῶν σφόδρα πρὸς ἔλεον βλεπόντων.*

Ἄγει [22] *δὲ πρὸς φῶς τὴν ἀλήθειαν χρόνος.*

Ἀγέτω [23] *θεὸς, οὐ γὰρ ἔχω δίχα τῶδ' ἀείδειν· Καλλιμάχου.*

Ἀγέλαστος πέτρα [24]· *ἐπὶ τῶν λύπης προξένων· ἐπ' αὐτῆς γὰρ ἐκάθισεν, ὅτε ἐζήτει τὴν κόρην, ἡ Δημήτηρ.*

Ἀγνὴ γάμων [25]· *ἐπὶ τῶν σωφρόνων γυναικῶν· εἰρωνικῶς δὲ καὶ ἐπὶ τῶν μὴ σωφρόνων.*

Ἀγνότερος πηδαλίου [26]· *ἐπὶ τῶν ἀγνῶς βιούντων· παρόσον ἐν θαλάσσῃ ἐστὶν ἀεὶ τὸ πηδάλιον.*

Ἀγορὸς ἡ πόλις [27]· *ἐπὶ τῶν παρανομούντων· Ἐπίχαρμος· ἀγορὸν τὴν πόλιν ποιεῖς.*

Ἀγορὰ λύκιος [28]· *ἐπὶ τῶν ταχέως πιπρασκομένων, ἐκ μεταφορᾶς τοῦ ζώου· ἁρπακτικὸν γάρ.*

Ἀγορὰ Κερκώπων [29]· *ἐπὶ τῶν πονηρῶν καὶ κακοήθων· κέρκωπες γάρ τινες ἀπατεῶνες ἐγένοντο ἐν Ἐφέ-*

car. *ἐπὶ τῶν δυσπειθῶν καὶ ἀνυποτάκτων. Λήμων γὰρ ἱστορεῖ, ὡς Ἀγαμέμνονος θύοντος ἐν Τροίᾳ ἔφυγεν ὁ βοῦς καὶ μόλις ληφθεὶς ἤχθη.*

20) Apost. Cent. I. 33.

21) Apost. Cent. I. 31. Consentit Macar. nisi quod *ξεπόντων* habet pro *βλεπόντων*.

22) Hoc et sequens abest ab Laurentiano.

23) Callim. Fr. 146. — Mosc. *οὐ γὰρ ἐγὼ τῶν δ' ἀ.* omisso *δίχα*. — *Τῶδ'* Bentl. scripsit, dor. pro *τούτου*.

24) Apost. Cent. I. 14.

25) Apost. Cent. I. 18. Macar. *ἁγνὴ γάμων, ὡς τὸ κανοῦν τῆς θεοῦ φέρειν· ἐπὶ τῶν σωφρούνων* etc. ut Arsenius.

26) Apost. Cent. I. 16. Macar. *ἐπὶ τῶν ἁγνῶς βεβιωκότων.*

27) Apost. Cent. I. 19. Macar. *ἐπὶ τῶν ἀτακτούντων.*

28) Apost. Cent. I. 20. Macar. *ἐκ μεταφορᾶς τοῦ ζώου* etc. omittit.

29) Apost. Cent. I. 21. Macar. *Κέρκωπες γάρ τινες* etc. omittit.

σφ, οἳ καὶ τὸν Δία ἐξαπατῆσαι πεπείρανται· ὁμοία τῇ λύκων δεκὰς, καὶ κρωβύλου ζεῦγος.

Ἄγουσιν ἑορτὴν [30] οἱ κλέπται· χαριεστάτη ἡ σύνταξις καὶ ἱκανῶς πεπαιδευμένη κατὰ κωμῳδικὴν χάριν· λέγεται ἐπὶ τῶν ἀδεῶς κλεπτόντων.

Ἀγόμενος [31] διὰ φρατόρων κύων· ἐπὶ τῶν ὅπου μὴ δεῖ εὑρισκομένων· ἐν γὰρ τοῖς φράτορσι κύων εὑρεθεὶς τιμωρεῖται.

Ἀγεωμέτρητος [32] μηδεὶς εἰσίτω· ἀντὶ τοῦ ἄδικος καὶ ἄνισος· ἡ γὰρ γεωμετρία τὴν ἰσότητα καὶ τὴν δικαιοσύνην ζητεῖ.

Ἀγναπτότερος [33] βάτου αὖου· ἐπὶ τοῦ ξηροῦ καὶ αὐθάδους τὸν τρόπον.

Ἀγρίππου ἀκαρπότερος· [34] ἐπὶ τῶν ἀνωφελῶν· ἔστι δὲ ἄγριππος ἡ ἀγριελαία ἢ δένδρον ἄκαρπον.

Ἀγροίκου [35] μὴ καταφρόνει ῥήτορος· ὑποτεθικὴ, ὅτι μηδὲ τῶν εὐτελῶν δεῖ καταφρονεῖν.

Ἄγροικός [36] εἰμι, τὴν σκάφην σκάφην λέγων.

Ἀγροῦ πυγὴ· [37] ἐπὶ τῶν λιπαρῶς καὶ ἐπιμόνως ὠτινιδὴ ἔργῳ προσκαθημένων.

Ἀγύῤῥιός [38] ἐστι, Προνόμου [39] πώγων

30) Apost. Cent. I. 23. Apost. et Suidas, ex quo hausit Apost. ἑορτὴν, Codd. ἑορτῶν, quod rescribendum videbatur Pantino.

31) Apost. Cent. I. 24. Macar. ἐπὶ τῶν ὅπου μὴ δεῖ εὑρισκομένων καὶ τιμωρουμένων· παρόσον κύων εὑρισκόμενος ἐν φράτισι (sic) μαστιγοῦται.

32) Apost. Cent. I. 25.

33) Apost. Cent. I. 30. Macar. ἀγναπτότατος βάτος αὖος· ἐπὶ τοῦ σκληροῦ καὶ αὐθάδους.

34) Apost. Cent. I. 27. Codd. ἀγρίπου et ἄγριπος.

35) Apost. Cent. I. 28. Deest hoc prov. in Laur. Macar. ἀγρ. μὴ καταφρ. ῥήτορος· ὅτι οὐδὲ τῶν εὐτ. δ. κ.

36) Lucian. Jup. trag. c. 52. ἐγὼ γὰρ, ὡς ὁ κωμικὸς ἔφη, ἄγρ. εἰμι, τὴν σκ. σκ. λέγων. Vide infra: Τὰ σῦκα σῦκα etc.

37) Apost. Cent. I. 26. Laur. et Mosc. πηγὴ. Recte Macar. ἀγροῦ πυγὴ, in aliis cum Arsenio consentiens, nisi quod ὠτινι οὖν habet pro ὠτινιδή. Ad rem cfr. Schneideri Lex. s. v. πυγὴ, et Pantinum ad Apost.

38) Apost. Cent. I. 22. Arist. Eccles. 102. Ἀγύῤῥιος γοῦν τὸν Προνόμου πώγων' ἔχων λέληθε.

39) Apost. habet Πατρονόμου,

ἔχων· ἐπὶ τῶν ψηνιζομένων [40] καὶ ὀπνιομένων· οὗτος στρατηγὸς ἦν ἐν Λήμνῳ καὶ τὸν μισθὸν τῶν ποιητῶν συνέτεμε· καὶ πρῶτος ἐκκλησιαστικὸν δέδωκεν· ὁ δὲ Πρόνομος αὐλητὴς ἦν μέγαν ἔχων πώγωνα.

Ἀγύρτης εἶ. [41] ἐπὶ τῶν ἔργον ποιουμένων περινοστεῖν τὰς ἀγυιὰς καὶ φλυαρίας συνείρειν· μητραγύρται δὲ οἱ τῇ μητρὶ τῶν θεῶν τῇ Ῥέᾳ ἀνακείμενοι, γοητειῶν καὶ φίλτρων κατασκευασταὶ, οὓς καὶ γάλλους [42] καλοῦσιν, ἀποκόπους ὄντας τῶν γεννητικῶν μορίων, καὶ πρὸς τὰ ἀσχήμονα πάθη ἑτοιμοτάτους.

Ἀγὼν οὐ δέχεται σκήψεις· [43] ἐπὶ τῶν μηδὲν ὀνιαμένων εἰ σκήψαιντο.

Τὸ ᾱ μετὰ τοῦ δ̄ [1].

Ἄιδε τὰ Τέλληδος· [2] ἐπὶ τῶν σκωπτικῶν· Τέλ-

quod Pantinus ex compendio scribendi ortum esse censet. Vide quae diximus in epistola crit. p. 33. not.

40) Apost. ψηφιζομένων correxit Pantinus. ὀπνιομένων scribere jubet Matthei: in Cod. Mosc. et in Apostolio ὀπνομένων.

41) Abest hoc prov. a Laur.

42) Mosc. πάλλους. Scribendum videtur γάλλους. Vide Phurnut. de natura Deorum p. 147. Matth.

43) Apost. Cent. I. 29. Macar. ἀγὼν πρόφασιν διαμένει. δῆλον. Aristoph. Ach. 392. ὡς σκῆψιν ἀγὼν οὗτος οὐκ ἐκδέξεται. Alciphr. I. 39. καὶ γὰρ οὐ φιλεῖ προφάσεις ἀγών, ubi Bergler. Plat. Cratyl. p. 421. d. οὐ μέντοι μοι δοκεῖ προφάσεις ὁ ἀγὼν εἰσδέχεσθαι, ubi Heind. Adjicio alia quaedam, quae Macarius obtulit, proverbia:

Ἀγνοεῖ δ' ἀράχνη παῖδας ὡς παιδεύεται·
Θρέψασα γὰρ τέθνηκε πρὸς τοῦ φιλτάτου.

ἐπὶ τῶν καθ' ἑαυτῶν τι πραγματευομένων. — Ἀγὼν γὰρ οὐ μέλοντος (sic) ἀθλητοῦ μένει ἀλκήν· ἐπὶ τοῦ μὴ ὑπερβάλλοντος. — Ἀγάλματα Ἑκάτης· ἐπὶ τῶν οἰστισιοῦν ἀγαλλομένων. κύνας δε λέγει ἡ παροιμία. — Ἄγρια μέλιττα· ἐπὶ τῶν σφόδρα πονηρῶν καὶ ὠμῶν.

1) Laur. hunc proverbiorum ordinem praebet: ᾄδε τὰ Τέλλιδος. ᾄδου πρωκτῷ. ἄδακρυς πόλεμος. ἀδεὲς δέος. ἀδράστεια νέμεσις. ᾄδεις ἔχων. ᾄδεις πρὸς μυρίνην. Ἀδώνιδος κῆπος. ἃ δε χείρ. ᾄδεις ὥσπερ εἰς Δῆλον. ἀδελφὸς ἀνδρί. ἀδδηφάγον ὕρμα.

2) Apost. Cent. I. 34. Τέλληνος et nominativum Τέλλην praebet. Similiter Macar. sub

λης γὰρ αὐλητὴς ἐγένετο, ὃς παίγνια κατέλιπε χάριν ἔχοντα.

Ἄιδεις ἔχων [3]· μάτην λέγων ληρεῖς.

Ἄδακρυς πόλεμος [4]· ἐπὶ τῶν ῥᾳστα καὶ παρ᾽ ἐλπίδα τὰ πράγματα κατορθούντων· χρησμὸς γὰρ ἐδόθη Λακεδαιμονίοις, ἄδακρυν [5] μάχην νικῆσαι· ὅθεν οὐδὲ εἷς τὸ τηνικαῦτα τούτων ἀπέθανε.

Ἄιδου πρωκτῷ περιπέσῃς [6]· ἤγουν τελευτήσῃς.

Ἀδράστεια Νέμεσις [7]· ἐπὶ τῶν πρότερον μὲν εὐδαιμονησάντων, ὕστερον δὲ δυστυχησάντων· τῶν γὰρ ἐπιγόνων [8] Θηβαίοις ἐπιστρατευσάντων, μόνος Αἰγιαλεὺς ἀπώλετο Ἀδράστου παῖς. Ἄλλοι δὲ λέγουσι τὴν Ἀδράστειαν εἶναι τὴν αὐτὴν τῇ Νεμέσει, λαβεῖν δὲ τοὔνομα ἀπὸ Ἀδράστου τινὸς βασιλέως ἔκ τινων μαντειῶν, ἱδρυσαμένου ἱερὸν Νεμέσεως, ὃ προσαγορευθῆναι μετὰ ταῦτα Ἀδραστείας, ὡς Ἀντίμαχος ἐν τούτοις δηλοῖ.

Ἔστι δέ τις Νέμεσις, μεγάλη θεὸς, ἣ τάδε πάντα
Πρὸς μακάρων ἔλαχεν [9], βωμὸν δὲ οἱ εἵσατο πρῶτος
Ἄδρηστος, ποταμοῖο παρὰ ῥόον Αἰσήποιο;
Ἔνθα τετίμηταί τε καὶ Ἀδρήστεια καλεῖται.

Δημήτριος δὲ ὁ Σκήψιος Ἄρτεμίν φησιν εἶναι τὴν Ἀδράστειαν, ὑπὸ Ἀδράστου τινὸς ἱδρυμένην.

α μετὰ τοῦ ι. ᾄδε τὰ Τέλληνος· ἐπὶ τῶν σκωπτικῶν· Τέλλην γὰρ ποιητὴς ὤν, μέλη κατέλιπε πλείστην χάριν ἔχοντα καὶ σκώμματα.

3) Apost. Cent. I. 41.

4) Apost. Cent. I. 38. Macar. ἐπὶ τῶν ἀκινδύνως τὰ πράγματα κατορθούντων.

5) Apogr. Dresd. ἄδακρυ.

6) Apost. Cent. I. 35. Mosc. et Laur. περιπάσης· ἤγουν μὴ τελευτήσῃς.

7) Apost. I. 40. Macar. ἐπὶ τῶν πρότερον μὲν εὐδαιμονησάντων, ὥσπερ ὁ Ἄδραστος, ὕστ. δὲ δυστ. nihil amplius. Plat. Polit. V. p. 451. Ἀ. προσκυνῶ δὲ Ἀδράστειαν. Lucian. Dial. mer. XII. ἔστι τις θεὸς ἡ Ἀδράστεια, καὶ τὰ τοιαῦτα ὁρᾷ. Conviv. c. 23. ἀπείη δὲ καὶ ἡ Ἀδράστεια.

8) Laur. ἀπογόνων. Matth. notat: „vide Harpocrat. p. 5. ubi hic totus locus reperitur. Adde Phurnut. p. 156. Schol. ad Synes. περὶ ἐνυπνίων p. 110. τινὲς διαφέρειν φασὶν κ. τ. λ. et quae viri docti notarunt ad Hesych. in ἀδραστεία."

9) Mosc. et Laur. ἔλαχε.

Ἀδεὲς [10] *δέος δέδοικας· ἐπὶ τῶν μάτην δεδιότων.*

Ἄιδεις [11] *πρὸς μυρίνην· ἔθος ἦν τὸν μὴ δυνάμενον ἐν συμποσίῳ ᾄσαι, δάφνης κλάδον ἢ μυρίνης λαβόντα πρὸς τοῦτον ᾄδειν.*

Ἄιδεις ὥσπερ [12] *εἰς Ἀῆλον πλέων· ἐπὶ τῶν φιληδόνων καὶ ἀφροντίστων.*

Ἀδελφὸς [13] *ἀνδρὶ παρείη· ὅτι προτιμητέον τοὺς οἰκείους.*

Ἃ δὲ χεὶρ [14] *τὰν χεῖρα νίζει* [15]*· Ἐπιχάρμου τἀπόφθεγμα* [16] *κατὰ φιλαργύρων.*

Ἀδδηφάγον ἅρμα [17]*· ἐπὶ τῶν γαστριμαργούντων· καὶ ἀδδηφάγος τριήρης, ἢ πολυτελὴς, καὶ ἀδδηφάγος λύχνος, καὶ ἀδδηφάγον πεντηκόντορον. Φίλιστος· λέγοιεν δ' ἂν οὗτοι τὰς ἐντελομίσθους καὶ πολλὰ ἀναλισκούσας· ἔοικε δὲ ἐκ μεταφορᾶς τῶν ἵππων τῶν τελείων καὶ ἀγωνιστῶν λέγεσθαι, οἵ τινες εἰώθεσαν ἔδμεναι ἄδδην, κατὰ τὸν ποιητήν* [18]*. Ἀλκαῖος δὲ ἐν τῇ κωμῳδοτραγῳδίᾳ τοὺς πότους λύχνους ἀδδηφάγους εἶπε, καὶ Ἀριστοφάνης ἐν νεφέλαις, οἴμοι, τί γάρ μοι τὸν πότην ἧπτες* [19] *λύχνον.*

Ἀδώνιδος κῆπος [20]*, ἐπὶ τῶν ὀλιγοχρονίων καὶ*

10) Apost. Cent. I. 39. Macar. *ἀδεὲς δέος· δήλη ἡ παροιμία.*

11) Apost. Cent. I. 42. Plut. Symposiac. I. 5. *πρῶτον μὲν ᾠδὴν τοῦ θεοῦ κοινῶς ἅπαντες μιᾷ φωνῇ παιωνίζοντες, δεύτερον δ' ἐφεξῆς ἑκάστῳ μυρσίνης παραδεδομένης, ἣν αἴσακον, οἶμαι, διὰ τὸ ᾄδειν τὸν δεξάμενον ἐκάλουν.*

12) Apost. Cent. I. 45.

13) Apost. Cent. I. 46. Macar. *ἀδελφὸς παρείη· ὅτι προτιμητέον τοὺς οἰκείους εἰς βοήθειαν.* Plat. Polit. II. p. 362. C. *Οὐκοῦν, ἦν δ' ἐγὼ, τὸ λεγόμενον, ἀδελφὸς ἀνδρὶ παρείη· ὥστε καὶ σὺ, εἴ τι δδε ἐλλείπει, ἐπάμυνε.* Auctor proverbii non constat: scholiastes ex Od. *Π.* 97. Muret. ex Il. *Φ.* 308. derivat.

14) Apost. Cent. I. 44.

15) *νίζω* pro *νίπτω* Tarentinorum esse grammatici falso dicunt: Vid. Coray ad Heliod. II. p. 83.

16) *τἀπόφθ.* Laur. *ἀπόφθ.* Mosc. Apost.

17) Apost. Cent. I. 48 — 51.

18) Il. *Ε.* 203. p. 83.

19) Mosc. *εἶπτες.* scribendum *ἧπτες.* ex Aristoph. Nub. 57. Matth. Laur. *ἧπτες.*

20) Apost. Cent. I. 43. Plat.

ἀώρων, καὶ μὴ ἐρίζωμένων· ἐπειδὴ γὰρ ὁ Ἄδωνις, ἐρώμενος ὢν, ὡς ὁ μῦθος, τῆς Ἀφροδίτης, πρὸ ἥβης τελευτᾷ, οἱ ταύτῃ ὀργιάζοντες κήπους εἰς ἀγγεῖά τινα φυτεύοντες ἢ φυτεύουσαι, ταχέως ἐκείνων διὰ τὸ μὴ ἐρίζῶσθαι μαραινομένων, Ἀδώνιδος αὐτοὺς ἐκάλουν.

Τὸ α μετὰ τοῦ ε [1].

Ἀετὸν ἵπτασθαι διδάσκεις [2]; ἐπὶ τῶν ἐγχειρούντων διδάσκειν τινὰς, ἃ ἐπίστανται μᾶλλον τῶν θελόντων διδάσκειν.

Ἀετὸν κορώνη ἐρεσχελεῖ [3]· ἡ παροιμία σαφὴς, ταῖς γὰρ κορώναις ἔργον ἐστὶ τοὺς ἀετοὺς ἐρεσχελεῖν· οἱ δὲ ὑπερφρονοῦσιν αὐτῶν, καὶ ἐκείνας μὲν ἀπολείπουσι τὴν κάτω φέρεσθαι πτῆσιν, αὐτοὶ δὲ τὸν αἰθέρα ὑψηλότερον ὄντα, τοῖς ὠκίστοις τέμνουσιν αὐτὸν πτεροῖς, οὐδέπου δεδιότες· πῶς γὰρ ἂν τοῦτο εἴποι τις τὴν τῶν ἀετῶν ἀλκὴν ἐπιστάμενος; ἀλλ' ἰδίᾳ τινὶ μεγαλονοίᾳ ἐῶσιν ἐρίζειν ἐκείνας κάτω.

Ἀετὸς [4] μυίας οὐ θηρεύει· καὶ τὸ ἀνάπαλιν· ἐπὶ τῶν σμικρολόγων· λέγεται ἀετὸς [5] καὶ τῶν οἰκοδομημάτων τὸ κατὰ τὸν ὄροφον, ὅ τινες ἀέτωμα καλοῦσιν.

Phaedr. c. 61. ὁ νοῦν ἔχων γεωργὸς, ὧν σπερμάτων κήδοιτο καὶ ἔγκαρπα βούλοιτο γενέσθαι, πότερα σπουδῇ ἄν θέρους εἰς Ἀδώνιδος κήπους ἀρῶν, χαίροι θεωρῶν καλοὺς ἐν ἡμέραισιν ὀκτὼ γιγνομένους. ubi Ast. Macar. habet proprium: ἀδύνατα θηρᾷς· ἐπὶ τῶν ἀδυνάτοις ἐπιχειρούντων.

1) Laur. hunc habet ordinem: ἀεὶ κολοιὸς παρὰ κολοιὸν. ἀεὶ τοῖς μικροῖς. ἀεὶ γεωργὸς. ἀεὶ γὰρ εὖ πίπτουσιν. ἀετὸν ἵπτασθαι. ἀετὸν κορώνη ἐρεσχελεῖ ἀεὶ Λεοντῖνοι. ἀετὸς μυίας οὐ θηρεύει. ἀετὸς ἐν νεφέλαις. ἀετοῦ γῆρας. ἀετὸς θρίπας. ἀετὸ εἰς θήραν. ἀεί με τοιοῦτοι. ἀε φέρει τι Λιβύη. ἀετὸν κάνθαρο μαιεύεται.

2) Apost. Cent. I. 58. Macar δήλη ἡ παροιμία. Vide Aelian Hist. Anim. XV. 22. Matth.

3) Apost. Cent. I. 59.

4) Apost. Cent. I. 61.

5) Vide Pind. Ol. XIII. 2 cum adnot. Bökh.

Ἀριστοφάνης ὄρνισι, τὰς γὰρ ὑμῶν οἰκίας ἐρέψομεν [6] *πρὸς ἀετόν.*

Ἀετὸς ἐν νεφέλαις [7]*· ἐπὶ τῶν δυσαλώτων· οὐ γὰρ ἁλίσκεται ἐν νεφέλαις ὁ ἀετὸς* [8]*, καὶ δίψους ἀμείνων ἐστὶ καὶ φάρμακον καμάτου οὐκ ἀναμένει πορισθὲν ἔξωθεν. Ὑπερφρονῶν δὲ καὶ ὑδάτων καὶ τῆς ἀναπαύσεως, τὸν ἀέρα τέμνει πολὺ, καὶ ὀξύτατα ὁρᾷ ἐκ πολλοῦ τοῦ αἰθέρος· τῶν δὲ νεοττῶν αὐτοῦ, ἐὰν μὲν σκαρδαμύξῃ τις, τὴν αὐγὴν τῆς τοῦ ἡλίου ἀκτῖνος δυσωπούμενος, ἐξεώθη τῆς ἑστίας· εἰ δ᾽ ἀντιβλέψῃ καὶ μάλα ἀτρέπτως, ἀμείνων ἐστὶν ὑπονοίας, καὶ τοῖς γνησίοις ἐγγράφεται· ἐπεὶ αὐτῷ πῦρ τὸ οὐράνιον ἡ τοῦ γένους ἀδέκαστός τε* [9] *καὶ ἄγραπτος ἀληθῶς ἐγγραφή ἐστιν.*

Ἀετοῦ γῆρας [10]*, κορύδου νεότης· παρ᾽ ὅσον καὶ γηράσκων ἀετὸς κρείττων ἐστὶ νεάζοντος ὄρνιθος· λέγεται τὸν βίον ἀετὸς καταστρέφειν, τῆς κάμπτης τοῦ ἄνω χείλους πρὸς τὸ κάτω χρόνῳ συγκαμψάσης.*

Ἀετὸς θρίπας ὁρᾷ [11]*· ἐπὶ τῶν καταφρονούντων τῶν μικρῶν.*

Ἀετὸς εἰς θήραν [12]*· ἐπὶ τῶν ἐπιτηδείως περί τι ἐχόντων.*

6) Apogr. Dresd. *ἐῤῥέψομεν.*

7) Apost. Cent. I. 62. Macar. *ἐπὶ τῶν δυσαλώτων.* Aristoph. Av. 977. *κἂν μέν, θέσπιε κοῦρε, ποιῇς ταῦθ᾽ ὡς ἐπιτέλλω, αἰετὸς ἐν νεφέλῃσι γενήσεαι.* Oraculum apud Plutarch. Demosth. c. 19.

Τῇς ἐπὶ Θερμώδοντι μάχης ἀπάνευσε γενοίμην,
Αἰετὸς ἐν νεφέεσσι καὶ ἠέρι θηήσασθαι.
Κλαίει δ νικηθεὶς, ὁ δὲ νικήσας ἀπόλωλε.

Aristid. Panath. p. 196. *ἀετόν τε ἐν νεφέλαις αὐτὴν ὁ θεὸς καλεῖ πρὸς τἆλλα πολίσματα.*

8) Laur. ita legit: *οὐ γὰρ ἁλίσκεται ἐν νεφέλαις· Ἀετὸς καὶ δίψους ἀμείνων ἐστὶ καὶ καμάτου φάρμακον* etc.

9) τε recepi ex Laur., Mosc. om.

10) Apost. Cent. I. 63. Macar. *παρόσον καὶ γηράσκων ἀετὸς ἀμείνων ἐστὶ παντὸς ὄρνιθος.*

11) Apost. Cent. I. 64. Macar. *ἀετὸς θρίπας ὁρῶν· ἐπὶ τῶν ἀφροντιστούντων καὶ καταφρονούντων.*

12) Apost. Cent. I. 65.

ἀώρων, καὶ μὴ ἐρριζωμένων· ἐπειδὴ γὰρ ὁ Ἄδωνις, ἐρώμενος ὢν, ὡς ὁ μῦθος, τῆς Ἀφροδίτης, πρὸ ἥβης τελευτᾷ, οἱ ταύτῃ ὀργιάζοντες κήπους εἰς ἀγγεῖά τινα φυτεύοντες ἢ φυτεύουσαι, ταχέως ἐκείνων διὰ τὸ μὴ ἐρρίζωσθαι μαραινομένων, Ἀδώνιδος αὐτοὺς ἐκάλουν.

Τὸ ᾱ μετὰ τοῦ ε̄ [1].

Ἀετὸν ἵπτασθαι διδάσκεις [2]; ἐπὶ τῶν ἐγχειρούντων διδάσκειν τινὰς, ἃ ἐπίστανται μᾶλλον τῶν θελόντων διδάσκειν.

Ἀετὸν κορώνη ἐρεσχελεῖ [3]· ἡ παροιμία σαφὴς, ταῖς γὰρ κορώναις ἔργον ἐστὶ τοὺς ἀετοὺς ἐρεσχελεῖν· οἱ δὲ ὑπερφρονοῦσιν αὐτῶν, καὶ ἐκείνας μὲν ἀπολείπουσι τὴν κάτω φέρεσθαι πτῆσιν, αὐτοὶ δὲ τὸν αἰθέρα ὑψηλότερον ὄντα, τοῖς ὠκίστοις τέμνουσιν αὐτὸν πτεροῖς, οὐδέπου δεδιότες· πῶς γὰρ ἂν τοῦτο εἴποι τις τὴν τῶν ἀετῶν ἀλκὴν ἐπιστάμενος; ἀλλ' ἰδίᾳ τινὶ μεγαλονοίᾳ ἐῶσιν ἐρρεῖν ἐκείνας κάτω.

Ἀετὸς [4] μυίας οὐ θηρεύει· καὶ τὸ ἀνάπαλιν ἐπὶ τῶν σμικρολόγων· λέγεται ἀετὸς [5] καὶ τῶν οἰκοδομημάτων τὸ κατὰ τὸν ὄροφον, ὅ τινες ἀέτωμα καλοῦσιν.

Phaedr. c. 61. ὃ νοῦν ἔχων γεωργὸς, ὧν σπερμάτων κήδοιτο καὶ ἔγκαρπα βούλοιτο γενέσθαι, πότερα σπουδῇ ἄν θέρους εἰς Ἀδώνιδος κήπους ἀρῶν, χαίροι θεωρῶν καλοὺς ἐν ἡμέραισιν ὀκτὼ γιγνομένους. ubi Ast. Macar. habet proprium: ἀδύνατα θηρᾷς· ἐπὶ τῶν ἀδυνάτοις ἐπιχειρούντων.

1) Laur. hunc habet ordinem: ἀεὶ κολοιὸς παρὰ κολοιὸν. ἀεὶ τοῖς μικροῖς. ἀεὶ γεωργὸς. ἀεὶ γὰρ εὖ πίπτουσιν. ἀετὸν ἵπτασθαι. ἀετὸν κορώνη ἐρεσχελεῖ. ἀεὶ Λεοντῖνοι. ἀετὸς μυίας οὐ θηρεύει. ἀετὸς ἐν νεφέλαις. ἀετοῦ γῆρας. ἀετὸς θρίπας. ἀετὸς εἰς θήραν. ἀεί με τοιοῦτοι. ἀεὶ φέρει τι Λιβύη. ἀετὸν κάνθαρος μαιεύεται.

2) Apost. Cent. I. 58. Macar. δήλη ἡ παροιμία. Vide Aelian. Hist. Anim. XV. 22. Matth.

3) Apost. Cent. I. 59.

4) Apost. Cent. I. 61.

5) Vide Pind. Ol. XIII. 21. cum adnot. Bökh.

Ἀριστοφάνης ὄρνισι, τὰς γὰρ ὑμῶν οἰκίας ἐρέψομεν [6] *πρὸς ἀετόν.*

Ἀετὸς ἐν νεφέλαις [7]*· ἐπὶ τῶν δυσαλώτων· οὐ γὰρ ἁλίσκεται ἐν νεφέλαις ὁ ἀετὸς* [8]*, καὶ δίψους ἀμείνων ἐστὶ καὶ φάρμακον καμάτου οὐκ ἀναμένει πορισθὲν ἔξωθεν. Ὑπερφρονῶν δὲ καὶ ὑδάτων καὶ τῆς ἀναπαύσεως, τὸν ἀέρα τέμνει πολὺ, καὶ ὀξύτατα ὁρᾷ ἐκ πολλοῦ τοῦ αἰθέρος· τῶν δὲ νεοττῶν αὐτοῦ, ἐὰν μὲν σκαρδαμύξῃ τις, τὴν αὐγὴν τῆς τοῦ ἡλίου ἀκτῖνος δυσωπούμενος, ἐξεώθη τῆς ἑστίας· εἰ δ' ἀντιβλέψῃ καὶ μάλα ἀτρέπτως, ἀμείνων ἐστὶν ὑπονοίας, καὶ τοῖς γνησίοις ἐγγράφεται· ἐπεὶ αὐτῷ πῦρ τὸ οὐράνιον ἡ τοῦ γένους ἀδέκαστός τε* [9] *καὶ ἄγραπτος ἀληθῶς ἐγγραφή ἐστιν.*

Ἀετοῦ γῆρας [10]*, κορύδου νεότης· παρ' ὅσον καὶ γηράσκων ἀετὸς κρείττων ἐστὶ νεάζοντος ὄρνιθος· λέγεται τὸν βίον ἀετὸς καταστρέφειν, τῆς κάμπτης τοῦ ἄνω χείλους πρὸς τὸ κάτω χρόνῳ συγκαμψάσης.*

Ἀετὸς θρίπας ὁρᾷ [11]*· ἐπὶ τῶν καταφρονούντων τῶν μικρῶν.*

Ἀετὸς εἰς θήραν [12]*· ἐπὶ τῶν ἐπιτηδείως περί τι ἐχόντων.*

6) Apogr. Dresd. ἐῤῥέψομεν.

7) Apost. Cent. I. 62. Macar. ἐπὶ τῶν δυσαλώτων. Aristoph. Av. 977. κἂν μέν, θέσπιε κοῦρε, ποιῇς ταῦθ' ὡς ἐπιτέλλω, αἰετὸς ἐν νεφέλῃσι γενήσεαι. Oraculum apud Plutarch. Demosth. c. 19.

Τῇς ἐπὶ Θερμώδοντι μάχης ἀπάνευσε γενοίμην,
Αἰετὸς ἐν νεφέεσσι καὶ ἠέρι θηήσασθαι.
Κλαίει δ νικηθεὶς, ὁ δὲ νικήσας ἀπόλωλε.

Aristid. Panath. p. 196. ἀετόν τε ἐν νεφέλαις αὐτὴν ὁ θεὸς καλεῖ πρὸς τἆλλα πολίσματα.

8) Laur. ita legit: *οὐ γὰρ ἁλίσκεται ἐν νεφέλαις· Ἀετὸς καὶ δίψους ἀμείνων ἐστὶ καὶ καμάτου φάρμακον* etc.

9) τε recepi ex Laur., Mosc. om.

10) Apost. Cent. I. 63. Macar. παρόσον καὶ γηράσκων ἀετὸς ἀμείνων ἐστὶ παντὸς ὄρνιθος.

11) Apost. Cent. I. 64. Macar. ἀετὸς θρίπας ὁρῶν· ἐπὶ τῶν ἀφροντιστούντων καὶ καταφρονούντων.

12) Apost. Cent. I. 65.

Ἀετὸν κάνθαρος μαιεύεται [13]· ἐπὶ τῶν κακῶς ὑπό τινων πασχόντων· τὰ γὰρ ὠὰ τοῦ ἀετοῦ ἀφανίζει κυλίων ὁ κάνθαρος.

Ἀεί με [14] τοιοῦτοι πόλεμοι διώκοιεν· ἐπὶ τῶν καταφρονούντων τινῶν· ὁμοία τῇ, ἐγὼ πολλῶν θηρίων ψόφους ἀκήκοα.

Ἀεὶ [15] φέρει τι Λιβύη κακόν· ἐπὶ τῶν ἀεὶ ἐξευρισκόντων τι νέον κακόν.

Ἀεὶ [16] Λεοντῖνοι περὶ τοὺς κρατῆρας· ἐπί τῶν ἀεὶ τοῖς αὐτοῖς ἐγκειμένων· οἱ γὰρ ἐν Σικελίᾳ Λεοντῖνοι περὶ πότους ἐσχόλαζον. Φάλαρις δ᾽ αὐτοὺς καταπολεμήσας εἰς τοὺς κρατῆρας ἔῤῥιψεν, ἀφ᾽ οὗ ἡ παροιμία.

Ἀεὶ [17] γὰρ εὖ πίπτουσιν οἱ Διὸς κύβοι· ἐπὶ τῶν εἰς πάντα εὐδαιμονούντων· οἱ δὲ ἐπὶ τῶν ἀξίως τιμωρουμένων, μεταγεγραμμένου τοῦ εὖ πίπτουσιν, εἰς τὸ ἐμπίπτουσιν.

Ἀεὶ γεωργὸς [18] εἰς νέωτα πλούσιος· Φιλήμονος· ἐπὶ τῶν ἐλπίδι μὲν ἀεὶ τρεφομένων ἀπαλλαγῆναι τῶν δεινῶν, τοῖς αὐτοῖς δὲ πάλιν περιπιπτόντων.

Ἀεὶ κολοιὸς [19] παρὰ κολοιὸν ἱζάνει· ἐπὶ τῶν

13) Apost. Cent. I. 68. Apogr. Dresd. κάνθαρον. Macar. ἀετὸν κάνθαρος μαιεύσομαι· ἐπὶ τῶν τιμωρουμένων τοὺς ἄρξαντας.

14) Apost. Cent. I. 66. Pro θρίων Laur. habet θηρίων.

15) Apost. Cent. I. 67. Macar. ἐπὶ τῶν κακουργοτάτων· θηρία γὰρ τῶν ἄλλων χαλεπώτερα τρέφει ἡ Λιβύη.

16) Apost. Cent. I. 60. Macar. ἐπὶ τῶν περισπευδόντων, καὶ διὰ τοῦτο ἁλισκομένων· Φάλαρις γὰρ κατηχμαλώτευσε τοὺς ἐν Σικελίᾳ Λεοντίνους περὶ πότους ἐσπουδακότας, καὶ τοῖς κρατῆρσι τῆς Ἴτνης (sic) ἐνέβαλεν.

17) Apost. Cent. I. 57. Macar. ἐπὶ τῶν ἀξίως εὐδαιμονούντων.

18) Apost. Cent. I. 56. Macar. ἐπὶ τῶν ἐν ταῖς ἐλπίσι καυχωμένων.

19) Apost. Cent. I. 54. Macar. ἐπὶ τοῖς ὁμοίοις συνεδριαζόντων (adde τῶν post ἐπί). Codd. nonnulli apud Schneid. referunt ad hoc prov. Platonis locum Pol. I. p. 329. A. πολλάκις γὰρ συνερχόμεθά τινες εἰς ταὐτὸ παραπλησίαν ἡλικίαν ἔχοντες, διασώζοντες τὴν παλαιὰν παροιμίαν. al. ad ἥλιξ ἥλικα τέρπει. Vide infra ὅμοιον ὁμοίῳ.

ὁμοίοις προσομιλούντων· οἱ περὶ Ἀδρίαν οἰκοῦντες Ἕνετοι [20], ὅταν ἀρότρου καὶ σπόρου ὥρα ἦν, τοῖς κολοιοῖς ἀπέστελλον δῶρα, ψαιστὰ καὶ μάζας. Βούλεται δὲ τὰ δῶρα μειλίγματα τοῖς κολοιοῖς εἶναι καὶ σπονδῶν ὁμολογίαι, ὡς ἐκείνους [21] τὸν καρπὸν τὸν Δημήτριον μὴ ἀνορύττειν, μηδὲ παρεκλέγειν καταβληθέντα εἰς γῆν· καὶ οἱ μὲν ἀναχωροῦσι, τὰ δὲ τῶν κολοιῶν νέφη δύο ἢ τρεῖς κατὰ τοὺς πρέσβεις τοὺς ἐκ τῶν πόλεων πέμπουσι κατασκεψομένους τῶν ξενίων τὸ πλῆθος, οἵπερ οὖν καὶ ἐπανίασι θεασάμενοι καὶ καλοῦσιν αὐτοὺς, ἢ πεφύκασιν, οἱ μὲν καλεῖν, οἱ δὲ ὑπακούειν. Ἐρχόμενοι δὲ κατὰ νέφη, ἐὰν μὲν γεύσωνται τῶν προκειμένων [22], ἴσασιν οἱ Ἕνετοι, ὅτι ἄρα αὐτοῖς πρὸς τοὺς ὄρνιθας τοὺς προειρημένους ἔκσπονδά ἐστιν· ἐὰν δὲ ὑπερίδωσι, καὶ ἀτιμάσαντες ὡς εὐτελῆ μὴ γεύσωνται, πεπιστεύκασιν οἱ ἐπιχώριοι, ὅτι τῆς ἐκείνων ὑπεροψίας ἐστὶν αὐτοῖς λιμὸς [23] τὸ τίμημα. Ἄγευστοι γὰρ ὄντες οἱ προειρημένοι, καὶ ἀδέκαστοί γε, ὡς εἰπεῖν, ἐπιπέτονταί τε ταῖς ἀρούραις, καὶ τό γε πλεῖστον τῶν κατεσπαρμένων συλῶσι πικρότατά γε ἐκεῖνοι σὺν τῷ θυμῷ καὶ ἀνορύττοντες καὶ ἀνιχνεύοντες. Οἱ κολοιοὶ δὲ [24] ἱερακίζοντες καὶ πετόμενοι, πῇ μὲν ἀνωτέρω, πῇ δὲ κατωτέρω κρυμὸν καὶ ὑετὸν δηλοῦσιν.

Ἀεὶ [25] τοῖς μικροῖς μικρὰ διδοῦσι θεοί· Καλλιμάχου.

Τὸ $\overline{\alpha}$ μετὰ τοῦ $\overline{\zeta}$.

Ἄζηλος [1] πλοῦτος, ὅτι τυφλός· ἐπὶ τῶν κεκτημένων τι καλὸν ἄδηλον.

(Ex Aelian. Hist. Anim. XVII. 16. Matth.)

20) Mosc. et Laur. Αἶνετοι. Apost. Ἕνετοι.

21) Laur. ἐκείνοις.

22) Laur. προειρημένων.

23) Ante λιμὸς deletum erat ὁ. Matth.

24) δὲ abest a Mosc. et Laur. Mosc. κολεοί.

25) Apost. I. 55. abest a Mosc. Callim. Fr. CLXXIX. τοῖς μίκκοις μίκκα. Macar. habet praeterea: Ἀεί τις ἐν Κύδωνος Κορίνθιος οὗτος ἦν φιλοξενώτατος. Ἀετὸς ἐν κοπρίᾳ οὐχ ἵπταται· ἐπὶ τῶν μὴ εὐτελέσιν ἑαυτοὺς ἐπιδιδόντων πράγμασιν.

1) Apost. Cent. I. 69.

Ἀζαναῖα κακά [2]· ἐπὶ τῶν κακοῖς διηνεκῶς προσπαλαιόντων· ἀζάνη γὰρ τόπος σκληρὸς καὶ τοῖς γεωργοῖς ἀπροσπόριστος.

Τὸ α μετὰ τοῦ η.

Ἀκκίζεσθαί [3] μοι δοκεῖς· Ἀκκὼ γυνή τις ἦν, ἐπὶ μωρίᾳ διαβαλλομένη, ἥτις ἐσοπτριζομένη τῇ οἰκείᾳ σκιᾷ ὡς ἑτέρᾳ διελέγετο.

Ἀηδόνες [4] λέσχαις ἐγκαθήμεναι· ἐπὶ τῶν ἀδολεσχούντων.

Τὸ α μετὰ τοῦ θ.

Ἀθηνᾷ τὸν αἴλουρον [1]· ἐπὶ τῶν κακῶς συγκρινόντων τὰ κρείττονα τοῖς ἥττοσι διὰ μικρὰν ὁμοιότητα ἡ παροιμία εἴρηται, ὡς εἴ τις διὰ γλαυκότητα τὸν αἴλουλουρον τῇ Ἀθηνᾷ συμβάλλοι.

Ἀθύρωτον [2] στόμα· ἐπὶ τῶν πολυλόγων.

2) Apost. Cent. I. 70. Macar. ἐπὶ τῶν κακοῖς προσπαλαιόντων· Ἀζανία γὰρ τόπος Ἀρκαδίας λεπτύγεως καὶ γεωργοῖς ἀσυντελής.

3) Apost. Cent. I. 71. In Laur. super ἀκκίζεσθαι scriptum est ἀκίζεσθαι. Ἀκὼ scribit Mosc. et Laur. Achill. Tat. VI. 20. οὐκ ἀγαπᾷς, ὅτι σοι καὶ λαλῶ; — — ἀλλὰ καὶ ἀκκίζῃ καὶ σχηματίζῃ πρὸς ἀπόνοιαν; Julian. Or. VII. p. 223. B. Ἀντικύρας σοὶ δεῖ, τί γὰρ ἂν ἀκκίζοιτό τις; Alia invenies apud Bergl. et Wagn. ad Alciphr. I. 37.

4) Apost. Cent. I. 72. Macar. πρὸς τοὺς ἀδολεσχοῦντας. Cfr. infra prov. λέσχη ἐγκάθη. Ἀηδόνες vocantur homines garruli. Alexis apud Eustath. ad Il. x. p. 1389. ed. Rom. σοῦ δ' ἐγὼ λαλιστέραν οὐ πώποτε εἶδον, οὔτε κερκώπην, γύναι, οὐ κίτταν, οὐκ ἀηδόνα, οὐ τρυγόνα, οὐ τέττιγα. Liban. Tom. IV. p. 143. τρυγόνος λαλιστέρα, κίττης, ἀηδόνος, κερκώπης. Λέσχαι erant loci, quo confabulandi causa convenire solebant Graeci, πάντων ἀνθρώπων λαλίστατοι, ut ait Proclus ad Hesiod. Ἔργ. 493. laudatus a Corajo ad Heliodor. II. p. 97. Pausan. Phoc. XXV. 1. καλεῖται δὲ ὑπὸ Δελφῶν λέσχη, ὅτι ἐνταῦθα συνιόντες τὸ ἀρχαῖον τά τε σπουδαιότερα διελέγοντο καὶ ὁπόσα μυθώδη· τοιαῦτ' εἶναι πολλὰ ἀνὰ πᾶσαν τὴν Ἑλλάδα Ὅμηρος ἐν Μελανθοῦς λοιδορίᾳ πρὸς Ὀδυσσέα ἐδήλωσεν.

1) Apost. Cent. I. 37. Macar. λείπει τὸ παραβάλλει τις. ἐπὶ τῶν ἀσυγκρίτως ὑπερεχόντων.

2) Apost. Cent. I. 74. Aristoph. Ran. 857.

Ἄθάνατον [3] *δὲ* [4] *κακὸν ἀναγκαῖον γυνή.* Φιλήμονος.

Ἄθως [5] *καλύπτει πλεῦρα Λημνίας βοός.* ἐπεὶ ἐν Λήμνῳ βοῦν λευκοῦ πεποιημένην λίθου ὁ Ἄθως τὸ ὄρος ἐπισκιάζει. λέγεται δὲ ἐπὶ τῶν λυπούντων τινὰς ἢ βλαπτόντων.

Τὸ α μετὰ τοῦ ι.

Αἱ δεύτεραί [6] *πως φροντίδες σοφώτεραι.*

Αἰθέρα [7] *νήνεμον πονήσεις.* ἐπὶ τῶν μάτην πονούντων.

Περὶ ἀναλογίας τῶν τεσσάρων στοιχείων [8].

Αἰθὴρ τὸ καὶ πῦρ [9] *ἀναλογεῖ τῷ θέρει, τὸ δὲ τῇ ξανθῇ χολῇ.*

Ἀὴρ ἀναλογεῖ τῷ ἔαρι, τὸ δὲ τῷ αἵματι.

Γῆ ἀναλογεῖ τῷ φθινοπώρῳ, τὸ δὲ τῷ φλέγματι.

Ὕδωρ ἀναλογεῖ τῷ χειμῶνι, ὁ δὲ τῇ μελαίνῃ χολῇ.

Αἰγιστέου πήδημα [10]. ἐπὶ τῶν μεγαλοψύχων. Καλλισθένης ἐν δευτέρῳ μεταμορφώσεων ὧδέ που περὶ τούτου φησὶν, ὅτι κατὰ Κελαινὰς πόλιν τῆς Φρυγίας διὰ

Ἄνθρωπον ἀγριοποιὸν, αὐθαδόστομον,
Ἔχοντ' ἀχάλινον, ἀκρατὲς, ἀθύρωτον στόμα.

3) Apost. Cent. I. 75. abest a Mosc. — Fr. CIII. ed. Mein.

4) *δὲ* Laur. *ἐστὶ* Apost.

5) Apost. Cent. I. 76. Macar. *Ἄθ. καλ. πλευρὰς Λ. βοός· ἐπὶ τῶν βλαπτόντων ἐκ γειτνιάσεως, ἐπειδὴ τὴν ἐν Λήμνῳ ἐκ μαρμάρου βοῦν ὀρθὸς ὁ Ἄθως ἐπικαλύπτει.* Etymol. M. sub v. *Ἄθως. Σοφοκλῆς, Ἄθως σκιάζει νῶτα Λημνίας βοός· ἐν γὰρ τῇ Λήμνῳ βοῦς χαλκῆ ἵδρυται, ἐφ' ἧν τοῦ Ἄθω ἡ σκιὰ φθάνει.* Cfr. Tittm. ad Zonar. Scilicet in foro Myrinae, urbis Lemniae, bucula (aenea) stabat, quam solstitio aestivo umbra Athonis montis attingebat: vide Grotefend. in Erschii Encyclopaed. P. VI. p. 241. b. O. Mueller Orchom. et Min. p. 301.

6) Abest a Laur. hoc prov.

7) Apost. Cent. I. 77. Pro *πονήσεις* Laur. habet *αἰρήσεις*, natum forte ex eo, quod Zenob. Cent. I. 19. habet, *ἐρέσσειν*. Macar. *αἰθέρα νήνεμον ἐρέσσῃς. ἐπὶ τῶν μάτην πονούντων.*

8) Titulum Mosc. om.

9) *τὸ καὶ πῦρ* scriptum est in utroque Cod. in Laur. *καὶ* omissum, ex correctura superscriptum est. Mosc. *ἀναλογεῖ τὸ θέρει, τὸ χειμῶνι.*

10) Apost. Cent. I. 79. Laur. *Αἰγισταίου.*

μῆνιν Ἰδαίου Διὸς, χάσμα μεθ' ὕδατος γενόμενον πολλὰς οἰκίας αὐτάνδρους εἰς τὸν βυθὸν καθείλκυσε. Τοῦ δὲ δήμου κινδυνεύοντος, Μίδας ὁ βασιλεὺς χρησμὸν ἔλαβε, συνελεύσεσθαι τὴν γῆν, ἐὰν εἰς τὸ βάραθρον βάλῃ τὸ τιμιώτατον ἐν ἀνθρωπίνῳ βίῳ. Τῶν δὲ Κελαινιτῶν χρυσόν τε καὶ ἄργυρον καὶ τὸν κόσμον τῶν γυναικῶν εἰς τὸ χάσμα ῥιψάντων, καὶ μηδ' οὕτω τοῦ κακοῦ λήγοντος, Αἰγίστεος ὁ υἱὸς Μίδα, λογισάμενος μηδὲν εἶναι τιμιώτερον ἐν βίῳ ψυχῆς, ἀναπηδήσας καὶ δοὺς περιπλοκὰς τῷ γεννήσαντι, καὶ ἀποταξάμενος τῇ γυναικὶ Τιμοθέᾳ μεθ' ὁρμῆς, ἔφιππος εἰς τὸν τόπον τοῦ χάσματος ἠνέχθη.

Αἰγιεῖς [11] οὔτε τρίτοι, οὔτε τέταρτοι· ἐπὶ τῶν παντελῶς εὐτελῶν καὶ μικρῶν· ἐρωτώντων γάρ τινων, τίνες κρείττους τῶν Ἑλλήνων, τοῦτο ἀπεφθέγξαντο· Αἰγιεῖς οὔτε τρίτοι, οὔτε τέταρτοι.

Αἰγὸς τρόπος [12]: ἐπὶ τῶν ἑαυτοῖς ἐπιφερόντων κακά· ἀπὸ Κορινθιακῆς παροιμίας·

Ἡ αἴξ [13] δοῦσα τὴν μάχαιραν· οὕτω γὰρ λέγεται, Κορινθίων Ἥρᾳ Ἀσκραίᾳ θυόντων, ἣν λέγεται ἱδρύσαι Μήδειαν, οἱ ἐν τῇ [14] παρόχῳ μεμισθωμένοι, γῇ κρύψαντες τὴν μάχαιραν, ἐσκήπτοντο ἐπιλελῆσθαι· ἡ δὲ αἴξ αὐτὴν τοῖς ποσὶν ἀνεσκάλευεν. Πτύελον ἀνθρώπου θανατηφόρον εἶναι ζώῳ ἑτέρῳ, καλῶς ἴσασιν αἶγες καὶ φυλάττονται· μέλλουσα δὲ ἡ αἴξ ἀποσφάττεσθαι, σαφῶς [15] οἶδε, καὶ τὸ μαρτύριον, οὐκ ἂν ἔτι τροφῆς προσάψαιτο. Λέγουσιν Ἄραβες, ὅτι τὰ παρ' αὐτοῖς ποίμνια πιαίνεται ὑπὸ μουσικῆς μᾶλλον, ἢ ὑπὸ τοῦ χιλοῦ· τῶν δὲ ἁλμυρῶν ἐσθίειν ἥδιον· ποιεῖται γὰρ τὴν τοιαύτην τροφὴν ποτοῦ ὄψον· τά γε μὲν πρόβατα κἀκεῖνο οἶδεν, ὅτι αὐτοῖς ὁ

11) Apost. Cent. I. 80. Vide Bergl. ad Alciphr. p. 370. 371. Matth.

12) Apost. Cent. I. 81.

13) Apost. Cent. I. 82. Macar. αἴξ τὴν μάχαιραν· λείπει τὸ ἐπεσκάλευσεν, καὶ λέγεται ἐπὶ τῶν ἑαυτοῖς τὰ κακὰ ἐπισπωμένων.

14) τῇ Mosc. om. recepi ex Laur.

15) Apogr .Dresd. σοφῶς.

βορρᾶς καὶ ὁ νότος συμμάχονται πρὸς τὸ τίκτειν, οὐ μεῖον τῶν ἀναβαινόντων αὐτὰ κριῶν· οἶδε δὲ, ὅτι ὁ μὲν βορρᾶς ἀρρενοποιός ἐστιν, ὁ δὲ νότος θηλυγόνος· καὶ ἐὰν δέηται τοῦ γόνου τοῦδε ἢ τοῦδε ὀχευομένη ἡ ὄϊς [16], πρὸς τὸν ἀπέβλεψεν ἢ πρὸς τόν. Ἀχιλλεὺς μὲν οὖν, ἵνα ὁ φίλος αὐτῷ κείμενος ἐπὶ τῆς πυρᾶς καυθῇ, καὶ εὐχῆς ἐδεῖτο, καὶ ἡ Ἶρις παρεκάλει τοὺς ἀνέμους αὐτῷ, ὦ καλὲ Ὅμηρε, αἱ δὲ ὄϊες ἀπραγμόνως τοὺς ἀνέμους εἰς ὠδῖνας σφετέρας [17] ὑπηρέτας ἀκλήτως ἔχουσι· σκοποὶ δὲ ἄρα τούτων καὶ ποιμένες ἀγαθοί.

Αἵματι κλαίειν [18]· ἀφ' ὧν μὴ δύναιντο πεῖσαι πάντα πράττοντες· οὕτως ἔλεγον οἱ παλαιοὶ, οὐδ' ἂν πείσῃ αὐτὸν, οὐδ' αἵματι κλαίων· λέγουσι δὲ καὶ, οὐδ' ἂν αἵματι στένων πείσειεν.

Αἶξ Σκυρία [19]· πολυγάλακτοι δὲ αὗται· ἐν τῷ καιρῷ δὲ τῆς ἀμολγῆς ἀνατρέπουσι τὰ ἄγγη.

Αἱ Οἰδίποδες ἀραί [20]· ἐπὶ τῶν μεγάλως δυστυχούντων.

16) Sic Codd. Thomas Mag. p. 646. οἷς μονοσυλλάβως ἐπὶ θηλυκοῦ. Cfr. Villois. ad Long. Pastoral. p. 19.

17) Laur. ὠδῖνα σφετέραν.

18) Apost. Cent. I. 80. Macar. δήλη. Notat hoc proverbium Theophylact. ad Luc. XXII. 43. 44. Matth. Mutat ordinem proverbiorum Laur. αἶξ Σκυρία· αἱ Οἰδίποδος ἀραί· αἵματι κλαίειν· αἶρε πλῆκτρον· αἴρειν ἔξω πόδα· αἰεὶ τὰ πέρυσι· αἴρει καὶ τοὺς ἀνδριάντας· Αἰζωνεὺς ἄλλος· Αἰθίοψ οὐ λευκαίνεται· αἰρούντες ἠρήμεθα· αἰσχύνη πόλεως· Αἰθίοπα σμήχεις· αἰσχρόν τοι· αἰσώπειον αἷμα· αἶρειν μασχάλην· αἶρε δάκτυλον· αἱρήσω τάχα· αἰσχύνομαι τὴν φιλότητα· αἰγιθάλου τολμηρότερος· αἰσώπειον αἷμα (iterum)· αἰέτιον χάριν ἐκτίσω· Αἰτναῖος κάνθαρος· ἄϊδος κυνῆ· αἰθεὶς ἐν πέπλῳ· αἰγιαλῷ λαλεῖς· Αἰάντειος γέλως· αἱ Ἰβύκου γέρανοι· αἱ λαχάνων προσθῆκαι· αἴολος ἀνὴρ· αἰεὶ γέροντι· αἷς οὔπω τέτοκεν· αἱ χάριτες γυμναί.

19) Apost. Cent. I. 83. Macar. ἐπὶ τῶν ἀνατρεπόντων τὰς εὐεργεσίας, αἱ γὰρ κατὰ Σκῦρον αἶγες πολὺ γάλα ἀφιεῖσαι, εἶτα ἀνατρέπουσιν τὸ ἀγγεῖον.

20) Apost. Cent. I. 84. consentit Macar.

Αἶρε πλῆκτρον [21]· *ἐπὶ τῶν εἰς ἄμυναν ἀντικινουμένων* [22].

Αἴρειν [23] *ἔξω πόδα πηλοῦ· ἐπὶ τῶν βουλομένων μὴ ἐν πράγμασιν εἶναι· λέγεται δὲ καὶ· Αἴρειν ἔξω πόδα αἰτίας.*

Αἴρειν μασχάλην [24]· *ἐπὶ τῶν ὀρχουμένων ἀγροίκως.*

Αἶρε δάκτυλον [25]· *ἐπὶ τῶν νενικηκότων· ἐπαίρουσι γὰρ τὴν χεῖρα, σύμβολον τοῦ νενικῆσθαι.*

Αἰρούντες ἠρήμεθα [26]· *ἐπὶ τῶν ἐλπισάντων κρατήσειν τινῶν, εἶθ᾽ ὑπ᾽ ἐκείνων ἁλόντων.*

Αἰσχρόν [27] *τοι δῆρόν τε μένειν κενεόν τε νέεσθαι· ἐκ τῶν Ὁμήρου* [28].

Αἰθίοψ οὐ λευκαίνεται [29]· *ἐπὶ τῶν ἀμεταβλήτων.*

Αἰθίοπα σμήχεις [30]· *ὁμοία τῇ· Χύτρας ποικίλλεις· Ὠὸν τίλλεις.*

Αἰσχύνη [31] *πόλεως πολίτου ἁμαρτία· ἐξ ἀποφθέγματος.*

Αἴτει καὶ [32] *τοὺς ἀνδριάντας ἄλφιτα· ἐπὶ τῶν ἀσυμπαθῶν.*

Αἰξωνεὺς ἄλλος [33]· *Αἰξωνεῖς δῆμος ἦν φυλῆς*

21) Apost. Cent. I. 86. Apogr. Dresd. *ἆρε.*

22) Mosc. *ἀντικειμένων* post syllabam *κει* in Cod. insertum erat *νου.* Fortasse voluit *ἀντικινουμένων.* Matth. ita legitur apud Apost. Laur. *ἀντικεινουμένων.*

23) Apost. Cent. I. 88.

24) Apost. Cent. II. 2.

25) Apost. Cent. II. 3.

26) Apost. Cent. I. 96.

27) Apost. Cent. I. 97. abest a Mosc.

28) Il. *β.* 298.

29) Apost. Cent. I. 95.

30) Apost. Cent. I. 98. Macar. *Αἰθίοπα σμήχειν· ἐπὶ τῶν μάτην πονούντων.*

31) Apost. Cent. I. 100. Mosc. om.

32) Apost. Cent. I. 91.

33) Apost. Cent. I. 92. Mosc. et Laur. *Αἰζωνεὺς ἄλλος· Αἰζωνῆς δῆμος ἦν*: et infra: *Αἰζωνέα εἶναι.* (Confunditur ζ et ξ. Pausan. I. 32. 6. *ἐπεὶ δε ἀπελθόντος ἐξ ἀνθρώπων Ἡρακλέους ἐξήτει τοὺς παῖδας Εὐρυσταύς* Vulg. *ἐζήτει.* Lectionem Cod. Moscovensis *ἐξήτει* confirmant Angel. Ven. Ricc. Neap. cfr. Schaef. Meletem. crit. p. 74. Jacobs ad Philostr. Im. p. 264.

τῆς Κεκροπίδος· ἐκωμῳδοῦντο [34] δὲ εἰς βλασφήμους, ἀφ' οὗ καὶ τὸ κακῶς λέγειν αἰξωνιέσθαι ἔλεγον. Μένανδρος ἐν κανηφόρῳ· Πλάτων δ' ἐν τῷ περὶ ἀνδρείας φησὶν, οὐδὲν ἐρῶ πρὸς ταῦτά γε, ἔχων εἰπεῖν, μή με εἴπῃ Αἰξωνέα εἶναι, ἤτοι βλάσφημον· ἐντεῦθεν ἡ παροιμία.

Αἰεὶ [35] *τὰ πέρυσι βελτίω*· ἐπὶ τῶν πρώην μὲν εὐδαιμονούντων, ὕστερον δὲ δυστυχούντων.

Αἱρήσω τάχα [36]· οἱ πειρώμενοι μετελθεῖν ἔργῳ τινὰς εἰώθασι ταύτην λέγειν.

Αἰσχύνομαι [37] *τὴν φιλότητα γηράσκων*· ἐπὶ τῶν διὰ γῆρας κοσμίων.

Αἰγιθάλου τολμηρότερος [38]· σαφὴς ἡ παροιμία· ὁ δὲ αἰγίθαλος ζῷόν ἐστι, καὶ τῶν μὲν μικρῶν ὀρνίθων ὑπερφρονεῖ, ἐπιτίθεται δὲ ταῖς αἰξὶ κατὰ τὸ καρτερόν· καὶ μέν τοι [39] τοῖς οὔθασιν αὐτῶν προσπετόμενος εἶτα ἐκμυζᾷ ἐκ τοῦ γάλακτος, καὶ τὴν τιμωρίαν τὴν ἐκ τοῦ αἰπόλου οὐ δέδοικε· καί τοι πονηρὸν αὐτοῖς μισθὸν ὑπὲρ τῆς πλησμονῆς ἀποδιδούς· τυφλοῖ γὰρ τὸν μισθὸν, ὅταν σπάσῃ καὶ ἀποσβέννυσι τὴν ἐκεῖθεν ἐπιῤῥοήν [40].

Αἰάντειος γέλως [41]· ἐπὶ τῶν παραφρόνως γελώντων.

Elmsl. ad Eur. Med. 31.) Vide Harpocrat. p. 7. in *Αἰξωνεῖς* et Plato p. 259. Ita legitur quoque apud Alciphr. p. 294. Lexicon ineditum, quod est apud me: *Αἰξωνεὺς ὁ βλάσφημος· βλάσφημοι γὰρ κωμῳδοῦνται εἶναι οἱ Αἰξωνεῖς*, et *αἰξωνεύεσθαι τὸ κατηγορεῖν, τὸ βλασφημεῖν· βλάσφημοι γὰρ οἱ Αἰξωνεῖς.* Matth. adde Eustath. p. 721. *τὸ αἰξωνεύεσθαι ἤγουν κακολογεῖν· Αἰξωνεῖς γὰρ δημόται Ἀττικοὶ, σκωπτόμενοι ὡς κακολόγοι.*

34) Mosc. *ἐκωμῳδεῖτο.* Laur. *ἐκωμῳδοῦντο.*

35) Apost. Cent. I. 90. Macar. *ἀεὶ τ. π. β. τοῦτο ἐπεφώνουν Ἀθηναῖοι ταπεινούμενοι πρὸς τῶν Μακεδόνων.*

36) Apost. Cent. I. 93.

37) Apost. Cent. I. 94.

38) Apost. Cent. II. 4. *αἰγίθαλος*, parus. Est genus avis. Vid. Aristot. Hist. Anim. L. VIII. 5. et L. IX. 15. Matth.

39) Apogr. Dresd. *μέντοις.*

40) Long. Pastor. p. 4. ed. Villois. *τὸ δὲ ὥσπερ ἐκ μητρώας θηλῆς τὴν ἐπιῤῥοὴν ἕλκον τοῦ γάλακτος.*

41) Apost. Cent. II. 16. Consentit Macar.

Αἰγιαλῷ λαλεῖς [42]· *ἐπὶ τῶν ἀνηκόων.*

Αἱ Ἴβύκου γέρανοι [43]· *ἐπὶ τῶν ἀπροσδοκήτως κολαζομένων ἐπὶ τοῖς ἁμαρτήμασιν αὐτῶν. Ἴβυκος γὰρ ὑπὸ λῃστῶν ἀναιρούμενος γεράνους ἰδὼν ἐμαρτύρετο· εἶτα οἱ λῃσταὶ ἐν θεάτρῳ γεράνους θεώμενοι, αἱ Ἰβύκου γέρανοι, ἔλεγον, καὶ ἀνακριθέντες ἐκολάσθησαν.*

Αἱ [44] *λαχάνων προσθῆκαι· ἐπὶ τῶν μηδὲν ὠφελούντων.*

Αἰεὶ [45] *γέροντι νέαν προβάλλει κόρην· ἐπὶ τῶν πρεσβυτέρων, βουλομένων δὲ νέαις συνευνάζεσθαι.*

Αἴξ [46] *οὔπω τέτοκεν, ἔριφος δ' ἐπὶ δώματι παίζει· ἐπὶ τῶν οὔπω τεχθέντων ἢ γεγονότων, ἀλλ' ἀτελῶν ὄντων, καὶ τὰ τῶν τελείων θελόντων ποιεῖν.*

Αἰσώπειον αἷμα [47]· *ἐπὶ τῶν δυσαπονίπτοις ὀνείδεσι καὶ κακοῖς συνεχομένων, πολλὰ γάρ φασι τὸ θεῖον τιμωρήσασθαι τοὺς ἀνελόντας τὸν Αἴσωπον.*

42) Apost. Cent. II. 13, Boiss. Anecd. Vol. I. p. 167. in *μελέτη Λιβανίου· ἀλλ' ἦδον, τὸ τῆς παροιμίας, ἐπὶ κωφῷ, ἀλλ' αἰγιαλοῖς ἐδόκουν προσομιλεῖν, ἢ νεκρῷ πρὸς οὓς διαλέγεσθαι.* Miseri saepe cum ventis, cum coelo vel mari dicuntur colloqui. Heliod. Aethiop. II. 21. *εἶπον ἄν τάχα καὶ τοῖσδε τοῖς καλάμοις κατὰ τὸν μῦθον, εἰ μή σοι προσέτυχον.* ubi Coray. ib. *ἄνω καὶ κάτω παραθέων, καὶ ὥσπερ τῷ ποταμῷ φροντίδων τινῶν κοινούμενος.* Alia vide apud Wagn. ad Alciphr. I. 8.

43) Apost. Cent. II. 14. Macar. *ἐπὶ τῶν ἀπροσδοκήτως, ἀνθ' ὧν ἥμαρτον, κολασθέντων. Ἴβυκος γὰρ ὑπὸ λῃστῶν ἀναιρούμενος καὶ γεράνους ὑπερπταμένας ἰδών, ἐμαρτύρατο· χρόνου δὲ παρελθόντος οἱ λῃσταὶ ἐν θεάτρῳ θεώμενοι ἐν Κορίνθῳ, γεράνους ὑπερπταμένας ἰδόντες πρὸς ἀλλήλους ἔλεγον· αἱ Ἰβύκου γέρανοι· εἶτ' ἐκ τούτου ἁλόντες ἐκολάσθησαν.*

44) Apost. Cent. II. 15.

45) Apost. Cent. II. 18. Laur. *νέα προβάλλει.* Macar. *αἰεὶ δὲ γέροντι νέαν ποτίβαλλε κόρην· παρεγγυᾷ ὁ λόγος, πρεσβυτέρους τὰς ἀκμαζούσας συνευνάζειν.* cfr. Pausan. IX. 37, 4.

Ἔργῖνε Κλυμένοιο πάϊ Πρεσβωνιάδαο,
Ὄψ' ἦλθες γενεὴν διζήμενος,
ἀλλ' ἔτι καὶ νῦν
Ἱστοβοῆϊ γέροντι νέην ποτίβαλλε κορώνην.

46) Apost. Cent. II. 17. Macar. *ἐπὶ δώματα παίζει. ἐπὶ τῶν οὔπω τεχθέντων, καὶ ὁμοιόν τι λεγόντων.* Laur. et Mosc. *ἐπὶ δώματος.* Apost. *ἐπὶ δώματα.* alterum metro, alterum linguae repugnat: itaque *δώματι* posui.

47) Apost. Cent. II. 5. bis occurrit in Laur. prima vice ita explicatur: *ἐπὶ τῶν ἀδίκως ἀναιρουμένων, οὐ γὰρ ἐνδίκως ἔκτειναν τὸν Αἴσωπον οἱ Δελφοί.* altera vice cum Mosc. consentit. Macar. *ἐπὶ τῶν δυσαπονίπτοις ὀνείδεσι καὶ κακοῖς συνεχομένων, πολλὰ γάρ φασι τὸ θεῖον τιμωρήσασθαι τοὺς ἀνελόντας τὸν Αἴσωπον.*

δεσιν ἐνεχομένων, ἐπειδὴ τοῖς Δελφοῖς ἀδίκως ἀνελοῦσι τὸν Αἴσωπον ὠργίσθη ὁ θεός.

Αἰέτιον [48] χάριν ἔκτισω· ἐπὶ τῶν ταχέως μεγάλαις δωρεαῖς ἀντιχαριζομένων. Ἅλοῶντες ἄνθρωποι τοῦ ἡλίου καταφλέγοντος δίψει πιεζόμενοι, τὸν ἀριθμὸν ἑκκαίδεκα, ἕνα ἑαυτῶν ἀπέστειλαν, ἐκ πηγῆς [49] γειτονούσης κομίσαι ὕδωρ· οὐκοῦν ἀπιὼν τὸ μὲν δρέπανον τὸ ἀμητικὸν διὰ χειρὸς εἶχε, τὸ δὲ ἀρυστικὸν ἀγγεῖον κατὰ τοῦ ὤμου ἔφερεν· ἐλθὼν δὲ καταλαμβάνει ἀετὸν ὑπό τινος ὄφεως ἐγκρατῶς τε καὶ εὐλαβῶς περιπλακέντος ἀποτνιγόμενον ἤδη· ἔτυχε δὲ ἅρα καταπτὰς μὲν ἐπ᾽ αὐτὸν ὁ ἀετὸς, οὐ μὴν κρείττων γενόμενος, οὐδὲ τῆς ἐπιβουλῆς κρείττων ἐγένετο· οὐδὲ τοῦτο δὴ τὸ Ὁμηρικὸν, τοῖς ἑαυτοῦ τέκνοις τὴν δαῖτα ἐκόμισεν, ἀλλὰ ταῖς ἐκείνου σπείραις περιπεσὼν ἕρμασιν ἔμελλεν οὐ μὰ Δί᾽ ἀπολεῖν, ἀλλ᾽ ἀπολεῖσθαι. Εἰδὼς οὖν ὁ γεωργὸς ἢ καὶ ἀκούων, τὸν μὲν εἶναι Διὸς ἄγγελον, εἰδώς γε μὴν κακὸν θηρίον τὸν ὄφιν, τῷ δρεπάνῳ διακόπτει τὸν θῆρα, καὶ μέντοι τῶν ἀφύκτων δεσμῶν τὸν ἀετὸν ἀπολύει· ἀρυσάμενος δὲ τὸ ὕδωρ ἦκε, καὶ πρὸς τὸν οἶνον κεφάσας ὤρεξε πᾶσιν· οἱ δὲ ἄρα ἐξέπιον, καὶ ἀμυστὶ καὶ πολλὰς ἐπὶ τῷ ἀρίστῳ· ἔμελλε δὲ καὶ αὐτὸς ἐπ᾽ ἐκείνοις πίεσθαι· ἔτυχε δὲ ὑπηρέτης κατ᾽ ἐκεῖνο τοῦ καιροῦ, ἀλλ᾽ οὐ συμπότης ὤν· ἐπεὶ δὲ τοῖς χείλεσι τὴν κύλικα προσῆγεν, ὁ σωθεὶς ἀετὸς ζωάγρια ἐπίνων οἱ, καὶ κατὰ τύχην ἀγαθὴν ἐκείνου ἔτι διατρίβων πέρι τὸν χῶρον, ἐμπίπτει τῇ κύλικι καὶ ἔχχεῖ τὸ ποτόν· ὁ δὲ ἠγανάκτησε, καὶ γὰρ ἔτυχε διψῶν καὶ λέγει,

48) Apost. Cent. II. 6. Repetita haec ex Aeliano Hist. Anim. XVII. 37. Matth.

49) Apogr. Dresd. γῆς. Ita Pausan. I. 38. 9. περὶ δὲ τῆς πηγῆς τὸν ποιμένα εὑρόντα τοὺς παῖδας σφᾶς λοῦσαι. Neapol. γῆς. Riccard. γῆς. ad marg. ἄλλως· ἐπὶ δὲ τῆς πηγῆς. II. 51. 9. Πηγάσω γὰρ τῷ ἵππῳ καὶ οὗτοι λέγουσι τὸ ὕδωρ ἀνεῖναι τὴν γῆν. Riccard. πηγὴν, ad marg. ἀλλ. τὴν γῆν. Joseph. b. J. IV. 1. 5. ἔστι γὰρ ἐν αὐτῇ πηγὴ θερμῶν ὑδάτων πρὸς ἄκεσιν ἐπιτήδειος. Par. 1425. ἐν αὐτῇ τῇ γῇ.

εἶτα σὺ [50] μέντοι, σὺ ἐκεῖνος, ὢν, καὶ γὰρ καὶ τὸν ὄρνιν ἐγνώρισε, τοιαύτας ἀποδίδως τοῖς σωτῆρσι τὰς χάριτας; ἀλλὰ πῶς ἂν καὶ ἄλλος σπουδὴν κατάθοιτο εἴς τινα, αἰδοῖ Διὸς, χαρίτων ἐφόρου τε καί ἐπόπτου; καὶ τῷ μὲν ταῦτα εἴρητο· ὁρᾷ δὲ ἐπιστραφεὶς τοὺς πιόντας ἀσπαίροντάς τε καὶ ἀποθνήσκοντας· ἦν δὲ ἄρα ὡς συμβαλεῖν ἐμπεμεκὼς ἐς τὴν πηγὴν ὁ ὄφις καὶ κεράσας αὐτὴν τῷ ἰῷ· οὕτως ὁ ἀετὸς τῷ σώσαντι ἀμοιβῇ τῆς ἰσοτίμου σωτηρίας ἀπέδωκε τὸν μισθόν.

Τὸν [51] δὲ χρυσάετον, ὡς δ' ἄλλοι φασὶν ἀστερίαν, οὐ μόνον νεβροῖς, ἀλλὰ καὶ ταύροις ἐπιτίθεσθαι [52] κατὰ τὸ καρτερόν· ὁ μὲν γὰρ κεκυφὼς κάτω νέμεται ὁ ταῦρος· ὁ δὲ ἀετὸς ἐπὶ τῷ [53] τένοντι τοῦ ζώου καθίσας ἑαυτὸν παίει τῷ στόματι συνεχέσι καὶ καρτερικαῖς ταῖς πληγαῖς· ὁ δὲ ὥσπερ οἰστρηθεὶς ἐξάλλεται [54], καὶ ἢ ποδῶν ἔχει φυγῆς ἄρχεται, καὶ ἕως μὲν ἐνήλαται ὁ ἀετὸς ἥσυχός ἐστι καὶ ἐπιποτᾶται παραφυλάττων· ὅταν δὲ τὸν ταῦρον θεάσηται πλησίον κρημνοῦ γενόμενον κυκλώσας τὰ πτερὰ καὶ ὑπερτείνας αὐτοῦ τῶν ὀφθαλμῶν ἐποίησε τὰ ἐν ποσὶ μὴ προϊδόμενον κατενεχθῆναι βιαιότατα· εἶτα ἐμπεσὼν καὶ ἀναῤῥήξας τὴν γαστέρα ῥᾳδίως χρῆται τῇ ἄγρᾳ, εἰς ὅσον ἐθέλει· θήρας δὲ ἀλλοτρίας οὐχ ἅπτεται κειμένης, ἀλλὰ χαίρει τοῖς ἑαυτοῦ πόνοις, κοινωνίαν τε τὴν πρὸς ἄλλο ἥκιστα ἐνδέχεται· κορεσθεὶς δὲ εἶτα τοῦ λοιποῦ πονηρὸ ἄσθμα καὶ δυσωδέστατον καταπνεύσας, ἄβρωτα τοῖς ἄλλοις τὰ λείψανα ἐᾷ, καὶ μέντοι ἀλλήλων ἀπῳκισμένα οἰκοῦσι καλιὰς, ὑπὲρ τοῦ μὴ διαφθείρεσθαι ὑπὸ θήρα καὶ λιπουμένους λυπεῖν· ζηλοτυπώτατος δέ ἐστιν ὁ ἀετὸ

50) σὺ ex Laur. adjeci.

51) Ex Aeliano Hist. Anim. II. 39. Matth.

52) Mosc. et Laur. ἐπιτίθεται. Apost. ἐπιτίθεσθαι. Frequens harum terminationum permutatio. cfr. Jacobs ad Philostr. Icon. p. 219. 641. Lect Stob. p. 44.

53) τῷ Mosc. om.

54) Laur. ἐξάπτεται.

πρὸς τὰ νεόττια· ἐὰν γοῦν θεάσηταί τινα πρυσιόντα, παίει τοῖς πτεροῖς αὐτὸν καὶ τοῖς ὄνυξι λυμαίνεται.

Αἴθεις [55] *ἐν πέπλῳ καὶ αἴθων πέπλος· ἐπὶ τῶν στάσεις ἐγειρόντων καὶ ὑπεκκαιόντων· ἡ γὰρ Δηϊάνειρα πέπλον ἔπεμψεν Ἡρακλεῖ, ὑφ' οὗ ἐκαύθη.*

Αἱ χάριτες γυμναί [56]*· ὅτι δεῖ τὴν δωρεὰν ἀφειδῶς ἢ ἀκενοδόξως χαρίζεσθαι.*

Αἱ [57] *χάριτες οὐκ ἐν οὐρανῷ· συνυπακοίεται τό· κἂν τῇ γῇ· λέγεται ἐπὶ τῶν ἄγαν εὐεργετούντων.*

Αἱ χάριτες τρεῖς· Ἀγλαΐα, Εὐφροσύνη καὶ Εὐτέρπη.

Αἰτναῖος κάνθαρος [58]*· ἐπὶ τῶν μεγάλων τῷ σώματι.*

Ἄϊδος κυνῆ [59]*· ἐπὶ τῶν κρυπτόντων ἑαυτοὺς διά τινων μηχανημάτων· ταύτῃ Περσεὺς χρησάμενος τὴν Γοργὼ ἐδειροτόμησεν.*

Αἴολος [60] *ἀνὴρ εἰς βόθρον ἐμπεσεῖται· ἤτοι ὁ πανοῦργος καὶ πονηρός· αἴολος δὲ σημαίνει τρία, τὸν πονηρὸν, ὡς ἐνταῦθα· τὸν ποικίλον, ὡς παρ' Ὁμήρῳ, κορυθαίολος Ἕκτωρ, καὶ ὄνομα κύριον, ὅστις ἦν ἀνὴρ εὐστοχώτατος τὰ περὶ ἀνέμους· κἀντεῦθεν καὶ θεὸς τῶν*

55) Apost. Cent. II. 9. Pro *αἴθων* Apogr. Dresd. *αἴθης* et *Δϊάνειρα*.

56) Apost. Cent. II. 11.

57) Apost. Cent. II. 10. Hoc et sq. deest in Laur.

58) Apost. Cent. II. 7. Aristoph. Pac. 73.

Εἰσήγαγ' Αἰτναῖον μέγιστον κάνθαρον,

eodem modo dicitur *Αἰτναῖος ἵππος* apud Sophoclem Oed. Col.

59) Apost. Cent. II. 8. Macar. post *μηχανημάτων* pergit: *τοιαύτη γὰρ ἡ τοῦ Ἅδου κυνῆ, ᾗ γε χρησάμενος ὁ Περσεὺς τὴν Γοργόνα ἐδειροτόμησεν.* Aristoph. Ach. 386.

Λαβὲ δ' ἐμοῦ γ' ἕνεκα
Παρ' Ἱερονύμου
Σκυτοδασυπυκνότριχά τιν' Ἄϊδος κυνῆν,
Εἶτ' ἐξόνοιγε μηχανὰς τὰς Σισύφου.

Luc. bis accus. c. 21. *εἰ γοῦν τις αὐτοῖς τὸν τοῦ Γύγου δακτύλιον ἔδωκεν ὡς περιθεμένους μὴ ὁρᾶσθαι, ἢ τὴν τοῦ Ἄϊδος κυνέην*, etc. Eustath. Opusc. p. 301. l. 93. *τὴν νύκτα ὡσεὶ καὶ Ἄιδου κυνέην εἰς ἐπίκρυψιν ἀμφιβεβλημένοι.*

60) Apost. Cent. II. 12.

ἀνέμων ὑπείληπται· οὗτος Τηλεπώραν [61] γήμας τὴν Λαιστρυγόνα, ἐγέννησε θυγατέρας ἕξ, καὶ ταύταις ἴσους υἱούς· εἰσὶ δὲ τοῖς μὲν ἄρσεσι τὰ ὀνόματα Ἴοκαστος, Ξοῦθος, Φαλακρὸς [62], Χρύσιππος, Φερήμων καὶ Ἀνδροκλῆς· ταῖς δὲ παρθένοις Ἔφθη [63], Αἰόλη, Περίβοια, Δῖα, Ἀστυκράτεια [64] καὶ Ἡφαιστία.

Τὸ α μετὰ τοῦ κ.

Ἀκεσσαίου σελήνη [1]· ἐπὶ τῶν εἰς χρόνον ἀναβαλλομένων πρᾶξαί τι· ἦν δὲ κυβερνήτης, ὃς ῥᾴθυμος ὢν ἔλεγε διὰ παντὸς ἀναμένειν σελήνην, ἵνα ἐν φωτὶ ὁ πλοῦς αὐτῷ γένοιτο [2].

Ἄκαιρος [3] εὔνοια οὐδὲν ἔχθρας διαφέρει· Ἱππόλυτος εἶπε τοῦτο πρὸς τὴν Φαίδραν, λέγουσαν αὐτὸν [4] φιλεῖν ὑπὲρ ὅλους.

Ἀκλητὶ [5] κωμάζουσιν εἰς φίλους φίλοι· ὅμοιον αὐτῇ ἐστι τὸ, αὐτόματοι [6] δ' ἀγαθοὶ ἀγαθῶν ἐπὶ δαῖτα ἴασιν· ἐπὶ τῶν αὐτομάτως πορευομένων που.

Ἄκουε [7] τοῦ τέτταρα ὦτα ἔχοντος· αὐλητὴς ἦν, περὶ οὗ εἶπεν ἡ Πυθία τισὶν, ὡς παραφυλάττοιντο· οἱ δὲ ἀμελήσαντες ἀπώλοντο· ἔνιοι δὲ [8] ἐπὶ τοῦ πολλὰ εἰδότος ἢ ἀκούοντος· οἱ δὲ ἐπὶ τῶν ἀληθευόντων, ὡς ἐπὶ

61) Laur. *Τηλεπύραν.*
62) Codd. *Φαρακλὸς.*
63) Laur. *Ἴφθη.*
64) Apogr. Dresd. *Ἀστυακράτεια.* Macar. addit: *Αἰγύπτου γάμος, ἐπὶ τῶν ἀλυσιτελῶς γαμούντων· Αἴγυπτον γὰρ καταλιπόντα τὴν γαμετὴν δι' αἰσχρότητα, ὁ κηδευτὴς ἀνεῖλε Λαναός. Αἱ ἐν ᾅδου τριακάδες· ἐπὶ τῶν περιέργων καὶ τὰ ἀποκεκρυμμένα γινώσκειν ἐθελόντων· ἡ τριακὰς δὲ μυστήρια τῆς Ἑκάτης.*

1) Apost. Cent. II. 19.
2) Laur. *γένηται.* supra lin. *γένοιτο.*
3) Apost. Cent. II. 20. Macar. *ταῦτα Ἱππόλυτόν φασιν εἰπεῖν διὰ τὴν Φαίδραν.*
4) Laur. *αὐτῷ.*
5) Apost. Cent. II. 21. Macar. *ἀκλ. κωμ. εἰς φίλων φίλοι, ὅμοιον τῇ· αὐτόματοι δ' ἀγαθοὶ ἀγ. ἐπὶ δαῖτας ἴασιν.*
6) *αὐτόματοι δ'* Codd. om. De hoc prov. vide Plat. Symp. p. 174. B.
7) Apost. Cent. II. 22.
8) Laur. *μὲν.*

τοῦ Ἀπόλλωνος, ὃν τετράχειρον [9] καὶ τετράωπον καλοῦσιν.

Ἀκεσίας ἰάσαιτο [10]· ἐπὶ τῶν ἐπὶ χεῖρον ἰωμένων· καὶ Ἀριστοφάνης· Ἀκεσίας τὸν πρωκτὸν ἰάσατο.

Ἀκρὶς [11] δυσκίνητος χλωρά· ταύτης ταῖς κινήσεσιν οἱ ἀγροῖκοι προστρέχουσι, καὶ μαντείας ἐξ αὐτῶν ποιοῦνται· τίθεται οὖν ἐπὶ τῶν φαύλως μαντευομένων.

Ἄκις ποταμὸς [12]· ἐπὶ τῶν ἄγαν ψυχρῶν· ψυχρὸς γάρ ἐστιν οὗτος.

Ἄκρον [13] λαβὲ καὶ μέσον ἕξεις· οἱ τὴν Αἴγιναν οἰκοῦντες ἐκπεσόντες αὐτῆς, διὰ πόλεμον, ἐχρήσαντο τῷ θεῷ· ὁ δὲ τὸν χρησμὸν τοῦτον εἶπε, καὶ συμβαλόντες ἀκρωτήριόν τι κατασχόντες κατὰ μέσον ᾤκησαν· λέγεται δὲ ἐπὶ τῶν δυσνοήτων.

Ἀκεσαίου [14] καὶ Ἑλικῶνος ἔργα· ἐπὶ τῶν θαύματος ἀξίων· οὗτοι γὰρ πρῶτοι τὸν τῆς Ἀθηνᾶς πέπλον ἐδημιούργησαν.

Ἀκαδημίηθεν [15] ἥκεις· ἤτοι σοφὸς καὶ σπουδαῖος ὑπάρχεις. Ἀκαδημία δὲ ἦν γυμνάσιον ἐν Ἀθήναις ἀλ-

9) Laur. τετράχειρα.

10) Apost. Cent. II. 23. Hunc locum non potui reperire in Aristophane. Matth. nec ego. Ab eodem verbo ἀκεῖσθαι medici nomen Ἀκεστῖνος finxit Heliodor. IV. 7. ubi Coray p. 143.

11) Apost. Cent. II. 24.

12) Apost. Cent. II. 25.

13) Apost. Cent. II. 26. In sqq. Laur. mutat ordinem. ἀκούσατε νέοι. Ἀκεσαίου καὶ Ἑλικῶνος. ἄκων δ' ἁμαρτών. ἄκουε τὰ ἀπὸ καρδίας. ἀκάνθιος τέττιξ. ἀκαδημίηθεν ἥκεις. ἀκέφαλος μῦθος. ἀκίνητα κινεῖς. ἄκισσος μετ' ἀνθεστήρια. ἄκρῳ ἅψασθαι δακτύλῳ. ἄκμων μέγιστος. ἄκων μὲν ὡς Ζεύς. ἀκόνην σιτίζεις.

14) Apost. Cent. II. 27. Consentit Macar. nisi quod εἰργάσαντο habet pro ἐδημιούργησαν.

15) Apost. Cent. II. 31. Cfr. Synes. ep. LIV. ὀνήσομαι δὲ οὐ μόνον τοῦτο τῆς ἐπὶ τὰς Ἀθήνας ὁδοῦ, τὸ τῶν παρόντων ἀπηλλάχθαι κακῶν, ἀλλὰ καὶ τὸ μηκέτι τοὺς ἐκεῖθεν ἥκοντας ἐπὶ λόγοις προσκυνεῖν, οἳ μηδὲν ἡμῶν τῶν θνητῶν διαφέρουσιν· οὔκουν εἰς σύνεσίν γε τῶν Ἀριστοτέλους καὶ Πλάτωνος· ἀναστρέφονται δὲ ἐν ἡμῖν, ὥσπερ ἐν ἡμιόνοις ἡμίθεοι, διότι τεθέανται τὴν Ἀκαδημίαν τε καὶ τὸ Λύκειον, καὶ τὴν ἐν ᾗ Ζήνων ἐφιλοσόφει Ποικίλην, νῦν οὐκέτ' οὖσαν ποικίλην· ὃ γὰρ ἀνθύπα-

σῶδες [16], ἐν ᾧ διέτριβε Πλάτων, ἀπὸ Ἀκαδήμου τινὸς ἥρωος, πρότερον δὲ Ἀκαδημία ἐκαλεῖτο· ὡς καὶ Ἀριστοφάνης [17], ἔτι δὲ καὶ Ἀρποκρατίων· Ἀκαδημία [18]· τρία ὑπῆρχον γυμνάσια, Λύκιον, Κυνόσαργες, Ἀκαδημία, ἐκλήθη δὲ ἀπὸ τοῦ καθιερώσαντος αὐτὴν Ἀκαδημοῦ.

Ἀκέφαλος [19] μῦθος· ἐπὶ τῶν ἀτελῆ λεγόντων· Πλάτων· ἀκέφαλον καταλίποιμι [20] μῦθον.

Ἀκίνητα κινεῖς [21]· ἐπὶ τῶν λίαν παράνομα πραττόντων, ὅτι οὐ δεῖ κινεῖν τύμβους, μὴ τάφους, μὴ ὀροφήν.

Ἄκισσος [22] μετ' ἀνθεστήρια· ἐπὶ τῶν βραδέων.

Ἀκόνην [23] σιτίζεις, ἐπὶ τῶν τροφῇ πολλῇ χρωμένων, μηδὲν δὲ εἰς σῶμα ἐπιδιδόντων. ἄλλοι δὲ ἐπὶ τῶν ἀδυνάτων.

Ἄκουε [24] τὰ ἀπὸ καρδίας· ἐπὶ τῶν ἀπαρακαλύπτως ἃ φρονοῦσι διεξιόντων.

Ἀκάνθιος τέττιξ [25]· ἐπὶ τῶν ἀφώνων καὶ ἀμούσων τὰς σανίδας ὑφείλετο. Ἔπειτα ἐκώλυσεν αὐτοὺς ἐπὶ σοφίᾳ μεῖζον φρονεῖν.

16) Plut. Cim. c. 15. τὴν δ' Ἀκαδημίαν ἐξ ἀνύδρου καὶ αὐχμηρᾶς κατάρρυτον ἀποδείξας ἄλσος, ἡσκημένον ὑπ' αὐτοῦ δρόμοις καθαροῖς καὶ συσκίοις περιπάτοις.

17) Aristoph. Nub. 1001. vide Schol. Matth.

18) Codd. Ἀκαδήμια τρία. Matth. scribendum censet: Ἀκαδημία· τρία ὑπῆρχον κ. τ. λ. ita enim apud Harpocrat. p. 7. legitur.

19) Apost. Cent. II. 32. Macar. ἐπὶ τῶν ἀτελῆ λεγόντων. Lucian. Scyth. c. 8. βούλεσθε οὖν ἤδη ἐπαγάγω τῷ μύθῳ τὸ τέλος, ὡς μὴ ἀκέφαλος περιστοίη.

20) Apogr. Dresd. καταλίπομαι ex legg. VI. p. 752. a. Cfr. Heind. ad Gorg. p. 505. d.

21) Apost. Cent. II. 53. Macar. καθ' ὑπερβολήν· ὅτι οὐ δεῖ τὰ ὁρισθέντα παραβαίνειν.

22) Apost. Cent. II. 54. ἄκισσός. Intactam reliqui Codicum lectionem.

23) Apost. Cent. II. 58. Macar. ἐπὶ τῶν τροφῇ μὲν π. χρ. μ. δὲ εἰς σ. ἐπιδιδόντων.

24) Apost. Cent. II. 29. Macar. ἐπὶ τῶν, ἃ φρονοῦσι διεξιόντων. Apogr. Dresd. ἃ φρονοῦσι contraxit in ἀφρονοῦσι.

25) Apost. Cent. II. 30.

σων· οὐκ ᾄδουσι γὰρ οἱ ἐκεῖσε τέττιγες, ὡς καὶ τὸ βάτραχος Σερίφιος.

Ἀκούσατε νέοι γέροντος, οὗ νέου γέροντες ἤκουον.

Ἄκρῳ [26] ἅψασθαι δακτύλῳ· ἐπὶ τῶν οὐκ ἀκριβῶς ἠσκημένων.

Ἄκμων [27] μέγιστος οὐ φοβεῖται τοὺς ψόφους,
Καὶ νοῦς ἐχέφρων πᾶσαν ἕλκουσαν βίαν.

Ἄκων μὲν [28] ὡς Ζεὺς οἶδεν· ἐπὶ τῶν ἀκόντων [29] ὑπισχνουμένων τι. ὡς καὶ τὸ, ἑκὼν ἀέκοντί γε θυμῷ.

Ἄκων δ' ἁμαρτὼν οὔτις ἀνθρώπων κακός [30].

Τὸ α̅ μετὰ τοῦ λ̅.

Ἄλας [1] ἄγων καθεύδεις· ἐπὶ τῶν ἐν μεγάλῳ κινδύνῳ καθευδόντων καὶ ὑφιστωνευομένων· ἐμπόρου γάρ τινος τὴν ναῦν ἁλῶν πληρώσαντος, εἶτα καθεύδοντος, τὴν ἀντλίαν ἐπαναβῆναι καὶ ἐκτῆξαι τοὺς ἅλας. Ὁ δὲ Διογενιανὸς οὕτω φράζει τήνδε τὴν παροιμίαν· ἁλῶν δὲ φόρτος, ἔνθεν ἦλθεν, ἔνθ' ἔβη. Ἔμπορός γάρ τις ἅλας ἄγων καὶ ἀποκαθευδήσας ἀπώλεσεν αὐτοὺς [2], τῆς ἀντλίας ἐπαναβάσης· λέγεται οὖν ἐπὶ τῶν, ἅπερ προσεπόρισαν, ἀπολλύντων.

26) Apost. Cent. II. 55. Macar. ἐπὶ τῶν οὐκ ἀκριβῶς τι ἠσκημένων (sic). Lucian. quomod. Hist. conscr. c. 4. ἄκρῳ γε τῷ δακτύλῳ τοῦ πηλοῦ προσαψάμενος.

27) Apost. Cent. II. 56.

28) Apost. Cent. II. 57.

29) Codd. ἀκόντων. imo ἀκόντως. Matth.

30) Laur. addit: Σοφοκλέους ἡ γνώμη. Macar. addit: Ἀκαρπότερος Ἀδώνιδος κήπου· ἐπὶ τῶν μηδὲν γενναῖον τεκεῖν δυναμένων.

Ἀκαρπότερος ἀγρίππου· ἐπὶ τῶν πάνυ πενομένων· Λάκωνες γὰρ τὴν ἀγρίαν ἐλαίαν ἄγριππον καλοῦσιν.

1) Apost. Cent. II. 39.

2) Apogr. Dresd. αὐτό.

Ἄλας [3] *καὶ τράπεζαν μὴ παραβαίνειν· δήλη ἡ παροιμία· φίλοι γὰρ ἐκ τούτου* [4] *γινόμεθα.*

Ἀληθέστερα [5] *τῶν ἐν Σάγρα· ἐπὶ τῶν ἀληθῶν, οὐ πιστευομένων δέ. Σάγρα τόπος τῆς Λοκρίδος· μέμνηται τῆς παροιμίας Μένανδρος ἐν ἀνατιθεμένῃ. Λοκροὺς δέ φασι τοὺς Ἐπιζεφυρίους, πόλεμον ἔχοντας πρὸς τοὺς πλησιοχώρους Κροτωνιάτας, αἰτῆσαι συμμαχίαν τοὺς Λακεδαιμονίους· τῶν δὲ στρατὸν μὲν* [6] *οὐκ ἔχειν φησάντων, διδόναι δὲ αὐτοῖς τοὺς Διοσκούρους, οἰωνισαμένους τὸ κερτομηθὲν, τήν τε ναῦν ἀποστρέψαι καὶ δεηθῆναι τῶν Διοσκόρων συμπλεῖν αὐτοῖς. Νικησάντων δὲ αὐθημερὸν καὶ τῆς φήμης διαγγελθείσης εἰς Σπάρτην, τὸ μὲν πρῶτον ἀπιστηθῆναι· ἐπεὶ δὲ εὑρέθη ἀληθῆ, ἐπιλέγειν τοῖς ἀληθεστάτοις μὲν, οὐ πιστευομένοις δέ.*

Ἀλεκτρυὼν ἐπιπηδᾷ [7]*· ἐπὶ τῶν ἀγενῶς* [8] *ἀναμαχομένων* [9] *τὴν ἧτταν· οἱ ἀλεκτρυόνες ὑπεράγαν οὐκ ᾄδουσιν ἐν τοῖς ὑγροῖς χωρίοις, καὶ ἔνθα νοτιώτερός ἐστιν ὁ ἀὴρ· ψυχροὶ δὲ ἅρα ὄντες τὴν σύγκρασιν οἱ τέττιγες, εἶτα μέντοι πυρουμένου τοῦ ἡλίου ᾄδουσιν· ἀλεκτρυόνες γε μὴν καὶ ὄρνιθες οἱ ἐθάδες πτερυσσόμενοι καὶ φρυατ-*

3) Apost. Cent. II. 41. Macar. *τὴν Θέμιν φασὶ χρηστηριάζουσαν παραινεῖν· ὅτι τοῖς κοινωνήσασι τούτων φίλοις χρῆσθαι δεῖ.* Archiloch. Fragm. LXXXIX. ed. Liebel:

Ὅρκον δ' ἐνοσφίσθης μέγαν,
Ἄλας τε καὶ τράπεζαν,

cum nota editoris, cfr. Lobek. Aglaoph. I. p. 85. Plut. Sympos. V. Quaest. X. *ἐζήτει Φλῶρος, ἑστιωμένων ἡμῶν παρ' αὐτῷ, τίνες ἂν εἶεν οἱ περὶ ἅλα καὶ κύμινον ἐν τῇ παροιμίᾳ λεγόμενοι. καὶ τοῦτο μὲν ἐκ προχείρου διέλυσεν Ἀπολλοφάνης ὁ γραμματικὸς· οἱ γὰρ οὕτω συνήθεις (ἔφη) τῶν φίλων, ὥστε καὶ πρὸς ἅλα δειπνεῖν καὶ κύμινον, ὑπὸ τῆς παροιμίας προβάλλονται.*

4) Laur. *τούτων.*

5) Apost. Cent. II. 42. Macar. *εἰς τὸν ἐπὶ Ἰταλίαν ποταμὸν Σάγραν νικησάντων μάχῃ Λακεδαιμονίων, αὐθημερὸν ἡ φήμη κατέλαβε τὴν Σπάρτην.* Cfr. Menander ed. Meineke p. 17.

6) *μὲν* Mosc. om.

7) Apost. Cent. II. 43.

8) Codd. *ἀγενῶς.* | Apost. *εὐγενῶς.*

9) *ἀναμάχεσθαι τὴν ἧτταν* est pugnam redintegrare, ita ut clades accepta resarciatur. Spanh. ad Julian. Or. I. p. 24. C. Wyttenb. ad p. 17. D.

ιόμενοι καὶ ὑποτρύζοντες χειμῶνα δηλοῦσι· πετόμενοι δὲ ὄρνιθες εἰς ἀλλήλους καὶ δι' ἀλλήλων θέοντες, χειμῶνα ἐσόμενον οὐκ ἀγνοοῦσιν [10].

Ἄλευ [11] ἀπὸ μείζονος ἀνδρός· ἀντὶ τοῦ ὑποχώρει τοῖς κρείττοσιν.

Ἀληλεσμένος [12] βίος καὶ μεμαγμένος· ἐπὶ τῶν ἐν ἀφθονίᾳ τῶν ἐπιτηδείων ὄντων ἢ ἐπὶ τοῦ προχείρου καὶ ἑτοίμου· ὁμοία τῇ, Ἄσπαρτα καὶ ἀνήροτα.

Ἄλλην [13] δρῦν βαλάνιζε· ἐπὶ τῶν ἐνδελεχῶς αἰτούντων τι· ἢ παρὰ τῶν αὐτῶν ἀεὶ δανειζομένων· οἱ παλαιοὶ γὰρ βαλάνοις ἔζων, πρὸς οὓς τοὺς περισκοποῦντας τὰς δρῦς, εἴτε πλήρεις εἶεν, εἴτε κεναὶ, ἄλλην δρῦν βαλάνιζε, ἔλεγον.

Ἁλμυρὰν [14] ἀκοὴν ἀπεκλύσατο ποτίμῳ λύ-

10) Laur. in sqq. mutat proverbiorum ordinem: ἁλμυρὰν ἀκοήν. ἄλλο γένος κώπης. ἀληισμένος βίος. ἄλλην δρῦν βαλάνιζε. ἁλωτὰ γίγνεται. ἀλώπηξ δωροδοκεῖται. ἅλμη οὐκ ἔστιν ἁλιτήριος εἶ. ἁλκυονίτιδας ἡμέρας. ἀλώπηξ τὸν βοῦν ἐλαύνει. ἁλιεὺς πληγείς. ἁλμυρὸν γειτόνημα. ἄλλοι μὲν σπείρουσι. ἄλλοτε μητρυιή. ἁλιεὺς ὤν. ἄλλων ἰατρός. ἁλώνητον ἀνδράποδον. ἁλῶν μέδιμνον. ἄλλοι κάμον, ἄλλοι. ἀλωπεκίζειν πρὸς ἑτέραν ἀλώπεκα. ἄλλως ᾄδεις. ἄλλως ἀναλίσκεις ὕδωρ. ἄλλο γλαὺξ, ἄλλο κορώνη. ἀληθομυθεύειν χρέων. ἄλλην μὲν ἐξαιτιοῦμεν. ἀλλότρια βάλλειν. ἀεὶ διαμηχθείς. ἄλλα μὲν Λεύκων, ἀλλὰ δὲ Λεύκωνος ὄνος. ἄλλοισι μὲν γλῶσσα, ἄλλοισι δὲ γύμνοι. ἀλλότριον ἀμᾶς θέρος. Ἁλκήστιδος ἀνδρεία. ἄλλοτε δ' ἀλλοῖον τελέθειν. ἄλλος οὗτος Ἡρακλῆς. ἅλα καὶ κύαμον. ἅλις δρυός. ἄλλος βίος, ἄλλη δίαιτα. ἀλλ' οὐδὲν δεῖ περὶ τὸν βωμόν. ἀλλ' οὐκ αὖθις ἀλώπηξ. ἄλλα μὲν Λεύκωνος ὄνος φέρει, ἄλλα δὲ Λεύκων. ἄλλο γένος κώπης. ἄλλη τορέλλη. ἀλλότρια βάλλειν. ἄλλως ἀναλίσκεις ὕδωρ. ἀλλ' οὐ λαχοῦσ' ἔπινες. Jam vero in posterum divergentem Cod. Laurentiani ordinem adscribere supersedebo, cum ad rem nihil faciat.

11) Inverso verborum ordine in ἀπὸ μείζονος ἀνδρὸς ἄλευ Arsen. et Apost. idem infra receperunt: nostrum ordinem habet Diogen. Cent. II. 56.

12) Apost. Cent. II. 46. Macar. ἀληλεσμένον βίον καὶ μεμαγμένον βίον· ἐπὶ τοῦ ἑτοίμου καὶ προχείρου καὶ ἀκόπου.

13) Apost. Cent. II. 47. Macar. ἐπὶ τῶν ἐνδελεχῶς αἰτούντων.

14) Apost. Cent. II. 44. Memini me legere hoc et apud Platonem et apud Hermogenem in rhetoricis, sed neutrum locum poteram invenire. Idem proverbium paullo inferius lau-

γῳ· ἐπὶ τῶν ἀπό τινος φαύλου εἰς καλόν τι μεταχλιναντων.

Ἄλλο [15] γένος κώπης· ἐπὶ τῶν περὶ τὸ ἦθος ἐνηλλαγμένων.

Ἀλωτὰ γίνετ' ἐπιμελείᾳ καὶ πόνῳ ἅπαντα· Μενάνδρου [16] ἡ γνώμη.

Ἀλιτήριος [17] εἶ· ἐπὶ τοῦ μετὰ βίας τι ποιοῦντος ἀπὸ σιτοδείας. Λιμὸς κατέλαβέ ποτε τοὺς Ἀθηναίους· ἥρταζον οὖν τινες ἁλώμενα [18] τὰ ἄλευρα· ἀπὸ γοῦν ἐκείνων καταχρηστικῶς τοὺς πονηροὺς ἁλιτηρίους ἐκάλουν· ὁ δὲ λιμὸς ἐγένετο ἀπὸ τοῦ Λιτωλικοῦ πολέμου.

Ἀλκυονίτιδας [19] ἡμέρας ἄγεις· ἐπὶ τῶν ἀταράχων καὶ ἀνεπηρεάστων [20]· περὶ τοῦ ἀριθμοῦ διαφέρονται· Σιμωνίδης γὰρ ἐν πεντάθλοις ἕνδεκά φησιν αὐτὰς καὶ Ἀριστοτέλης ἐν τοῖς περὶ ζώων· Δημαγόρας ἑπτά· Φιλόχορος [21] ἐννέα· τὸν δ' ἐπ' αὐταῖς μῦθον Ἡγήσανδρος ἐν τοῖς περὶ ὑπομνημάτων λέγει οὕτως· Ἀλκυονέως τοῦ γίγαντος θυγατέρες ἦσαν Φωσθονία, Ἄνθη, Μεθώνη, Ἀλκίππη, Παλλήνη [22], Δριμώ, Ἀστερίη· αὗται μετὰ τὴν τοῦ πατρὸς τελευτὴν ἀπὸ Καναστραίου, ὅ ἐστιν ἄκρον τῆς Παλλήνης, ἔρριψαν αὑτὰς εἰς τὴν θάλασσαν Ἀμφιτρίτη δ' αὐτὰς ὄρνιθας ἐποίησε, καὶ ἀπὸ τοῦ πα-

datur. Matth. Locus Platonis est in Phaedro p. 343. C. ἐπιθυμῷ ποτίμῳ λόγῳ οἷον ἁλμυρὰν ἀκοὴν ἀποκλύσασθαι. Eundem locum respicit Hermog. περὶ δεινότητος p. 150. ed. Ald. καὶ Πλάτων· οἷον ἁλμυρὰν ἀκοὴν ἀποκλύσασθαι ποτίμῳ λόγῳ. Plures, qui hanc phrasin expresserunt, enumerat Wyttenb. epist. crit. p. 55. 56. coll. ad Plut. p. 151. D.

15) Apost. Cent. II. 45. Eodem modo Laur. bis profer hoc prov.

16) p. 52. ed. Mein.

17) Apost. Cent. II. 50.

18) Apogr. Dresd. ἁλούμενι

19) Apost. Cent. II. 51. Aristoph. Av. 1594.

Ἀλκυονίδας τ' ἄν ἤγεθ' ἡμέρας ἀεί.

20) Apogr. Dresd. ἀνεπιρεάστων.

21) Apogr. Dresd. φιλόχωρο

22) Apogr. Dresd. Παλήνη mox ἄκρον τῆς Παλήνης.

τρὸς Ἀλκυόνες ἐκλήθησαν· αἱ δὲ νήνεμοι καὶ γαλήνην ἔχουσαι ἡμέραι Ἀλκυονίτιδες καλοῦνται.

Ἁλιεὺς [23] πληγεὶς νοῦν οἴσει· ἐπὶ τῶν μετὰ πεῖραν εἰς γνῶσιν ἐλθόντων· ὥσπερ καὶ ὁ πληγεὶς ἁλιεὺς εὐκόλως μετὰ τὴν τρῶσιν τοὺς ἰχθύας ματαχειρίζεται.

Ἁλιεὺς [24] ὢν, εἶτα τραγῳδοὺς ἐμισθώσω· ἐπὶ τῶν μὴ προσήκοντα ἑαυτοῖς δρώντων, ἀλλ' ἀνόμοια [25].

Ἅλμη [26] οὐκ ἔστιν ἐν αὐτῷ· ἐπὶ τοῦ ἀηδοῦς καὶ ἀναρτύτου.

Ἀληθομυθέειν χρεὼν, ὕπου λώϊον· Δημοκρίτου ἡ ὑποθήκη.

Ἄλλην [27] μὲν ἐξηντλοῦμεν, ἡ δ' ἐπιῤῥέει· ἐπὶ τῶν μάτην πονούντων.

Ἄλλα [28] μὲν Λεύκων, ἄλλα δὲ Λεύκωνος ὄνος φέρει· ἐπὶ τῶν ἐχόντων τοὺς λόγους ἀσυμφώνους τοῖς ἔργοις· Λεύκων γάῤ τις γεωργὸς, μέλιτος ἀσκοὺς εἰς φορμὸν ἐμβαλὼν ἐκόμιζεν εἰς Ἀθήνας· κριθὰς τοῖς φορμοῖς ἐπιβαλὼν, ὡς ὀλίγον εἰσπραχθησόμενος τέλος· τοῦ δὲ ὄνου πεσόντος, οἱ τελῶναι βοηθῆσαι βουλόμενοι, ἔγνωσαν ὅτι μέλι ἐστίν.

Ἄλα καὶ κύαμον [29]· ἐπὶ τῶν εἰδέναι μὲν προσποιουμένων, οὐκ εἰδότων δέ· οἱ γὰῤ μάντεις ἅλα καὶ κύαμον τιθέασιν, ὅθεν καὶ τοὺς ἀποῤῥήτων κοινωνοῦντας τοὺς περὶ ἅλα καὶ κύαμον ἔλεγον.

Ἅλις δρυός [30]· ἐπὶ τῶν εἴς τινα δίαιταν βελτίονα

23) Apost. Cent. II. 55.

24) Apost. Cent. II. 57.

25) Ἀνόμοια ea, quae cum moribus ipsorum non congruunt. Cfr. Lob. ad Soph. Aj. 1353.

26) Ap. C. II. 49. Mac. ἅλμη οὐκ ἔνεστιν αὐτῷ· ἐπὶ τῶν ἀηδῶν.

27) Apost. Cent. II. 65.

28) Apost. Cent. II. 68. In Laurent. bis: ἄλλα μὲν Λεύκων, ἄλλα δὲ Λεύκωνος ὄνος φέρει· ἐπὶ τῶν ἀσυμφώρους τοὺς λόγους τοῖς ἔργοις παρεχομένων. deinde: ἄλλα μὲν Λεύκωνος ὄνος φέρει, ἄλλα δὲ Λεύκων· ubi post ἔργοις παρεχομένων eadem, quam Mosc. offert, explicatio sequitur.

29) Apost. Cent. II. 75.

30) Apost. Cent. II. 76. Macar. ἐπὶ τῶν αἰσχρῶς μέν τι καὶ ἀηδῶς ἐσθιόντων, ἕτερον δὲ βέλτιον εὑρόντων.

εἶτα σὺ [50] μέντοι, σὺ ἐκεῖνος, ὢν, καὶ γὰρ καὶ τὸν ὄρνιν ἐγνώρισε, τοιαύτας ἀποδίδως τοῖς σωτῆρσι τὰς χάριτας; ἀλλὰ πῶς ἂν καὶ ἄλλος σπουδὴν κατάθοιτο εἴς τινα, αἰδοῖ Διὸς, χαρίτων ἐφόρου τε καί ἐπόπτου; καὶ τῷ μὲν ταῦτα εἴρητο· ὁρᾷ δὲ ἐπιστραφεὶς τοὺς πιόντας ἀσπαίροντάς τε καὶ ἀποθνήσκοντας· ἦν δὲ ἄρα ὡς συμβαλεῖν ἐμπεκὼς ἐς τὴν πηγὴν ὁ ὄφις καὶ κεράσας αὐτὴν τῷ ἰῷ· οὕτως ὁ ἀετὸς τῷ σώσαντι ἀμοιβῇ τῆς ἰσοτίμου σωτηρίας ἀπέδωκε τὸν μισθόν.

Τὸν [51] δὲ χρυσάετον, ὡς δ' ἄλλοι φασὶν ἀστερίαν, οὐ μόνον νεβροῖς, ἀλλὰ καὶ ταύροις ἐπιτίθεσθαι [52] κατὰ τὸ καρτερόν· ὁ μὲν γὰρ κεκυφὼς κάτω νέμεται ὁ ταῦρος· ὁ δὲ ἀετὸς ἐπὶ τῷ [53] τένοντι τοῦ ζώου καθίσας ἑαυτὸν παίει τῷ στόματι συνεχέσι καὶ καρτερικαῖς ταῖς πληγαῖς· ὁ δὲ ὥσπερ οἰστρηθεὶς ἐξάλλεται [54], καὶ ᾗ ποδῶν ἔχει φυγῆς ἄρχεται, καὶ ἕως μὲν ἐνήλαται ὁ ἀετὸς ἥσυχός ἐστι καὶ ἐπιποτᾶται παραφυλάττων· ὅταν δὲ τὸν ταῦρον θεάσηται πλησίον κρημνοῦ γενόμενον κυκλώσας τὰ πτερὰ καὶ ὑπερτείνας αὐτοῦ τῶν ὀφθαλμῶν ἐποίησε τὰ ἐν ποσὶ μὴ προϊδόμενον κατενεχθῆναι βιαιότατα· εἶτα ἐμπεσὼν καὶ ἀναῤῥήξας τὴν γαστέρα ῥᾳδίως χρῆται τῇ ἄγρᾳ, εἰς ὅσον ἐθέλει· θήρας δὲ ἀλλοτρίας οὐχ ἅπτεται κειμένης, ἀλλὰ χαίρει τοῖς ἑαυτοῦ πόνοις, κοινωνίαν τε τὴν πρὸς ἄλλον ἥκιστα ἐνδέχεται· κορεσθεὶς δὲ εἶτα τοῦ λοιποῦ πονηρὸν ἄσθμα καὶ δυσωδέστατον καταπνεύσας, ἄβρωτα τοῖς ἄλλοις τὰ λείψανα ἐᾷ, καὶ μέντοι ἀλλήλων ἀπωκισμένας οἰκοῦσι καλιὰς, ὑπὲρ τοῦ μὴ διαφθείρεσθαι ὑπὸ θήρας καὶ λιπουμένους λυπεῖν· ζηλοτυπώτατος δέ ἐστιν ὁ ἀετὸς

50) σὺ ex Laur. adjeci.

51) Ex Aeliano Hist. Anim. II. 39. Matth.

52) Mosc. et Laur. ἐπιτίθεται. Apost. ἐπιτίθεσθαι. Frequens harum terminationum permutatio. cfr. Jacobs ad Philostr. Icon. p. 219. 641. Lectt Stob. p. 44.

53) τῷ Mosc. om.

54) Laur. ἐξάπτεται.

πρὸς τὰ νεόττια· ἐὰν γοῦν θεάσηταί τινα πρυσιόντα, παίει τοῖς πτεροῖς αὐτὸν καὶ τοῖς ὄνυξι λυμαίνεται.

Αἴθεις [55] *ἐν πέπλῳ καὶ αἴθων πέπλος*· ἐπὶ τῶν στάσεις ἐγειρόντων καὶ ὑπεκκαιόντων· ἡ γὰρ Δηϊάνειρα πέπλον ἔπεμψεν Ἡρακλεῖ, ὑφ' οὗ ἐκαύθη.

Αἱ χάριτες γυμναί [56]· ὅτι δεῖ τὴν δωρεὰν ἀφειδῶς ἢ ἀκενοδόξως χαρίζεσθαί.

Αἱ [57] *χάριτες οὐκ ἐν οὐρανῷ*· συνυπακούεται τό· κἂν τῇ γῇ· λέγεται ἐπὶ τῶν ἄγαν εὐεργετούντων.

Αἱ χάριτες τρεῖς· Ἀγλαΐα, Εὐφροσύνη καὶ Εὐτέρπη.

Αἰτναῖος κάνθαρος [58]· ἐπὶ τῶν μεγάλων τῷ σώματι.

Ἄϊδος κυνῆ [59]· ἐπὶ τῶν κρυπτόντων ἑαυτοὺς διά τινων μηχανημάτων· ταύτῃ Περσεὺς χρησάμενος τὴν Γοργὼ ἐδειροτόμησεν.

Αἴολος [60] *ἀνὴρ εἰς βόθρον ἐμπεσεῖται*· ἤτοι ὁ πανοῦργος καὶ πονηρός· αἴολος δὲ σημαίνει τρία, τὸν πονηρὸν, ὡς ἐνταῦθα· τὸν ποικίλον, ὡς παρ' Ὁμήρῳ, κορυθαίολος Ἕκτωρ, καὶ ὄνομα κύριον, ὅστις ἦν ἀνὴρ εὐστοχώτατος τὰ περὶ ἀνέμους· κἀντεῦθεν καὶ θεὸς τῶν

55) Apost. Cent. II. 9. Pro αἴθων Apogr. Dresd. αἰθης et Δηϊάνειρα.

56) Apost. Cent. II. 11.

57) Apost. Cent. II. 10. Hoc et sq. deest in Laur.

58) Apost. Cent. II. 7. Aristoph. Pac. 73.

Εἰσήγαγ' Αἰτναῖον μέγιστον κάνθαρον,

eodem modo dicitur *Αἰτναῖος ἵππος* apud Sophoclem Oed. Col.

59) Apost. Cent. II. 8. Macar. post *μηχανημάτων* pergit: *τοιαύτη γὰρ ἡ τοῦ ᾅδου κυνῆ, ἣ γε χρησάμενος ὁ Περσεὺς τὴν Γοργόνα ἐδειροτόμησεν.* Aristoph. Ach. 386.

Λαβὲ δ' ἐμοῦ γ' ἕνεκα
Παρ' Ἱερονύμου
Σκυτοδασυπυκνότριχά τιν' Ἄϊδος κυνῆν,
Εἶτ' ἐξόνοιγε μηχανὰς τὰς Σισύφου.

Luc. bis accus. c. 21. *εἰ γοῦν τις αὐτοῖς τὸν τοῦ Γύγου δακτύλιον ἔδωκεν ὡς περιθεμένους μὴ ὁρᾶσθαι, ἢ τὴν τοῦ Ἄϊδος κυνέην*, etc. Eustath. Opusc. p. 301. l. 93. *τὴν νύκτα ὡσεὶ καὶ Ἄϊδου κυνέην εἰς ἐπίκρυψιν ἀμφιβεβλημένοι.*

60) Apost. Cent. II. 12.

ἀνέμων ὑπείληπται· οὗτος Τηλεπώραν [61] γῆμας τὴν Λαιστρυγόνα, ἐγέννησε θυγατέρας ἓξ, καὶ ταύταις ἴσους υἱούς· εἰσὶ δὲ τοῖς μὲν ἄρσεσι τὰ ὀνόματα Ἴοκαστος, Ξοῦθος, Φαλακρὸς [62], Χρύσιππος, Φερήμων καὶ Ἀνδροκλῆς· ταῖς δὲ παρθένοις Ἔφθη [63], Αἰόλη, Περίβοια, Δῖα, Ἀστυκράτεια [64] καὶ Ἡφαιστία.

Τὸ ᾱ μετὰ τοῦ κ̄.

Ἀκεσσαίου σελήνη [1]· ἐπὶ τῶν εἰς χρόνον ἀναβαλλομένων πρᾶξαί τι· ἦν δὲ κυβερνήτης, ὃς ῥᾴθυμος ὢν ἔλεγε διὰ παντὸς ἀναμένειν σελήνην, ἵνα ἐν φωτὶ ὁ πλοῦς αὐτῷ γένοιτο [2].

Ἄκαιρος [3] εὔνοια οὐδὲν ἔχθρας διαφέρει· Ἱππόλυτος εἶπε τοῦτο πρὸς τὴν Φαίδραν, λέγουσαν αὐτὸν [4] φιλεῖν ὑπὲρ ὅλους.

Ἀκλητὶ [5] κωμάζουσιν εἰς φίλους φίλοι· ὅμοιον αὐτῇ ἐστι τὸ, αὐτόματοι [6] δ' ἀγαθοὶ ἀγαθῶν ἐπὶ δαῖτα ἴασιν· ἐπὶ τῶν αὐτομάτως πορευομένων που.

Ἄκουε [7] τοῦ τέτταρα ὦτα ἔχοντος· αὐλητὴς ἦν, περὶ οὗ εἶπεν ἡ Πυθία τισὶν, ὡς παραφυλάττοιντο· οἱ δὲ ἀμελήσαντες ἀπώλοντο· ἔνιοι δὲ [8] ἐπὶ τοῦ πολλὰ εἰδότος ἢ ἀκούοντος· οἱ δὲ ἐπὶ τῶν ἀληθευόντων, ὡς ἐπὶ

61) Laur. *Τηλεπύραν.*
62) Codd. *Φαρακλὸς.*
63) Laur. *Ἴφθη.*
64) Apogr. Dresd. *Ἀστυακράτεια.* Macar. addit: *Αἰγύπτου γάμος, ἐπὶ τῶν ἀλυσιτελῶς γαμούντων· Αἴγυπτον γὰρ καταλιπόντα τὴν γαμετὴν δι' αἰσχρότητα, ὁ κηδευτὴς ἀνεῖλε Δαναός. Αἱ ἐν ᾅδου τριακάδες· ἐπὶ τῶν περιέργων καὶ τὰ ἀποκεκρυμμένα γινώσκειν ἐθελόντων· ἢ τριακὰς δὲ μυστήρια τῆς Ἑκάτης.*
1) Apost. Cent. II. 19.
2) Laur. *γέννηται.* supra lin. *γένοιτο.*
3) Apost. Cent. II. 20. Macar. *ταῦτα Ἱππόλυτόν φασιν εἰπεῖν διὰ τὴν Φαίδραν.*
4) Laur. *αὐτῷ.*
5) Apost. Cent. II. 21. Macar. *ἀκλ. κωμ. εἰς φίλων φίλοι, ὅμοιον τῇ· αὐτόματοι δ' ἀγαθοὶ ἀγ. ἐπὶ δαῖτας ἴασιν.*
6) *αὐτόματοι δ'* Codd. om. De hoc prov. vide Plat. Symp. p. 174. B.
7) Apost. Cent. II. 22.
8) Laur. *μὲν.*

τοῦ Ἀπόλλωνος, ὃν τετράχειρον [9] καὶ τετράωπον καλοῦσιν.

Ἀκεσίας ἰάσαιτο [10]· ἐπὶ τῶν ἐπὶ χεῖρον ἰωμένων· καὶ Ἀριστοφάνης· Ἀκεσίας τὸν πρωκτὸν ἰάσατο.

Ἀκρὶς [11] δυσκίνητος χλωρά· ταύτης ταῖς κινήσεσιν οἱ ἀγροῖκοι προστρέχουσι, καὶ μαντείας ἐξ αὐτῶν ποιοῦνται· τίθεται οὖν ἐπὶ τῶν φαύλως μαντευομένων.

Ἄκις ποταμὸς [12]· ἐπὶ τῶν ἄγαν ψυχρῶν· ψυχρὸς γάρ ἐστιν οὗτος.

Ἄκρον [13] λαβὲ καὶ μέσον ἔξεις· οἱ τὴν Αἴγιναν οἰκοῦντες ἐκπεσόντες αὐτῆς, διὰ πόλεμον, ἐχρήσαντο τῷ θεῷ· ὁ δὲ τὸν χρησμὸν τοῦτον εἶπε, καὶ συμβαλόντες ἀκρωτήριόν τι κατασχόντες κατὰ μέσον ᾤκησαν· λέγεται δὲ ἐπὶ τῶν δυσνοήτων.

Ἀκεσαίου [14] καὶ Ἑλικῶνος ἔργα· ἐπὶ τῶν θαύματος ἀξίων· οὗτοι γὰρ πρῶτοι τὸν τῆς Ἀθηνᾶς πέπλον ἐδημιούργησαν.

Ἀκαδημίηθεν [15] ἥκεις· ἤτοι σοφὸς καὶ σπουδαῖος ὑπάρχεις. Ἀκαδημία δὲ ἦν γυμνάσιον ἐν Ἀθήναις ἀλ-

9) Laur. τετράχειρα.

10) Apost. Cent. II. 23. Hunc locum non potui reperire in Aristophane. Matth. nec ego. Ab eodem verbo ἀκεῖσθαι medici nomen Ἀκεσᾶτῖνος finxit Heliodor. IV. 7. ubi Coray p. 143.

11) Apost. Cent. II. 24.

12) Apost. Cent. II. 25.

13) Apost. Cent. II. 26. In sqq. Laur. mutat ordinem. ἀκούσατε νέοι. Ἀκεσαίου καὶ Ἑλικῶνος. ἄκων δ' ἁμαρτών. ἄκουε τὰ ἀπὸ καρδίας. ἀκάνθιος τέττιξ. ἀκαδημίηθεν ἥκεις. ἀκέφαλος μῦθος. ἀκίνητα κινεῖς. ἄκισσος μετ' ἀνθεστήρια. ἄκρῳ ἅψασθαι δακτύλῳ. ἄκμων μέγιστος. ἄκων μὲν ὡς Ζεύς. ἀκόνην σιτίζεις.

14) Apost. Cent. II. 27. Consentit Macar. nisi quod εἰργάσαντο habet pro ἐδημιούργησαν.

15) Apost. Cent. II. 31. Cfr. Synes. ep. LIV. ὀνήσομαι δὲ οὐ μόνον τοῦτο τῆς ἐπὶ τὰς Ἀθήνας ὁδοῦ, τὸ τῶν παρόντων ἀπηλλάχθαι κακῶν, ἀλλὰ καὶ τὸ μηκέτι τοὺς ἐκεῖθεν ἥκοντας ἐπὶ λόγοις προσκυνεῖν, οἳ μηδὲν ἡμῶν τῶν θνητῶν διαφέρουσιν· οὔκουν εἰς σύνεσίν γε τῶν Ἀριστοτέλους καὶ Πλάτωνος· ἀναστρέφονται δὲ ἐν ἡμῖν, ὥσπερ ἐν ἡμιόνοις ἡμίθεοι, διότι τεθέανται τὴν Ἀκαδημίαν τε καὶ τὸ Λύκειον, καὶ τὴν ἐν ᾗ Ζήνων ἐφιλοσόφει Ποικίλην, νῦν οὐκέτ' οὖσαν ποικίλην· ὃ γὰρ ἀνθύπα-

σῶδες [16], ἐν ᾧ διέτριβε Πλάτων, ἀπὸ Ἀκαδήμου τινὸς ἥρωος, πρότερον δὲ Ἀκαδημία ἐκαλεῖτο· ὡς καὶ Ἀριστοφάνης [17], ἔτι δὲ καὶ Ἁρποκρατίων· Ἀκαδημία [18]· τρία ὑπῆρχον γυμνάσια, Λύκιον, Κυνόσαργες, Ἀκαδημία, ἐκλήθη δὲ ἀπὸ τοῦ καθιερώσαντος αὐτὴν Ἀκαδημοῦ.

Ἀκέφαλος [19] μῦθος· ἐπὶ τῶν ἀτελῆ λεγόντων· Πλάτων· ἀκέφαλον καταλίποιμι [20] μῦθον.

Ἀκίνητα κινεῖς [21]· ἐπὶ τῶν λίαν παράνομα πραττόντων, ὅτι οὐ δεῖ κινεῖν τύμβους, μὴ τάφους, μὴ ὀροφήν.

Ἄκισσος [22] μετ' ἀνθεστήρια· ἐπὶ τῶν βραδέων.

Ἀκόνην [23] σιτίζεις, ἐπὶ τῶν τροφῇ πολλῇ χρωμένων, μηδὲν δὲ εἰς σῶμα ἐπιδιδόντων. ἄλλοι δὲ ἐπὶ τῶν ἀδυνάτων.

Ἄκουε [24] τὰ ἀπὸ καρδίας· ἐπὶ τῶν ἀπαρακαλύπτως ἃ φρονοῦσι διεξιόντων.

Ἀκάνθιος τέττιξ [25]· ἐπὶ τῶν ἀφώνων καὶ ἀμούσων τὰς σανίδας ὤφειλετο. Ἔπειτα ἐκώλυσεν αὐτοὺς ἐπὶ σοφίᾳ μεῖζον φρονεῖν.

16) Plut. Cim. c. 13. τὴν δ' Ἀκαδημίαν ἐξ ἀνύδρου καὶ αὐχμηρᾶς κατάρρυτον ἀποδείξας ἄλσος, ἡσκημένον ὑπ' αὐτοῦ δρόμοις καθαροῖς καὶ συσκίοις περιπάτοις.

17) Aristoph. Nub. 1001. vide Schol. Matth.

18) Codd. Ἀκαδήμια τρία. Matth. scribendum censet: Ἀκαδημία· τρία ὑπῆρχον κ. τ. λ. ita enim apud Harpocrat. p. 7. legitur.

19) Apost. Cent. II. 32. Macar. ἐπὶ τῶν ἀτελῆ λεγόντων. Lucian. Scyth. c. 8. βούλεσθε οὖν ἤδη ἐπαγάγω τῷ μύθῳ τὸ τέλος, ὡς μὴ ἀκέφαλος περινοστοίη.

20) Apogr. Dresd. καταλίπομαι ex legg. VI. p. 752. a. Cfr. Heind. ad Gorg. p. 505. d.

21) Apost. Cent. II. 53. Macar. καθ' ὑπερβολήν· ὅτι οὐ δεῖ τὰ ὑρισθέντα παραβαίνειν.

22) Apost. Cent. II. 54. ἀκισσός. Intactam reliqui Codicum lectionem.

23) Apost. Cent. II. 58. Macar. ἐπὶ τῶν τροφῇ μὲν π. χρ. μ. δὲ εἰς σ. ἐπιδιδόντων.

24) Apost. Cent. II. 29. Macar. ἐπὶ τῶν, ἃ φρονοῦσι διεξιόντων. Apogr. Dresd. ἃ φρονοῦσι contraxit in ἀφρονοῦσι.

25) Apost. Cent. II. 30.

σων· οὐκ ᾄδουσι γὰρ οἱ ἐκεῖσε τέττιγες, ὡς καὶ τὸ βάτραχος Σερίφιος.

Ἀκούσατε νέοι γέροντος, οὗ νέου γέροντες ἤκουον.

Ἄκρῳ [26] ἅψασθαι δακτύλῳ· ἐπὶ τῶν οὐκ ἀκριβῶς ἠσκημένων.

Ἄκμων [27] μέγιστος οὐ φοβεῖται τοὺς ψόφους,
Καὶ νοῦς ἐχέφρων πᾶσαν ἔλκουσαν βίαν.

Ἄκων μὲν [28] ὡς Ζεὺς οἶδεν· ἐπὶ τῶν ἀκόντων [29] ὑπισχνουμένων τι. ὡς καὶ τὸ, ἑκὼν ἀέκοντί γε θυμῷ.

Ἄκων δ' ἁμαρτὼν οὔτις ἀνθρώπων κακός [30].

Τὸ ᾱ μετὰ τοῦ λ̄.

Ἄλας [1] ἄγων καθεύδεις· ἐπὶ τῶν ἐν μεγάλῳ κινδύνῳ καθευδόντων καὶ ῥᾳστωνευομένων· ἐμπόρου γάρ τινος τὴν ναῦν ἁλῶν πληρώσαντος, εἶτα καθεύδοντος, τὴν ἀντλίαν ἐπαναβῆναι καὶ ἐκτῆξαι τοὺς ἅλας. Ὁ δὲ Διογενιανὸς οὕτω φράζει τήνδε τὴν παροιμίαν· ἁλῶν δὲ φόρτος, ἔνθεν ἦλθεν, ἔνθ' ἔβη. Ἔμπορός γάρ τις ἅλας ἄγων καὶ ἀποκαθευδήσας ἀπώλεσεν αὐτοὺς [2], τῆς ἀντλίας ἐπαναβάσης· λέγεται οὖν ἐπὶ τῶν, ἅπερ προσεπόρισαν, ἀπολλύντων.

26) Apost. Cent. II. 55. Macar. ἐπὶ τῶν οὐκ ἀκριβῶς τι ἠσκημένων (sic). Lucian. quomod. Hist. conscr. c. 4. ἄκρῳ γε τῷ δακτύλῳ τοῦ πηλοῦ προσαψάμενος.

27) Apost. Cent. II. 56.

28) Apost. Cent. II. 57.

29) Codd. ἀκόντων. imo ἀκόντως. Matth.

30) Laur. addit: Σοφοκλέους ἡ γνώμη. Macar. addit: Ἀκαρπότερος Ἀδωνίδος κήπου· ἐπὶ τῶν μηδὲν γενναῖον τεκεῖν δυναμένων.

Ἀκαρπότερος ἀγρίππου· ἐπὶ τῶν πάνυ πενομένων· Λάκωνες γὰρ τὴν ἀγρίαν ἐλαίαν ἄγριππον καλοῦσιν.

1) Apost. Cent. II. 59.

2) Apogr. Dresd. αὐτό.

Ἅλας [3] καὶ τράπεζαν μὴ παραβαίνειν· δήλη ἡ παροιμία· φίλοι γὰρ ἐκ τούτου [4] γινόμεθα.

Ἀληθέστερα [5] τῶν ἐν Σάγρα· ἐπὶ τῶν ἀληθῶν, οὐ πιστευομένων δέ. Σάγρα τόπος τῆς Λοκρίδος· μέμνηται τῆς παροιμίας Μένανδρος ἐν ἀνατιθεμένῃ. Λοκροὺς δέ φασι τοὺς Ἐπιζεφυρίους, πόλεμον ἔχοντας πρὸς τοὺς πλησιοχώρους Κροτωνιάτας, αἰτῆσαι συμμαχίαν τοὺς Λακεδαιμονίους· τῶν δὲ στρατὸν μὲν [6] οὐκ ἔχειν φησάντων, διδόναι δὲ αὐτοῖς τοὺς Διοσκούρους, οἰωνισαμένους τὸ κερτομηθὲν, τήν τε ναῦν ἀποστρέψαι καὶ δεηθῆναι τῶν Διοσκόρων συμπλεῖν αὐτοῖς. Νικησάντων δὲ αὐθημερὸν καὶ τῆς φήμης διαγγελθείσης εἰς Σπάρτην, τὸ μὲν πρῶτον ἀπιστηθῆναι· ἐπεὶ δὲ εὑρέθη ἀληθῆ, ἐπιλέγειν τοῖς ἀληθεστάτοις μὲν, οὐ πιστευομένοις δέ.

Ἀλεκτρυὼν ἐπιπηδᾷ [7]· ἐπὶ τῶν ἀγενῶς [8] ἀναμαχομένων [9] τὴν ἧτταν· οἱ ἀλεκτρυόνες ὑπεράγαν οὐκ ᾄδουσιν ἐν τοῖς ὑγροῖς χωρίοις, καὶ ἔνθα νοτιώτερός ἐστιν ὁ ἀήρ· ψυχροὶ δὲ ἄρα ὄντες τὴν σύγκρασιν οἱ τέττιγες, εἶτα μέντοι πυρουμένου τοῦ ἡλίου ᾄδουσιν· ἀλεκτρυόνες γε μὴν καὶ ὄρνιθες οἱ ἐθάδες πτερυσσόμενοι καὶ φρυατ-

3) Apost. Cent. II. 41. Macar. τὴν Θέμιν φασὶ χρηστηριάζουσαν παραινεῖν· ὅτι τοῖς κοινωνήσασι τούτων φίλοις χρῆσθαι δεῖ. Archiloch. Fragm. LXXXIX. ed. Liebel:

Ὅρκον δ' ἐνοσφίσθης μέγαν,
Ἅλας τε καὶ τράπεζαν,

cum nota editoris, cfr. Lobek. Aglaoph. I. p. 85. Plut. Sympos. V. Quaest. X. ἐζήτει Φλῶρος, ἑστιωμένων ἡμῶν παρ' αὐτῷ, τίνες ἂν εἶεν οἱ περὶ ἅλα καὶ κύμινον ἐν τῇ παροιμίᾳ λεγόμενοι. καὶ τοῦτο μὲν ἐκ προχείρου διέλυσεν Ἀπολλοφάνης ὁ γραμματικὸς· οἱ γὰρ οὕτω συνήθεις (ἔφη) τῶν φίλων, ὥστε καὶ πρὸς ἅλα δειπνεῖν καὶ κύμινον, ὑπὸ τῆς παροιμίας προβάλλονται.

4) Laur. τούτων.

5) Apost. Cent. II. 42. Macar. εἰς τὸν ἐπὶ Ἰταλίαν ποταμὸν Σάγραν νικησάντων μάχῃ Λακεδαιμονίων, αὐθημερὸν ἡ φήμη κατέλαβε τὴν Σπάρτην. Cfr. Menander ed. Meineke p. 17.

6) μὲν Mosc. om.

7) Apost. Cent. II. 43.

8) Codd. ἀγενῶς. Apost. εὐγενῶς.

9) ἀναμάχεσθαι τὴν ἧτταν est pugnam redintegrare, ita ut clades accepta resarciatur. Spanh. ad Julian. Or. I. p. 24. C. Wyttenb. ad p. 17. D.

τόμενοι καὶ ὑποτρύζοντες χειμῶνα δηλοῦσι· πετόμενοι δὲ ὄρνιθες εἰς ἀλλήλους καὶ δι᾽ ἀλλήλων θέοντες, χειμῶνα ἐσόμενον οὐκ ἀγνοοῦσιν [10].

Ἄλευ [11] ἀπὸ μείζονος ἀνδρός· ἀντὶ τοῦ ὑποχώρει τοῖς κρείττοσιν.

Ἀληλεσμένος [12] βίος καὶ μεμαγμένος· ἐπὶ τῶν ἐν ἀφθονίᾳ τῶν ἐπιτηδείων ὄντων ἢ ἐπὶ τοῦ προχείρου καὶ ἑτοίμου· ὁμοία τῇ, Ἄσπαρτα καὶ ἀνήροτα.

Ἄλλην [13] δρῦν βαλάνιζε· ἐπὶ τῶν ἐνδελεχῶς αἰτούντων τι· ἢ παρὰ τῶν αὐτῶν ἀεὶ δανειζομένων· οἱ παλαιοὶ γὰρ βαλάνοις ἔζων, πρὸς οὖν τοὺς περισκοποῦντας τὰς δρῦς, εἴτε πλήρεις εἶεν, εἴτε κεναὶ, ἄλλην δρῦν βαλάνιζε, ἔλεγον.

Ἁλμυρὰν [14] ἀκοὴν ἀπεκλύσατο ποτίμῳ λό-

10) Laur. in sqq. mutat proverbiorum ordinem: ἅλμυρὰν ἀκοήν. ἄλλο γένος κώπης. ἀληλεσμένος βίος. ἄλλην δρῦν βαλάνιζε. ἁλωτὰ γίγνεται. ἀλώπηξ δωροδοκεῖται. ἄλμη οὐκ ἔστιν ἁλιτήριος εἶ. ἁλκυονίτιδας ἡμέρας. ἀλώπηξ τὸν βοῦν ἐλαύνει. ἁλιεὺς πλεῖος. ἅλμυρὸν γειτόνημα. ἄλλοι μὲν σπείρουσι. ἄλλοτε μητρυιή. ἁλιεὺς ὤν. ἄλλων ἰατρός. ἀλώνητον ἀνδράποδον. ἁλῶν μέδιμνον. ἄλλοι κάμον, ἄλλοι. ἀλωπεκίζειν πρὸς ἑτέραν ἀλώπεκα. ἄλλως ᾄδεις. ἄλλως ἀναλίσκεις ὕδωρ. ἄλλο γλαὺξ, ἄλλο κορώνη. ἀληθομυθεύειν χρέων. ἄλλην μὲν ἐξηντλοῦμεν. ἀλλότρια βάλλειν. ἁλὶ διασμηχθείς. ἄλλα μὲν Λεύκων, ἀλλὰ δε Λεύκωνος ὄνος. ἄλλοισι μὲν γλῶσσα, ἄλλοισι δὲ γύμφοι. ἀλλότριον ἁμᾶς θέρος. Ἀλκήστιδος ἀνδρεία. ἄλλοτε δ᾽ ἀλλοῖον τελέθειν. ἄλλος οὗτος Ἡρακλῆς. ἅλα καὶ κύαμον. ἅλις δρυός. ἄλλος βίος, ἄλλη δίαιτα. ἀλλ᾽ οὐδὲν δεῖ περὶ τὸν βωμόν. ἀλλ᾽ οὐκ αὖθις ἁλώπηξ. ἄλλα μὲν Λεύκωνος ὄνος φέρει, ἄλλα δε Λεύκων. ἄλλο γένος κώπης. ἄλλη τοἀλλη. ἀλλότρια βάλλειν. ἄλλως ἀναλίσκεις ὕδωρ. ἀλλ᾽ οὐ λαχοῦσ᾽ ἔπινες. Jam vero in posterum divergentem Cod. Laurentiani ordinem adscribere supersedebo, cum ad rem nihil faciat.

11) Inverso verborum ordine in ἀπὸ μείζονος ἀνδρὸς ἄλευ Arsen. et Apost. idem infra receperunt: nostrum ordinem habet Diogen. Cent. II. 56.

12) Apost. Cent. II. 46. Macar. ἀληλεσμένον βίον καὶ μεμαγμένον βίον· ἐπὶ τοῦ ἑτοίμου καὶ προχείρου καὶ ἀκύπου.

13) Apost. Cent. II. 47. Macar. ἐπὶ τῶν ἐνδελεχῶς αἰτούντων.

14) Apost. Cent. II. 44. Memini me legere hoc et apud Platonem et apud Hermogenem in rhetoricis, sed neutrum locum poteram invenire. Idem proverbium paullo inferius lau-

γῳ· ἐπὶ τῶν ἀπό τινος φαύλου εἰς καλόν τι μεταχλιναντων.

Ἄλλο [15] γένος κώπης· ἐπὶ τῶν περὶ τὸ ἦθος ἐνηλλαγμένων.

Ἀλωτὰ γίνετ' ἐπιμελείᾳ καὶ πόνῳ ἅπαντα· Μενάνδρου [16] ἡ γνώμη.

Ἁλιτήριος [17] εἶ· ἐπὶ τοῦ μετὰ βίας τι ποιοῦντος ἀπὸ σιτοδείας. Λιμὸς κατέλαβέ ποτε τοὺς Ἀθηναίους· ἤρπαζον οὖν τινες ἀλώμενα [18] τὰ ἄλευρα· ἀπὸ γοῦν ἐκείνων καταχρηστικῶς τοὺς πονηροὺς ἁλιτηρίους ἐκάλουν· ὁ δὲ λιμὸς ἐγένετο ἀπὸ τοῦ Λἰτωλικοῦ πολέμου.

Ἀλκυονίτιδας [19] ἡμέρας ἄγεις· ἐπὶ τῶν ἀταράχων καὶ ἀνεπηρεάστων [20]· περὶ τοῦ ἀριθμοῦ διαφέρονται· Σιμωνίδης γὰρ ἐν πεντάθλοις ἕνδεκά φησιν αὐτὰς, καὶ Ἀριστοτέλης ἐν τοῖς περὶ ζώων· Δημαγόρας ἑπτά· Φιλόχορος [21] ἐννέα· τὸν δ' ἐπ' αὐταῖς μῦθον Ἡγήσανδρος ἐν τοῖς περὶ ὑπομνημάτων λέγει οὕτως· Ἀλκυονέως τοῦ γίγαντος θυγατέρες ἦσαν Φωσθονία, Ἄνθη, Μεθώνη, Ἀλκίππη, Παλλήνη [22], Δριμὼ, Ἀστερίη· αὗται μετὰ τὴν τοῦ πατρὸς τελευτὴν ἀπὸ Καναστραίου, ὅ ἐστιν ἄκρον τῆς Παλλήνης, ἐρρίψαν αὑτὰς εἰς τὴν θάλασσαν· Ἀμφιτρίτη δ' αὐτὰς ὄρνιθας ἐποίησε, καὶ ἀπὸ τοῦ πα-

datur. Matth. Locus Platonis est in Phaedro p. 343. C. ἐπιθυμῷ ποτίμῳ λόγῳ οἷον ἁλμυρὰν ἀκοὴν ἀποκλύσασθαι. Eundem locum respicit Hermog. περὶ δεινότητος p. 150. ed. Ald. καὶ Πλάτων· οἷον ἁλμυρὰν ἀκοὴν ἀποκλύσασθαι ποτίμῳ λόγῳ. Plures, qui hanc phrasin expresserunt, enumerat Wyttenb. epist. crit. p. 55. 56. coll. ad Plut. p. 151. D.

15) Apost. Cent. II. 45. Eodem modo Laur. bis profert hoc prov.

16) p. 52. ed. Mein.

17) Apost. Cent. II. 50.

18) Apogr. Dresd. ἁλούμενα.

19) Apost. Cent. II. 51. Aristoph. Av. 1594.

Ἀλκυονίδας τ' ἄν ἤγεθ' ἡμέρας ἀεί.

20) Apogr. Dresd. ἀνεπιρεάστων.

21) Apogr. Dresd. φιλόχωρος.

22) Apogr. Dresd. Παλήνη et mox ἄκρον τῆς Παλήνης.

τρὸς Ἀλκυόνες ἐκλήθησαν· αἱ δὲ νήνεμοι καὶ γαλήνην ἔχουσαι ἡμέραι Ἀλκυονίτιδες καλοῦνται.

Ἁλιεὺς [23] πλημμελὴς νοῦν οἴσει· ἐπὶ τῶν μετὰ πεῖραν εἰς γνῶσιν ἐλθόντων· ὥσπερ καὶ ὁ πλημμελὴς ἁλιεὺς εὐκόλως μετὰ τὴν τρῶσιν τοὺς ἰχθύας ματαχειρίζεται.

Ἁλιεὺς [24] ὢν, εἶτα τραγῳδοὺς ἐμισθώσω· ἐπὶ τῶν μὴ προσήκοντα ἑαυτοῖς δρώντων, ἀλλ' ἀνόμοια [25].

Ἄλμη [26] οὐκ ἔστιν ἐν αὐτῷ· ἐπὶ τοῦ ἀηδοῦς καὶ ἀναρτύτου.

Ἀληθομυθέειν χρεών, ὕπου λωΐον· Δημοκρίτου ἡ ὑποθήκη.

Ἄλλην [27] μὲν ἐξηντλοῦμεν, ἡ δ' ἐπιῤῥέει· ἐπὶ τῶν μάτην πονούντων.

Ἄλλα [28] μὲν Λεύκων, ἄλλα δὲ Λεύκωνος ὄνος φέρει· ἐπὶ τῶν ἐχόντων τοὺς λόγους ἀσυμφώνους τοῖς ἔργοις· Λεύκων γάῤ τις γεωργὸς, μέλιτος ἀσκοὺς εἰς φορμὸν ἐμβαλὼν ἐκόμιζεν εἰς Ἀθήνας· κριθὰς τοῖς φορμοῖς ἐπιβαλὼν, ὡς ὀλίγον εἰσπραχθησόμενος τέλος· τοῦ δὲ ὄνου πεσόντος, οἱ τελῶναι βοηθῆσαι βουλόμενοι, ἔγνωσαν ὅτι μέλι ἐστίν.

Ἄλα καὶ κύαμον [29]· ἐπὶ τῶν εἰδέναι μὲν προσποιουμένων, οὐκ εἰδότων δέ· οἱ γὰρ μάντεις ἅλα καὶ κύαμον τιθέασιν, ὅθεν καὶ τοὺς ἀποῤῥήτων κοινωνοῦντας τοὺς περὶ ἅλα καὶ κύαμον ἔλεγον.

Ἅλις δρυός [30]· ἐπὶ τῶν εἴς τινα δίαιταν βελτίονα

23) Apost. Cent. II. 55.

24) Apost. Cent. II. 57.

25) Ἀνόμοια ea, quae cum moribus ipsorum non congruunt. Cfr. Lob. ad Soph. Aj. 1353.

26) Ap. C. II. 49. Mac. ἄλμη οὐκ ἔνεστιν αὐτῷ· ἐπὶ τῶν ἀηδῶν.

27) Apost. Cent. II. 65.

28) Apost. Cent. II. 68. In Laurent. bis: ἄλλα μὲν Λεύκων, ἄλλα δὲ Λεύκωνος ὄνος φέρει· ἐπὶ τῶν ἀσυμφώνους τοὺς λόγους τοῖς ἔργοις παρεχομένων. deinde: ἄλλα μὲν Λεύκωνος ὄνος φέρει, ἄλλα δὲ Λεύκων· ubi post ἔργοις παρεχομένων eadem, quam Mosc. offert, explicatio sequitur.

29) Apost. Cent. II. 75.

30) Apost. Cent. II. 76. Macar. ἐπὶ τῶν αἰσχρῶς μέν τι καὶ ἀηδῶς ἐσθιόντων, ἕτερον δὲ βέλτιον εὑρόντων.

μεταβαλλομένων· παυσάμενοι γὰρ τῶν βαλάνων οἱ παλαιοὶ, μετεῖχον σίτου καὶ οἴνου.

Ἀλλ᾽ εἶ σορέλλη [31]· σκῶμμα γερόντων· ἐκ τοῦ σορὸς γίνεται.

Ἀλκήστιδος [32] ἀνδρία· ἐπὶ τῶν καρτερῶν· καὶ Ἀλκήστιδος ἀναβίωσις· ἐπὶ τῶν ἀδυνάτων καὶ ἀπίστων. Λέγεται γὰρ μῦθος τραγικώδης, ὡς δὴ μέλλοντος Ἀδμήτου θανεῖν, αὕτη εἵλετο ὑπὲρ αὐτοῦ θάνατον. Καὶ Ἡρακλῆς αὐτὴν διὰ τὴν εὐσέβειαν ἀφελόμενος καὶ ἀναγαγὼν αὐτὴν ἐκ τοῦ Ἅιδου, ἀπέδωκεν Ἀδμήτῳ. ἐμοὶ δὲ δοκεῖ μηδένα ἀποθανόντα δύνασθαι ἀναβιῶναι· ἀλλ᾽ ἐγένετό τι τοιοῦτον. Ἐπειδὴ Πηλίαν [33] ἀπέκτειναν αἱ θυγατέρες, καὶ Ἄκαστος ὁ Πηλίου ἐδίωκεν αὐτὰς, οἱ λαμβάνει μὲν, Ἄλκηστις δὲ καταφεύγει εἰς Φερὰς πρὸς Ἄδμητον ἀνεψιὸν αὐτῆς· καὶ καθεζόμενος ἐπὶ τῆς ἑστίας, οὐκ ἐβούλετο Ἄδμητος Ἀκάστῳ ἔκδοτον ἐξαιτουμένῳ δοῦναι· ὁ δὲ πολλὴν στρατιὰν παρακαθίσας ἐπὶ τὴν πόλιν, ἐπυρπόλει αὐτούς. Ἐπεξιὼν δὲ ὁ Ἄδμητος ἔχων καὶ λοχαγοὺς νύκτωρ συνελήφθη ζῶν· ἠπείλει δὲ Ἄκαστος ἀποκτεῖναι αὐτόν· πυθομένη δὲ ἡ Ἄλκηστις, ὅτι μέλλει ἀναιρεῖσθαι Ἄδμητος δι᾽ αὐτὴν, ἐξελθοῦσα ἑαυτὴν παρέδωκε. Τὸν οὖν Ἄδμητον ἀφίησιν ὁ Ἄκαστος, ἐκείνην δὲ συλλαμβάνει· ἔλεγον οὖν οἱ ἄνθρωποι, ἀνδρεία γε ἡ Ἄλκηστις ἑκοῦσα ὑπεραπέθανεν Ἀδμήτου· τοιοῦτο μέντοι οὐκ ἐγένετο, ὡς ὁ μῦθός φησι· κατὰ γοῦν τὸν καιρὸν

31) Codd. et Apost. Cent. II. 81. ἄλλη τορέλλη. Scripsi ἀλλ᾽ εἶ σορ. capulus es: vide Fritschii commentationem de Daetalensibus Aristophanis p. 47. sqq. Sensus idem esse videtur, quem lingua vulgaris ut nostratum, ita Graecorum exprimit: τὸν ἕτερον πύδα, φασὶν, ἐν τῇ σορῷ ἔχων, ut est apud Luc. Hermot. c. 78. — Apost. ἐκ τοῦ σωρός.

32) Apost. Cent. II. 71. 72. Apogr. Dresd. Ἀλκίστιδος. Haec ex Palaephato hausta sunt, quem vide c. 41. Matth.

33) Apogr. Dresd. Πελείαν et paullo post Πελίου.

τοῦτον Ἡρακλῆς ἦκεν ἄγων [34] ἔκ τινος τόπου τὰς Διομήδους ἵππους· τοῦτον ἐκεῖσε πορευόμενον ἐξένισεν [35] Ἄδμητος· ὀδυρομένου δὲ Ἀδμήτου τὴν συμφορὰν τῆς Ἀλκήστιδος, ἀνακτησάμενος Ἡρακλῆς ἐπιτίθεται τῷ Ἀκάστῳ, καὶ τὴν στρατιὰν αὐτοῦ διαφθείρει· καὶ τὰ μὲν λάφυρα τῇ αὐτοῦ στρατιᾷ διανέμει, τὴν δὲ Ἄλκηστιν τῷ Ἀδμήτῳ παραδίδωσιν· ἔλεγον οὖν οἱ ἄνθρωποι, ὡς ἐντυχὼν Ἡρακλῆς ἐκ τοῦ θανάτου ἐρρύσατο τὴν Ἄλκηστιν· τούτων γενομένων ὁ μῦθος προσανεπλάσθη.

Ἁλμυρὸν [36] γειτόνημα ἔμβλεπε πόρῥω· δηλοῖ δὲ, ὅτι κακόν ἐστι τὸ γειτόνημα τῆς θαλάσσης ἔχειν ἢ χρῆσθαι. Αὕτη ὁμοία ἐστὶ τῇ· ἐὰν δύνῃ ὁδεῦσαι, μὴ πλεύσῃς. Ἁλμυρὸν δὲ γειτύνημα [37] λέγεται ἡ θάλασσα· ἔστι δὲ ἡ λέξις Πλατωνική [38]· ἐχρήσατο δὲ ταύτῃ καὶ Ἀλκμὰν ὁ λυρικός.

Ἄλλοι [39] μὲν σπείρουσιν, ἄλλοι δ' ἀμήσονται· ἐπὶ τῶν τὰ ἀλλότρια ἐσθιόντων.

Ἄλλοτ' ἀλλοῖαι [40] πνοιαὶ ὑψιπετῶν ἀνέμων.

Ἄλλοτε [41] μητρυιὴ πέλει ἡμέρα, ἄλλοτε

34) ἄγων inserui ex Apostolio.

35) Apogr. Dresd. ἐξένησεν. Apost. ἐξένισεν.

36) Apost. Cent. II. 54. ἔκβλεπε πόρῥω. Lexicon ined. ἁλμυρός, ὡς τὸ τόλμη τολμηρός, οὕτως καὶ ἅλμη, ἁλμυρός· καὶ ὡς τηρός, τυρός. κυρίως δὲ τίθεται ἡ λέξις ἐπὶ τῶν ἅλας μυρομένων ποταμῶν, ὅ ἐστιν ἐκχεομένων. Matth.

37) Hujus vocabuli exempla notavit Casaub. ad Athen. p. 50. Cfr. Bergl. ad Alciphr. p. 323. γειτονία est apud Diog. Laërt. p. 227. Obiter etiam notari potest γειτονεύω ex Xenoph. p. 921. γειτόνημα et γειτόνευμα aliquoties apud Aretaeum reperias. Matth.

38) De legg. IV. p. 705. a. Aristid. ὑπὲρ τῶν τεττ. p. 206. ἀλλ' ὅμως ἐῶ ταῦτα Πλάτωνος χάριν· ἔστω τὸ γειτόνημα ἁλμυρὸν, ὡς φησιν.

39) Apost. Cent. II. 55. Macar. — — ἀμήσουσιν· ἐπὶ τῶν οὐχ ἑαυτοῖς, ἀλλ' ἑτέροις πονούντων. Callim. Hymn. in Cer. 138.

Φέρβε καὶ εἰράναν, ἵν' ὃς ἄροσε, κεῖνος ἀμᾶσει.

40) Pind. Pyth. III. 188. Laur. non habet.

41) Apost. Cent. II. 56. Stob.

μήτηρ· ἐπὶ τῶν ποτε μὲν εὐημερούντων, ἄλλοτε δὲ δυσημερούντων.

Ἄλλο [42] γλαὺξ, ἄλλο κορώνη φθέγγεται· ἐπὶ τῶν ἀλλήλοις ἀσυμφωνούντων καὶ ἐριζόντων τοῖς κρείττοσιν.

Ἀλλότρια [43] βάλλειν· ἐπὶ τῶν ἀποτυχανόντων.

Ἄλλοι κάμον [44], ἄλλοι δ' ὤναντο· ἐπὶ τῶν παρ' ἐλπίδα τὰ τῶν ἄλλων κληρονομούντων.

Ἄλλοισι [45] μὲν γλῶττα, ἄλλοισι δὲ γόμφιοι· ἐπὶ τῶν λάλων καὶ φάγων.

Ἀλλότριον [46] ἀμᾶς θέρος· ἐπὶ τῶν κατολιγωρούντων ἐν τοῖς ἀλλοτρίοις, ἢ τὰ ἀλλότρια καρπουμένων.

Ἄλλοτε [47] δ' ἀλλοῖον τελέθειν καὶ χώρῃ ἕπεσθαι· ὅτι προσήκει ἐξομοιοῦν ἑαυτὸν ἐν οἵοις ἂν τόποις γένοιτο· εἴρηται δὲ ἀπὸ τῶν πολυπόδων [48]· οὗτοι γὰρ, ἢ ἂν πλησιάσωσι πέτρᾳ, φόβου κατεπείγοντος, εἰς τὸ αὐτῆς εἶδος τὸ ἑαυτῶν μεταβάλλουσιν· ὅμοιον τό· πολύποδος πολυχρόου νόον ἴσχε.

Ἄλλος [49] οὗτος Ἡρακλῆς· ἐπὶ τῶν ἰσχυρῶν καὶ κρατερῶν.

T. 105. 36. Ἡσιόδου ἔργων. Macar. ἐπὶ τῶν ποτε μὲν δυσπραγούντων, ποτὲ δὲ εὖ πραττόντων.

42) Apost. Cent. II. 64. Macar. ἐπὶ τῶν κρειττοσιν ἐριζόντων.

43) Apost. Cent. II. 66.

44) Apost. Cent. II. 61. Macar. ἄλλοι κάμον, ἄλλοι ὤναντο· ἐπὶ τῶν παρ' ἐλπίδα κληρονομησάντων.

45) Apost. Cent. II. 69.

46) Apost. Cent. II. 70. Macar. ἐπὶ τῶν τὰ ἀλλότρια καρπουμένων. De Cleone Aristoph. Eq. 392. ἀλλότριον ἀπῶν θέρος.

47) Apost. Cent. II. 73. Macar. ἀλλ' ἕπου χώρας τρόποις· ὅτι δεῖ χώρας ἑκάστης μιμεῖσθαι τὰ ἤθη.

48) Vide infr. πολύποδος ὁμοιότης.

49) Apost. Cent. II. 74. Macar. ἐπὶ τῶν βία τι πραττόντων. Plut. Thes. p. 4. b. ed. Ald. Ἕτεροι δὲ καὶ μετὰ Ἰάσονος ἐν Κόλχοις γενέσθαι (sc. τὸν Θησέα οἴονται) καὶ Μελεάγρῳ συνεξελεῖν τὸν κάπρον, καὶ διὰ τοῦτο παροιμίαν εἶναι τὴν οὐκ ἄνευ Θησέως· αὐτὸν μέντοι μηδενὸς συμμάχου δεηθέντα πολλοὺς καὶ καλοὺς ἄθλους κατεργάσασθαι, καὶ τὸν ἄλλος οὗτος

Ἄλλος [50] *βίος, ἄλλη δίαιτα, ἐπὶ τῶν ἐπ᾽ ἀμείνονα βίον μεταβαλλομένων.*

Ἀλλ᾽ οὐδὲν [51] *δεῖ περὶ τὸν βωμὸν τὰς ἐπινοίας· ὅτι οὐ δεῖ ἐν αὐτοῖς τοῖς πράγμασι βουλεύεσθαι· οἱ γὰρ ἱερεῖς* [52] *τὰ ἱερεῖα προσάγοντες οὔκουν μετὰ τὸ καλλιερῆσαι βουλεύονται.*

Ἀλλ᾽ οὐκ αὖθις [53] *ἀλώπηξ· λείπει τὸ ἁλώσεται· ἐπὶ τῶν πονηρῶν.*

Ἄλλο [54] *γένος κώπης· ἐπὶ τῶν περὶ τὸ ἔθος ἠλλαγμένων. Ἡρακλῆς γὰρ διαπεραιούμενος ἐπὶ τὰς Ἐρυθρείας* [55] *βοῦς, ἰστίῳ τῇ λεοντῇ ἐχρήσατο, ἰστῷ δὲ τῷ ῥοπάλῳ, ἐφ᾽ ᾧ καὶ ἐλέχθη.*

Ἀλλ᾽ [56] *οὐ τὸ μέγα εὖ ἐστι, τὸ δὲ εὖ μέγα. Δημοσθένης, θεασάμενός τινα δημαγωγὸν ἀφυᾶ, μέγα βοῶντα, τοῦτ᾽ ἔφη τἀπόφθεγμα.*

Ἀλλότρια [57] *βάλλειν· ἐπὶ τῶν ἀποτυγχανόντων ἢ ἐν τῷ κυβεύειν, ἢ ἐν ἄλλῳ τινί.*

Ἀλλ᾽ [58] *οὐ λαχοῦσα ἔπινες ἐν τῷ γράμματι· ἐπὶ τῶν μεθυόντων· οἱ γὰρ Ἀθηναῖοι κατὰ γράμμα ἐκληροῦντο ἀπὸ τῶν φυλῶν· δέκα δὲ ἦσαν αἱ φυλαί· οἷον ἡ πρώτη τὸ ἄλφα, ἡ δευτέρα τὸ βῆτα εἶχε σημεῖον μέχρι τοῦ κάππα· δέκα γὰρ οὐσῶν φυλῶν, δέκα ἐγένοντο δικαστήρια· ὁ οὖν λαχὼν τὸ ἄλφα πρῶτος ἐδίκαζε, καὶ οἱ ἄλλοι ὁμοίως. Τάχα οὖν σὺ λαχοῦσα, φησὶν, οὐκ ἐδίκαζες, ἀλλ᾽ ἔπινες.*

Ἡρακλῆς λόγον ἐπ᾽ ἐκείνου κρατῆσαι. Cleanthem *δεύτερον Ἡρακλῆν* vocatum esse refert Diog. Laërt. VII. 170.

50) Apost. Cent. II. 77. Consentit Macar. Haud inepte hoc proverbium laudarunt viri docti ad Terent. Andr. 1. 2. 18. Matth.

51) Apost. Cent. II. 78.

52) *ἱερεῖς* om. apogr. Dresd.

53) Apost. Cent. II. 79.

54) Apost. Cent. II. 80. In Laur. bis occurrit: sed secunda vice demum interpretatio plena profertur.

55) Apogr. Dresd. *ἐρυθείας.*

56) Apost. Cent. II. 82. Abest a Laur.

57) Apost. Cent. II. 83. Vide paullo ante. Matth.

58) Apost. Cent. II. 85. Ex

Ἀλσὶ [59] *διασμηχθεὶς ὄναιτ' ἂν οὑτοσί· ἐπὶ τῶν παραπαιόντων· φησὶν οὖν, οὐ τὰ τυχόντα οὗτος ὠφελη-θήσεται διαβρεχθεὶς ἀλσὶν, ὡς ἐπὶ ἀσκοῦ τὸν λόγον ποιούμενος, οἵτινες σμηχόμενοι ἁλσὶ, βελτίονες γίνονται· ἅμα δὲ καὶ παραφρονοῦντας ὑπὸ μέθης βρέχομεν ἐλαίῳ καὶ ἁλσὶ, καὶ ὠφελοῦνται· ἢ ὡς παχύδερμον αὐτὲν χλευ-άζει· τὰ γὰρ παχέα ὑπὸ πιμελῆς τῶν δερμάτων ἁλσὶ μα-λαττόμενα εὐρύτερα γίνεται· ὄναιτ' ἂν οὖν, φησὶν, ἀπο-βαλὼν τὴν παχύτητα· τὴν ἀρχὴν δέ φασιν εἰρῆσθαι τὴν παροιμίαν ἀπὸ τῶν κεραμείων, ὅσοις ἅλες ἐμβάλλονται* [60] *ὑπὲρ τοῦ μὴ ἐξίστασθαι τὸν οἶνον εὐχερῶς.*

Ἀλώπηξ [61] *δωροδοκεῖται· ἐπὶ τῶν ῥᾳδίως δώ-ροις ἁλισκομένων· Κρατῖνος νόμοις· ὑμῶν εἰς μέσον ἕκα-στος ἀλώπηξ δωροδοκεῖται, καὶ τὸ ἀνάπαλιν· ἀλώπηξ οὐ δωροδοκεῖται· ἐπὶ τῶν μὴ ῥᾳδίως δώροις πειθο-μένων.*

Τοὺς| χερσαίους ἐχίνους καταγωνίσασθαι θέλου-σαν τὴν ἀλώπεκα ἀνείργουσιν αὐτῶν τὰ κέντρα· ἡ δὲ ἡσύχως καὶ πεφεισμένως τοῦ ἑαυτῆς στόματος ἀνατρέπει αὐτοὺς καὶ κλίνει ὑπτίους, ἀνασχίσασά τε ἐσθίει ῥᾳδίως· τὰ δὲ μικρὰ ἰχθύδια διαθηρῶσι πάνυ σοφῶς· παρὰ τὴν ὄχθην τοῦ ποταμοῦ ἔρχονται, καὶ τὴν οὐρὰν καθιᾶσιν εἰς τὸ ὕδωρ· τὰ δὲ προσνέοντα ἐνίσχεταί τε καὶ ἐμπλάσσεται τῷ δασεῖ τῶν τριχῶν· αἱ δὲ ἐνισχόμεναι τοῦ μὲν ὕδατος ἀναχωροῦσιν· ἐλθοῦσαι δὲ εἰς τὰ ξηρὰ χωρία διασείουσι τὰς οὐρὰς καὶ ἐκπίπτει τὰ ἰχθύδια, καὶ ἐκεῖναι δεῖπνον ἁβρότατον ἔχουσι· πεῖραν δὲ ποιεῖται τοῦ μὴ σφαλεροῦ τόπου οὕτως· παραβάλλει τὸ οὖς ἐπὶ τῷ κρυστάλλῳ, κἂν

Aristoph. Plut. 973. ubi vide Schol. cfr. v. 277. Matth.

59) Apost. Cent. II. 67. Ex Aristoph. Nub. 1237.

60) Arsen. *βάλλονται ὑπὸ τοῦ.* Apost. *ἐμβάλλονται ἐπὶ τὸ* (l. *τῷ*). Scripsi *ἐμβ. ὑπὲρ*, quod cum *ὑπὸ* saepe confundi ostendi in ep. crit. p. 44. De permutatione verbi simplicis et compositi vide ibid. p. 6. 7.

61) Apost. Cent. II. 48. Arsen. *ἀλ. οὐ δωροδοκ.* — *Τοὺς χερσ.* sqq. sunt ex Aelian. Hist. Anim. VI. 24. Matth.

μὲν αἴσθηται μὴ ὑπηχοῦν κάτω τὸ ῥεῦμα, μηδὲ ὑποψοφοῦν ἡσυχῇ εἰς βάθος, ἡ δὲ ὡς ἔστιν τῷ κρυστάλλῳ θαρσεῖ, εἰ δὲ μὴ, οὐκ ἂν ἐπιβαίη.

Ἀλώπηξ [62] τὸν βοῦν ἐλαύνει· τάττεται ἐπὶ τῶν μὴ κατὰ λόγον ἀποβαινόντων, ἢ ἐπὶ δολερῶν καὶ μικρῶν, ὅμως δὲ μεγάλα καταγωνιζομένων ἄφρονας.

Αἱ ἀλώπεκες ὅταν θεάσωνται σφηκίαν εὐθετουμένην, αὗται μὲν ἀποστρέφονται τὸν χηραμὸν, ἐκνεύουσαι καὶ τὰς ἐκ τῶν κέντρων τρώσεις φυλαττόμεναι· καθιᾶσι δὲ τὴν οὐρὰν δασυτάτην τε οὖσαν καὶ μεγίστην τὴν αὐτήν· καὶ διασείουσι τοὺς σφῆκας· οἱ δὲ προσέρχονται τῷ τῶν τριχῶν δασεῖ· ὅταν δὲ ἀναπλησθῶσιν [63] αὐτῶν, προσαράττουσι τὴν οὐρὰν ἢ δένδρῳ ἢ τοίχῳ ἢ αἱμασιᾷ· παιόμενοι δὲ οἱ σφῆκες ἀποθνήσκουσιν· εἶτα ἦλθον ἐπὶ τὸν τόπον καὶ τοὺς λοιποὺς προσαναλέξασαι καὶ ἀποκτείνασαι κατὰ τοὺς πρώτους· ὅταν δὲ [64] ἐννοήσωσι λοιπὸν εἰρήνην εἶναι καὶ ἀπὸ τῶν κέντρων ἐλευθερίαν, καθῆκαν τὸ στόμα καὶ τὰ σφηκία ἐσθίουσι, μήτε θορυβούμεναι, μήτε τὰ κέντρα ὑφορώμεναι.

Ἡ δὲ θαλασσία ἀλώπηξ δι' ἀκρασίαν τοῦ δελέατος οὐκ ἀπέχεται· καταφρονεῖ δὲ τοῦ ἀγκίστρου καὶ ἁλοῦσα ἀνέθορε καὶ ἀπέκειρε τὴν ὁρμήν.

Ὁ δὲ [65] καλούμενος χηναλώπηξ ἔχει μὲν τὸ εἶδος τὸ τοῦ χηνὸς, πανουργίᾳ δὲ δικαιότατα ἀντικρίνοιτο τῇ ἀλώπεκι, καὶ ἔστι μὲν χηνὸς βραχύτερος, ἀνδρειότερος δέ· καὶ χωρεῖν ὁμόσε δεινός· ἀμύνεται οὖν καὶ ἀετὸν καὶ αἴλουρον. Οἱ δὲ χῆνες [66] διαμείβοντες τὸν Ταῦρον τὸ ὄρος

62) Apost. Cent. I. 52. Ex Aelian. Hist. Anim. IV. p. 39. Matth.

63) Apogr. Dresd. ἀναπλαθῶσιν αὐτῷ, unde conjeci primum ἀναπλαχῶσιν. Apost. ἀναπλησθῶσιν αὐτῶν. Αὐτῶι jota postscripto facile nasci potuit ex αὐτῶν.

64) Apogr. Dresd. δὲ om. pro εἰρήνην praebet ἐρήμην.

65) Ex Aelian. Hist. Anim. V. 30. Matth.

66) Ex Aelian. Hist. Anim.

δεδοίκασι τοὺς ἀετοὺς, καὶ ἕκαστός τε αὐτῶν λίθον ἐνδακόντες, ἵνα μὴ κρώζωσιν· ὥσπερ οὖν ἐμβάλλοντες σφίσι στόμιον, διαπέτονται σιωπῶντες καὶ τοὺς ἀετοὺς τὰ πολλὰ ταύτῃ διαλανθάνουσι. Θερμότατός τε ἄρα ὢν καὶ τὴν φύσιν διαπυρώτατος ὁ χὴν, φίλουτρός ἐστι καὶ νήξεσι χαίρει καὶ τροφαῖς μάλιστα ταῖς ὑγροτάταις· εἰ δὲ καὶ ἐξαναίνοιτο ἰπὸ λιμοῦ, δάφνης φύλλον οὐκ ἂν φάγοι, οὐδ' ἂν σπάσαι ῥοδοδάφνης· οἶδε γὰρ, ὅτι τεθνήξεται τούτων τινὸς ἐμφαγών.

Ἄλλων [67] ἰατρὸς, αὐτὸς ἕλκεσι βρύων· ἐκ τοῦ τραγῳδοῦ, καὶ σαφής.

Ἀλώνητον [68] ἀνδράποδον· τὸ εὐτελὲς καὶ πρὸς ἅλας ὠνηθὲν· ὅθεν καὶ Μένανδρος [69]· Θρᾷξ εὐγενὴς εἶ, πρὸς ἅλας ὠνημένος.

Ἀλῶν [70] μέδιμνον ἀποφαγών· ἐπὶ τῶν ἀχαρίστων.

Ἀλωπεκίζει [71] πρὸς ἑτέραν ἀλώπεκα· ἐπὶ τῶν ἐξαπατᾶν βουλομένων τοὺς ὁμοίους.

Ἄλλως [72] ᾄδεις· ἐπὶ τῶν μάτην πονούντων.

Ἄλλως [73] ἀναλίσκεις ὕδωρ· ἐπὶ τῶν ματαιοπονούντων.

Ἀλόγιστός ἐστι πᾶς ὁ ἐν τοῖς συμβαίνουσι κατὰ τὴν φυσικὴν ἀνάγκην ἀχθόμενος.

V. 29. Matth. Apostol. haec om.

67) Apost. Cent. II. 58. Euripidi tribuit Suidas. Similia invenies apud Wyttenb. ad Plut. Moral. p. 71. F.

68) Apost. Cent. II. 59.

69) p. 257. ed. Mein.

70) Apost. Cent. II. 60. Macar. ἐπὶ τῶν ἀμνημονούντων τῶν φίλων. Plut. περὶ πολυφιλίας c. 3. de amico multis annis spectato: τὸν θρυλλούμενον ἐκεῖνον χρόνῳ τῶν ἁλῶν συγκατεδηδοκὼς μέδιμνον. ubi Wyttenb.

71) Apost. Cent. II. 62. Macar. ἀλωπεκίζειν πρὸς ἑτέραν ἀλώπεκα· ἐπὶ τῶν τοὺς ὁμοίους ἐξαπατᾶν ἐγχειρούντων.

72) Apost. Cent. II. 63. Consentit Macar. apud quem scriptum est ἄλως ᾄδεις.

73) Apost. Cent. II. 84. In Laur. bis occurrit: primum consentit cum nostro: altero loco: ἐπὶ τῶν ματαιολογούντων

Τὸ ᾱ μετὰ τοῦ μ̄.

Ἀμαλθείας [1] κέρας· ἐπὶ τῶν ἀφθόνως καὶ εὐδαιμόνως ζώντων, ὅτι τῇ τροφῷ αὐτοῦ Ἀμαλθείᾳ ὁ Ζεὺς ἐξ αἰγὸς τρεφούσῃ αὐτὸν παρέσχε κέρας αἰγὸς, δι' οὗ ἐπέβλιζεν αὐτῇ πᾶν, ὃ ἂν ἠτήσατο. Καὶ ἄλλως· Λέγεται τὴν Ῥείαν, τεκοῦσαν τὸν Δία, δεδωκέναι τῇ Ἀμαλθείᾳ τρέφειν· ἡ δὲ μὴ ἔχουσα, αἰγὶ ὑπέβαλλεν αὐτὸν, ὅθεν αἰγιοῦχος ἐκλήθη· ὁ τοίνυν Ζεὺς τὴν μὲν αἶγα καθιστέρησεν [2] ἐν τῷ οὐρανῷ· τὸ δὲ ἓν τῶν κεράτων ἀφελὼν τῇ Ἀμαλθείᾳ δέδωκε, παρασκευάσας αὐτῇ γενέσθαι πᾶν, ὅπερ αἰτήσει [3], διὰ τοῦ κέρατος.

Ὁ δὲ Παλαίφατος περὶ Ἀμαλθείας οὕτω φησὶν, ὅτι Ἡρακλῆς ἀποδημῶν κατὰ Βοιωτίαν μετὰ [4] Ἰολάου τοῦ ἀδελφιδοῦ καταλύει ἐν Θεσπιαῖς ἔν τινι πανδοχεῖ, ἐν ᾧ ἦν τις γυνὴ καλουμένη Ἀμαλθεία, ὡραία καὶ καλή· ὁ δὲ Ἡρακλῆς ἡδόμενος αὐτῇ, πλείονα χρόνον ἐξενίζετο. Ἰόλαος δὲ φέρων βαρέως ἐπινοεῖ τὴν ἐμπολὴν [5] τῆς Ἀμαλθείας ἐν κέρατι κειμένην ἀνελέσθαι, ἐξ ἧς ἐμπολῆς, εἶ

ἀπὸ τῶν ἐν δικαστηρίοις πρὸς ὕδωρ λεγόντων. — Addit Macar. Ἀθυμοῦντες ἄνδρες οὔπω τρύπαιον ἔστησαν· δήλη. (A principio excidisse videtur ἀλλ'.) Ἀλλ' ἢ λύκος τὰς αἶγας ἐκάλεις μολών· ἐπὶ τῶν ὑποκρινομένων καὶ πειρωμένων ἐξαπατᾶν.

1) Apost. Cent. II. 86. (Mosc. constanter Ἀμαλθίας). Macar. ἐπὶ τῶν εὐσθενούντων καὶ εὖ πραττόντων· Ἀμαλθαίᾳ γὰρ τῇ τροφῷ κέρας ἔδωκεν ὁ Ζεὺς, παρακελεύσας γενέσθαι αὐτῇ, ὃ ἂν παρὰ τοῦ κέρατος αἰτήσηται· διότι μὴ ἔχουσα αὐτὴ γάλα αἰγὶ αὐτὸν ὑπέβαλεν. Himer. Or. V. 15. εἰ γάρ τις ἢ μακάρων νήσους, ἢ Αἰθιόπων λειμῶνα πάμφορον, ἢ Ἀμαλθείας κέρας ζήτει (l. ἐζήτει), πᾶσιν ἂν ἡ πόλις τὴν ἐπιθυμίαν πληρώσειε. Philostr. Her. p. 344. Boiss. Ἀμαλθείας κέρας ἐμπλήσεις.

2) Apogr. Dresd. καθιστόρησεν. Apost. κατηστέρησεν. Schol. Arati p. 21. Κόνων ὁ μαθηματικὸς Πτολεμαίῳ χαριζόμενος Βερενίκης πλόκαμον ἐξ αὐτοῦ κατηστέρησε.

3) Apost. ὅπερ αἰτήσειε.

4) Apogr. Dresd. κατά.

5) Apogr. Dresd. ἐμπωλήν, et ἐμπωλῆς.

τι ἤθελεν, ὠνεῖτο καὶ τῷ Ἡρακλεῖ· ἔλεγον οὖν οἱ συνέκδημοι, Ἡρακλῆς τὸ κέρας ἔσχε τῆς Ἀμαλθείας, ἐξ οὗ ὠνεῖτο, ὅσα βούλοιτο ἐπ᾽ αὐτῷ, ὅθεν ὁ μῦθος προσανεπλάσθη.

Ὁ [6] δὲ Σωκράτης τὸ τῆς Ἀμαλθείας κέρας ἐξηγούμενος τοιαύτης τινὸς ἀναφορᾶς ἠξίωσεν· εἶναι γὰρ σύμβολον, ἂν μή τις ἦ μάλθων, ἀλλ᾽ ἐργάτης, πάντα ἕξειν τὰ ἀγαθά· κατὰ μὲν τὴν Ἀμαλθείαν τοῦ μὴ μάλθωνος ταττομένου· κατὰ δὲ τὸ κέρας τοῦ βοὸς ἐργατικωτάτου ὄντος τὸν ἐργάτην ἐνσημαίνεσθαι· βότρυς δὲ ἐν τῷ κέρατι εἶναι καὶ τὰ ὅμοια, ὅτι ἐν τῇ γεωργίᾳ πάντα ἔνεστιν, ὧν χρείαν ἔχομεν· διὸ καὶ ἔχοντες αὐτὸ εἰσάγονται, ὅ τε ἀγαθὸς δαίμων [7] καὶ ἡ ἀγαθὴ τύχη.

Ἄμαξα [8] τὸν βοῦν ἕλκει· ἐπὶ τῶν ἀντιστρόφως τι ποιούντων.

Ἀμαῖα [9] τὴν Ἀζησίαν μετῆλθεν· ἐπὶ τῶν πολυχρονίοις ζητήσεσι χρωμένων· Ἀμαῖα γὰρ ἡ Δημήτηρ, Ἀζησία δὲ ἡ κόρη.

Ἄμματα [10] πλέκεις· ἐπὶ τῶν [11] σκολιῶν τοὺς τρόπους· ἀπὸ τῶν ἐν Κασίῳ Πελουσιωτῶν, οἳ φυσικῇ τέχνῃ ἄμματα ἔπλεκον, δοκοὺς ἐπὶ δοκοῖς συνάπτοντες.

6) Absunt haec ab Apostolio: sumsit Arsen. ex Stobaeo Tit. 56. 16. In eundem sensum dicit Phocylides ibid. 6.

Χρηΐζων πλούτου μελέτην ἔχε πίονος ἀγροῦ,
Ἀγρὸν γάρ τε λέγουσιν Ἀμαλθαίης κέρας εἶναι.

7) Quem bonum Eventum Latini vocant. – Plin. H. N. 35. 8. Hujus (sc. Euphranoris) est simulacrum boni Eventus, dextra pateram, sinistra spicam ac papaver tenens. 36. 5. Romae Praxitelis opera sunt Flora, Triptolemus, Ceres in hortis Servilianis, boni Eventus et bonae Fortunae simulacra in Capitolio.

8) Apost. Cent. II. 88. Luc. Dial. Mort. VI. 2. νῦν δὲ τὸ τῆς παροιμίας, ἡ ἅμαξα τὸν βοῦν (πολλάκις ἐκφέρει, quod adjectum est, Hemsterh. resecandum censet).

9) Apost. Cent. II. 87.

10) Apost. Cent. II. 97.

11) τῶν Mosc. om. Mox uterque Cod. habet Πηλουσιωτῶν.

Ἀμαθής [12] *ἀναξυρίδα περιθέμενος πᾶσι ταύτην ἐδείκνυ· ἐπὶ τῶν εὑρόντων τύχῃ τινὰ, ὧν οὐκ ἦσαν ἄξιοι.*

Ἄμα [13] *δίδου καὶ λάμβανε· ὅταν πρὸς ἄπιστον συναλλάσσωμεν* [14].

Ἀμαξιαῖα [15] *ῥήματα· ἐπὶ τῶν μεγάλων λόγων καὶ κομπασμάτων.*

Ἄμας [16] *ἀπῄτουν, οἱ δὲ ἀπηρνοῦντο σκάφας, ἐπὶ τῶν ἄλλα μὲν ἀπαιτούντων, ἄλλα δὲ μὴ ἔχειν ἀρνουμένων.*

Ἁμαρτεῖν [17] *οὐκ ἔνεστι δὶς ἐν πολέμῳ· παρ' ὅσον οὐδ' ἅπαξ ἁμαρτεῖν δεῖ.*

Ἀμαθέστερόν [18] *πως εἰπὲ καὶ σαφέστερον. Ταύρου.*

Ἄμ' ἔπος [19], *ἄμ' ἔργον· ἐπὶ τῶν ὀξέως ἀνυομένων.*

Ἄμμες [20] *ποτ' ἦμεν, ἀεὶ τὰ πέρυσι βελτίω· ταπεινούμενοι οἱ Ἀθηναῖοι τοῦτ' ἔλεγον.*

Ἄμμες [21] *ποτ' ἦμες ἄλκιμοι νεανίαι· Λακωνικὴ ἡ παραβολὴ, ἀντὶ τοῦ ἡμεῖς ποτ' ἦμεν· τριῶν γὰρ χορῶν ὄντων κατὰ τὰς τρεῖς ἡλικίας καὶ συνισταμένων ἐν ταῖς ἑορταῖς, ὁ μὲν τῶν γερόντων ἀρχόμενος τοῦτ' ἔλεγεν· ὁ δὲ τῶν νεωτέρων καὶ ἀκμαζόντων,*

12) Apost. Cent. III. 9.

13) Apost. Cent. III. 12. Macar. *ἐπὶ τῶν ἀπίστων καὶ ἀγνωμόνων.*

14) Apogr. Dresd. *συναλλάσωμεν.*

15) Apost. Cent. III. 10. Dictum ad analogiam *τῶν ἁμαξιαίων λίθων.* Xen. Anab. IV. 2. 3. Cfr. Hor. Ars Poët. 97. sesquipedalia verba.

16) Apost. Cent. II. 96. Macar. *δήλη.* Vide Schol. ad Arist. Pac. 289.

17. Apost. Cent. II. 97. addit in fine: *οὐχ ὅτι ἐν τῷδε, ἀλλὰ καὶ ἐν ἄλλοις.*

18) Apost. II. 98. Abest hoc a Laur.

19) Apost. Cent. III. 11. Macar. *δήλη.* Vide Boisson. ad Nicet. p. 8.

20) Macar. *ἄμες ποχ' ἔμες* (sic) *ἀντὶ τοῦ ἡμεῖς ποτε ἦμεν.*

21) Apost. Cent. III. 6. Arsen. *ποτ' ἦμεν*, sed litterae *ν* in Cod. inscriptum erat *ς*. Matth. Vide Plut. Lyc. c. 21.

Ἄμμες δέ γ' ἐσμὲν, αἰ δὲ λῇς, πεῖραν λαβέ [22].

ὁ δὲ τῶν νηπίων καὶ οὔπω ἀκμαζόντων,

Ἄμμες δὲ γ' ἐσσόμεσθα [23] *πολλῷ κἀρρύτερες* [24].

Ἀμελοῦς [25] *γωνία· ἐπὶ τῶν ῥᾳθύμως καὶ ἀργῶς καθημένων. Ἔστι γὰρ χωρίον Λιβύης ἐν ἀποκρήμνῳ, Ἀμελοῦς γωνία καλούμενον.*

Ἀμεινόνων [26] *οἰωνῶν τυχεῖν· ἐπὶ τῶν ἐκ κακῶν εἰς ἀγαθὰ μεταβαινόντων.*

Ἄμεινον [27] *τῇ ἄλλῃ θείᾳ συγχωρήσαντα τὴν δόξαν νικᾶν, ἢ τῇ δόξῃ συγχωρήσαντα πρὸς τῆς ἀληθείας ἡττᾶσθαι.*

Ἀμύνει [28] *ὡς ἔοικεν ἡ πάγη· ἐπὶ τῶν διὰ τῆς ἄλλων ἀπωλείας σωζομένων.*

Ἀμουσότερα [29] *Λειβηθρίων· ἐπὶ τῶν ἀπαιδεύτων· Λειβήθριον γὰρ ὄρος Πιερικὸν, οὔτε μέλους ἁπλῶς, οὔτε ποιήματος ἔννοιαν λαμβάνον.*

Ἄμμον [30] *μετρεῖν· ἐπὶ τῶν ἀνήνυτα ποιούντων.*

Ἀμυστὶ [31] *πίνειν· λέγεται ἐπὶ τῶν ἀπνευστὶ καὶ ἄνευ τοῦ ἀναπαύεσθαι πινόντων, οἱονεὶ μηδὲ* [32] *μυσάντων· τοῦ αὐτοῦ ἔχεται καὶ τὸ ἐξαμυστῆσαι.*

Ἀμφιδρομίαν [33] *ἄγεις· τὴν πέμπτην ἄγουσιν*

22) Pro *πεῖραν λαβέ* in marg. legitur *αὐγάσδεο*. Matth. Ita legitur apud Plut. Instit. Lacon. p. 338. B. ubi vide Wyttenb.

23) Codd. *ἐσόμεθα*. Ser. *ἐσσόμεσθα*.

24) In Plutarcho duo Codd. Cardinalis Rodulfi et Vaticanus *κρείσσονες*. Arsenii Codd. *κάρονες*.

25) Apost. Cent. III. 3.

26) Apost. Cent. III. 2. Mosc. et Laur. *ἀμείνων οἰωνῶν*. Macar. consentit.

27) Abest a Laur. et Apost.

28) Apost. Cent. III. 8.

29) Apost. Cent. III. 1.

30) Apost. Cent. III. 5. *ἐπὶ τῶν ἀδυνάτων*. Similiter Macar.

31) Apost. Cent. II. 95. Horat. Od. I. 36. Threïcia vincat amystide. Callim. Fragm. CIX. *καὶ γὰρ ὁ Θρηϊκίην μὲν ἀπέστυγε χανδὸν ἄμυστιν ζωροποτεῖν*. Vide Spanh. ad Julian. Or. I. p. 15. C.

32) Apogr. Dresd. *δὲ*.

33) Apost. Cent. II. 89. Ad rem cfr. Böttiger Amalthea

ἐπὶ τοῖς βρέφεσιν, ἐν ᾗ ἀποκαθαίρονται τὰς χεῖρας αἱ συναψάμεναι τῆς μαιώσεως· τὸ δὲ βρέφος παραφέρουσι [34] τὴν ἑστίαν τρέχοντες, καὶ δῶρα πέμπουσιν οἱ προσήκοντες, ὡς ἐπὶ τὸ πλεῖστον πολύποδας. Λέγεται ἐπὶ τῶν καθαιρομένων, καὶ Λυσίας ἐν τῷ περὶ ἀμβλώσεως· ἡμέρα τις ἦγετο ἐπὶ τοῖς νεογνοῖς παιδίοις, ἐν ᾗ τὸ βρέφος παρὰ τὴν ἑστίαν ἔτρεχον φέροντες, καὶ παρὰ τῶν οἰκείων καὶ φίλων πολύποδας καὶ σηπίας ἐλάμβανον.

Ἀμφιθέτῳ ἔπινες [35]· ἐπὶ τῶν ζωροποτούντων· ἀμφίθετος δέ ἐστι φιάλη ἡ κατὰ πᾶν μέρος αὐτῆς τιθεμένης ἀπύθμενος· οὐ τὸ παρ' ἡμῖν ποτήριον, ἀλλὰ γένος λέβητος, ἐκ παντὸς μέρους δυνάμενον ἕδραν ἔχειν.

Ἀμφιθαλὴς [36] ἔρως ἐστὶν ἐν ἡμῖν· ὁ ἐν ἀμφοτέροις θάλλων, ἢ φίλοις ἢ γονεῦσι, καὶ μηδενὸς ὠρησμένος.

Ἄμυρις [37] μαίνεται· ἐπὶ τοῦ φρενήρους· οὗτος θεωρὸς ὑπὸ Σιβυλλιῶν πεμφθεὶς εἰς Δελφοὺς περὶ εὐδαιμονίας, καὶ τοῦ θεοῦ χρήσαντος, ἀπώλειαν Σιβυλλιῶν ἔσεσθαι τότε, ὅτ' ἀνθρώπους θεῶν προτιμήσωσι, θεασάμενος δοῦλον, πρὸς ἱερῷ μαστιγούμενον καὶ προσφυγόντα τῷ ἱερῷ καὶ μὴ ἀπολυόμενον [38], ὕστερον δὲ εἰς τὸ τοῦ μαστιγοῦντος πατρὸς μνῆμα καταφυγόντα ἀπολυθῆναι, συνεὶς τὸ λόγιον, ἐξαργυρισάμενος τὴν οὐσίαν ἀπῆρεν [39] εἰς Πελοπόννησον. Ὃ οὖν λογισμῷ ἐποίησε,

Vol. I. p. 55. et qui ibi laudantur.

34) Apost. *φέρουσι παρὰ τὴν ἑστίαν.*

35) Apost. Cent. II. 90. Cfr. Eustath. ad Il. ψ. p. 1299. 54.

36) Apost. Cent. II. 91. Aristoph. Av. 1737. *ἀμφιθαλὴς ἔρως.* Eustath. ad Hom. Il. χ. 496. *Ἀμφ. δὲ παῖς ὁ ἀμφοτέρωθεν θάλλων ἤτοι εὐδαιμονῶν, ἤγουν ὑπὸ πατρὸς καὶ μήτρος περίεισιν.* Cfr. Coray ad Heliod. I. 12. p. 41.

37) Apost. Cent. II. 93. Expositio sumta est ex Eustathio p. 298. 2. qui sua ex Pausaniae Lexico rhetorico mutuatus est. Macar. *ἐπὶ τῶν καθῆκον μέν τι πραττόντων, δόξαν δὲ μαγίας τισὶ διδόντων.*

38) Apogr. Dresd. *ἀπολλύμενον.*

39) Apost. *ἀπῆγεν.* — Participia *ἀσυνδέτως* juncta, ut h. l. *συνεὶς τὸ λόγιον, ἐξαργυρισάμενος τὴν οὐσ.* praecipue amat Lon-

τοῦτ' εἰς μανίαν Συβαρῖται μετέστρεψαν· ὁ δὲ τῷ χρόνῳ διὰ τὴν προσποίητον μανίαν ἐθαυμάσθη.

Ἀμνία [40] θερίζειν· ἐπὶ τῶν χρόνῳ ὕστερον τιμωρουμένων· ὅταν γὰρ ἀμνία ᾖ, οὐκ ἀποκείρεται.

Ἀμφικτυονικὸν [41] συνέδριον· τὸ Ἑλληνικὸν καὶ δίκαιον· συνήγετο δὲ ἐν Θερμοπύλαις· ὠνομάσθη δὲ ἤτοι ἀπὸ Ἀμφικτύονος τοῦ Δευκαλίωνος, ὅτι αὐτὸς συνήγαγε τὰ ἔθνη βασιλεύων, ὡς φησι Θεόπομπος ἐν ὀγδόῃ· ταῦτα δὲ ἦν δώδεκα· Ἴωνες, Δωριεῖς, Περῥαιβοὶ, Βοιωτοὶ Μέδοντες, Ἀχαιοὶ, Φθιῶται, Μηλιεῖς, Δόλοπες, Αἰνιᾶνες [42], Δελφοὶ, Φωκιεῖς· ἢ ἀπὸ τοῦ περιοίκους εἶναι τῶν Δελφῶν τοὺς συναχθέντας· ὡς Ἀναξιμένης ἐν πρώτῳ Ἑλληνικῶν.

Τὸ $\overline{\alpha}$ μετὰ τοῦ $\overline{\nu}$.

Ἀναίσχυντος [1] καὶ σιδηροῦς ἄνθρωπος· ἐπὶ τῶν ἀπηρυθριακότων καὶ μηδεμίαν μεταβολὴν τοῦ προσώπου ποιουμένων.

Ἀναγυράσιος [2] δαίμων· ὠμότατος ὁ Ἀναγυράσιος [3] οὗτος.

Ἀναίμακτον [4] ἔστησε τρόπαιον· ἐπὶ τῶν ἀνευ κινδύνου καὶ φόνων μέγα τι κατωρθωκότων.

gus. III. p. 70. Villois. εἶς δὴ κύων τῶν προβατευτικῶν ἀμέλειαν φυλάξας, κρέας ἁρπάσας ἔφυγε. Vide Villois. not. p. 127. 145. — Julian. Misop. p. 355. A. ὁ δὲ ἀδικῶν, εἶτα εἰργόμενος, ὀφεὶς μέμφεσθαι τὸν ἀδικούμενον — τρέπει. Plut. Instit. Lacon. p. 237. A. τοῦτον δεῖ τὸν ζωμὸν γυμνασάμενον Λακωνικῶς, τῷ Εὐρώτᾳ λελουμένον ἐπομβᾶσθαι. Cfr. Boisson. ad Aristaen. p. 256.

40) Apost. Cent. II. 99. Cfr. Eustath. p. 1624. 14.

41) Apost. Cent. III. 4.

42) Codd. Αἰνειάνες, mox περιοικίστους pro περιοίκους. Macar. addit ἀμφοῖν χεροῖν· δήλη.

1) Apost. Cent. III. 13. κεῖνος ἐξ ἀδάμαντὸς ἢ σιδάρου κεχάλκευται μέλαιναν καρδίαν. Pindari apud Plut. de Util. ex inim. p. 91. A.

2) Apost. Cent. III. 55.

3) Apogr. Dresd. Ἀναγύρασος.

4) Apost. Cent. III. 64. Aristid. Panath. p. 180. μόνοι γὰρ ἁπάντων ἀνθρώπων τὸ λεγόμε-

Ἀναβάδην [5] *ἀναπαύομαι· ἐπὶ τῶν ἀμελῶν.*

Ἀνδρὸς [6] *κακῶς πράσσοντος ἐκποδὼν φίλοι· ἐπὶ τῶν ἐν τοῖς κακοῖς μηδεμίαν εὑρισκόντων παρὰ τοῖς φίλοις ὠφέλειαν.*

Ἀνδραποδώδης [7] *θρίξ· ἐπὶ τῶν ἠλιθίων· Πλάτων· ἔχοντας ἀνδραποδώδεις ἐπὶ τῆς ψυχῆς τρίχας ὑπ᾽ ἀμουσίας.*

Ἀνδριάντα [8] *γαργαλίζεις· ἐπὶ τῶν ἀδυνάτων.*

Ἀνδρὸς [9] *γέροντος μήποτ᾽ εἰς πυγὴν ὁρᾷν· ἐπὶ τῶν πρὸς ἕνια μὴ χρησίμων.*

Ἀνδρὸς [10] *δ᾽ εὐόρκου γενεὴ μετόπισθεν ἀμείνων· τῆς Πυθίας ἡ γνώμη, ἣν εἶρηκε πρὸς Γλαῦκον τὸν Ἐπικυδίδην Σπαρτιάτην.*

ror δὴ τοῦτο ἀναίμακτον τρόπαιον ἐστήσατε. Plut. Timol. c. 37. *τῶν μὲν αὐτόθι κακῶν ὑπὸ τῆς τύχης προεκκομισθεὶς ἀναίμακτος καὶ καθαρὸς, — — τὰ δὲ πλεῖστα τρόπαια τῶν ἀγώνων ἀδάκρυτα καὶ ἀπενθῆ τοῖς πολίταις καταστήσας.* Flamin. c. 71. *ὀλίγου δεῖν ἀναίμακτος αὐτὴ καὶ ἀπενθὴς φερομένη τὸ κάλλιστον καὶ περιμαχητότατον ἆθλον.* Ages. c. 33. *Ἀρχίδαμος δ᾽, ὁ υἱὸς αὐτοῦ — ἐνίκησεν Ἀρκάδας τὴν λεγομένην ἄδακρυν μάχην· οὐδεὶς γὰρ ἔπεσε τῶν μετ᾽ αὐτοῦ, συχνοὺς δὲ τῶν ἐναντίων ἀνεῖλεν.* Themist. Or. II. p. 37. C. *ὑμνοῦσι μὲν οὖν Σπαρτιᾶται ἀναίμακτόν τινα καὶ ἄδακρυν νίκην, δι᾽ ἧς Ἀρκάδων ἐκράτησαν μετὰ τὴν ἐν Λεύκτροις συμφοράν.*

5) Aristoph. Plut. 1123.

6) Apost. Cent. III. 18. Macar. *δήλη.* Aristid. Panathen. p. 112. *καὶ τὴν παροιμίαν ἐνήλλαξεν· οὐ γὰρ ἐκποδὼν εἶναι κατέδειξε φίλου κακῶς πράξαντος, ἀλλὰ πολλοὺς καὶ τῶν πρόσθεν διαφόρων ἐπὶ τοῖς ἀτυχήμασι φίλους πεποίηται.*

7) Apost. Cent. III. 19. Cfr. Eustath. p. 79. 7. — Platonis locus est in Alcib. I. p. 120. — Pro *ψυχῆς* Mosc. habet *γῆς.*

8) Apost. Cent. III. 20. Cfr. Lucian. Hermot. c. 51. *ὥσπερ εἰ ἀνδριάντος ἐρῶν ἐτύγχανες,* etc. Apud Diogen. Laërt. IV. c. 2. 3. Phryne de Xenocrate illecebris suis immoto dixit: *ὡς οὐκ ἀπ᾽ ἀνδρὸς, ἀλλ᾽ ἀπ᾽ ἀνδριάντος ἀνασταίη.*

9) Apost. Cent. III. 24. Arsen. *πηγὴν,* sed priori *η* inscriptum *υ.* Matth. Etiam Laurent. *πηγήν.*

10) Apost. Cent. III. 29. Pausan. II. 18, 2. *τούτοις ἦν ἄρα ὁμολογοῦντα, ἡνίκα ἡ Πυθία Γλαύκῳ τῷ* (Cod. Angel. *τοῦ*) *Ἐπικύδους Σπαρτιάτῃ, βουλεύσαντι ἐπίορκα ὀμόσαι, καὶ τοῦδε εἶπεν ἐς τοὺς ἀπογόνους κατιέναι τὴν δίκην.* Coll. VIII. 7, 8. Plat. Polit. I. p. 364. D. *παῖδας γὰρ παίδων φασὶ καὶ γέ-*

Ἀνδρὶ [11] Ἀνδῷ πράγματα οὐκ ἦν, ἀλλ' αὐτὸς ἐθέλων ἐπρίατο· ἐπὶ τῶν κακὰ ἑαυτοῖς ἐπισπωμένων· Κροῖσος γὰρ ἑαυτῷ πολέμιον ἐπεσπᾶτο Κῦρον.

Ἀνδρὸς [12] γέροντος ἀσθενὲς τὸ κρανίον· ἐπὶ τῶν εἰς μηδὲν χρησιμευόντων· πᾶν γὰρ τὸ σῶμα τοῦ γέροντος ἀσθενές.

Ἀνδρὸς γέροντος [13] αἱ γνάθοι βακτηρία· ἐπὶ τῶν πρὸς τὸ γῆρας πολλὰ ἐσθιόντων.

Ἀνέλπιστον [14] βίον ζῇς· τὸν κάλλιστον εἰρήκασιν Ἀττικοί· ἐν ᾧ οὐκ εἰς ἐλπίδας ἐπτύηται, ἀλλὰ πάρεστιν ἤδη τἀγαθά· οὕτω Πίνδαρος.

Ἀνερρίφθω [15] κύβος· ἐπὶ τῶν ἀνελπίστοις ἑαυτοὺς ἐπιῤῥιπτούντων, ὑπό τινος βίας συνωθουμένων.

Ἀνέμους [16] γεωργεῖν· πρὸς τοὺς πονοῦντας, καὶ μηδενὸς μεταλαγχάνοντας.

Ἄνεμον [17] δικτύῳ θηρᾷς, ἐπὶ τῶν ἀδυνάτων.

νος κατόπισθεν λείπεσθαι τοῦ ὁσίου καὶ εὐόρκου.

11) Apost. Cent. III. 36. Post ἐπισπωμένων Macar. pergit: παρόσον Κροῖσος ἑαυτῷ πολέμιον ἐπεσπάσατο Κῦρον, ὅμοιον καὶ τό ἀνάγυρον κινεῖ (de quo vide Boisson. ad Theodor. Hyrtacen. Anecd. Tom. I. p. 268.).

12) Apost. Cent. III. 48. Macar. ἀ. γ. ἀσταφὶς τὸ κρ. ut Zenob. et Diogen. — Πᾶν γὰρ τὸ σ. sqq. om.

13) Apost. Cent. III. 52. Mac. ἐπὶ τῶν πρὸς τῷ γήρᾳ πολλὰ ἐσθ.

14) Apost. Cent. III. 50.

15) Apost. Cent. III. 32. Macar. ἀνερίφθω (sic) κύβος· ἐπὶ τῶν ἑαυτοὺς καθιέντων εἰς κίνδυνον. Menander apud Athen. XIII. p. 559. c. δεδογμένον τὲ πρᾶγμ'. ἀνερρίφθω κύβος. Plut. Jul. Caes. c. 32. τέλος δὲ μετὰ θυμοῦ τινος, ὥσπερ ἀφεὶς ἑαυτὸν ἐκ τοῦ λογισμοῦ πρὸς τὸ μέλλον, καὶ τοῦτο δὴ τὸ κοινὸν τοῖς εἰς τύχας ἐμβαίνουσιν ἀπόρους καὶ τόλμας προοίμιον ὑπειπών· Ἀνερρίφθω κύβος ὥρμησε πρὸς τὴν διάβασιν. Idem narratur in vit. Pomp. c. 60. Fab. c. 14. δῆλος ἦν εὐθὺς ἀπειρίᾳ καὶ θρασύτητι τὸν περὶ τῶν ὅλων ἀναῤῥίψων κύβον. Lucian. pro imagg. c. 16. τολμήσω ἀναῤῥίψαι τὸν κύβον. Aristid. ὑπὲρ τῶν τεττ. p. 142. καὶ εἰς ὑπὲρ πάντων κύβος ἀνερρίπτετο.

16) Apost. Cent. III. 47.

17) Apost. III. 56.

Ἀνέμου [18] *πεδίον· ἐπὶ τῶν εὐμεταβόλων καὶ κούφων.*

Ἀνεπαρίασαν [19]*, ἐπὶ τῶν μεταγινωσκόντων ἐπί τινι· οἱ γὰρ Πάριοι ὁμολογήσαντες παραδώσειν Ἀθηναίοις τὴν πόλιν ὕστερον μετέγνωσαν.*

Ἀνὴρ [20] *ὁ φεύγων καὶ πάλιν μαχήσεται· ἐπὶ τῶν ἑτεραλκεῖ νίκῃ χρωμένων τάττεται.*

Ἄνθρακες [21] *ὁ θησαυρός· ἐπὶ τῶν ἐλπιζόντων μὲν ἀγαθὰ, κακουμένων δὲ, ἀφ' ὧν ἦν αὐτοῖς ἡ τῶν ἀγαθῶν ἐλπίς· ἢ* [22] *ἐπὶ τῶν, ἐφ' οἷς ἤλπισαν, διαψευσθέντων· ὡς ὁ Λουκιανὸς, ἄνθρακά μοι τὸν θησαυρὸν ἀπέφηνας.*

Ἄνθρωπος εὔριπος [23]*· ἐπὶ τῶν ῥᾷστα μεταβαλλομένων καὶ ἀσταθμήτων ἀνθρώπων.*

Ἀνθεῖ πρὸς ἐπιστήμην ψυχὴ, ὁπότε αἱ τοῦ σώματος ἀκμαὶ χρόνου μήκει μαραίνονται.

Ἄνθρωπος [24] *ἀνθρώπου δαιμόνιον· ἐπὶ τῶν ἀπροσδοκήτως ὑπ' ἀνθρώπου σωζομένων.*

Ἀνὴρ [25] *φεύγων οὐ μένει λύρας κτύπον· ἐπὶ τῶν ταχέως καὶ ὀξέως ὀφειλόντων ἕκαστα πράττειν.*

18) Apost. III. 57. Macar. καὶ κούφων om.

19) Apost. III. 62. Macar. ἐπὶ τῶν μεταγινωσκόντων· Πάριοι γὰρ μεταγνόντες Ἀθηναίοις δι' ἀσθένειαν αὖθις ἔλυσαν τὰ ὁμολογηθέντα, συμμαχίας εὐπορήσαντες.

20) Demosthenes ad fugam suam excusandam his verbis usus esse dicitur. Cfr. Virg. Aen. II. 367. Quondam etiam victis redit in praecordia virtus.

21) Apost. Cent. III. 22. Macar. ἄνθρακες ὁ θησαυρὸς πέφηνεν· ἐπὶ τῶν ἐφ' οἷς ἤλπισάν, διαψευσθέντων. Phaedr. Fab. IV. 55. ed. Berger: Carbonem, ut ajunt, pro thesauro invenimus. (Quem spes delusit, huic querela convenit. Lucian. Hermot. c. 71. οἷά με εἰργάσω, ὦ Λυκῖνε, ἄνθρακά μοι τὸν θησαυρὸν ἀποφήνας. (Hunc locum respexisse videtur Apost.) Timon. c. 41. πόθεν χρυσίον τοσοῦτον; ἢ που ὄναρ ταῦτά ἐστι; δέδια γοῦν, μὴ ἄνθρακας εὕρω. Philops. c. 32. τὸ γοῦν τοῦ λόγου ἐκεῖνο, ἄνθρακες ἡμῖν ὁ θησαυρὸς πέφηνας. Navig. c. 26. πάνυ σοι ἀπὸ λεπτῆς κρόκης ὁ πᾶς οὗτοσὶ πλοῦτος ἀπήρτηται, καὶ ἦν ἐκείνη ἀποῤῥαγῇ, πάντα οἴχεται, καὶ ἄνθρακές σοι ὁ θησαυρὸς ἔσται.

22) Apogr. Dresd. ἢ οἱ ἐπί.

23) Apost. Cent. III. 25.

24) Apost. Cent. III. 55.

25) Apost. Cent. III. 55.

Ἄνθρωπος [26] *εὔριπος, τύχη εὔριπος, διάνοια εὔριπος· ταῦτα ἐπὶ τῶν παλιμβόλων.*

Ἀνίπτοις [27] *ποσὶν ἀναβαίνει ἐπὶ τὸ τέγος· ἐπὶ τῶν ἀμαθῶς ἐπί τινα ἔργα ἐρχομένων.*

Ἀνεῳγμέναι [28] *Μουσῶν θύραι· ἐπὶ τῶν ἐξ ἑτοίμου λαμβανόντων τὰ κάλλιστα ἐπὶ τῇ παιδείᾳ.*

Ἂν [29] *μὴ λεοντῇ ἐξικνεῖται, τὴν ἀλωπεκῆν πρόσαψον· ὁ νοῦς, ἂν μὴ φανερῶς ἀμυνόμενος ἀντέχῃς, πανουργίᾳ χρῆσαι.*

Ἀντὶ [30] *κακῆς κυνὸς σῦν ἀπαιτεῖς· ἐπὶ τῶν καλὰ ἀντὶ κακῶν ἀποδιδόντων.*

Ἀνόητος [31] *νεοττὸς ἑκὼν δείκνυσι τὴν ἑαυτοῦ νεοσσιάν.*

Ἀνάγκῃ [32] *οὐδὲ θεοὶ μάχονται· ὁμοία τῇ· τῇ* [33] *ἀνάγκῃ χρὴ πείθεσθαι.*

Ἂν [34] *μὴ παρῇ κρέας, ταρίχῳ στερκτέον· παρεγγυᾷ, ὅτι δεῖ τοῖς παροῦσιν ἀρκεῖσθαι.*

Ἀντὶ [35] *πέρκης σκορπίον· ἐπὶ τῶν τὰ χείρω ἀντὶ βελτιόνων αἱρουμένων.*

Ἄντης ποτός· ἐπὶ τῶν ἄγαν ψυχρῶν· ψυχρὸς γὰρ οὗτός ἐστιν.

Ἂν στρουθὸς εἰς χάρακας· [35*] *πρὸς τοὺς οἰομένους λανθάνειν, ἐν οἷς πράττουσιν.*

26) Apost. Cent. III. 60. *παλιμβόλος*, qui se facile mutat, simulator ac dissimulator, veterator. Wyttenb. ad Plut. de educat. Puer. p. 4. A.

27) Apost. Cent. III. 65. Lucian. Praec. rhet. c. 14. *ἀλλ' ἀνίπτοις τοῖς ποσὶν (ἡ παροιμία φησὶν) ἔμβαινε.* Pseudol. c. 4. *ὡς οὐ μάτην, οὐδὲ φιλαπεχθημόνως, οὐδ' ἀνίπτοις ποσὶ, κατὰ τὴν παροιμίαν, ἐπὶ τόνδε τὸν λόγον ἀπηντήκαμεν.*

28) Apost. Cent. III. 66.

29) Apost. Cent. III. 67. Lysandri apophth. apud Plut. c. 7. *τῶν δ' ἀξιούντων μὴ πολεμεῖν μετὰ δόλου τοὺς ἀφ' Ἡρακλέους γεγονότας καταγελᾶν ἐκέλευεν· ὅπου γὰρ ἡ λεοντῇ μὴ ἐφικνεῖται, προσραπτέον ἐκεῖ τὴν ἀλωπεκῆν.*

30) Apost. Cent. III. 65. Arsen. *ἣν ἀπαιτεῖς.*

31) Apost. Cent. III. 59. Laurent. *νεοσσός*, supra lin. *νεοττός.*

32) Apost. Cent. III. 49. Simonidis effatum apud Plat. Protag. p. 345. d. ubi Heind.

33) *τῇ* apogr. Dresd. om.

34) Apost. Cent. III. 50.

35) Apost. Cent. III. 51.

35 * Apost. Cent. III. 54.

Ἄνους [36] *ὁ μακρὸς κατὰ τὴν παροιμίαν· ἧς ἐναντία, ἔννους ὁ μακρὸς, λῆρος, ἡ παροιμία.*

Ἂν [37] *οἶνον αἰτῇ, κόνδυλον αὐτῷ δίδου· ἐπὶ τῶν ἀγαθὰ μὲν αἰτούντων, κακὰ δὲ ἀντιλαμβανόντων· ἡ δὲ ἱστορία ἀπὸ τοῦ Κύκλωπος.*

Ἀνακυμβαλιάζεις [38] *τοὺς δίφρους· ἐπὶ ταραχῆς καὶ ζάλης λέγεται.*

Ἀντὶ [39] *χαρίεντος ἰατροῦ κακὸς ποιητὴς καλεῖσθαι ἐπιθυμεῖς· ἐπὶ τῶν μὴ ταῖς ἰδίαις τέχναις ἀρκουμένων, ἀλλὰ καὶ παρ' ὧν οὐκ ἴσασι δόξαν ἐφελκομένων προσποίητον· Περίανδρος γάρ τις ἰατρὸς ἀξιόλογος κατὰ τέχνην ὤν, καὶ ἐπαινούμενος εἰς τὰ μάλιστα, φαῦλα ποιήματα ἔγραψεν.*

Ἂν [40] *τοὺς φίλους μισῶμεν, τί ποιήσομεν τοὺς μισοῦντας; ἐξ ἀποφθέγματος.*

Ἀντ' [41] *εὐεργεσίης Ἀγαμέμνονα δῆσαν Ἀχαιοί· ἐπὶ τῶν ἀχαρίστων.*

Ἂν πολλὰ βάλλῃς [42]*, ἄλλοτ' ἀλλοῖον βαλεῖς· ἐπὶ τῶν ἐκ πολλῶν καὶ παντοδαπῶν λόγων ἢ ἔργων ἐπιτυγχανόντων τοῦ ζητουμένου ἢ τοῦ σκοποῦ.*

Ἀντρώνιος [43] *ὄνος, καὶ Ἀχαρνικοὶ ἵπποι· ἐπὶ τῶν μεγάλων καὶ ἀγρίων καὶ ἀνενεργήτων· τοιοῦτοι γὰρ οἱ ὄνοι ἐν Ἄντρωνι, καὶ οἱ ἵπποι ἐν Ἀχαρναῖς, ὡς Φερεκράτης φησί.*

36) Apost. Cent. III. 47.

37) Apost. Cent. III. 46.

38) Apost. Cent. III. 43.

39) Apost. Cent. III. 16. Archidami apophthegma ad Periandrum medicum Plut. Apophth. Lacon. p. 218. F. — De voce *χαρίεις*, quam explicat Plutarchus per *ἀξιόλογος*, cfr. Boisson. ad Philostr. Heroic. p. 312.

40) Apost. Cent. III. 17.

41) Apost. Cent. III. 21. Macar. *δήλη*. In Agamemnonis herma, Athenis in porticu hermarum posita, inscriptum fuisse, *ἀντ' εὐ. Ἀγ. στῆσαν Ἀχ.* et *δῆσαν* parodiae tribuendum esse docet Welcker Sylloge Epigramm. p. 224.

42) Apost. Cent. III. 23. Codd. *πολλὰ βάλῃς*.

43) Apost. Cent. III. 26. Laur. Ἀντρόνιος. Macar. *ἀντρώνιος ὄνος· ἐπὶ τῶν παμμεγέθη σώματα ἐχόντων.*

Ἀκούω [44] τῶν Σκυθῶν βασιλέα ἵππον ὀπουδαίαν ἔχειν πᾶσαν ἀρετὴν, ὅσην οἱ ἵπποι ἀπαιτοῦνται· ἔχει δὲ καὶ υἱὸν αὐτῆς ἐκείνης τῶν ἄλλων ἀρετῇ διαπρέποντα· οὔκουν εὑρίσκοντα, οὔτε ἐκείνην ἄλλῳ περιβαλεῖν, οὔτε ἐκεῖνον ἐπαγαγεῖν ἄλλῃ, συναγαγεῖν ἄμφω εἰς τὸ ἔργον· τοὺς δὲ τὰ μὲν ἕτερα ἀσπάζεσθαι σφᾶς καὶ φιλοφρονεῖσθαι, οὐ μὴν ἐγχρίμπτεσθαι· οὔκουν τῆς ἐπιβουλῆς τοῦ Σκύθου σοφώτερα ἦν τὰ ζῶα· ἐπηλύγασεν ἱματίοις καὶ τὸν καὶ τὴν, καὶ ἐξειργάσατο τὸ ἔκνομόν τε καὶ ἔκδικον ἐκεῖνο ἔργον. ὡς δὲ ἄμφω συνεῖδον τὸ πραχθὲν, εἶτα μέντοι τὸ ἀσέβημα διελύσαντο θανάτῳ, πηδήσαντε κατὰ κρημνοῦ.

Ἄνω ποταμῶν [45]· λείπει χωροῦσι πηγαὶ, ἐπὶ τῶν ἐναντίως καὶ ἀνάπαλιν, ἢ ὡς δεῖ, λεγομένων καὶ γινομένων· ὡς ὅταν ὁ πόρνος τὸν σώφρονα λέγῃ πόρνον.

Ἂν χωλῷ [46] παροικήσῃς, ὑποσκάζειν μαθήσῃ· ὅτι οἱ βαρβάροις καὶ μοχθηροῖς συναχρωνύμενοι ἀποφέρονταί τι τῆς ἐκείνων φαυλότητος.

Ἀνὴρ ἀτεχνὴς τοῖς πᾶσιν ἐστὶ δοῦλος.

Ἀνοίκειον [47] ἐν τῷ πένθει γεωμετρία· ἐπὶ τῶν τὰ μὴ προσήκοντα ποιούντων.

44) Ex Aelian. Hist. Anim. IV. 7. Matth. Apostol. haec non habet.

45) Apost. Cent. III. 31. Macar. ἄνω ποταμῶν χωροῦσι πηγαί· ἐπὶ τῶν τὰ ἑαυτοῖς προσόντα ἐλαττώματα ἑτέροις προσανατιθέντων, καὶ ἐπὶ τῶν τὰ ἐναντία καὶ παρὰ φύσιν ἐγχειρούντων πράττειν. Eurip. Med. 410. ἄνω ποταμῶν ἱερῶν χωροῦσι πηγαί. Suppl. 303. ἄνω γὰρ ἂν ῥέοι τὰ πράγματα, ubi Markl. Lucian. Dial. Mort. VI. 2. ἄνω γὰρ ποταμῶν τοῦτό γε. Ad sensum cfr. Bergl. ad Alciphr. III. 35. et notum illud Ovidianum: in caput alta suum labentur flumina retro.

46) Apost. Cent. III. 33. Laur. παροικήσεις. Mosc. ὅτι εἰ βαρβάροις. suprascriptum οἱ. Matth. Attigit hanc confusionem Jacobs ad Philostr. Imag. p. 511. Schaefer Meletem. crit. p. 96. — Proverbium una cum expositione sumtum est ex Plut. de educat. puerorum p. 4. A, ubi Wyttenb.

47) Apost. Cent. III. 37.

Ἀντλεῖ ἀμφοτέραις· [48] *ἐπὶ τῶν σπουδῇ τι ποιούντων· ὁμοία τῇ· πάντα κάλων κινεῖς.*

Ἀντιπελαργεῖν [49]*· ἀντιδιδόναι χάριτας· λέγεται γὰρ τοὺς πελαργοὺς γεγηρακότας τοὺς γονεῖς τρέφειν. Ὁ Ἀριστοτέλης φησὶ τὸν περὶ τῶν πελαργῶν λόγον ἀληθῆ· ὁμοίως δέ φησι ποιεῖν καὶ τοὺς ἀερόποδας· διὸ ἐν τοῖς σκήπτροις ἀνωτέρω μὲν πελαργὸν τυποῦσι, κατωτέρω δὲ ἱπποπόταμον, δηλοῦντες, ὡς ὑποτέτακται ἡ βία τῇ δικαιοπραγίᾳ* [50]*· ὁ δὲ ἱπποπόταμός ἐστι ζῶον ἀδικώταιον· περὶ πελαργῶν δὲ καὶ Ἀριστοφάνης ἐν Ὄρνισιν οὕτω φησίν·*

Ἀλλ' ἔστιν ἡμῖν τοῖσιν ὄρνισι νόμος
Παλαιὸς, ἐν τοῖς τῶν πελάργων κύρβεσιν,
Ἐπὴν ὁ πατὴρ ὁ πελαργὸς ἐκπετησίμους
Πάντας ποιήσῃ τοὺς πελαργιδεῖς τρέφων,
Δεῖ τοὺς νεοττοὺς τὸν πατέρα πάλιν τρέφειν.

Ἀναμὶξ [51] *ἀγκύλων ἱππόται· ἐπὶ τῶν μὴ κωλυομένων ποιεῖν τινα ἀγαθὰ ὑπὸ πραγμάτων* [52] *ἀγκύλων καὶ σκολιῶν· οἱ δὲ ἀγκύλοι γένος φάλαγγος πεζικῆς, τῆς ἱππικῆς προμαχόμενοι.*

Ἀντιόπης [53] *θρῆνος· ἐπὶ τῶν ἀδίκως πασχόντων, ἀπὸ τῶν δεινῶν ἀπαλλαγῆς τυχόντων· Ἀντιόπη θυγάτηρ Νυκτέως, ἣν ἔφθειρέ τις τῶν πολιτῶν· ὁ δὲ πατὴρ πέμπει τῷ ἀδελφῷ κολάσαι· ὁ δὲ ἔγκυον αὐτὴν θεασάμενος*

48) Apost. Cent. III. 38. *ἄντλει.* Macar. *ἀντλεῖν ἀμφοτέραις, ὁμοία τῇ· πάντα κάλων σείειν.*

49) Apost. Cent. III. 39. Macar. *ἐπὶ τῶν χάριτας ἀνταποδιδόντων.* Cfr. annotationem Duporti ad Il. ρ. 301. in Gnomolog. Homer. p. 96. Referendum huc ciconiae signum Pietati adjunctum in nummis familiae Caeciliae et Juniae. Eckhel Doctr. Numinor. Vol. V. p. 87. 153. in nummis Antonii ib. Vol. VI. p. 42.

50) Apost. addit: *οἱ γὰρ πελαργοὶ, δικαιοπραγεῖς ὄντες, ἐπὶ τῶν πτερύγων βαστάζουσι τοὺς γεγηρακότας· ὁ δε ἱπποπόταμός ἐστι ζῶον ἀδικώτατον.* Locum Aristoph. (Av. 1354.) non habet.

51) Apost. Cent. III. 45.

52) Apost. *γραμμάτων.* Cfr. Aeschin. in Ctes. p. 405. Dem. pro Cor. p. 265. c. var. lect., Bekkeri.

53) Apost. Cent. III. 44. Vide Suidam p. 225. Tom. I. ed. Kusteri. Matth.

ᾤκτειρεν· ἡ δὲ γεννᾷ Ζῆθον καὶ Ἀμφίονα, οὓς εἰς ὄρος ἐρῤῥιψεν ὁ θεῖος· εἶχε δὲ γυναῖκα ὄνομα Δίρκην, ἥτις ὑπονοήσασα τὸν ἑαυτῆς ἄνδρα Λύκον φιλεῖν τὴν Ἀντιόπην, ἀνάγει αὐτὴν εἰς ὄρος, καὶ δήσασα αὐτὴν ἀπὸ τραχήλου ταύρου, καὶ ἀνάψασα δᾷδας ἐπὶ τῶν αὐτοῦ κεράτων, ἔμελλεν αὐτὴν ἀπολύειν· ἡ δὲ ἐθρήνει, καὶ θορύβου γενομένου ἠθροίσθη πλῆθος γεωργῶν, σὺν οἷς καὶ Ζῆθος καὶ Ἀμφίων, καὶ γνωρίσαντες τὴν μητέρα αὐτῶν ἐρύσαντο αὐτὴν, τὴν δὲ Δίρκην τῇ προκειμένῃ παρέδωκαν τιμωρίᾳ· Ζῆθος καὶ Ἀμφίων κτίζουσι Θήβας καὶ βασιλεύουσι, καὶ τούτων οἱ ἀπόγονοι μέχρι Λαΐου καὶ Ἰοκάστου, τοῦ μετακληθέντος Οἰδίποδος.

Ἀνίπτοις [54] χερσίν· ἐπὶ τῶν βεβήλοις χερσὶ τὰ ἱερὰ μεταχειριζομένων·

Ἄνθρωπος [55] ὢν μέμνησο τῆς κοινῆς τύχης.

Ἄνευ τύχης [56] γὰρ, ὥσπερ ἡ παροιμία,
Πόνος μονωθεὶς οὐκέτ' ἀλγύνει βροτούς.

Εὐριπίδου ἡ γνώμη.

Ἄνευ ξύλου [57] μὴ βάδιζε· Κλεομένης, στρατιώτης ὢν Ἀθηναῖος, προσεποιεῖτο πρὸς τοῖς ἄλλοις κακοῖς καὶ μανίαν, εἰδὼς, ὅτι μισεῖται παρὰ τῶν πολιτῶν, διὸ καὶ βακτηρίαν ἔχων περιήει, δι' ἧς ἠμύνατο τοὺς ἐπερχομένους αὐτῷ.

54) Apost. Cent. III. 34. In proverbium abiit Homeri versus Od. Z. 266. χερσὶ δ' ἀνίπτοισιν Διὶ λείβειν αἴθοπα οἶνον ἄζομαι. Rhet. Gr. Vol. II. p. 16. οἷον Δημάδου τοῦ ἀπὸ τῆς κώπης ἀνίπτοις, τὸ τοῦ λόγου, χερσὶν ἐπὶ τὸ βῆμα πηδήσαντος. Alia vide apud Pantinum. — Hoc cum quatuor sequentibus provv. abest a Mosc. Praeterea Laur. per scribendi vitium habet: ἄνευ ἀπὸ μείζονος ἀνδρός.

55) Stob. 28. 22.

56) Stob. 29. 56. Apost. III. 42.

57) Apost. Cent. III. 38. περὶ Κλεομένους λέγει, ὃς στρατ. — Macar. addit: Ἀντ' ἀγαθῶν ἀγαθίδες· ἐπὶ τῶν εὖ παθόντων, ἀνθ' ὧν εὐεργέτησαν πρότερον. — Ἀνδρὶ πεινῶντι κλέπτειν ἔστ' ἀναγκαίως ἔχον· ἐπὶ τῶν ἐξ ἀνάγκης τι ποιούντων.

Ἀνὴρ χρηστὸς χρηστὸν αἰδεῖσθαι φιλεῖ. Εὐριπίδους ἡ γνώμη.

Τὸ α μετὰ τοῦ ξ.

Ἄξιος [1] *τριχός· ἐπὶ τοῦ εὐτελοῦς καὶ τοῦ τυχόντος.*

Ἄξιος οὐδενός [2].

Ἄξιος [3] *τοῦ παντός· ἐπὶ τῶν σφόδρα τιμίων.*

Ἄξιος [4] *εἶ τῆς ἐν Ἄργει ἀσπίδος· ἐπὶ τῶν εὐγενῶν καὶ εὐδαιμόνων· οἱ γὰρ ἐν Ἄργει ἀνύβριστοι παῖδες καὶ καθαροὶ κατὰ νόμιμον παλαιὸν τὰς ἀσπίδας φέροντες πομπεύουσιν.*

Ἄξιος [5] *ὀβελίσκου.*

Ἀξία [6] *ἡ κύων τοῦ θρόνου· ἐπὶ τῶν παρ' ἀξίαν τινὸς τυγχανόντων.*

Ἄξιος [7] *λαβεῖν ὁ μισθός· ἐπὶ τῶν εἰς κάλλος ἠσκημένων.*

Ἄοινον [8] *μέθην ὁ Θεόφραστος τὰ κουρεῖα ἐκάλει.*

Τὸ α μετὰ τοῦ π.

Ἀπαιδευτότερος [9] *Φιλωνίδου τοῦ Μελιτέως· οὗτος ὁ Φιλωνίδης οὐ μόνον μέγας ἦν, ἀλλὰ καὶ ἀ-*

1) Apost. Cent. III. 68. Aristoph. Ran. 615.

Εἰ πώποτ' ἦλθον δεῦρ', ἐθέλω τεθνηκέναι,
Ἢ 'κλεψα τῶν σῶν ἄξιόν τι καὶ τριχός.

2) Abest a Laur.

3) Apost. Cent. III. 69. Macar. *Ἄξιος τοῦ παντός· ταύτης ἐναντία, οὐδενὸς ἄξιος καὶ ἄξιος τριχός.*

4) Apost. Cent. III. 70. Callim. H. in Lav. Pall. 35.

Ὦ Ἀθάνα, φέρεται δὲ καὶ ἀ Λομήδεος ἀσπὶς,
Ὡς ἔθος Ἀργείων τοῦτο παλαιότερον.

ubi Spanh.

5) Abest a Laur.

6) Apost. Cent. III. 71.

7) Apost. Cent. III. 72. *ἄξιος λαβεῖν* pro *λαμβάνεσθαι.* Eur. Alcest. 1065. *ἀξία δέ μοι σέβειν.* Med. 374. *ξμῶν φυλάσσειν.* Cfr. Dissen. ad Pind. Nem. III. 29. Boiss. ad Philostr. Her. p. 284.

8) Non est in Laur.

9) Apost. III. 73. et Mosc. *ἀπαιδευτώτερος.*

μαθὴς καὶ ὑώδης· κωμῳδεῖ δὲ αὐτὸν Ἀριστοφάνης, ὡς παρασίτους ἔχοντα, καὶ διὰ τὸν Λαΐδος ἔρωτα· κωμῳδεῖται δὲ ὡς συώδης ἐν τοῖς ἑταίροις αὐτοῦ.

Ἀπιὼν [10] εἰς ἀπατούρια, ἐπανῆκες εἰς [11] Θαργηλιῶνα· ἐπὶ τῶν ἄγαν βραδυνόντων. Ἀπατούρια [12] δὲ ἦν ἑορτὴ Ἀθήνησιν, ἣν ἦγον ἐπὶ τρεῖς ἡμέρας· ἐκάλουν δὲ τὴν μὲν πρώτην Δορπίαν· ἐπειδὴ φράτορες ὀψίας συνελθόντες εὐωχοῦντο· τὴν δὲ δευτέραν Ἀνάῤῥυσιν· ἀπὸ τοῦ ῥύειν· ἔθυον δὲ Διῒ φρατρίῳ καὶ Ἀθηνᾷ· τὴν δὲ τρίτην Κουρεῶτιν, ἀπὸ τοῦ τοὺς κούρους καὶ τὰς κόρας ἐγγράφειν εἰς τὰς φρατρίας. Ἡ δὲ αἰτία· πόλεμος ἦν Ἀθηναίοις πρὸς Βοιωτοὺς περὶ Μελαίνων, ὃ ἦν [13] χωρίον ἐν μεθορίοις. Ξάνθιος δὲ Βοιωτοὺς προεκαλέσατο [14] τὸν Ἀθηναίων βασιλέα Θυμοίτην· οὐ δεξαμένου δὲ, Μέλανθος ἐπιδημῶν, Μεσσήνιος [15] γένος, ἀπὸ Περικλυμένους τοῦ

10) Apost. Cent. III. 74. εἰς omisit apogr. Dresd. et Laur.

11) εἰς Mosc. et Laur. om.

12) Vide Suid. Tom. I. p. 248. 249. et Schol. Aristoph. ad Acharn. v. 146. Matth. Vulgatae etymologiae, ab voce consona ἀπατᾶν deductae, quam etiam Bergl. ad Alciphr. I. 9. repetiit, meliorem opposuit Welcker Nachtrag zur äschyl. Trilogie p. 202. = ὁμοπατόρια coll. Xenoph. Hellen. I. 7, 8. Ἀπατούρια, ἐν οἷς οἵ τε πατέρες καὶ οἱ συγγενεῖς ξύνεισι σφίσιν αὐτοῖς.

13) Apogr. Dresd. οὖν.

14) Apost. προσεκαλέσατο.

15) Apogr. Dresd. Μεσήνιος. Scriptio saepe obvia. Plut. Apophth. Reg. p. 194. B. Μεσήνην. Apophth. Lacon. p. 316. F. Μεσηνίων. p. 217. Μεσηνίου. nulla varietate lectionis a Wyttenbachio annotata. Hermog. περὶ γοργότ. p. 155. Ald. Cod. Vindob. XVIII. et Monacens. CCCXXVII. Μεσήνην. Pausan. I. 13, 6. Paris. Bekkeri, Riccardian. et Venet. Μεσηνίων. I. 25, 4. Paris. et Angel. Μεσήνη. Ven. et Riccard. Μεσήνη. IV. 9, 5. et 6. Cod. Vindob. LI. Μεσηνίων. Inter proverbia Arsenii legitur: Εὐρύδαμος ὁ Μεσήνιος (ita Cod. Mosc. et Laur.) εὗρε θώρακα πολεμικόν. Inter apophth. sub nomine Φερεκύδου· Ἀνιὼν δέ ποτε εἰς Μεσήνην — — μετ' οὐ πολὺ δ' ἐάλω Μεσήνη. Codd. et impr. et ita locis innumeris. Nihilominus tamen vitiosum censeo hanc scriptionem, in omnibus enim Messenes et Messanae Siculae nummis duo σ reperiuntur Eckhel Doctr. Nummor. Vol. I p. 220 — 222. Mionnet Descript des Med. ant. Tom. I. p. 254 — 256. Rasche Lex. nummor. s. v. Μεσσήνα. Cfr. Mein. ad Menand. p. 18. Neque probaveri

Νηλέως, ὑπέστη ἐπὶ τῇ βασιλείᾳ· μονομαχούντων δὲ ἐφάνη τῷ Μελάνθῳ τις ὄπιθεν τοῦ Ξανθίου, τραγῆν ἐνειμένος [16] *μέλαιναν· ἔφη οὖν αὐτὸν ἀδικεῖν, δεύτερον ἥκοντα, ὁ δὲ ἀπεστράφη· ὁ δὲ παίσας ἀποκτείνει αὐτόν· ἐκ δὲ τούτου ἥ τε ἑορτὴ Ἀπατούρια, καὶ Διονύσου Μελαναιγίδος βωμὸν ἐδομήσαντο· ὁ δὲ Θαργηλιών ἐστι μὲν Ἀθηναῖος, καθ' ὃν καὶ ἑορτὴ Ἀπόλλωνος καὶ Ἀρτέμιδος Θαργήλια λεγομένη, ἐν ᾗ ἤψουν ἀπαρχὰς τῷ θεῷ τῶν πεφυκότων* [17] *καρπῶν· ἵσταντο δὲ ἐν αὐτῇ καὶ χοροὶ, καὶ ἀγὼν πρὸς ποιουμένων* [18] *Θαργήλια. Ἔφορος δὲ ἐν δευτέρᾳ φησίν, ὡς διὰ τὴν ὑπὲρ τῶν ὁρίων ἀπάτην γενομένην ἐκλήθη. Πολεμούντων γὰρ Ἀθηναίων πρὸς τοὺς Βοιωτοὺς ὑπὲρ τῆς Μελανίων χώρας, Μέλανθος, ὁ τῶν Ἀθηναίων βασιλεὺς, Ξάνθον τὸν Θηβαῖον μονομαχῶν ἀπατήσας ἀπέκτεινεν.*

Ἅπαντα [19] *τοῖς καλοῖσιν ἀνδράσι πρέπει· δήλη.*

Ἀπαλοὶ [20] *θερμολουσίαις, ἁβροὶ μαλθακευνίαις* [21]*· ἐπὶ τῶν ὑπὸ τρυφῆς καὶ ἁβρότητος διαῤῥεόντων.*

Ἀπ' ἀκροφυσίων [22] *λόγους ἐνδεικνύναι· οἱονεὶ καινοὺς καὶ νεοποιήτους. Ἀριστοφάνης· ῥήματά τε κομψὰ καὶ παίγνια ἐνδεικνύναι· πάντα ἀπ' ἀκροφυσίων* [23] *τῶν ἀπὸ κινναβευμάτων· λέγει γὰρ διὰ μὲν τὰ ἀπ' ἀκροφυσίων καινῶς εἰργασμένα καὶ οἷον ἐκ πυρός· διὰ*

aliquid epigramma in novem lyricos, a Welckero Sylloge Epigr. p. 278. repetitum:

Ἴβυκος Ἰταλὸς αὖ ἐκ Ῥηγίου ἦε Μεσήνης.

de aetate enim epigrammatis nihil constat.

16) Apogr. Dresd. *ἀνειμένος.*

17) Apogr. Dresd. *πεφηνότων.*

18) *πρὸς ποιουμένων* apogr. Dresd. om.

19) Apost. Cent. III. 78. *καλοῖσιν* recepi ex Macario, in ceteris consentiente. Mosc. et Laur. et Apost. *καλοῖς.*

20) Apost. Cent. III. 79.

21) Apost. *μαλθακανίαις.*

22) Apost. Cent. III. 82. Vid. Suid. T. I. p. 244. Matth.

23) Apogr. Dresd. om. verba: *τῶν ἀπὸ κιννα βευμ. — — ἀπ' ἀκροφυσίων.*

Ἀνδρὶ [11] Ἀνδῷ πράγματα οὐκ ἦν, ἀλλ' αὐτὸς ἐθέλων ἐπρίατο· ἐπὶ τῶν κακὰ ἑαυτοῖς ἐπισπωμένων· Κροῖσος γὰρ ἑαυτῷ πολέμιον ἐπεσπᾶτο Κῦρον.

Ἀνδρὸς [12] γέροντος ἀσθενὲς τὸ κρανίον· ἐπὶ τῶν εἰς μηδὲν χρησιμευόντων· πᾶν γὰρ τὸ σῶμα τοῦ γέροντος ἀσθενές.

Ἀνδρὸς γέροντος [13] αἱ γνάθοι βακτηρία· ἐπὶ τῶν πρὸς τὸ γῆρας πολλὰ ἐσθιόντων.

Ἀνέλπιστον [14] βίον ζῇς· τὸν κάλλιστον εἰρήκασιν Ἀττικοί· ἐν ᾧ οὐκ εἰς ἐλπίδας ἐπτύηται, ἀλλὰ πάρεστιν ἤδη τἀγαθά· οὕτω Πίνδαρος.

Ἀνερρίφθω [15] κύβος· ἐπὶ τῶν ἀνελπίστοις ἑαυτοὺς ἐπιῤῥιπτούντων, ὑπό τινος βίας συνωθουμένων.

Ἀνέμους [16] γεωργεῖν· πρὸς τοὺς πονοῦντας, καὶ μηδενὸς μεταλαγχάνοντας.

Ἄνεμον [17] δικτύῳ θηρᾷς, ἐπὶ τῶν ἀδυνάτων.

νος κατόπισθεν λείπεσθαι τοῦ ὑσίου καὶ εὐόρκου.

11) Apost. Cent. III. 36. Post ἐπισπωμένων Macar. pergit: παρόσον Κροῖσος ἑαυτῷ πολέμιον ἐπεσπάσατο Κῦρον, ὅμοιον καὶ τό ἀνάγυρον κινεῖ (de quo vide Boisson. ad Theodor. Hyrtacen. Anecd. Tom. I. p. 268.).

12) Apost. Cent. III. 48. Macar. ἀ. γ. ἀσταφὶς τὸ κρ. ut Zenob. et Diogen. — Πᾶν γὰρ τὸ σ. sqq. om.

13) Apost. Cent. III. 52. Mac. ἐπὶ τῶν πρὸς τῷ γήρᾳ πολλὰ ἐσθ.

14) Apost. Cent. III. 30.

15) Apost. Cent. III. 32. Macar. ἀνερίφθω (sic) κύβος· ἐπὶ τῶν ἑαυτοὺς καθιέντων εἰς κίνδυνον. Menander apud Athen. XIII. p. 559. c. δεδογμένον τὸ πρᾶγμ'. ἀνερρίφθω κύβος. Plut. Jul. Caes. c. 32. τέλος δὲ μετὰ θυμοῦ τινος, ὥσπερ ἀφεὶς ἑαυτὸν ἐκ τοῦ λογισμοῦ πρὸς τὸ μέλλον, καὶ τοῦτο δὴ τὸ κοινὸν τοῖς εἰς τύχας ἐμβαίνουσιν ἀπόρους καὶ τόλμας προοίμιον ὑπειπών· Ἀνερρίφθω κύβος· ὥρμησε πρὸς τὴν διάβασιν. Idem narratur in vit. Pomp. c. 60. Fab. c. 14. δῆλος ἦν εὐθὺς ἀπειρίᾳ καὶ θρασύτητι τὸν περὶ τῶν ὅλων ἀναῤῥίψων κύβον. Lucian. pro imagg. c. 16. τολμήσω ἀναῤῥίψαι τὸν κύβον. Aristid. ὑπὲρ τῶν τεττ. p. 142. καὶ εἰς ὑπὲρ πάντων κύβος ἀνερρίπτετο.

16) Apost. Cent. III. 47.

17) Apost. III. 56.

Ἀνέμου [18] *πεδίον· ἐπὶ τῶν εὐμεταβόλων καὶ κούφων.*

Ἀνεπαρίασαν [19]*, ἐπὶ τῶν μεταγινωσκόντων ἐπί τινι· οἱ γὰρ Πάριοι ὁμολογήσαντες παραδώσειν Ἀθηναίοις τὴν πόλιν ὕστερον μετέγνωσαν.*

Ἀνὴρ [20] *ὁ φεύγων καὶ πάλιν μαχήσεται· ἐπὶ τῶν ἑτεραλκεῖ νίκῃ χρωμένων τάττεται.*

Ἄνθρακες [21] *ὁ θησαυρός· ἐπὶ τῶν ἐλπιζόντων μὲν ἀγαθὰ, κακουμένων δὲ, ἀφ' ὧν ἦν αὐτοῖς ἡ τῶν ἀγαθῶν ἐλπίς· ἢ* [22] *ἐπὶ τῶν, ἐφ' οἷς ἤλπισαν, διαψευσθέντων· ὡς ὁ Λουκιανὸς, ἄνθρακά μοι τὸν θησαυρὸν ἀπέφηνας.*

Ἄνθρωπος εὔριπος [23]*· ἐπὶ τῶν ῥᾳστα μεταβαλλομένων καὶ ἀσταθμήτων ἀνθρώπων.*

Ἀνθεῖ πρὸς ἐπιστήμην ψυχὴ, ὁπότε αἱ τοῦ σώματος ἀκμαὶ χρόνου μήκει μαραίνονται.

Ἄνθρωπος [24] *ἀνθρώπου δαιμόνιον· ἐπὶ τῶν ἀπροσδοκήτως ὑπ' ἀνθρώπου σωζομένων.*

Ἀνὴρ [25] *φεύγων οὐ μένει λύρας κτύπον· ἐπὶ τῶν ταχέως καὶ ὀξέως ὀφειλόντων ἕκαστα πράττειν.*

18) Apost. III. 57. Macar. *καὶ κούφων* om.

19) Apost. III. 62. Macar. *ἐπὶ τῶν μεταγινωσκόντων· Πάριοι γὰρ μεταγνόντες Ἀθηναίοις δι' ἀσθένειαν αὖθις ἔλυσαν τὰ ὁμολογηθέντα, συμμαχίας εὐπορήσαντες.*

20) Demosthenes ad fugam suam excusandam his verbis usus esse dicitur. Cfr. Virg. Aen. II. 367. Quondam etiam victis redit in praecordia virtus.

21) Apost. Cent. III. 22. Macar. *ἄνθρακες ὁ θησαυρὸς πέφηνεν· ἐπὶ τῶν ἐφ' οἷς ἤλπισαν, διαψευσθέντων.* Phaedr. Fab. IV. 55. ed. Bergey: Carbonem, ut ajunt, pro thesauro invenimus. Quem spes delusit, huic querela convenit. Lucian. Hermot. c. 71. *οἷά με εἰργάσω, ὦ Λυκῖνε, ἄνθρακάς μοι τὸν θησαυρὸν ἀποφήνας.* (Hunc locum respexisse videtur Apost.) Timon. c. 41. *πόθεν χρυσίον τοσοῦτον; ἢ που ὄναρ ταῦτά ἐστι; δέδια γοῦν, μὴ ἄνθρακας εὕρω.* Philops. c. 32. *τὸ γοῦν ταῦ λόγου ἐκεῖνο, ἄνθρακες ἡμῖν ὁ θησαυρὸς πέφηνας.* Navig. c. 26. *πάνυ σοι ἀπὸ λεπτῆς κρόκης ὁ πᾶς οὗτοσὶ πλοῦτος ἀπήρτηται, καὶ ἢν ἐκείνη ἀποῤῥαγῇ, πάντα οἴχεται, καὶ ἄνθρακές σοι ὁ θησαυρὸς ἔσται.*

22) Apogr. Dresd. *ἢ οἱ ἐπί.*

23) Apost. Cent. III. 25.

24) Apost. Cent. III. 55.

25) Apost. Cent. III. 55.

Ἄνθρωπος [26] *εὔριπος, τύχη εὔριπος, διάνοια εὔριπος· ταῦτα ἐπὶ τῶν παλιμβόλων.*

Ἀνίπτοις [27] *ποσὶν ἀναβαίνει ἐπὶ τὸ τέγος· ἐπὶ τῶν ἀμαθῶς ἐπί τινα ἔργα ἐρχομένων.*

Ἀνεῳγμέναι [28] *Μουσῶν θύραι· ἐπὶ τῶν ἐξ ἑτοίμου λαμβανόντων τὰ κάλλιστα ἐπὶ τῇ παιδείᾳ.*

Ἂν [29] *μὴ λεοντῇ ἐξικνεῖται, τὴν ἀλωπεκῆν πρόσαψον· ὁ νοῦς, ἂν μὴ φανερῶς ἀμυνόμενος ἀντέχῃς, πανουργίᾳ χρῆσαι.*

Ἀντὶ [30] *κακῆς κυνὸς σῦν ἀπαιτεῖς· ἐπὶ τῶν καλὰ ἀντὶ κακῶν ἀποδιδόντων.*

Ἀνόητος [31] *νεοττὸς ἑκὼν δείκνυσι τὴν ἑαυτοῦ νεοσσιάν.*

Ἀνάγκῃ [32] *οὐδὲ θεοὶ μάχονται· ὁμοία τῇ· τῇ* [33] *ἀνάγκῃ χρὴ πείθεσθαι.*

Ἂν [34] *μὴ παρῇ κρέας, ταρίχῳ στερκτέον· παρεγγυᾷ, ὅτι δεῖ τοῖς παροῦσιν ἀρκεῖσθαι.*

Ἀντὶ [35] *πέρκης σκορπίον· ἐπὶ τῶν τὰ χείρω ἀντὶ βελτιόνων αἱρουμένων.*

Ἄντης ποτός· ἐπὶ τῶν ἄγαν ψυχρῶν· ψυχρὸς γὰρ οὗτός ἐστιν.

Ἂν στρουθὸς εἰς χάρακας· [35*] *πρὸς τοὺς οἰομένους λανθάνειν, ἐν οἷς πράττουσιν.*

26) Apost. Cent. III. 60. *παλιμβόλος*, qui se facile mutat, simulator ac dissimulator, veterator. Wyttenb. ad Plut. de educat. Puer. p. 4. A.

27) Apost. Cent. III. 65. Lucian. Praec. rhet. c. 14. *ἀλλ' ἀνίπτοις τοῖς ποσὶν (ἡ παροιμία φησὶν) ἔμβαινε.* Pseudol. c. 4. *ὡς οὐ μάτην, οὐδὲ φιλαπεχθημόνως, οὐδ' ἀνίπτοις ποσὶ, κατὰ τὴν παροιμίαν, ἐπὶ τόνδε τὸν λόγον ἀπηντήκαμεν.*

28) Apost. Cent. III. 66.

29) Apost. Cent. III. 67. Lysandri apophth. apud Plut. c. 7. *τῶν δ' ἀξιούντων μὴ πολεμεῖν μετὰ δόλου τοὺς ἀφ' Ἡρακλέους γεγονότας καταγελᾶν ἐκέλευεν· ὅπου γὰρ ἡ λεοντῇ μὴ ἐφικνεῖται, προσραπτέον ἐκεῖ τὴν ἀλωπεκῆν.*

30) Apost. Cent. III. 65. Arsen. *ἣν ἀπαιτεῖς.*

31) Apost. Cent. III. 59. Laurent. *νεοσσός*, supra lin. *νεοττός.*

32) Apost. Cent. III. 49. Simonidis effatum apud Plat. Protag. p. 345. d. ubi Heind.

33) *τῇ* apogr. Dresd. om.

34) Apost. Cent. III. 50.

35) Apost. Cent. III. 51.

35 * Apost. Cent. III. 54.

Ἄνους [36] *ὁ μακρὸς κατὰ τὴν παροιμίαν· ἧς ἐναντία, ἔννους ὁ μακρὸς, λῆρος, ἡ παροιμία.*

Ἂν [37] *οἶνον αἰτῇ, κόνδυλον αὐτῷ δίδου· ἐπὶ τῶν ἀγαθὰ μὲν αἰτούντων, κακὰ δὲ ἀντιλαμβανόντων· ἡ δὲ ἱστορία ἀπὸ τοῦ Κύκλωπος.*

Ἀνακυμβαλιάζεις [38] *τοὺς διφροῦς· ἐπὶ ταραχῆς καὶ ζάλης λέγεται.*

Ἀντὶ [39] *χαρίεντος ἰατροῦ κακὸς ποιητὴς καλεῖσθαι ἐπιθυμεῖς· ἐπὶ τῶν μὴ ταῖς ἰδίαις τέχναις ἀρχουμένων, ἀλλὰ καὶ παρ' ὧν οὐκ ἴσασι δόξαν ἐφελκομένων προσποίητον· Περίανδρος γάρ τις ἰατρὸς ἀξιόλογος κατὰ τέχνην ὤν, καὶ ἐπαινούμενος εἰς τὰ μάλιστα, φαῦλα ποιήματα ἔγραψεν.*

Ἂν [40] *τοὺς φίλους μισῶμεν, τί ποιήσομεν τοὺς μισοῦντας; ἐξ ἀποφθέγματος.*

Ἀντ' εὐεργεσίης Ἀγαμέμνονα δῆσαν Ἀχαιοί· ἐπὶ τῶν ἀχαρίστων.

Ἂν πολλὰ βάλλῃς [42], *ἄλλον' ἀλλοῖον βαλεῖς· ἐπὶ τῶν ἐκ πολλῶν καὶ παντοδαπῶν λόγων ἢ ἔργων ἐπιτυγχανόντων τοῦ ζητουμένου ἢ τοῦ σκοποῦ.*

Ἀντρώνιος [43] *ὄνος, καὶ Ἀχαρνικοὶ ἵπποι· ἐπὶ τῶν μεγάλων καὶ ἀγρίων καὶ ἀνενεργήτων· τοιοῦτοι γὰρ οἱ ὄνοι ἐν Ἀντρωνι, καὶ οἱ ἵπποι ἐν Ἀχαρναῖς, ὡς Φερεκράτης φησί.*

56) Apost. Cent. III. 47.

57) Apost. Cent. III. 46.

58) Apost. Cent. III. 43.

59) Apost. Cent. III. 16. Archidami apophthegma ad Periandrum medicum Plut. Apophth. Lacon. p. 218. F. — De voce *χαρίεις*, quam explicat Plutarchus per *ἀξιόλογος*, cfr. Boisson. ad Philostr. Heroic. p. 312.

60) Apost. Cent. III. 17.

61) Apost. Cent. III. 21. Macar. *δήλη*. In Agamemnonis herma, Athenis in porticu hermarum posita, inscriptum fuisse, *ἀντ' εὐ. Ἀγ. στῆσαν Ἀχ.* et *δῆσαν* parodiae tribuendum esse docet Welcker Sylloge Epigramm. p. 224.

62) Apost. Cent. III. 23. Codd. *πολλὰ βάλῃς*.

63) Apost. Cent. III. 26. Laur. *Ἀντρόνιος*. Macar. *ἀντρώνιος ὄνος· ἐπὶ τῶν παμμεγέθη σώματα ἐχόντων.*

Ἀκούω [44] τῶν Σκυθῶν βασιλέα ἵππον ἀποιδαίαν ἔχειν πᾶσαν ἀρετὴν, ὅσην οἱ ἵπποι ἀπαιτοῦνται· ἔχει δὲ καὶ υἱὸν αὐτῆς ἐκείνης τῶν ἄλλων ἀρετῇ διαπρέποντα· οὔκουν εὑρίσκοντα, οὔτε ἐκείνην ἄλλῳ περιβαλεῖν, οὔτε ἐκεῖνον ἐπαγαγεῖν ἄλλῃ, συναγαγεῖν ἄμφω εἰς τὸ ἔργον· τοὺς δὲ τὰ μὲν ἕτερα ἀσπάζεσθαι σφᾶς καὶ φιλοφρονεῖσθαι, οὐ μὴν ἐγχρίμπτεσθαι· οὔκουν τῆς ἐπιβουλῆς τοῦ Σκύθου σοφώτερα ἦν τὰ ζῶα· ἐπηλύγασεν ἱματίοις καὶ τὸν καὶ τὴν, καὶ ἐξειργάσατο τὸ ἔκνομόν τε καὶ ἔκδικον ἐκεῖνο ἔργον. ὡς δὲ ἄμφω συνεῖδον τὸ πραχθὲν, εἶτα μέντοι τὸ ἀσέβημα διελύσαντο θανάτῳ, πηδήσαντε κατὰ κρημνοῦ.

Ἄνω ποταμῶν [45]· λείπει χωροῦσι πηγαὶ, ἐπὶ τῶν ἐναντίως καὶ ἀνάπαλιν, ἢ ὡς δεῖ, λεγομένων καὶ γινομένων· ὡς ὅταν ὁ πόρνος τὸν σώφρονα λέγῃ πόρνον.

Ἂν χωλῷ [46] παροικήσῃς, ὑποσκάζειν μαθήσῃ· ὅτι οἱ βαρβάροις καὶ μοχθηροῖς συναχθόμενοι ἀποφέρονταί τι τῆς ἐκείνων φαυλότητος.

Ἀνὴρ ἀτεχνὴς τοῖς πᾶσιν ἐστὶ δοῦλος.

Ἀνοίκειον [47] ἐν τῷ πένθει γεωμετρία· ἐπὶ τῶν τὰ μὴ προσήκοντα ποιούντων.

44) Ex Aelian. Hist. Anim. IV. 7. Matth. Apostol. haec non habet.

45) Apost. Cent. III. 31. Macar. ἄνω ποταμῶν χωροῦσι πηγαί· ἐπὶ τῶν τὰ ἑαυτοῖς προσήκοντα ἐλαττώματα ἑτέροις προσαναπιθέντων, καὶ ἐπὶ τῶν τὰ ἐναντία καὶ παρὰ φύσιν ἐγχειρούντων πράττειν. Eurip. Med. 410. ἄνω ποταμῶν ἱερῶν χωροῦσι πηγαί. Suppl. 303. ἄνω γὰρ ἂν ῥέοι τὰ πράγματα, ubi Markl. Lucian. Dial. Mort. VI. 2. ἄνω γὰρ ποταμῶν τοῦτό γε. Ad sensum cfr. Bergl. ad Alciphr. III. 55. et notum illud Ovidianum: in caput alta suum labentur flumina retro.

46) Apost. Cent. III. 55. Laur. παροικήσεις. Mosc. ὅτι εἰ βαρβάροις. suprascriptum οἱ. Matth. Attigit hanc confusionem Jacobs ad Philostr. Imag. p. 511. Schaefer Meletem. crit. p. 96. — Proverbium una cum expositione sumtum est ex Plut. de educat. puerorum p. 4. A. ubi Wyttenb.

47) Apost. Cent. III. 57.

Ἀντλεῖ ἀμφοτέραις· [48] *ἐπὶ τῶν σπουδῇ τι ποιούντων· ὁμοία τῇ· πάντα κάλων κινεῖς.*

Ἀντιπελαργεῖν [49]*· ἀντιδιδόναι χάριτας· λέγεται γὰρ τοὺς πελαργοὺς γεγηρακότας τοὺς γονεῖς τρέφειν. Ὁ Ἀριστοτέλης φησὶ τὸν περὶ τῶν πελαργῶν λόγον ἀληθῆ· ὁμοίως δέ φησι ποιεῖν καὶ τοὺς ἀερόποδας· διὸ ἐν τοῖς σκήπτροις ἀνωτέρω μὲν πελαργὸν τυποῦσι, κατωτέρω δὲ ἱπποπόταμον, δηλοῦντες, ὡς ὑποτέτακται ἡ βία τῇ δικαιοπραγίᾳ* [50]*· ὁ δὲ ἱπποπόταμός ἐστι ζῶον ἀδικώτατον· περὶ πελαργῶν δὲ καὶ Ἀριστοφάνης ἐν Ὄρνισιν οὕτω φησίν·*

Ἀλλ' ἔστιν ἡμῖν τοῖσιν ὄρνισι νόμος
Παλαιὸς, ἐν τοῖς τῶν πελάργων κύρβεσιν,
Ἐπὴν ὁ πατὴρ ὁ πελαργὸς ἐκπετησίμους
Πάντας ποιήσῃ τοὺς πελαργιδεῖς τρέφων,
Δεῖ τοὺς νεοττοὺς τὸν πατέρα πάλιν τρέφειν.

Ἀναμὶξ [51] *ἀγκύλων ἱππόται· ἐπὶ τῶν μὴ κωλυομένων ποιεῖν τινα ἀγαθὰ ὑπὸ πραγμάτων* [52] *ἀγκύλων καὶ σκολιῶν· οἱ δὲ ἀγκύλοι γένος φάλαγγος πεζικῆς, τῆς ἱππικῆς προμαχόμενοι.*

Ἀντιόπης [53] *θρῆνος· ἐπὶ τῶν ἀδίκως πασχόντων, εἶτα τῶν δεινῶν ἀπαλλαγῆς τυχόντων· Ἀντιόπη θυγάτηρ Νυκτέως, ἣν ἔφθειρέ τις τῶν πολιτῶν· ὁ δὲ πατὴρ πέμπει τῷ ἀδελφῷ κολάσαι· ὁ δὲ ἔγκυον αὐτὴν θεασάμενος*

48) Apost. Cent. III. 38. *ἄντλει.* Macar. *ἀντλεῖν ἀμφοτέραις, ὁμοία τῇ· πάντα κάλων σείειν.*

49) Apost. Cent. III. 39. Macar. *ἐπὶ τῶν χάριτας ἀνταποδιδόντων.* Cfr. annotationem Duporti ad Il. ρ. 301. in Gnomolog. Homer. p. 96. Referendum huc ciconiae signum Pietati adjunctum in nummis familiae Caeciliae et Juniae. Eckhel Doctr. Nummor. Vol. V. p. 87. 153. in nummis Antonii ib. Vol. VI. p. 42.

50) Apost. addit: *οἱ γὰρ πελαργοὶ, δικαιοπραγεῖς ὄντες, ἐπὶ τῶν πτερύγων βαστάζουσι τοὺς γεγηρακότας· ὁ δε ἱπποπόταμός ἐστι ζῶον ἀδικώτατον.* Locum Aristoph. (Av. 1354.) non habet.

51) Apost. Cent. III. 45.

52) Apost. *γραμμάτων.* Cfr. Aeschin. in Ctes. p. 405. Dem. pro Cor. p. 265. c. var. lect., Bekkeri.

53) Apost. Cent. III. 44. Vide Suidam p. 225. Tom. I. ed. Kusteri. Matth.

ᾠκτειρεν· ἡ δὲ γεννᾷ Ζῆθον καὶ Ἀμφίονα, οὓς εἰς ὄρο
ἔῤῥιψεν ὁ θεῖος· εἶχε δὲ γυναῖκα ὄνομα Δίρκην, ἥτι
ὑπονοήσασα τὸν ἑαυτῆς ἄνδρα Λύκον φιλεῖν τὴν Ἀντιόπην
ἀνάγει αὐτὴν εἰς ὄρος, καὶ δήσασα αὐτὴν ἀπὸ τραχήλοι
ταύρου, καὶ ἀνάψασα δᾷδας ἐπὶ τῶν αὐτοῦ κεράτων
ἔμελλεν αὐτὴν ἀπολύειν· ἡ δὲ ἐθρήνει, καὶ θορύβου γε-
νομένου ἠθροίσθη πλῆθος γεωργῶν, σὺν οἷς καὶ Ζῆθος κα
Ἀμφίων, καὶ γνωρίσαντες τὴν μητέρα αὐτῶν ἐρύσαντ
αὐτὴν, τὴν δὲ Δίρκην τῇ προκειμένῃ παρέδωκαν τιμωρίᾳ
Ζῆθος καὶ Ἀμφίων κτίζουσι Θήβας καὶ βασιλεύουσι, κα
τούτων οἱ ἀπόγονοι μέχρι Λαΐου καὶ Ἰοκάστου, τοῦ με-
τακληθέντος Οἰδίποδος.

Ἀνίπτοις [54] χερσίν· ἐπὶ τῶν βεβήλοις χερσὶ τὰ
ἱερὰ μεταχειριζομένων·

Ἄνθρωπος [55] ὢν μέμνησο τῆς κοινῆς τύχης.

Ἄνευ τύχης [56] γάρ, ὥσπερ ἡ παροιμία,
Πόνος μονωθεὶς οὐκέτ' ἀλγύνει βροτούς.
Εὐριπίδου ἡ γνώμη.

Ἄνευ ξύλου [57] μὴ βάδιζε· Κλεομένης, στρατι-
ώτης ὢν Ἀθηναῖος, προσεποιεῖτο πρὸς τοῖς ἄλλοις κα-
κοῖς καὶ μανίαν, εἰδὼς, ὅτι μισεῖται παρὰ τῶν πολιτῶν
διὸ καὶ βακτηρίαν ἔχων περιήει, δι' ἧς ἠμύνατο τοὺς
ἐπερχομένους αὐτῷ.

54) Apost. Cent. III. 54. In proverbium abiit Homeri versus Od. Z. 266. *χερσὶ δ' ἀνίπτοισιν Διὶ λείβειν αἴθοπα οἶνον ἄζομαι.* Rhet. Gr. Vol. II. p. 16. *οἷον Λημάδου τοῦ ἀπὸ τῆς κώπης ἀνίπτοις, τὸ τοῦ λόγου, χερσὶν ἐπὶ τὸ βῆμα πηδήσαντος.* Alia vide apud Pantinum. — Hoc cum quatuor sequentibus provv. abest a Mosc. Praeterea Laur. per scribendi vitium habet: *ἄνευ ἀπὸ μείζονος ἀνδρός.*

55) Stob. 28. 22.

56) Stob. 29. 56. Apost. III. 42.

57) Apost. Cent. III. 58. *περὶ Κλεομένους λέγει, ὃς στρατ.* — Macar. addit: *Ἀντ' ἀγαθῶν ἀγαθίδες· ἐπὶ τῶν εὖ πασχόντων, ἀνθ' ὧν εὐηργέτησαν πρότερον.* — *Ἀνδρὶ πειρῶνι κλέπτειν ἔστ' ἀναγκαίως ἔχον· ἐπὶ τῶν ἐξ ἀνάγκης ποιούντων.*

Ἀνὴρ χρηστὸς χρηστὸν αἰδεῖσθαι φιλεῖ. Εὐριπίδους ἡ γνώμη.

Τὸ α μετὰ τοῦ ξ.

Ἄξιος [1] *τριχός· ἐπὶ τοῦ εὐτελοῦς καὶ τοῦ τυχόντος.*

Ἄξιος οὐδενός [2].

Ἄξιος [3] *τοῦ παντός· ἐπὶ τῶν σφόδρα τιμίων.*

Ἄξιος [4] *εἶ τῆς ἐν Ἄργει ἀσπίδος· ἐπὶ τῶν εὐγενῶν καὶ εὐδαιμόνων· οἱ γὰρ ἐν Ἄργει ἀνύβριστοι παῖδες καὶ καθαροὶ κατὰ νόμιμον παλαιὸν τὰς ἀσπίδας φέροντες πομπεύουσιν.*

Ἄξιος [5] *ὀβελίσκου.*

Ἀξία [6] *ἡ κύων τοῦ θρόνου· ἐπὶ τῶν παρ' ἀξίαν τινὸς τυγχανόντων.*

Ἄξιος [7] *λαβεῖν ὁ μισθός· ἐπὶ τῶν εἰς κάλλος ἠσκημένων.*

Ἄοινον [8] *μέθην ὁ Θεόφραστος τὰ κουρεῖα ἐκάλει.*

Τὸ α μετὰ τοῦ π.

Ἀπαιδευτότερος [9] *Φιλωνίδου τοῦ Μελιτέως· οὗτος ὁ Φιλωνίδης οὐ μόνον μέγας ἦν, ἀλλὰ καὶ ἀ-*

1) Apost. Cent. III. 68. Aristoph. Ran. 613.

Εἰ πώποτ' ἦλθον δεῦρ', ἐθέλω τεθνηκέναι,
Ἢ 'κλεψα τῶν σῶν ἄξιόν τι καὶ τριχός.

2) Abest a Laur.

3) Apost. Cent. III. 69. Macar. *ἄξιος τοῦ παντός· ταύτης ἐναντία, οὐδενὸς ἄξιος καὶ ἄξιος τριχός.*

4) Apost. Cent. III. 70. Callim. H. in Lav. Pall. 55.

Ὦ Ἀθάνα, φέρεται δὲ καὶ ἃ Δομήδεος ἀσπὶς,
Ὡς ἔθος Ἀργείων τοῦτο παλαιότερον.

ubi Spanh.

5) Abest a Laur.

6) Apost. Cent. III. 71.

7) Apost. Cent. III. 72. *ἄξιος λαβεῖν* pro *λαμβάνεσθαι.* Eur. Alcest. 1065. *ἀξία δέ μοι σέβειν.* Med. 374. *ξάνων φυλάσσειν.* Cfr. Dissen. ad Pind. Nem. III. 29. Boiss. ad Philostr. Her. p. 284.

8) Non est in Laur.

9) Apost. III. 73. et Mosc. *ἀπαιδευτώτερος.*

μαθὴς καὶ ὑώδης· κωμῳδεῖ δὲ αὐτὸν Ἀριστοφάνης, ὡς παρασίτους ἔχοντα, καὶ διὰ τὸν Λαΐδος ἔρωτα· κωμῳδεῖται δὲ ὡς συώδης ἐν τοῖς ἑταίροις αὐτοῦ.

Ἀπιὼν [10] εἰς ἀπατούρια, ἐπανῆκες εἰς [11] Θαργηλιῶνα· ἐπὶ τῶν ἄγαν βραδυνόντων. Ἀπατούρια [12] δὲ ἦν ἑορτὴ Ἀθήνησιν, ἣν ἦγον ἐπὶ τρεῖς ἡμέρας· ἐκάλουν δὲ τὴν μὲν πρώτην Δορπίαν· ἐπειδὴ φράτορες ὀψίας συνελθόντες εὐωχοῦντο· τὴν δὲ δευτέραν Ἀνάῤῥυσιν· ἀπὸ τοῦ ῥύειν· ἔθυον δὲ Διῒ φρατρίῳ καὶ Ἀθηνᾷ· τὴν δὲ τρίτην Κουρεῶτιν, ἀπὸ τοῦ τοὺς κούρους καὶ τὰς κόρας ἐγγράφειν εἰς τὰς φρατρίας. Ἡ δὲ αἰτία· πόλεμος ἦν Ἀθηναίοις πρὸς Βοιωτοὺς περὶ Μελαίνων, ὃ ἦν [13] χωρίον ἐν μεθορίοις. Ξάνθιος δὲ Βοιωτοὺς προεκαλέσατο [14] τὸν Ἀθηναίων βασιλέα Θυμοίτην· οὐ δεξαμένου δὲ, Μέλανθος ἐπιδημῶν, Μεσσήνιος [15] γένος, ἀπὸ Περικλυμένους τοῦ

10) Apost. Cent. III. 74. εἰς omisit apogr. Dresd. et Laur.

11) εἰς Mosc. et Laur. om.

12) Vide Suid. Tom. I. p. 248. 249. et Schol. Aristoph. ad Acharn. v. 146. Matth. Vulgatae etymologiae, ab voce consona ἀπατᾶν deductae, quam etiam Bergl. ad Alciphr. I. 9. repetiit, meliorem opposuit Welcker Nachtrag zur äschyl. Trilogie p. 202. = ὁμοπατόρια coll. Xenoph. Hellen. I. 7, 8. Ἀπατούρια, ἐν οἷς οἵ τε πατέρες καὶ οἱ συγγενεῖς ξύνεισι ἀφίσιν αὐτοῖς.

13) Apogr. Dresd. οὖν.

14) Apost. προσεκαλέσατο.

15) Apogr. Dresd. Μεσήνιος. Scriptio saepe obvia. Plut. Apophth. Reg. p. 194. B. Μεσήνην. Apophth. Lacon. p. 316. F. Μεσηνίων. p. 217. Μεσηνίου. nulla varietate lectionis a Wyttenbachio annotata. Hermog. περὶ γοργότ. p. 155. Ald. Cod. Vindob. XVIII. et Monacens. CCCXXVII. Μεσήνην. Pausan. I. 13, 6. Paris. Bekkeri, Riccardian. et Venet. Μεσηνίων. I. 25, 4. Paris. et Angel. Μεσήνη. Ven. et Riccard. Μεσήνη. IV. 9, 5. et 6. Cod. Vindob. LI. Μεσηνίων. Inter proverbia Arsenii legitur: Εὐρύδαμος ὁ Μεσήνιος (ita Cod. Mosc. et Laur.) εὗρε θώρακα πολεμικόν. Inter apophth. sub nomine Φερεκύδου· Ἀνιών δέ ποτε εἰς Μεσήνην — — μετ' οὐ πολύ δ' ἐάλω Μεσήνη. Codd. et impr. et ita locis innumeris. Nihilominus tamen vitiosum censeo hanc scriptionem, in omnibus enim Messenes et Messanae Siculae nummis duo σ reperiuntur. Eckhel Doctr. Nummor. Vol. I p. 220 — 222. Mionnet Descript. des Med. ant. Tom. I. p. 254 — 256. Rasche Lex. nummor. s. v. Μεσσάνα. Cfr. Mein. ad Menand. p. 18. Neque probaveri

Νηλέως, ὑπέστη ἐπὶ τῇ βασιλείᾳ· μονομαχούντων δὲ ἐφάνη τῷ Μελάνθῳ τις ὄπιθεν τοῦ Ξανθίου, τραγῆν ἐνειμένος [16] μέλαιναν· ἔφη οὖν αὐτὸν ἀδικεῖν, δεύτερον ἥκοντα, ὁ δὲ ἀπεστράφη· ὁ δὲ παίσας ἀποκτείνει αὐτόν· ἐκ δὲ τούτου ἥ τε ἑορτὴ Ἀπατούρια, καὶ Διονύσου Μελαναιγίδος βωμὸν ἐδομήσαντο· ὁ δὲ Θαργηλιών ἐστι μὲν Ἀθηναῖος, καθ' ὃν καὶ ἑορτὴ Ἀπόλλωνος καὶ Ἀρτέμιδος Θαργήλια λεγομένη, ἐν ᾗ ἤψουν ἀπαρχὰς τῷ θεῷ τῶν πεφυκότων [17] καρπῶν· ἵσταντο δὲ ἐν αὐτῇ καὶ χοροὶ, καὶ ἀγὼν πρὸς ποιουμένων [18] Θαργήλια. Ἔφορος δὲ ἐν δευτέρᾳ φησίν, ὡς διὰ τὴν ὑπὲρ τῶν ὁρίων ἀπάτην γενομένην ἐκλήθη. Πολεμούντων γὰρ Ἀθηναίων πρὸς τοὺς Βοιωτοὺς ὑπὲρ τῆς Μελανίων χώρας, Μέλανθος, ὁ τῶν Ἀθηναίων βασιλεὺς, Ξάνθον τὸν Θηβαῖον μονομαχῶν ἀπατήσας ἀπέκτεινεν.

Ἅπαντα [19] τοῖς καλοῖσιν ἀνδράσι πρέπει· δήλη.

Ἀπαλοὶ [20] θερμολουσίαις, ἁβροὶ μαλθακευνίαις [21]· ἐπὶ τῶν ὑπὸ τρυφῆς καὶ ἁβρότητος διαῤῥεόντων.

Ἀπ' ἀκροφυσίων [22] λόγους ἐνδεικνύναι· οἱονεὶ καινοὺς καὶ νεοποιήτους. Ἀριστοφάνης· ῥήματά τε κομψὰ καὶ παίγνια ἐνδεικνύναι· πάντα ἀπ' ἀκροφυσίων [23] τῶν ἀπὸ κινναβευμάτων· λέγει γὰρ διὰ μὲν τὰ ἀπ' ἀκροφυσίων καινῶς εἰργασμένα καὶ οἷον ἐκ πυρός· διὰ

aliquid epigramma in novem lyricos, a Welckero Sylloge Epigr. p. 278. repetitum:

Ἴβυκος Ἰταλὸς αὖ ἐκ Ῥηγίου ἢε Μεσήνης.

de aetate enim epigrammatis nihil constat.

16) Apogr. Dresd. ἀνειμένος.

17) Apogr. Dresd. πεφηνότων.

18) πρὸς ποιουμένων apogr. Dresd. om.

19) Apost. Cent. III. 78. καλοῖσιν recepi ex Macario, in ceteris consentiente. Mosc. et Laur. et Apost. καλοῖς.

20) Apost. Cent. III. 79.

21) Apost. μαλθακανίαις.

22) Apost. Cent. III. 82. Vid. Suid. T. I. p. 244. Matth.

23) Apogr. Dresd. om. verba: τῶν ἀπὸ κιννα βευμ. — — ἀπ' ἀκροφυσίων.

δὲ τοῦ ἀπὸ κινναβευμάτων, οἷον καινῶς πεπλασμένα καὶ διάθεσιν ἔχοντα. κίνναβος δὲ τὸ εἴδωλον, πρὸς ὃ οἱ πλάσται καὶ οἱ ζωγράφοι βλέποντες διατίθενται πλάττοντες καὶ γράφοντες. ἔστι δὲ εἴδωλον, σκιῶδες ὁμοίωμα, ἢ φαντασία σώματος, ἀεροειδής [24] τε σκιά· ὡς δὲ Βακχυλίδης· μελαμβαφὲς εἴδωλον ἀνδρὸς Ἰθακησίου· καὶ ὁ ποιητὴς Ἀντικλείας [25]· τρὶς δέ μοι ἐκ χειρῶν σκιῇ εἴκελον· αὐτὸς δὲ, ἡ ὑπόστασις ἡ ἀληθής.

Ἄπανθ' [26] ὅμοια, καὶ Ῥοδῶπις ἡ καλή· σημαίνει, ὅτι ταῖς τύχαις ὁμοίως ὑποπεπτώκασιν οἱ θνητοί.

Ἅπασαν [27] τὴν οὐσίαν ἠμφίεσται· ἐπὶ τῶν μηδοτιοῦν ἄλλο κεκτημένων, ἢ ὅπερ ἀμπίσχονται.

Ἀπήντησε [28] κακοῦ βουλὴ πρὸς ὑπερτάτην βλάπην.

Ἅπαντα [29] βρωτὰ τοῖς πολιορκουμένοις.

Ἅπαντα [30] σοφοῖς ᾧᾶστα· ἐπὶ τῶν διὰ φρόνησιν καὶ τῶν δυσκόλων περιγινομένων.

Ἄπαγε [31] μόθωνα ἀπὸ κώπης· ἐπὶ τῶν διοχλούντων παρὰ καιρὸν τοῖς σπουδάζουσιν, ὁ γὰρ μόθων φορτικῆς ὀρχήσεως εἶδος.

Ἄπαγε [32] ξένον ἐν χειμῶνι· ἐπὶ τῶν ἀκαίρως ἐλθόντων. Εὐριπίδης·

Ἆρα τὸν ξένον
Στυγῶ δικαίως ἐν κακοῖς ἀφιγμένον.

24) Apogr. Dresd. ἀεροειδές et paulo post: μελεμβαφές.

25) Od. λ. 206.

26) Apost. Cent. III. 87. Suid. Tom. I. p. 245. Matth. Vide eundem s. v. ἑταῖραι Κορίνθιαι, ubi inter alias nominatur Ῥοδῶπις Θρᾳκική, σύνδουλος Αἰσώπου τοῦ λογοποιοῦ· ἥτις ἐλευθερωθεῖσα κατέμεινεν ἐν Αἰγύπτῳ.

27) Apost. Cent. III. 88.

28) Apost. Cent. IV. 15. ἀπήντησε κακοῦ βολὴ πρὸς ὑπερτάτην· ἐπὶ τῶν πασχόντων ἄξια ὧν ἔδρασαν. Idem Arsen. affert infra: Laur. neutrum habet.

29) Abest a Laur.

30) Apost. Cent. IV. 5. Macar. ἅπαντα τοῖς σοφοῖσιν εὔκολα. δήλη.

31) Apost. Cent. IV. 6.

32) Laur. non habet.

Ἅπας [33] *ἐχῖνος τραχύς· ἐπὶ τῶν δυσκόλων καὶ δυστρόπων· ἐξαιρέτως δὲ ἐπὶ κακωτικῶν ἢ εὐνούχων.*

Ἄπνοια [34] *ἐχίνου· ἐπὶ τῶν προσποιουμένων τεθνάναι· ὁ γὰρ χερσαῖος ἐχῖνος μέλλων ἁλίσκεσθαι, ἑαυτὸν συνειλήσας, ἄληπτον ἐργάζεται· εἶτα μέντοι καὶ πιέζει τὸ πνεῦμα καὶ ἀκίνητος ἀτρεμεῖ καὶ τὸν τεθνεῶτα ὑποκρίνεται.*

Ἀτελθόντων τῶν ὀμμάτων τὰ τῆς μνήμης ἄξια ἐκ τοῦ νοῦ ῥᾳδίως ἐκφεύγει.

Ἀποῤῥαγήσεται [35] *τεινόμενον τὸ καλώδιον.*

Ἀπορία [36] *ψάλτου βήξ· ἐπὶ τῶν προσχηματιζομένων τι ἀδυνασίᾳ.*

Ἀπὸ [37] *καλοῦ ξύλου κἂν ἀπάγξασθαι· θέλει οὖν λέγειν, βέλτιόν ἐστι χρῆσθαι τοῖς γενναίοις στρατηγοῖς καὶ δεδοκιμασμένοις, ἢ τοῖς φαύλοις· κἂν γὰρ δέῃ παθεῖν, κρεῖττον ἀπὸ ἀγαθοῦ ἢ φαύλου πάσχειν.*

Ἀπόγλουτος [38] *ὑπάρχεις· ἀντὶ τοῦ ναυτικός· ἀπόγλουτοι δὲ κυρίως ἐκαλοῦντο οἱ Ἀθηναῖοι, ἕνεκα τῆς ἐν τῷ κωπηλατεῖν συνεχοῦς καθέδρας· οἱ δὲ διὰ τὸ Θησέα μετὰ Πειρίθου καταβάντα εἰς Ἅιδου, πρός τινα πέτραν ὑπὸ Περσεφόνης ἐπικαθεσθέντα σὺν τῷ Πειρίθῳ,*

33) Apost. Cent. IV. 13. Laur. non habet. Macar. consentit.

34) Apost. Cent. III. 75.

35) Apost. Cent. III. 93. et Laur. explicationem subjungit: *ἐπὶ τῶν βίᾳ τι καὶ ἀνάγκῃ ποιούντων· καὶ Λουκιανός* (Dial. meretr. III. ubi legitur: *ἀποῤῥήξουσιν πάνυ τείνουσαι*) *ὕρα μὴ κατὰ τὴν παροιμίαν ἀποῤῥήξωμεν διατείνοντες τὸ καλώδιον.* (Laur. bis *καλλώδιον.*)

36) Apost. Cent. III. 76. Laudat haec Phavorinus p. 365. v. 4. Vocabulum *ἀδυνασίας* habet Thucyd. p. 450. Matth.

37) Apost. Cent. III. 77. Expositio spectat ad Aristoph. Ran. 736.

Κἄν τι σφαλῇτ', ἐξ ἀξίου γοῦν τοῦ ξύλου,
Ἦν τι καὶ πάσχητε, πάσχειν τοῖς σοφοῖς δοκήσετε.

38) Apost. Cent. III. 81. Eodem sensu Athenienses *ὑπόλισποι* sive *λισπόπυγες* appellabantur. Aristoph. Eq. 1368.

Πολλοῖς ὑπολίσποις πυγιδίοισιν ἐχαρίσω.

ubi Interpp.

Ἄνθρωπος [26] *εὔριπος, τύχη εὔριπος, διάνοια εὔριπος· ταῦτα ἐπὶ τῶν παλιμβόλων.*

Ἀνίπτοις [27] *ποσὶν ἀναβαίνει ἐπὶ τὸ τέγος· ἐπὶ τῶν ἀμαθῶς ἐπί τινα ἔργα ἐρχομένων.*

Ἀνεῳγμέναι [28] *Μουσῶν θύραι· ἐπὶ τῶν ἐξ ἑτοίμου λαμβανόντων τὰ κάλλιστα ἐπὶ τῇ παιδείᾳ.*

Ἂν [29] *μὴ λεοντῇ ἐξικνεῖται, τὴν ἀλωπεκῆν πρόσαψον· ὁ νοῦς, ἂν μὴ φανερῶς ἀμυνόμενος ἀντέχῃς, πανουργίᾳ χρῆσαι.*

Ἀντὶ [30] *κακῆς κυνὸς σῦν ἀπαιτεῖς· ἐπὶ τῶν καλὰ ἀντὶ κακῶν ἀποδιδόντων.*

Ἀνόητος [31] *νεοττὸς ἑκὼν δείκνυσι τὴν ἑαυτοῦ νεοσσιάν.*

Ἀνάγκη [32] *οὐδὲ θεοὶ μάχονται· ὁμοία τῇ· τῇ* [33] *ἀνάγκῃ χρὴ πείθεσθαι.*

Ἂν [34] *μὴ παρῇ κρέας, ταρίχῳ στερκτέον· παρεγγυᾷ, ὅτι δεῖ τοῖς παροῦσιν ἀρκεῖσθαι.*

Ἀντὶ [35] *πέρκης σκορπίον· ἐπὶ τῶν τὰ χείρω ἀντὶ βελτιόνων αἱρουμένων.*

Ἄντης ποτός· ἐπὶ τῶν ἄγαν ψυχρῶν· ψυχρὸς γὰρ οὗτός ἐστιν.

Ἂν στρουθὸς εἰς χάρακας· [35*] *πρὸς τοὺς οἰομένους λανθάνειν, ἐν οἷς πράττουσιν.*

26) Apost. Cent. III. 60. *παλιμβόλος*, qui se facile mutat, simulator ac dissimulator, veterator. Wyttenb. ad Plut. de educat. Puer. p. 4. A.

27) Apost. Cent. III. 65. Lucian. Praec. rhet. c. 14. *ἀλλ' ἀνίπτοις τοῖς ποσὶν (ἡ παροιμία φησὶν) ἔμβαινε.* Pseudol. c. 4. *ὡς οὐ μάτην, οὐδὲ φιλαπεχθημόνως, οὐδ' ἀνίπτοις ποσὶ, κατὰ τὴν παροιμίαν, ἐπὶ τόνδε τὸν λόγον ἀπηντήκαμεν.*

28) Apost. Cent. III. 66.

29) Apost. Cent. III. 67. Lysandri apophth. apud Plut. c. 7. *τῶν δ' ἀξιούντων μὴ πολεμεῖν μετὰ δόλου τοὺς ἀφ' Ἡρακλέους γεγονότας καταγελᾶν ἐκέλευεν· ὅπου γὰρ ἡ λεοντῇ μὴ ἐφικνεῖται, προσραπτέον ἐκεῖ τὴν ἀλωπεκῆν.*

30) Apost. Cent. III. 65. Arsen. *ἣν ἀπαιτεῖς.*

31) Apost. Cent. III. 59. Laurent. *νεοσσός*, supra lin. *νεοττός.*

32) Apost. Cent. III. 49. Simonidis effatum apud Plat. Protag. p. 345. d. ubi Heind.

33) *τῇ* apogr. Dresd. om.

34) Apost. Cent. III. 50.

35) Apost. Cent. III. 51.

35 * Apost. Cent. III. 54.

Ἄνους [36] *ὁ μακρὸς κατὰ τὴν παροιμίαν· ἧς ἐναντία, ἔννους ὁ μακρὸς, λῆρος, ἡ παροιμία.*

Ἂν [37] *οἶνον αἰτῇ, κόνδυλον αὐτῷ δίδου· ἐπὶ τῶν ἀγαθὰ μὲν αἰτούντων, κακὰ δὲ ἀντιλαμβανόντων· ἡ δὲ ἱστορία ἀπὸ τοῦ Κύκλωπος.*

Ἀνακυμβαλιάζεις [38] *τοὺς δίφρους· ἐπὶ ταραχῆς καὶ ζάλης λέγεται.*

Ἀντὶ [39] *χαρίεντος ἰατροῦ κακὸς ποιητὴς καλεῖσθαι ἐπιθυμεῖς· ἐπὶ τῶν μὴ ταῖς ἰδίαις τέχναις ἀρχουμένων, ἀλλὰ καὶ παρ' ὧν οὐκ ἴσασι δόξαν ἐφελκομένων προσποίητον· Περίανδρος γάρ τις ἰατρὸς ἀξιόλογος κατὰ τέχνην ὢν, καὶ ἐπαινούμενος εἰς τὰ μάλιστα, φαῦλα ποιήματα ἔγραψεν.*

Ἂν [40] *τοὺς φίλους μισῶμεν, τί ποιήσομεν τοὺς μισοῦντας; ἐξ ἀποφθέγματος.*

Ἀντ' [41] *εὐεργεσίης Ἀγαμέμνονα δῆσαν Ἀχαιοί· ἐπὶ τῶν ἀχαρίστων.*

Ἂν πολλὰ βάλλῃς [42], *ἄλλοτ' ἀλλοῖον βαλεῖς· ἐπὶ τῶν ἐκ πολλῶν καὶ παντοδαπῶν λόγων ἢ ἔργων ἐπιτυγχανόντων τοῦ ζητουμένου ἢ τοῦ σκοποῦ.*

Ἀντρώνιος [43] *ὄνος, καὶ Ἀχαρνικοὶ ἵπποι· ἐπὶ τῶν μεγάλων καὶ ἀγρίων καὶ ἀνενεργήτων· τοιοῦτοι γὰρ οἱ ὄνοι ἐν Ἄντρωνι, καὶ οἱ ἵπποι ἐν Ἀχαρναῖς, ὡς Φερεκράτης φησί.*

36) Apost. Cent. III. 47.

37) Apost. Cent. III. 46.

38) Apost. Cent. III. 43.

39) Apost. Cent. III. 16. Archidami apophthegma ad Periandrum medicum Plut. Apophth. Lacon. p. 218. F. — De voce *χαρίεις*, quam explicat Plutarchus per *ἀξιόλογος*, cfr. Boisson. ad Philostr. Heroic. p. 312.

40) Apost. Cent. III. 17.

41) Apost. Cent. III. 21. Macar. *δήλη*. In Agamemnonis herma, Athenis in porticu hermarum posita, inscriptum fuisse, *ἀντ' εὐ. Ἀγ. στῆσαν Ἀχ.* et *δῆσαν* parodiae tribuendum esse docet Welcker Sylloge Epigramm. p. 224.

42) Apost. Cent. III. 23. Codd. *πολλὰ βάλῃς*.

43) Apost. Cent. III. 26. Laur. Ἀντρόνιος. Macar. *ἀντρώνιος ὄνος· ἐπὶ τῶν παμμεγέθη σώματα ἐχόντων.*

Ἀκούω [44] τῶν Σκυθῶν βασιλέα ἵππον ὀπουδαίαν ἔχειν πᾶσαν ἀρετὴν, ὅσην οἱ ἵπποι ἀπαιτοῦνται· ἔχει δὲ καὶ υἱὸν αὐτῆς ἐκείνης τῶν ἄλλων ἀρετῇ διαπρέποντα· οὔκουν εὑρίσκοντα, οὔτε ἐκείνην ἄλλῳ περιβαλεῖν, οὔτε ἐκεῖνον ἐπαγαγεῖν ἄλλῃ, συναγαγεῖν ἄμφω εἰς τὸ ἔργον· τοὺς δὲ τὰ μὲν ἕτερα ἀσπάζεσθαι σφᾶς καὶ φιλοφρονεῖσθαι, οὐ μὴν ἐγχρίμπτεσθαι· οὔκουν τῆς ἐπιβουλῆς τοῦ Σκύθου σοφώτερα ἦν τὰ ζῶα· ἐπηλύγασεν ἱματίοις καὶ τὸν καὶ τὴν, καὶ ἐξειργάσατο τὸ ἔκνομόν τε καὶ ἔκδικον ἐκεῖνο ἔργον. ὡς δὲ ἄμφω συνεῖδον τὸ πραχθὲν, εἶτα μέντοι τὸ ἀσέβημα διελύσαντο θανάτῳ, πηδήσαντε κατὰ κρημνοῦ.

Ἄνω ποταμῶν [45]· λείπει χωροῦσι πηγαὶ, ἐπὶ τῶν ἐναντίως καὶ ἀνάπαλιν, ἢ ὡς δεῖ, λεγομένων καὶ γινομένων· ὡς ὅταν ὁ πόρνος τὸν σώφρονα λέγῃ πόρνον.

Ἂν χωλῷ [46] παροικήσῃς, ὑποσκάζειν μαθήσῃ· ὅτι οἱ βαρβάροις καὶ μοχθηροῖς συναχθόμενοι ἀποφέρονταί τι τῆς ἐκείνων φαυλότητος.

Ἀνὴρ ἀτεχνὴς τοῖς πᾶσιν ἐστὶ δοῦλος.

Ἀνόϊκειον [47] ἐν τῷ πένθει γεωμετρία· ἐπὶ τῶν τὰ μὴ προσήκοντα ποιούντων.

44) Ex Aelian. Hist. Anim. IV. 7. Matth. Apostol. haec non habet.

45) Apost. Cent. III. 31. Macar. ἄνω ποταμῶν χωροῦσι πηγαί· ἐπὶ τῶν τὰ ἑαυτοῖς προσόντα ἐλαττώματα ἑτέροις προσαπατιθέντων, καὶ ἐπὶ τῶν τὰ ἐναντία καὶ παρὰ φύσιν ἐγχειρούντων πράττειν. Eurip. Med. 410. ἄνω ποταμῶν ἱερῶν χωροῦσι πηγαί. Suppl. 303. ἄνω γὰρ ἂν ῥέοι τὰ πράγματα, ubi Markl. Lucian. Dial. Mort. VI. 2. ἄνω γὰρ ποταμῶν τοῦτό γε. Ad sensum cfr. Bergl. ad Alciphr. III. 55. et notum illud Ovidianum: in caput alta suum labentur flumina retro.

46) Apost. Cent. III. 33. Laur. παροικήσεις. Mosc. ὅτι εἰ βαρβάροις. suprascriptum οἱ. Matth. Attigit hanc confusionem Jacobs ad Philostr. Imag. p. 511. Schaefer Meletem. crit. p. 96. — Proverbium una cum expositione sumtum est ex Plut. de educat. puerorum p. 4. A, ubi Wyttenb.

47) Apost. Cent. III. 37.

Ἀντλεῖ ἀμφοτέραις.[48] *ἐπὶ τῶν σπουδῇ τι ποιούντων· ὁμοία τῇ· πάντα κάλων κινεῖς.*

Ἀντιπελαργεῖν[49]*· ἀντιδιδόναι χάριτας· λέγεται γὰρ τοὺς πελαργοὺς γεγηρακότας τοὺς γονεῖς τρέφειν. Ὁ Ἀριστοτέλης φησὶ τὸν περὶ τῶν πελαργῶν λόγον ἀληθῆ· ὁμοίως δέ φησι ποιεῖν καὶ τοὺς ἀερόποδας· διὸ ἐν τοῖς σκήπτροις ἀνωτέρω μὲν πελαργὸν τυποῦσι, κατωτέρω δὲ ἱπποπόταμον, δηλοῦντες, ὡς ὑποτέτακται ἡ βία τῇ δικαιοπραγίᾳ*[50]*· ὁ δὲ ἱπποπόταμός ἐστι ζῶον ἀδικώτατον· περὶ πελαργῶν δὲ καὶ Ἀριστοφάνης ἐν ὄρνισιν οὕτω φησίν·*

Ἀλλ' ἔστιν ἡμῖν τοῖσιν ὄρνισι νόμος
Παλαιὸς, ἐν τοῖς τῶν πελάργων κύρβεσιν,
Ἐπὴν ὁ πατὴρ ὁ πελαργὸς ἐκπετησίμους
Πάντας ποιήσῃ τοὺς πελαργιδεῖς τρέφων,
Δεῖ τοὺς νεοττοὺς τὸν πατέρα πάλιν τρέφειν.

Ἀναμὶξ[51] *ἀγκύλων ἱππόται· ἐπὶ τῶν μὴ κωλυομένων ποιεῖν τινα ἀγαθὰ ὑπὸ πραγμάτων*[52] *ἀγκύλων καὶ σκολιῶν· οἱ δὲ ἀγκύλοι γένος φάλαγγος πεζικῆς, τῆς ἱππικῆς προμαχόμενοι.*

Ἀντιόπης[53] *θρῆνος· ἐπὶ τῶν ἀδίκως πασχόντων, εἶτα τῶν δεινῶν ἀπαλλαγῆς τυχόντων· Ἀντιόπη θυγάτηρ Νυκτέως, ἣν ἔφθειρέ τις τῶν πολιτῶν· ὁ δὲ πατὴρ πέμπει τῷ ἀδελφῷ κολάσαι· ὁ δὲ ἔγκυον αὐτὴν θεασάμενος*

48) Apost. Cent. III. 38. *ἄντλει.* Macar. *ἀντλεῖν ἀμφοτέραις, ὁμοία τῇ· πάντα κάλων σείειν.*

49) Apost. Cent. III. 39. Macar. *ἐπὶ τῶν χάριτας ἀνταποδιδόντων.* Cfr. annotationem Duporti ad Il. ρ. 301. in Gnomolog. Homer. p. 96. Referendum huc ciconiae signum Pietati adjunctum in nummis familiae Caeciliae et Juniae. Eckhel Doctr. Nummor. Vol. V. p. 87. 153. in nummis Antonii ib. Vol. VI. p. 42.

50) Apost. addit: *οἱ γὰρ πελαργοὶ, δικαιοπραγεῖς ὄντες, ἐπὶ τῶν πτερύγων βαστάζουσι τοὺς γεγηρακότας· ὁ δε ἱπποπόταμός ἐστι ζῶον ἀδικώτατον.* Locum Aristoph. (Av. 1354.) non habet.

51) Apost. Cent. III. 45.

52) Apost. *γραμμάτων.* Cfr. Aeschin. in Ctes. p. 405. Dem. pro Cor. p. 265. c. var. lect., Bekkeri.

53) Apost. Cent. III. 44. Vide Suidam p. 225. Tom. I. ed. Kusteri. Matth.

ἤκτειρεν· ἡ δὲ γεννᾷ Ζῆθον καὶ Ἀμφίονα, οὓς εἰς ὄρος ἐξῆμψεν ὁ θεῖος· εἶχε δὲ γυναῖκα ὄνομα Δίρκην, ἥτις ὑπονοήσασα τὸν ἑαυτῆς ἄνδρα Λύκον φιλεῖν τὴν Ἀντιόπην ἀνάγει αὐτὴν εἰς ὄρος, καὶ δήσασα αὐτὴν ἀπὸ τραχήλου ταύρου, καὶ ἀνάψασα δᾷδας ἐπὶ τῶν αὐτοῦ κεράτων ἔμελλεν αὐτὴν ἀπολύειν· ἡ δὲ ἐθρήνει, καὶ θορύβου γενομένου ἠθροίσθη πλῆθος γεωργῶν, σὺν οἷς καὶ Ζῆθος καὶ Ἀμφίων, καὶ γνωρίσαντες τὴν μητέρα αὐτῶν ἐρύσαντο αὐτὴν, τὴν δὲ Δίρκην τῇ προκειμένῃ παρέδωκαν τιμωρίᾳ. Ζῆθος καὶ Ἀμφίων κτίζουσι Θήβας καὶ βασιλεύουσι, καὶ τούτων οἱ ἀπόγονοι μέχρι Λαΐου καὶ Ἰοκάστου, τοῦ μεταχληθέντος Οἰδίποδος.

Ἀνίπτοις [54] χερσίν· ἐπὶ τῶν βεβήλοις χερσὶ τὰ ἱερὰ μεταχειριζομένων·

Ἄνθρωπος [55] ὢν μέμνησο τῆς κοινῆς τύχης.

Ἄνευ τύχης [56] γὰρ, ὥσπερ ἡ παροιμία,
Πόνος μονωθεὶς οὐκέτ' ἀλγύνει βροτούς.
Εὐριπίδου ἡ γνώμη.

Ἄνευ ξύλου [57] μὴ βάδιζε· Κλεομένης, στραιώτης ὢν Ἀθηναῖος, προσεποιεῖτο πρὸς τοῖς ἄλλοις κακοῖς καὶ μανίαν, εἰδὼς, ὅτι μισεῖται παρὰ τῶν πολιτῶν, διὸ καὶ βακτηρίαν ἔχων περιήει, δι' ἧς ἠμύνατο τοὺς ἐπερχομένους αὐτῷ.

54) Apost. Cent. III. 54. In proverbium abiit Homeri versus Od. Z. 266. *χερσὶ δ' ἀνίπτοισιν Διὶ λείβειν αἴθοπα οἶνον ἄζομαι.* Rhet. Gr. Vol. II. p. 16. *οἷον Δημάδου τοῦ ἀπὸ τῆς κώπης ἀνίπτοις, τὸ τοῦ λόγου, χερσὶν ἐπὶ τὸ βῆμα πηδήσαντος.* Alia vide apud Pantinum. — Hoc cum quatuor sequentibus provv. abest a Mosc. Praeterea Laur. per scribendi vitium habet: *ἄνευ ἀπὸ μείζονος ἀνδρός.*

55) Stob. 28. 22.

56) Stob. 29. 36. Apost. III. 42.

57) Apost. Cent. III. 58. *περὶ Κλεομένους λέγει, ὃς στρατ.* — Macar. addit: *Ἀντ' ἀγαθῶν ἀγαθίδες· ἐπὶ τῶν εὖ πασχόντων, ἀνθ' ὧν εὐηργέτησαν πρότερον.* — *Ἀνδρὶ πεινῶντι κλέπτειν κατ' ἀναγκαίων ἔχον· ἐπὶ τῶν ἐξ ἀνάγκης τι ποιούντων.*

Ἀνὴρ χρηστὸς χρηστὸν αἰδεῖσθαι φιλεῖ. Εὐριπίδους ἡ γνώμη.

Τὸ α μετὰ τοῦ ξ.

Ἄξιος [1] *τριχός· ἐπὶ τοῦ εὐτελοῦς καὶ τοῦ τυχόντος.*

Ἄξιος οὐδενός [2].

Ἄξιος [3] *τοῦ παντός· ἐπὶ τῶν σφόδρα τιμίων.*

Ἄξιος [4] *εἶ τῆς ἐν Ἄργει ἀσπίδος· ἐπὶ τῶν εὐγενῶν καὶ εὐδαιμόνων· οἱ γὰρ ἐν Ἄργει ἀνύβριστοι παῖδες καὶ καθαροὶ κατὰ νόμιμον παλαιὸν τὰς ἀσπίδας φέροντες πομπεύουσιν.*

Ἄξιος [5] *ὀβελίσκου.*

Ἀξία [6] *ἡ κύων τοῦ θρόνου· ἐπὶ τῶν παρ' ἀξίαν τινὸς τυγχανόντων.*

Ἄξιος [7] *λαβεῖν ὁ μισθός· ἐπὶ τῶν εἰς κάλλος ἠσκημένων.*

Ἄοινον [8] *μέθην ὁ Θεόφραστος τὰ κουρεῖα ἐκάλει.*

Τὸ α μετὰ τοῦ π.

Ἀπαιδευτότερος [9] *Φιλωνίδου τοῦ Μελιτέως· οὗτος ὁ Φιλωνίδης οὐ μόνον μέγας ἦν, ἀλλὰ καὶ ἀ-*

1) Apost. Cent. III. 68. Aristoph. Ran. 615.
Εἰ πώποτ' ἦλθον δεῦρ', ἐθέλω τεθνηκέναι,
Ἢ 'κλεψα τῶν σῶν ἄξιόν τι καὶ τριχός.

2) Abest a Laur.

3) Apost. Cent. III. 69. Macar. *ἄξιος τοῦ παντός· ταύτης ἐναντία, οὐδενὸς ἄξιος καὶ ἄξιος τριχός.*

4) Apost. Cent. III. 70. Callim. H. in Lav. Pall. 55.
Ὦ Ἀθάνα, φέρεται δε καὶ ἃ Διομήδεος ἀσπὶς,
Ὡς ἔθος Ἀργείων τοῦτο παλαιότερον.
ubi Spanh.

5) Abest a Laur.

6) Apost. Cent. III. 71.

7) Apost. Cent. III. 72. *ἄξιος λαβεῖν* pro *λαμβάνεσθαι.* Eur. Alcest. 1065. *ἀξία δέ μοι αἴρειν.* Med. 374. *ῥᾴων φυλάσσειν.* Cfr. Dissen. ad Pind. Nem. III. 29. Boiss. ad Philostr. Her. p. 284.

8) Non est in Laur.

9) Apost. III. 73. et Mosc. *ἀπαιδευτώτερος.*

μαθὴς καὶ ὑώδης· κωμῳδεῖ δὲ αὐτὸν Ἀριστοφάνης, ὡς παρασίτους ἔχοντα, καὶ διὰ τὸν Λαΐδος ἔρωτα· κωμῳδεῖται δὲ ὡς συώδης ἐν τοῖς ἑταίροις αὐτοῦ.

Ἀπιὼν [10] εἰς ἀπατούρια, ἐπανῆκες εἰς [11] Θαργηλιῶνα· ἐπὶ τῶν ἄγαν βραδυνόντων. Ἀπατούρια [12] δὲ ἦν ἑορτὴ Ἀθήνησιν, ἣν ἦγον ἐπὶ τρεῖς ἡμέρας· ἐκάλουν δὲ τὴν μὲν πρώτην Δορπίαν· ἐπειδὴ φράτορες ὀψίας συνελθόντες εὐωχοῦντο· τὴν δὲ δευτέραν Ἀνάῤῥυσιν· ἀπὸ τοῦ ῥύειν· ἔθυον δὲ Διῒ φρατρίῳ καὶ Ἀθηνᾷ· τὴν δὲ τρίτην Κουρεῶτιν, ἀπὸ τοῦ τοὺς κούρους καὶ τὰς κόρας ἐγγράφειν εἰς τὰς φρατρίας. Ἡ δὲ αἰτία· πόλεμος ἦν Ἀθηναίοις πρὸς Βοιωτοὺς περὶ Μελαίνων, ὃ ἦν [13] χωρίον ἐν μεθορίοις. Ξάνθιος δὲ Βοιωτοὺς προεκαλέσατο [14] τὸν Ἀθηναίων βασιλέα Θυμοίτην· οὐ δεξαμένου δὲ, Μέλανθος ἐπιδημῶν, Μεσσήνιος [15] γένος, ἀπὸ Περικλυμένους τοῦ

10) Apost. Cent. III. 74. εἰς omisit apogr. Dresd. et Laur.

11) εἰς Mosc. et Laur. om.

12) Vide Suid. Tom. I. p. 248. 249. et Schol. Aristoph. ad Acharn. v. 146. Matth. Vulgatae etymologiae, ab voce consona ἀπατᾶν deductae, quam etiam Bergl. ad Alciphr. I. 9. repetiit, meliorem opposuit Welcker Nachtrag zur äschyl. Trilogie p. 202. = ὁμοπατόρια coll. Xenoph. Hellen. I. 7, 8. Ἀπατούρια, ἐν οἷς οἵ τε πατέρες καὶ οἱ συγγενεῖς ξύνεισι σφίσιν αὐτοῖς.

13) Apogr. Dresd. οὖν.

14) Apost. προσεκαλέσατο.

15) Apogr. Dresd. Μεσήνιος. Scriptio saepe obvia. Plut. Apophth. Reg. p. 194. B. Μεσήνην. Apophth. Lacon. p. 516. F. Μεσηνίων. p. 217. Μεσηνίου. nulla varietate lectionis a Wyttenbachio annotata. Hermog. περὶ γοργότ. p. 155. Ald. Cod. Vindob. XVIII. et Monacens. CCCXXVII. Μεσήνην. Pausan. I. 13, 6. Paris. Bekkeri, Riccardian. et Venet. Μεσηνίων. I. 25, 4. Paris. et Angel. Μεσήνη. Ven. et Riccard. Μεσήνη. IV. 9, 5. et 6. Cod. Vindob. LI. Μεσηνίων. Inter proverbia Arsenii legitur: Εὐρύδαμος ὁ Μεσήνιος (ita Cod. Mosc. et Laur.) εὗρε θώρακα πολεμικόν. Inter apophth. sub nomine Φερεκύδου· Ἀνιὼν δέ ποτε εἰς Μεσήνην — — μετ' οὐ πολὺ δ' ἐάλω Μεσήνη. Codd. et impr. et ita locis innumeris. Nihilominus tamen vitiosum censeo hanc scriptionem, in omnibus enim Messenes et Messanae Siculae nummis duo σ reperiuntur. Eckhel Doctr. Nummor. Vol. I. p. 220 — 222. Mionnet Descript. des Med. ant. Tom. I. p. 254 — 256. Rasche Lex. nummor. s. v. Μεσσάνα. Cfr. Mein. ad Menand. p. 18. Neque probaverit

Νηλέως, ὑπέστη ἐπὶ τῇ βασιλείᾳ· μονομαχούντων δὲ ἐφάνη τῷ Μελάνθῳ τις ὄπιθεν τοῦ Ξανθίου, τραγῆν ἐνειμένος [16] μέλαιναν· ἔφη οὖν αὐτὸν ἀδικεῖν, δεύτερον ἥκοντα, ὁ δὲ ἀπεστράφη· ὁ δὲ παίσας ἀποκτείνει αὐτόν· ἐκ δὲ τούτου ἥ τε ἑορτὴ Ἀπατούρια, καὶ Διονύσου Μελαναιγίδος βωμὸν ἐδομήσαντο· ὁ δὲ Θαργηλιών ἐστι μὲν Ἀθηναῖος, καθ' ὃν καὶ ἑορτὴ Ἀπόλλωνος καὶ Ἀρτέμιδος Θαργήλια λεγομένη, ἐν ᾗ ἤψουν ἀπαρχὰς τῷ θεῷ τῶν πεφυκότων [17] καρπῶν· ἵσταντο δὲ ἐν αὐτῇ καὶ χοροὶ, καὶ ἀγὼν πρὸς ποιουμένων [18] Θαργήλια. Ἔφορος δὲ ἐν δευτέρᾳ φησίν, ὡς διὰ τὴν ὑπὲρ τῶν ὁρίων ἀπάτην γενομένην ἐκλήθη. Πολεμούντων γὰρ Ἀθηναίων πρὸς τοὺς Βοιωτοὺς ὑπὲρ τῆς Μελανίων χώρας, Μέλανθος, ὁ τῶν Ἀθηναίων βασιλεὺς, Ξάνθον τὸν Θηβαῖον μονομαχῶν ἀπατήσας ἀπέκτεινεν.

Ἅπαντα [19] τοῖς καλοῖσιν ἀνδράσι πρέπει· δήλη.

Ἀπαλοὶ [20] θερμολουσίαις, ἁβροὶ μαλθακευνίαις [21]· ἐπὶ τῶν ὑπὸ τρυφῆς καὶ ἁβρότητος διαῤῥεόντων.

Ἀπ' ἀκροφυσίων [22] λόγους ἐνδεικνύναι· οἱονεὶ καινοὺς καὶ νεοποιήτους. Ἀριστοφάνης· ῥήματά τε κομψὰ καὶ παίγνια ἐνδεικνύναι· πάντα ἀπ' ἀκροφυσίων [23] τῶν ἀπὸ κινναβευμάτων· λέγει γὰρ διὰ μὲν τὰ ἀπ' ἀκροφυσίων καινῶς εἰργασμένα καὶ οἷον ἐκ πυρός· διὰ

aliquid epigramma in novem lyricos, a Welckero Sylloge Epigr. p. 278. repetitum:

Ἴβυκος Ἰταλὸς αὖ ἐκ Ῥηγίου ἢε Μεσήνης.

de aetate enim epigrammatis nihil constat.

16) Apogr. Dresd. ἀνειμένος.

17) Apogr. Dresd. πεφηνότων.

18) πρὸς ποιουμένων apogr. Dresd. om.

19) Apost. Cent. III. 78. καλοῖσιν recepi ex Macario, in ceteris consentiente. Mosc. et Laur. et Apost. καλοῖς.

20) Apost. Cent. III. 79.

21) Apost. μαλθακανίαις.

22) Apost. Cent. III. 82. Vid. Suid. T. I. p. 244. Matth.

23) Apogr. Dresd. om. verba: τῶν ἀπὸ κινναβευμ. — — ἀπ' ἀκροφυσίων.

δὲ τοῦ ἀπὸ κινναβευμάτων, οἷον καινῶς πεπλασμένα καὶ διάθεσιν ἔχοντα. κίνναβος δὲ τὸ εἴδωλον, πρὸς ὃ οἱ πλάσται καὶ οἱ ζωγράφοι βλέποντες διατίθενται πλάττοντες καὶ γράφοντες. ἔστι δὲ εἴδωλον, σκιῶδες ὁμοίωμα, ἢ φαντασία σώματος, ἀεροειδής [24] τε σκιά· ὡς δὲ Βακχυλίδης· μελαμβαφὲς εἴδωλον ἀνδρὸς Ἰθακησίου· καὶ ὁ ποιητὴς Ἀντικλείας [25]· τρὶς δέ μοι ἐκ χειρῶν σκιῇ εἴκελον· αὐτὸς δὲ, ἡ ὑπόστασις ἡ ἀληθής.

Ἄπανθ' [26] ὅμοια, καὶ Ῥοδῶπις ἡ καλή· σημαίνει, ὅτι ταῖς τύχαις ὁμοίως ὑποπεπτώκασιν οἱ θνητοί.

Ἅπασαν [27] τὴν οὐσίαν ἠμφίεσται· ἐπὶ τῶν μηδοτιοῦν ἄλλο κεκτημένων, ἢ ὅπερ ἀμπίσχονται.

Ἀπήντησε [28] κακοῦ βουλὴ πρὸς ὑπερτάτην βλάπην.

Ἅπαντα [29] βρωτὰ τοῖς πολιορκουμένοις.

Ἅπαντα [30] σοφοῖς ᾧᾶστα· ἐπὶ τῶν διὰ φρόνησιν καὶ τῶν δυσκόλων περιγινομένων.

Ἄπαγε [31] μόθωνα ἀπὸ κώπης· ἐπὶ τῶν διοχλούντων παρὰ καιρὸν τοῖς σπουδάζουσιν, ὁ γὰρ μόθων φορτικῆς ὀρχήσεως εἶδος.

Ἄπαγε [32] ξένον ἐν χειμῶνι· ἐπὶ τῶν ἀκαίρως ἐλθόντων. Εὐριπίδης·

Ἆρα τὸν ξένον
Στυγῶ δικαίως ἐν κακοῖς ἀφιγμένον.

24) Apogr. Dresd. ἀεροειδές et paulo post: μελεμβαφές.

25) Od. λ. 206.

26) Apost. Cent. III. 87. Suid. Tom. I. p. 245. Matth. Vide eundem s. v. ἑταῖραι Κορίνθιαι, ubi inter alias nominatur Ῥοδῶπις Θρᾳκική, σύνδουλος Αἰσώπου τοῦ λογοποιοῦ· ἥτις ἐλευθερωθεῖσα κατέμεινεν ἐν Αἰγύπτῳ.

27) Apost. Cent. III. 88.

28) Apost. Cent. IV. 15. ἀπήντησε κακοῦ βολὴ πρὸς ὑπερτ. ἄτην· ἐπὶ τῶν πασχόντων ἄξια ὧν ἔδρασαν. Idem Arsen. affert infra: Laur. neutrum habet.

29) Abest a Laur.

30) Apost. Cent. IV. 5. Macar. ἅπαντα τοῖς σοφοῖσιν εὔκολα. δήλη.

31) Apost. Cent. IV. 6.

32) Laur. non habet.

Ἅπας [33] *ἐχῖνος τραχύς· ἐπὶ τῶν δυσκόλων καὶ δυστρόπων· ἐξαιρέτως δὲ ἐπὶ κακωτικῶν ἢ εὐνούχων.*

Ἄπνοια [34] *ἐχίνου· ἐπὶ τῶν προσποιουμένων τεθνάναι· ὁ γὰρ χερσαῖος ἐχῖνος μέλλων ἁλίσκεσθαι, ἑαυτὸν συνειλήσας, ἄληπτον ἐργάζεται· εἶτα μέντοι καὶ πιέζει τὸ πνεῦμα καὶ ἀκίνητος ἀτρεμεῖ καὶ τὸν τεθνεῶτα ὑποκρίνεται.*

Ἀπελθόντων τῶν ὀμμάτων τὰ τῆς μνήμης ἄξια ἐκ τοῦ νοῦ ῥᾳδίως ἐκφεύγει.

Ἀποῤῥᾳγήσεται [35] *τεινόμενον τὸ καλώδιον.*

Ἀπορία [36] *ψάλτου βήξ· ἐπὶ τῶν προσχηματιζομένων τι ἀδυνασίᾳ.*

Ἀπὸ [37] *καλοῦ ξύλου κἂν ἀπάγξασθαι· θέλει οὖν λέγειν, βέλτιόν ἐστι χρῆσθαι τοῖς γενναίοις στρατηγοῖς καὶ δεδοκιμασμένοις, ἢ τοῖς φαύλοις· κἂν γὰρ δέῃ παθεῖν, κρεῖττον ἀπὸ ἀγαθοῦ ἢ φαύλου πάσχειν.*

Ἀπόγλουτος [38] *ὑπάρχεις· ἀντὶ τοῦ ναυτικός· ἀπόγλουτοι δὲ κυρίως ἐκαλοῦντο οἱ Ἀθηναῖοι, ἕνεκα τῆς ἐν τῷ κωπηλατεῖν συνεχοῦς καθέδρας· οἱ δὲ διὰ τὸ Θησέα μετὰ Πειρίθου καταβάντα εἰς Ἅιδου, πρός τινα πέτραν ὑπὸ Περσεφόνης ἐπικαθεσθέντα σὺν τῷ Πειρίθῳ,*

33) Apost. Cent. IV. 13. Laur. non habet. Macar. consentit.

34) Apost. Cent. III. 75.

35) Apost. Cent. III. 93. et Laur. explicationem subjungit: *ἐπὶ τῶν βίᾳ τι καὶ ἀνάγκῃ ποιούντων· καὶ Λουκιανός* (Dial. meretr. III. ubi legitur: *ἀποῤῥήξουσιν πάνυ τείνουσαι*) *ὅρα μὴ κατὰ τὴν παροιμίαν ἀποῤῥήξωμεν διατείνοντες τὸ καλώδιον.* (Laur. bis *καλλιώδιον.*)

36) Apost. Cent. III. 76. Laudat haec Phavorinus p. 365. v. 4. Vocabulum *ἀδυνασίας* habet Thucyd. p. 450. Matth.

37) Apost. Cent. III. 77. Expositio spectat ad Aristoph. Ran. 736.

Κἄν τι σφαλῇτ', ἐξ ἀξίου γοῦν τοῦ ξύλου,
Ἦν τι καὶ πάσχητε, πάσχειν τοῖς σοφοῖς δοκήσετε.

38) Apost. Cent. III. 81. Eodem sensu Athenienses *ὑπόλισποι* sive *λισπύπυγες* appellabantur. Aristoph. Eq. 1368.

Πολλοῖς ὑπολίσποις πυγιδίοισιν ἐχαρίσω.

ubi Interpp.

Ἡρακλέους ἐπὶ τὸν Κέρβερον κατελθόντος, παρὰ τῆς θεοῦ τε αὐτὸν ἐξαιτουμένου καὶ τῆς πέτρας ἀποσπῶντος, ἐγκαταλειφθῆναι τὸ προσηλωμένον αὐτῇ τῶν γλουτῶν μέρος· διὸ καὶ εἰς τιμὴν ἐκείνου καὶ τοὺς λοιποὺς Ἀθηναίους οὕτως ἐπονομάζεσθαι.

Ἀπόλογος [39] *Ἀλκίνου· ἐπὶ τῶν φλυάρων καὶ μακροὺς ἐπιτεινόντων λόγους.*

Ἀποῤῥώξ [40] *Ἐριννύων· ἐπὶ τῶν ἄγαν τιμωρούντων.*

Ἀπίδων [41] *πανδαισίᾳ· ἐπὶ τῶν ἄγαν τρυφηλῶν. Ἄπιδες δὲ θεοὶ ἦσαν Αἰγύπτιοι, τιμώμενοι παρ᾽ αὐτοῖς, σημεῖον ἔχοντες* [42] *παρὰ τὴν οὐρὰν καὶ τὴν γλῶτταν δηλοῦν εἶναι αὐτοὺς ἄπιδας· οἷς γενομένοις διὰ χρόνου, ὡς ἔλεγον, ἐκ τοῦ σέλαος, τῆς Σεληνίδος ἑορτὴν ἦγον μεγάλην, καὶ ἱερεῖς τινες παρὰ τὸν τεχθέντα βοῦν ἱερῶντο, παρατιθέντες πανδαισίαν ὡς εὐωχοῦντες αὐτούς.*

Ἀπινδάκωτος [43] *οὐ τραπεζοῦται κύλιξ· πίνδαξ γὰρ ὁ πυθμήν· ἡ δὲ παροιμία παρὰ Σωκράτει.*

Ἀπὸ μηχανῆς θεὸς ἐφάνης [44]*· ἐπὶ τῶν ἀπροσδοκήτως ἐπ᾽ ὠφελείᾳ τινὶ ἀναφαινομένων· ἐν γὰρ ταῖς τραγῳδίαις θεοὶ ἐξ ἀφανοῦς ἐπὶ τῆς σκηνῆς ἐφαίνοντο.*

Ἀποστολικὴν [45] *διάγεις πολιτείαν· ἐπὶ τῶν ἐναρέτως καὶ θεαρέστως βιούντων· ἔστι δὲ αὕτη· ὀφθαλ-*

59) Apost. Cent. III. 84. *φλυαρούς.* Macar. *Ἀπόλογος Ἀλκινόου· ἐπὶ τῶν φλυάρων, καὶ μακρὸν ἀποτεινόντων λόγον.*

40) Apost. Cent. III. 83. De voce *ἀποῤῥώξ* vid. Jacobs ad Philostr. Im. p. 497.

41) Apost. Cent. III. 85. Apogr. Dresd. *ἀπίθων.*

42) *ἔχοντες;* apogr. Dresd. om.

43) Laur. non habet.

44) Apost. Cent. III. 86. *ἐπεφάνης.* Heliod. II. 8. *πῶς ἦν εἰκὸς, τὴν ἐκ μέσης τῆς Ἑλλάδος ἐπ᾽ ἐσχάτοις γῆς Αἰγύπτου καθάπερ ἐκ μηχανῆς ἀναπεμφθῆναι.* Aristid. *ὑπὲρ τῶν τέσσ.* p. 190. *αὐτὸς ὥσπερ θεός τις τῶν ἀπὸ μηχανῆς χεῖρα ὑπερέσχε καὶ διεκώλυσε διαφθαρῆναι τὰ πράγματα.* Lucian. Hermot. c. 86. *ἐπιστᾶς τὸ τῶν τραγῳδῶν τοῦτο, θεὸς ἐκ μηχανῆς ἐπιφανείς.* Vide Wyttenb. Animadv. ad Julian. Or. I. P. I. 41. Jacobs ad Achill. Tat. I. p. 18.

45) Apost. Cent. III. 89.

μῶν ἀκρίβεια, γλώττης ἐγκράτεια, σώματος δουλαγωγία, φρόνημα ταπεινὸν, ἐννοίας καθαρότης, ὀργῆς ἀφανισμός. Ἀγγαρευόμενος προστίθει, ἀποστερούμενος μὴ δικάζου, μισούμενος ἀγάπα, βιαζόμενος ἀνέχου, βλασφημούμενος παρακάλει, νεκρώθητι τῇ ἁμαρτίᾳ, σταυρώθητι τῷ Χριστῷ, ὅλην τὴν ἀγάπην μετάθες ἐπὶ τὸν [46] κύριον.

Ἄπληστον [47] τὸ διὰ παντὸς κέρδος· ἀπόφθεγμα Πιττακοῦ.

Ἄπερ οἱ γῦπες [48]· λείπει τὸ, ποιεῖς· ἐπὶ τῶν διὰ κληρονομίαν ἢ ὅλως κέρδος οἱονοῦν παρεδρευόντων τισίν· οἱ γὰρ γῦπες τοῖς θνησιμαίοις παρεδρεύουσιν.

Ἀπὸ γραμμῆς [49]· οἷον ἀπ' ἀρχῆς· εἴρηται δὲ ἀπὸ τῆς τῶν δρομέων γραμμῆς, ἣν ἄφεσιν καὶ βαλβίδα καλοῦσιν.

Ἀπόλεμος [50]· τίθεται ἐπὶ τῶν μηδεμίαν πρόφασιν ἐχόντων πολέμου, δρασάντων δὲ τὰ πολεμίων.

Ἀπὸ [51] λεπτοῦ μίτου τὸ ζῆν ἠρτῆσθαι· ἐπὶ τῶν ἐν ἐσχάτῳ κινδύνῳ ὄντων [52].

Ἀποφράδες ἡμέραι [53]· αἱ ἀνεπιτήδειοι πρὸς πράξεις· ἐν αἷς καὶ τοῖς κατοιχομένοις χοὰς ἐπέφερον, ταύτας οἱ παλαιοὶ ἐπεικάδας καλοῦσι, φθίνοντος τοῦ μηνὸς τετράδι· ἄλλοι [54] δέ φασι τὰς ἡμέρας, ἐν αἷς τὰς φονικὰς δίκας ἐδίκαζον [55], διὰ τὸ οἷον ἀποφράττεσθαι τὸ τῆς σελήνης φῶς ἐν αὐταῖς· καὶ τοὺς πονηροὺς δὲ ἀποφράδας ἐκάλουν. Καὶ οὕτως· ἀποφράδας ἡμέρας καλοῦσιν, ὅταν μήτε ἀρχαὶ χρηματίζωσι, μήτε τὰ ἱερὰ ἱερουργεῖται, μήτε αἱ δίκαι εἰσαγώγιμοι ὦσι, μήθ' ὅλως τι τῶν αἰσίων τε-

46) τὸν apogr. Dresd. om.
47) Apost. Cent. III. 92.
48) Apost. Cent. III. 91.
49) Apost. Cent. III. 94. Macar. ἤγουν ἐξ ἀρχῆς· ὅμοιον τῷ ἀπὸ πρώτης ἀφετηρίας. Idem, ἀπὸ βαλβίδος, ἢ ἀπ' ἀρχῆς.
50) Apost. Cent. III. 95.
51) Apost. Cent. III. 96.
52) Apost. ἐν ἐσχάτῳ κινδυνευόντων.
53) Apost. Cent. III. 97. Καὶ οὕτως ἀποφρ. sqq. om.
54) ἄλλοι Apost. om.
55) Vide Schol. ad Lucian.

λεῖται, ἀλλ' ἄπρακτον καὶ ἄκυρον τῶν ἐννόμων πράξεων εἶναι· φασὶ γὰρ ἐν ἡμέραις, ἐν αἷς πόλεμοι γεγόνασι καὶ ἡττήθησαν [55], ταύτας ἐκάλεσαν ἀποφράδας.

Ἀπὸ γλώττης φίλος· ἐπὶ τῶν πράγματι μέν, οὐ λόγῳ δὲ εὐεργετούντων.

Ἀπὸ λύκου [57] θίρας· ἐπὶ τῶν ἀπράκτως εὐθὺς ἀπιόντων· οἱ δὲ ἐπὶ τῶν ἀπηνῶν καὶ ἀγρίων.

Ἄπλυτον [58] πώγων' ἔχεις· σκώπτων εἰπέ.

Ἄπληστος [59] πίθος· ἐπὶ τῶν γαστριμαργούντων ἢ ἐπὶ τῶν ἀδυνάτων· τετρημένος [60] γὰρ ἦν.

Ἁπλοῦν [61] θύλακον πατεῖ· ἐπὶ τῶν εὐκαταφρονήτων.

Ἀπὸ [62] βραδυσκελῶν ὄνων ἵππος οὔρησεν· ἐπὶ τῶν ἐξ εὐτελῶν ἐπὶ τὰ μείζω χωρούντων.

Ἀπ' ὄνου [63] καταπεσών· ἀπὸ τῶν ἱππικῇ ἐπιχειρούντων, μὴ δυναμένων δὲ μηδὲ ὄνοις χρῆσθαι· Ἀριστοφάνης ἐν νεφέλαις· τί δῆτα λῃρεῖς, ὥσπερ ἀπ' ὄνου καταπεσών; ὁ δὲ Πλάτων, ἀπ' ὄνου καταπεσὼν ἐν τοῖς νόμοις· καὶ μὴ καθάπερ ἀχαλίνωτον [64] στόμα βίᾳ ὑπὸ λόγου φερόμενον, κατὰ [65] τὴν παροιμίαν ἀπό τινος ὄνου καταπεσεῖν.

Ἀπ' [66] ὄνων ἐφ' ἵππους· ἐπὶ τῶν ἀπὸ χειρόνων ἐπὶ τὰ κρείττω μεταβαλλόντων.

Pseudolog. init. Boisson. ad Marin. p. 106.

56) Plut. Lucull. c. 27. *Λουκούλλῳ δε μέλλοντι διαβαίνειν τὸν ποταμὸν ἔνιοι τῶν ἡγεμόνων παρήνουν φυλάττεσθαι τὴν ἡμέραν, μίαν οὖσαν τῶν ἀποφράδων, ἃς μελαίνας καλοῦσιν· ἐν ἐκείνῃ γὰρ τῇ ἡμέρᾳ ἡ μετὰ Καιπίωνος ἀπώλετο στρατιά, συμβαλοῦσα Κίμβροις.*

57) Apost. Cent. III. 98. male *θήρας.*

58) Apost. Cent. III. 100.

59) Apost. Cent. IV. 2. Macar. *ἐπὶ τῶν ἀκορέστων.*

60) Apogr. Dresd. *τετριμένος.*

61) Apost. Cent. III. 99.

62) Apost. Cent. IV. 4.

63) Apost. Cent. IV. 1. Aristoph. Nub. 1273.

64) Apost. *ἀχάλινον.*

65) *κατὰ τὴν παροιμ.* etc. ex Apost. adjeci, qui habet *ἀπό τινος νοῦ.*

66) Apost. Cent. IV. 10. Macar. *ἐπὶ τῶν εἰς τὰ μείζω μετατιθεμένων.*

Ἀπήντησε κακοῦ βολὴ πρὸς ὑπερτάτην ἄτην· ἐπὶ τῶν πασχόντων ἄξια, ὧν ἔδρασαν.

Ἀπὸ [67] κώπης ἐπὶ βῆμα· ἐπὶ τῶν ἀπὸ χειρόνων εἰς κρείττονα μεταβιβασθέντων· ἢ [68] ἀθρόως καὶ μεγίστοις ἐγχειρούντων.

Ἀπόλωλεν [69] ἡ ὗς, καὶ τὸ τάλαντον καὶ ἡ γνάθος· ἐπὶ τοῦ μὴ τυχόντος ὧν ἤλπισεν· ἐπὶ γάμου δὲ ἐρρήθη μὴ γενομένου.

Ἀπ' [70] οἰνοχοέως σπάσον· παρ' ὅσον οἱ μεθύοντες ἀληθεύουσιν.

Ἀπόπληκτος ἄνθρωπος· Μάρκος Ἀντωνίου ἀδελφὸς βασιλέως Ῥωμαίων ἀδοκήτως διαφθείρεται, πλήθους ἰχῶρός τε καὶ πνεύματος ἐπισχόντος οἱ τὴν ἀναπνοήν· ὁ δὴ πάθος ἀποπληξία καλεῖται καὶ ἀπόπληκτος ἄνθρωπος ὁ πεπονθώς.

Ἀποτίσεις [71] χοῖρε γίγαρτα· οἷον ὧν κατέφαγες, ἀποδώσεις πλείω.

Ἀπώλεσας [72] τὸν οἶνον, ἐπιχέας ὕδωρ· αὕτη γέγονεν ἐκ τοῦ Ἀριστίου Κύκλωπος, ὡς φησι Χαμαιλέων ἐν τῷ περὶ σατύρων· καὶ Πολύφημος οὕτω φησὶ πρὸς Ὀδυσσέα ἐν Κύκλωπος δράματι λεγομένῳ· λέγεται ἐπὶ τῶν τοῖς καλοῖς τὰ χείρω ἐπιμιγνύντων.

Ἀποτεθρυωμένος [73] ἀνήρ· ἤτοι ἀπηγριωμένος· εἴρηται δὲ κατὰ μεταφορὰν τὴν ἀπὸ τῶν τεθρύων, ἅπερ ἐστὶν ἄγονα καὶ ἄγρια λάχανα.

67) Apost. Cent. IV. 17. De Demade rhetore dicebatur: vide Rhet. Gr. Vol. II. p. 16. locum supra sub *ἀνίπτοις, χερσίν* laudatum.

68) *ἢ* om. apogr. Dresd.

69) Apost. Cent. IV. 18.

70) Apost. Cent. IV. 19. *οἰνοχίως*. Laur. *οἰνοχοέως*. Apogr. Dresd. *οἰνοχρόως*.

71) Apost. Cent. IV. 20.

72) Apost. Cent. IV. 7.

73) Apost. Cent. III. 80. *ἀποτεθριωμένως* et *τεθρίων*. Cum expositione consentit Timaeus Lex. nisi quod *φυτά* habet pro *λάχανα*. Vide Schneider ad Plat. Polit. p. 495. E.

Ἀπὸ [74] μείζονος ἀνδρὸς ἄλευ· ἤγουν φυλάττου· ἔστι δὲ ἰωνικόν.

Ἀπὸ [75] Δωρίου ἐπὶ Φρύγιον· ἀπὸ τοῦ ἀνειμένου εἰς τὸ ἐντονώτερον, καὶ ἀπὸ τοῦ ἥττονος εἰς τὸ κρεῖττον.

Ἅπαντές [76] ἐσμεν ἐς τὸ νουθετεῖν σοφοὶ,
Αὐτοὶ δ' ὅταν σφαλῶμεν, οὐ γινώσκομεν. Εὐριπίδου ἡ γνώμη.

Ἅπαντ' [77] ἐρίζεις καὶ συνιεῖς οὐδὲ ἕν.
Γράμματα μαθεῖν δεῖ, καὶ μαθόντα νοῦν ἔχειν.

Οὐκ [78] ἄν τις εἴποι πολλὰ θαυμασθήσεται,
Ὁ μικρὰ δ' εἰπὼν, μᾶλλον δ' ἂν ᾖ χρήσιμα.

Ἅπαντ' [79] ἐν ἀνθρώποισι γηράσκειν ἔφυ,
Καὶ πρὸς τελευτὴν ἔρχεται τὰ τοῦ χρόνου.

Ἁπλοῦς [80] ὁ μῦθος τῆς ἀληθείας ἔφυ· ἐπὶ τῶν τῇ ἀληθείᾳ χρωμένων.

Ἁπλᾶ [81] γάρ ἐστι τῆς ἀληθείας τἄπη· ὁμοία τῇ προτέρᾳ.

Τὸ ᾱ μετὰ τοῦ ρ̄.

Ἀράβιος ἄγγελος [1]. Μένανδρος ἐν ἀνατιθεμένῃ, ἢ Μεσσηνίᾳ [2]· παρὰ τὴν παροιμίαν, Ἀράβιος αὐλητής [3].

74) Apost. Cent. IV. 5.

75) Apost. Cent. IV. 9.

76) Stob. 23. 5. Hoc cum quatuor sqq. abest a Mosc., recepi e Laur.

77) Stob. 55. 6.

78) Stob. 55. 7.

79) Stob. 52. 6. Laur. ἐν om.

80) Stob. 11. 12. Apost. Cent. IV. 12. addit: κ' οὐ ποικίλων δεῖ τῶν διχ' ἑρμηνευμάτων.

81) Stob. 11. 8. — Macar. addit: Ἀπὸ Ναννάκου· ἐπὶ τῶν σφόδρα παλαιῶν. Ἅπαγ' ἐπὶ κόρακας. Ἀπὸ καταδυομένης· λείπει· ὅτι ἂν λάβῃς, κέρδος. δήλη.

1) Apost. Cent. IV. 21. Macar. Ἀράβιος αὐλητὴς καὶ Ἀράβιος ἄγγελος· ἐπὶ τῶν ἀπαύστως διαλεγομένων.

2) Mosc. et Laur. ἡ Μεσσήνια. Cfr. Menand. ed. Meineke p. 17.

3) Ἀράβιος αὐλητής Apost. et Laur. om.

Ἀράβιος [4] αὐλητὴς [5] τίθεται ἐπὶ τῶν ἀπαυστὶ διαλεγομένων. Τὸ παλαιὸν δέ φασι τοὺς ἐλευθέρους μὴ μανθάνειν αὐλεῖν, διὰ τὸ βάναυσον· τῶν δὲ ἀνδραπόδων τὰ πολλὰ εἶναι βάρβαρα καὶ Ἀράβια, ἐφ' ὧν ἐλέχθη, ὁραχμῆς μὲν [6] αὐλεῖ, τεττάρων δὲ παύεται· καὶ Κάνθαρος Μηδείᾳ· κιθαρῳδὸν ἐξεγείρατε Ἀράβιον τὸν χορὸν τοῦτον, καὶ πάλιν Μένανδρος Μεσσηνίᾳ [7]· Ἀράβιον ἄρ' ἐγὼ κεκίνηκα αὐλόν.

Ἀργυρὸς λιμός [8]· ἐπὶ τῶν ἐν σιτοδείᾳ καὶ σπάνει τῶν ἀναγκαίων πολὺ ἀργύριον κερδαινόντων.

Ἄργους λόχος [9]· ἐπὶ τῶν σφόδρα συμφοραῖς ἐνισχομένων [10]· φόνος γὰρ πολὺς ἐκεῖ συνέβη.

Ἀργεία φορά [11]· ἐπὶ τῶν συκοφαντούντων· οἱ γὰρ Ἀργεῖοι φιλόδικοι· ἢ ἐπὶ τῶν ἀλαζονικῶν.

Ἀργαλέον [12] φρονέοντα παρ' ἄφροσι πολλ' ἀγορεύειν.

Ἀργυρέαις [13] λόγχαισι μάχου, καὶ πάντα

4) Apost. Cent. IV. 22. Liban. Tom. IV. p. 143. Ἀράβιος αὐλητὴς ἡ γυνή· μᾶλλον δὲ καὶ παρελήλυθε· τρυγόνος λαλιστέρα, κίττης, ἀηδόνος, κερκώπης· τὸ ἀωδωναῖον ὑπερβαίνει χαλκεῖον.

5) Laur. τίθεται δέ.

6) Laur. δέ. Vide sub litt. δρ.

7) Codd. Μεσσήνια.

8) Apost. Cent. IV. 23.

9) Apost. Cent. IV. 27.

10) Laur. ἐνισχημένων.

11) Apost. Cent. IV. 28. Ultima verba: ἢ ἐπὶ τῶν ἀλαζονικῶν a Laur. et Apost. absunt.

12) Apost. Cent. IV. 56. et Laur. addunt: εἰς ἀπαιδεύτους ἂν ῥηθείη. Versus est Theognidis Gnom. 625. Similes locos affert Bergl. ad Aristoph. Plut. 1. — Macar. add. δήλη.

13) Apost. Cent. IV. 42. Cod. Mosc. et Laur. ἀργυραῖς λόγχαις μάχου καὶ πάντων κρατήσεις. Macar. ἀργυραίαις λόγχεσι μάχου καὶ πάντα νικήσεις· τὴν Πυθίαν φασὶ τοῦτο χρησμῳδῆσαι πρὸς Φίλιππον. Initium recte legitur apud Apostolium: ἀργυρέαις λόγχαισι μάχου. Sed idem habet: πάντων κρατήσεις. Constructionem: πάντα κρατήσεις, quam metrum requirit, Suidas exhibet: pro quo Apost. constructione τοῦ κρατεῖν cum accus. offensus scripsit πάντων· neque Macarius, eandemque forte autoritatem secutus Pantinus, Apostolii commentator, melius versui consuluerunt: πάντα νικήσεις legentes. Recte dicitur κρατεῖν τι in possessionem alicujus rei venire: κρατεῖν τινος, in possessione esse:

κρατήσεις· ἀντὶ τοῦ διὰ χρυσοῦ πάντα νικήσεις· Φιλίππῳ δὲ ἐδόθη τοῦτο χρησμὸς, αἰνιττομένου τοῦ θεοῦ, ὡς διὰ προδοσίας πάντων κρατήσει.

Ἀργύρου [14] κρῆναι λαλοῦσιν· ἐπὶ τῶν ἀπαιδεύτων, δι' ὑπερβολὴν δὲ πλούτου παῤῥησιαζομένων.

Ἀρᾶς ἱερόν [15]· ἐπὶ τῶν πολλὰ ἀρωμένων ἐπὶ χρηστοῖς ἢ φαύλοις.

Ἀρετῆς [16] τὸ βάρβαρον οὐ συνίησιν· ἐπὶ τῶν ἀπαιδεύτων.

Ἀρεοπαγίτης [17]· ἐπὶ τῶν σκυθρωπῶν καὶ ὑπερσέμνων.

Ἀργούντων χορός [18]· ἐπὶ τῶν κακὰ ποιούντων.

Ἀρίγνωτος [19] σμάραγδος ἐν μὲν τῷ φάει σκοτεινός· πρὸς τοὺς ἀποκρύπτοντας ἑαυτοὺς, ὅπου χρή. οὐ [20].

est enim eadem differentia, quae inter μετέχειν τι et μετέχειν τινός. Cfr. Valk. ad Eurip. Phoen. 594. Döderl. ad Oed. Col. 1475. Plut. Apophth. Lacon. p. 211. F. τούτῳ μόνῳ (sc. ἱππικῷ) τοὺς μέγιστον ἐφ' ἱππικῇ φρονοῦντας ἐκράτησε. Achill. Tat. III. 18. Codd. inter accus. et gen. fluctuant. Cfr. Jacobs ad IV. 12. Ad rem cfr. Joannem Sicel. Comment. ad Hermog. περὶ ἰδεῶν, qui exstat in Cod. Laurent. Plut. LVII. 5. Τοιοῦτος Δημοσθένης τῶν Ἀθηναίων ὁ Νεῖλος πολλῷ μᾶλλον, ἢ Κηφισός τε καὶ Ἰλισσὸς, ὁ τοῖς Φιλίππου μηχανήμασι τοῖς ἀργυροῖς ἀντιβαίνων, ὃς εἴπερ εἶχε δύναμιν καὶ τοὺς λόγους τοὺς Ἀθηναίων ὑπείκοντας, ἔσβεστ' ἂν κοσμυφλεγὴς δαλὸς Ὀλυμπιάδος, Μακεδόνες δ' ἐκλύσθησαν καταῤῥάκταις Παιανιέως, ἔθνη δ' ἔκυσεν δῆμον Ἐριχθόνιον. Plut. Aemil. Paul. c. 12. ἐῤῥέθη γοῦν, ὅτι τὰς πόλεις αἱρεῖ τῶν Ἑλλήνων οὐ Φίλιππος, ἀλλὰ τὸ Φιλίππου χρυσίον.

14) Apost. Cent. IV. 44. Laur. non habet. Pro λαλοῦσιν apogr. Dresd. habet καλοῦσιν.

15) Apost. Cent. IV. 48. Macar. ἐπὶ τῶν πολλὰ ἀρωμένων.

16) Apost. Cent. IV. 50.

17) Apost. Cent. IV. 49. Mosc. ἐπὶ τῶν σεμνῶν, σκυθρωπῶν καὶ ὑπερσεμνῶν. Laur. σεμνῶν om. Macar. ἐπὶ τῶν σκυθρωπῶν καὶ ὑπερσέμνων καὶ σιωπηλῶν.

18) Apost. Cent. IV. 54.

19) Apost. Cent. IV. 55. Macar. Ἀριγνώτου σμάραγδος ἐν τῷ σκότει φαεινὸς, ἐν τῷ φάει σκοτεινός· πρὸς τοὺς ἀποκρύπτοντας ἑαυτοὺς, ὅπου οὐκ ἐχρῆν.

20) Mosc. οὐ om.

Ἄρεος νεοττός [21]· *ἐπὶ τῶν φιλοπολέμων.*

Ἄριστα χωλός οἰφεῖ [22]· *φασὶν, ὅτι αἱ Ἀμαζόνες τοὺς γεννωμένοις ἄῤῥενας ἐπήρουν· ὅθεν πολεμοῦντες αὐταῖς οἱ Σκύθαι καὶ βουλόμενοι αὐτὰς ἐξαπατῆσαι, ἔλεγον, ὅτι συνέσονται αὐταῖς εἰς γάμον ἀπήρωτοι καὶ οὐ λελωβημένοι, ὡς τῶν ἐκείνων ἀνδρῶν λελωβημένων ὄντων, ἐξ ὧν ἀποκριθεῖσα ἡ ἡγεμὼν τῶν Ἀμαζόνων, ἀρισά, φησι, χωλὸς οἰφεῖ, ἀντὶ τοῦ συνουσιάζει.*

Ἄρνα προβάλλειν [23]· *ἐπὶ τῶν πολεμεῖν αἱρουμένων, οἱ γὰρ πολεμεῖν βουλόμενοι κήρυκα ἔπεμπον, ἄρνα ἐπιφερόμενον, ὃς ἡφίει ἔνδον τὸν ἄρνα, μηλόβοτον τὴν πόλιν αὐτῶν ἐκ τούτου δεικνύων ἔσεσθαι.*

Ἀρετὴ [24] *τριὰς, σύνεσις καὶ κράτος καὶ τύχη· ἐξ ἀποφθέγματος Ἀπολλωνίδου τοῦ Νικαιέως, ἄλλοι δέ φασι Δημητρίου τοῦ Σκηψίου.*

Ἀρκαδίην [25] *μ᾽ αἰτεῖς· ἐπὶ τῶν μεγάλα ἢ ἀσύμφορα αἰτούντων.*

Ἀρκάδιον [26] *βλάστημα κατεσπάρη· ἐπὶ τοῦ δειλοῦ.*

21) Apost. Cent. IV. 57: Mosc. et Laur. *νεοττόν*. Macar. *Ἄρεως νεοττὸς καὶ Ἄρεως παιδίον· ἐπὶ τῶν δρασυτάτων*. Aristoph. Av. 834.

Ὅσπερ λέγεται δεινότατος εἶναι
παντα χοῦ
Ἄρεος νεοττός.

Vocem *νεοττός*, proprie de avibus usurpatam (Villois. ad Long. p. 83.) de liberis usurpare amabant tragici. Monk. ad Eurip. Alc. 414. Theophr. Char. 2. *περὶ κολακείας· τοῖς παιδίοις μῆλα — δοῦναι, ὁρῶντος αὐτοῦ, καὶ φιλήσας δὲ εἰπεῖν· χρηστοῦ πατρὸς νεόττια.*

22) Apost. Cent. IV. 43. Laur. et Mosc. *ὑφεῖ*, eandem lectionem in scripto Cod. Apostolii inveniri testatur Pantinus. Suid. item *δφεῖ*. Bene Macar. *ἄριστα χωλὸς οἰφεῖ· ἐπὶ τῶν τὰ οἰκεῖα κακὰ μᾶλλον αἱρουμένων, ἢ τὰ ἀλλότρια ἀγαθά· ἐκ τῶν Ἀμαζόνων συντεθεῖσα.*

23) Apost. Cent. IV. 45.

24) Laur. non habet.

25) Ex oraculo Lacedaemoniis a Pythia edito Herod. I. 152. Cfr. Excerpta ex Diodoro Sic. ab Ang. Majo edita nr. XXXII.

26) Apost. Cent. IV. 39. ed. Pant. *Ἀρκάδιον βλάστημα· κατεσπάρη ἐπὶ τοῦ δειλοῦ.* In Laur. bis occurrit: prima vice eodem.

Ἁρμόδιον [27] μέλος· ἐπὶ τῶν σκολιῶν· σκολιὰ γὰρ μέλη ᾄδετο πρὸς Ἁρμόδιον· ταὐτὸν δὲ καὶ τὸ Ἀδμήτου μέλος.

Ἀρκάδας [28] μιμούμενος· ταύτῃ κέχρηται Πλάτων ἐν Πισάνδρῳ, ἐπὶ τῶν ἄλλοις ταλαιπωρούντων· μαχιμώτατοι μὲν γὰρ ὄντες, αὐτοὶ μὲν οὐδέποτε ἰδίαν νίκην ἐνίκησαν, ἄλλοις δὲ αἴτιοι νίκης πολλοῖς ἐγένοντο· καὶ ὁ Πλάτων οὖν [διὰ τὸ τὰς κωμῳδίας αὐτὸς ποιῶν ἄλλοις παρέχειν διὰ πενίαν, Ἀρκάδας μιμεῖσθαι ἔφη.

Ἄρτι [29] μῦς πίττης γεύεται· ἐπὶ τῶν νεωστὶ πεῖραν τῶν κακῶν λαμβανόντων· τὸ γὰρ ζῶον εἰς πίτταν [30] πίπτον δεινὰ πάσχει.

Ἀρκάδας μιμήσομαι [31]· ἐπὶ τῶν ἑτέροις πονούντων.

Ἀρότρῳ ἀκοντίζεις [32]· ἐπὶ τῶν ἀδιασκέπτως τι ποιούντων, καὶ τὸ κατόπιν μὴ προορωμένων.

Ἀρχὴ ἄνδρα δείκνυσιν [33]· ἐπὶ τῶν πρὸ μὲν τῆς ἀρχῆς ἐπιεικῶν δοκούντων, ἐν αὐτῇ δὲ κακῶν φαινομένων. Θεόφραστος ἐν τῷ παροιμιῶν· ἄλλοι δέ φασιν ἀπόφθεγμα εἶναι Σόλωνος.

Ἀρχὴ πολέμων [34]· ἐπὶ τῶν ἀδικεῖν ἐπιχειρούντων.

Ἄρκτου παρούσης [35] ἴχνη ζητεῖς· ἐπὶ τῶν ἀδήλων· ἡ γὰρ ἄρκτος χειμῶνος μὲν ἀποτίκτει, καὶ φωλεύει τεκοῦσα, καὶ ὑφορωμένη τοὺς κρυμοὺς τὴν ἐπιδημίαν τοῦ ἦρος προσμένει· οὔτ' ἂν, πρὶν ἢ πληρωθῆναι

modo, quo in Apostolio, interpungitur, altera κατεσπάρη om.

27) Apost. Cent. IV. 53. Mac. Ἁρμοδίου μέλος· ἐπὶ τῶν σκολιῶν.

28) Apost. Cent. IV. 25.

29) Apost. Cent. IV. 52. Macar. ἐπὶ τῶν ὀψὲ εἰς αἴσθησιν ἐρχομένων.

30) Laur. πίσσαν.

31) Macar. ἐπὶ τῶν ἑτέροις πονούντων. Ἀρκάδες γὰρ ἰδίᾳ μὲν οὐδένα ἐνίκησαν, ἑτέροις δὲ προστιθέμενοι καὶ σύμμαχοι γενόμενοι εὐδοκίμουν.

32) Apost. Cent. IV. 58. Macar. ἐπὶ τῶν καθ' ἑαυτῶν πραγματευομένων, παρόσον οἱ ἑτέρους ἀκοντίζοντες τοὺς πέλας βάλλουσιν.

33) Apost. Cent. IV. 51. Macar. δήλη.

34) Apost. Cent. IV. 57.

35) Apost. Cent. IV. 40. Ma-

τρεῖς μῆνας, ἐξαγάγοι ποτὲ τὰ βρέφη· ὅταν δὲ αἴσθηται ἑαυτῆς πεπλησμένης, ὑφορωμένη τοῦτο ὡς νόσον, ζητεῖ φωλεόν· ἐντεῦθέν τοι κέκληται τὰ ἀρκτοφώλεια [36] τὸ πάθος· εἰσέρχεται δὲ οὐδὲ βαδίζουσα, ἀλλ' ὑπτία, ἀφανίζουσα τοῖς θηρατοῖς τὰ ἴχνη· ἑαυτὴν γὰρ ἐπισύρει κατὰ νῶτα καὶ παρεισελθοῦσα ἡσυχάζει.

Ἄρτον [37] οὐκ εἶχεν ὁ πτωχὸς καὶ τυρὸν ἠγόραζεν.

Ἄρτι [38] τὴν ἀρετὴν ζητεῖς· ἐπὶ τῶν παρὰ καιρὸν πονούντων ἐπί τι.

Ἀρχὴν δὲ θηρᾶν οὐ πρέπει τἀμήχανα.

Ἀρχιδάμειος πόλεμος [39]· ἐπὶ τῶν λίαν πικρῶν πολέμων· Ἀρχιδάμειος δὲ ἐκλήθη ἀπὸ τοῦ τὸν Ἀρχίδαμον εἰς τὴν Ἀττικὴν ἐμβαλεῖν, καθάπερ Θουκυδίδης καὶ Ἔφορος καὶ Ἀναξιμένης καί Λυσίας ἐν τῷ κατὰ Ἀνδροτίωνος καὶ Πυθίου ξενίας.

Ἀρχὴ Σκυρία [40]· ἐπὶ τῶν εὐτελῶν καὶ μηδὲν λυσιτελὲς ἐχόντων, παρόσον πετρώδης καὶ λυπηρά· ἀπὸ Θησέως ἐπιθεμένου [41] τῇ Λυκομήδους ἀρχῇ, ὅτι πειρῶν τὴν γυναῖκα αὐτοῦ κατακρημνισθείη· ὀστρακισθῆναι δὲ πρῶτον Ἀθήνησι Θησέα ἱστορεῖ Θεόφραστος [42].

Ἁρπακτικώτερος [43] γαλῶν.

Ἀρχομένου [44] τε νότου καὶ λήγοντος Βορέαο· συνυπακούεται τό· δεῖ πλεῖν.

Ἀρχὴν [45] ἰᾶσθαι πολὺ λωΐον ἢ τελευτήν·

car. ἄρκου (sic) παρούσης τὰ ἴχνη ζητεῖς· ἐπὶ τῶν προδήλων.

36) Mosc. et Laur. τῇ ἄρκτῳ φωλεία.

37) Abest a Laur.

38) Apost. Cent. IV. 29.

39) Apost. Cent. IV. 30. Mosc. et Laur. Ἀρχιδάμιος bis. — Cfr. Harpocr. s. v.

40) Apost. Cent. IV. 31. Macar. ἐπὶ τῶν εὐτελῶν· πενιχρὰ γάρ νῆσος ἡ Σκῦρος.

41) Laur. ἐπιτιθεμένου.

42) Post Θεόφραστος Apost. addit: ἐν τοῖς πρώτοις καιροῖς.

43) Aristoph. Vesp. 362.
Ὥσπερ με γαλῆν κρέα
Κλέψασαν τηροῦσιν.

44) Apost. Cent. IV. 24.

45) Apost. Cent. IV. 41. Mosc. πολύ om. — ἢ τελευτὴν habet Cod. uterque. Vide Harpocr. s. v.

δηλοῖ δὲ, ὡς δεῖ [46] ἀρχόμενα τὰ δεινὰ μᾶλλον πειρᾶσθαι κωλύειν ἢ ἀκμάσαντα καὶ τελειωθέντα.

Ἀρχὴν [47] ἔχων κόσμεε, αὐτὸς δὲ μὴ μεταβάλλεο.

Ἀρχαιότερος [48] Ἰβύκου· ἐπὶ τῶν εὐηθῶν· οὗτος γὰρ τυραννεῖν δυνάμενος ἀπεδήμησεν.

Ἀρχαιότερα [49] τῆς διφθέρας λέγεις· ἐπὶ τῶν μακρὰ διηγουμένων, ἡ γὰρ διφθέρα, ἐν ᾗ ἀ Ζεὺς ὑπεγράφετο τὰ γινόμενα, παμπάλαιος ἦν.

Ἀρχὴ ἥμισυ παντός [50]· ἐπὶ τῶν εἴς τι προκοπτόντων.

Ἀριστᾶν [51] μὲν πολὺ, δειπνεῖν δὲ ὀλίγον· ἐπὶ τῶν ἐρεθιζόντων ἑαυτοὺς εἰς τὰ Ἀφροδίσια.

Ἀρχὴν [52] μὲν μὴ φῦναι ἐπιχθονίοισιν ἄριστον
Φύντα δ' ὅπως ὤκιστα πύλας Ἀίδαο περῆσαι·
ἐπὶ τῶν δυστυχῶς βιούντων.

Ἀρχαϊκὰ [53] φρονεῖς· ἐπὶ τῶν μωρῶν καὶ εὐηθῶν [54].

Ἄρχου τοῖς αὐτοῦ καὶ μὴ διάρπαζε τὰ πλησίον, μήθ' αὗ προΐεσό τῶν σῶν, ὡς κατὰ τοῦτο μειονεκτῶν. Ἱέραξ εἶπεν.

46) δεῖ uterque Cod. om.
47) Laur. non habet.
48) Apost. Cent. IV. 35. Codd. uterque Αἰβέκου. Mosc. τυραννεῖν om. Τοὺς μωροὺς ἀρχαίους ἐκάλουν Schol. ad Aristoph. Nub. 397. Ὁ μὲν ταῦτα φήσει ἀλαζὼν καὶ ἀρχαῖος ὡς ἀληθῶς, καὶ Κρονικὸς ἄνθρωπος. Lucian. Praec. rhet. c. 10. Τὸ μὲν αὐτόθι συμπλέκεσθαι πρὸς Ἀννίβαν ἀρχαῖον ἡγεῖτο λίαν καὶ πρεσβυτικόν. Plut. Fab. Max. c. 25. τίς οὕτω παχὺς ἔστι καὶ ἀρχαῖος. Julian. Caesar. p. 306. A. ἀρχαιότης τρόπου. Alciphr. III. 64. Cfr. Blomf. ad Aesch. Prom. 528.
49) Apost. Cent. IV. 46. Macar. ἐπὶ τῶν τὰ σαθρὰ καὶ παλαιὰ λεγόντων.
50) Apost. Cent. IV. 46. Consentit Macar.
51) Hoc et sqq. quinque Mosc. omisit.
52) Macar. inserit pentametrum:
Μηδ' ἐπιδεῖν αὐγὰς ὀξέος ἠελίου·
et post περῆσαι addit: Θεόγνιδος ἐπὶ τῶν δυστυχῶς βεβιωκότων. Vide Stob. 120. 3. 4. Wyttenb. ad Plut. p. 115. E.
55) Apost. Cent. IV. 38.
54) Laur. ἀληθῶν. Apost. εὐηθῶν.

Ἀρχίλοχον [55] πατεῖς· ἐπὶ τῶν λοιδορούντων· τοιοῦτος γὰρ ὁ Ἀρχίλοχος.

Ἄρχων ἄκουε καὶ δικαίως κἀδίκως· ἐκ τῶν Σόλωνος ἐλεγείων παραινετική [56].

Τὸ α μετὰ τοῦ σ.

Ἀσκὸν δέρεις [1]· ἐπὶ τῶν ἀνοήτως τι ποιούντων.

Ἀσκὸν βαπτίζεις [2] πνεύματος πλήρη· ἐπὶ τῶν ἀδυνάτων.

Ἀσκὸν λήψεται [3] ὁ πρότερον πιών· ἐπὶ τῶν γενναίως ὑπὲρ ἄλλων ἀγωνιζομένων.

Ἄσε με [4] δαίμονος αἶσα κακὴ καὶ ἀθέσφατος οἶνος.

Ἀσελγής ἐστιν ὁ ἀνήρ· ἀντὶ τοῦ ἄγαν ὄζει· παῃκται δὲ, ὡς φασιν ἐξ αἰτίας τοιαύτης· Σέλγος πόλις ἐστὶ τῆς Πισιδίας, ὅπου κακῶς ὤζον [5] οἱ ἄνθρωποι, καὶ ἀλλήλοις ἐκοινώνουν· κατ' ἐπίτασιν οὖν τὸ ἀσελγαίνειν.

Ἀφ' ὑψηλοῦ [18] *μου καταγελᾷς· ἐπὶ τῶν ἐξ ὕψους διαλεγομένων, ὡσανεὶ, πάνυ μου καταφρονεῖς.*

Ἀφωνότερος [19] *πέρδικος.*

Ἄφυκτόν [20] *ἐστι τὸ τῆς πεπρωμένης κακόν.*

Τὸ α μετὰ τοῦ χ.

Ἀχθοφόρος Αἰγύπτιος [1] *ἐπὶ· τῶν βαρέα βαστάζοντων· πολλαχοῦ γὰρ οἱ ποιηταὶ ἀχθυφοροῦντας τοὺς Αἰγυπτίους φασίν.*

Ἀχαλίνων στομάτων, ἀνόμου τ' ἀφροσύνας, τέλος δυστυχία· δήλη.

Megar. *Οὐ χοῖρος Ἀφροδίτᾳ; μόνᾳ γᾷ δαιμόνων.*

12) Laur. *τάχιστα.*

13) Apost. Cent. V. 19.

14) Apost. Cent. V. 6. Macar. *Ἀφροδισία ἄγρα· ἐπὶ τῶν ἔρωτι ἁλισκομένων.*

15) Apost. Cent. V. 7.

16) Apost. Cent. V. 10. Laur. hoc et sq. prov. om.

17) Apogr. Dresd. *χειρίων.*

18) Apost. Cent. V. 21. Macar. *οἱονεὶ πάνυ μου καταφρονεῖς.*

19) Laur. om. Apud Luc. Gall. c. 1. adv. indoct. c. 16. legitur: *ἀφωνότερος ἰχθύων.*

20) In Mosc. non est. Apost. V. 13. addit: *Ἀριστοτέλης.*

1) Apost. Cent. V. 22. Ut bajuli a comicis perstringebantur Aegyptii. Arist. Ran. 1405.

Λύ' ἅρματ' εἰσήνεγκε καὶ νεκρὼ δύο,
Οὓς οὐκ ἂν ἔροιντ' οὐδ' ἑκατὸν Αἰγύπτιοι.

ubi Schol. et Spanh.

Ἄχθομαι [2] *αὐτοῦ τῷ ὑΰπῳ· ἀντὶ τοῦ τῇ ἀνελευθερίᾳ καὶ μικρολογίᾳ· τὸν γὰρ ὑΰπον ἐπὶ τῶν ἀνελευθέρων ἐτίθεσαν· οὕτω γοῦν ὑποκονδύλους* [3] *λέγουσι τοὺς τοιούτους.*

Ἄχει πέπληγμαι [4]*· ἐπὶ τοῦ δυσφοροῦντος.*

Ἀχρειόγελως ἄνθρωπος [5]*· ὁ ἐπὶ τοῖς ἀχρήστοις καὶ μὴ σπουδαίοις γελῶν καὶ χαίρων.*

Ἄχειρ νιφθῆναι βούλεται [6]*· ἐπὶ τῶν ἀδυνάτων.*

Ἄχρι κόρου [7]*· ὅτι ἄχρι κόρου ἐκεῖνος ἀναίσθητός ἐστι· καὶ οὗτος ἄχρι κόρου φενακίζει.*

Ἄχρι εἰς τὸ βάραθρον [8]*· ἐπὶ τῶν μέχρι τελευτῆς ἢ καλῶν ἢ κακῶν, ἢ εὐγενῶν ἢ δυσγενῶν ὄντων.*

Ἀχνυμένη σκυτάλη [9]*· ἐπὶ τῶν λυπρὰς ἀγγελίας ἀγγελλόντων· ἔθος γὰρ ἐπὶ ξύλου ἐλίσσειν τὸ γραφὲν ἐν σκυτάλῃ, καὶ πέμπειν, οἱονεὶ ἀπειλοῦντες οἱ παλαιοὶ, οἷς ἐβούλοντο πέμπειν· οἱ δὲ δεχόμενοι ἐν ἴσῃ* [10] *σκυτάλῃ ἀνειλοῦντες* [11] *ἀνεγίνωσκον τὸ γραμματεῖον.*

Ἀχάριστον [12] *εὐεργετεῖν καὶ νεκρὸν μυρίζειν ἐν ἴσῳ κεῖται.*

2) Apost. Cent. V. 23.

3) Arsen. ante ὑποκονδ. praebet ὑποκινδύνους· syllabae κιν in Cod. inscriptum erat ον, syllabae πο autem imposita erant duo puncta sic: puto igitur, totum hoc vocabulum expungendum esse. Matth.

4) Apost. Cent. V. 24.

5) Apost. Cent. V. 25. Consentiente Suida: de phrasi Homerica, ἀχρεῖον δ' ἐγέλασσεν, Od. XVIII. 163. vide Ludov. Döderlini Progr. Erlangae 1827. editum.

6) Apost. Cent. V. 26.

7) Apost. Cent. V. 27.

8) Apost. Cent. V. 28.

9) Apost. Cent. V. 29. Plut. Symp. VII. p. 152. E. ἀλλὰ μὴν ὁ Νειλόξενος ἔφη, τὴν μὲν τοῦ Αἰθίοπος ἐπίταξιν οὐδὲν ἂν τις ἄλλο πλὴν ἀχνυμένην σκυτάλην προσείποι κατὰ Ἀρχίλοχον. ubi Wyttenb. Liebel ad Archiloch. Fr. LXVIII.

10) Mosc. ἐν ἴσῳ σκυτάλῃ. Laur. ἴσῳ omisso ἐν.

11) Arsen. et Apost. habent ἀνταπειλοῦντες, inducti forsan praegresso ἀπειλοῦντες. Scripsi ἀνειλοῦντες, quod convenit cum ἐφειλοῦντες apud Diogenianum III. 25. — Rem ipsam exponit Plut. Lys. c. 19.

12) Apost. Cent. V. 30.

Τὸ α μετὰ τοῦ ψ.

Ἄψυχότερος λαγωοῦ φεύγοντος· ἐπὶ τῶν σφόδρα δειλῶν.

Ἄψ δ' ὁ παῖς [1] πρὸς κόλπον ἐϋζώνοιο τιθήνης ἐκλίνθη ἰάχων· καὶ χωρὶς μέν τινος μορμολύττοντος δυσαποσπάστως ἔχουσιν τῶν τροφῶν· τοῦτον δὲ καὶ ἡ ὄψις φοβεῖ· οὕτως δέ ἐστιν ἐναργείας μεστὰ τὰ ἔπη, ὅτι οὐ μόνον ἀκούεται τὰ πράγματα, ἀλλὰ καὶ ὁρᾶται· λαβὼν δὲ τοῦτο ἐκ τοῦ βίου ὁ ποιητὴς ἄκρως περιεγένετο τῆς μιμήσεως· πρῶτος δὲ παῖδας ἐν τραγῳδίᾳ εἰσάγει.

Τίνες γεγόνασιν ἀρχηγοὶ τεχνῶν καὶ ἐπιστημῶν [2].

Ἀπελλῆς [3] βοτανικῆς· Δημοσθένης ῥητορικῆς τῆς τρίτης μετὰ τὰς δύο φοράς· Παπιανὸς νομοθεσίας· Ἄντινος λογχοποιΐας· Εὐρύνοος τοξοσύνης· Εὐρύδαμος Μεσσήνιος [4] θώρακος πολεμικοῦ· Εὔανδρος κνημῖδος καὶ ἀσπίδος· Ὀππιανὸς [5] ἁλιευτικῆς· Τριπτόλεμος σπορᾶς σίτου· Πάμφιλος ζωγραφικῆς· Τύφης ναυτικῆς· Ἄργος ναυπηγίας· Ἀρχιμήδης μηχανικῆς.

Ἀριστοτέλους περὶ ἀνέμων [6].

Τὰ δ' ἐν ἀέρι πνέοντα πνεύματα καλοῦμεν ἀνέμους, αὔρας δὲ τὰς ἐξ ὑγροῦ φερομένας ἐκπνοάς. Τῶν δὲ ἀνέμων οἱ μὲν ἐκ νενοτισμένης γῆς πνέοντες ἀπόγειοι λέγονται· οἱ δὲ ἐκ κόλπων διεξάττοντες ἐγκόλπιοι· τούτοις ἀνάλογόν τι ἔχουσιν οἱ ἐκ ποταμῶν καὶ λιμνῶν· οἱ δὲ

1) Hom. Il. ζ. 467. Laur. non habet.
2) Mosc. habet post *γνώμας*. Laur. om.
3) Cod. Ἀπελῆς.
4) Cod. *Εὐρίδαμος Μεσήν.*
5) In Cod. erat *ἀππιανός*. Littera O liquore rubro posterius addita: Matth.
6) Meteor. II.

κατὰ νέφους γινόμενοι καὶ ἀνάλυσιν τοῦ πάχους πρὸς ἑαυτοὺς ποιούμενοι ἐκνεφίαι καλοῦνται. μεθ' ὕδατος δὲ ἀθρόως ῥαγέντος ἐξυδρίαι λέγονται· καὶ οἱ μὲν ἀπ' ἀνατολῆς συνεχεῖς εὖροι κέκληνται, βορέαι δὲ οἱ ἀπ' ἄρκτου· ζέφυροι δὲ οἱ ἀπὸ δύσεως· νότοι δὲ οἱ ἀπὸ μεσημβρίας. Τῶν γε μὴν ἀέρων, καικίας μὲν λέγεται ὁ ἀπὸ τοῦ περὶ τὰς θερινὰς ἀνατολὰς τόπου πνέων ἄνεμος· ἀπηλιώτης [8] δὲ ὁ ἀπὸ τοῦ περὶ τὰς ἰσημερινάς· εὖρος δὲ, ὁ ἀπὸ τοῦ περὶ τὰς χειμερινὰς καὶ τῶν ἐναντίων ζεφύρων. Ἀργέστης μὲν, ὁ ἀπὸ τῆς θερινῆς δύσεως, ὅντινες καλοῦσιν ὀλυμπίαν· οἱ δὲ ἰάπυγα· ζέφυρος δὲ ὁ ἀπὸ τῆς ἰσημερινῆς· λίψ δὲ ὁ ἀπὸ τῆς χειμερινῆς καὶ τῶν βορέων ἰδίως· ὁ μὲν ἐξῆς τῷ καικίᾳ καλεῖται βορέας· ἀπαρκτίας δὲ ὁ ἐφεξῆς ἀπὸ τοῦ πόλου κατὰ τὸ μεσημβρινὸν πνέων· θρασκίας δὲ ὁ ἐξῆς πνέων τῷ ἀργέστῃ, ὃν ἔνιοι καικίαν καλοῦσι· καὶ τῶν νότων ὁ μὲν ἀπὸ τοῦ ἀφανοῦς πόλου φερόμενος ἀντίπαλος τῷ ἀπαρκτίᾳ, καλεῖται νότος· εὐρόνοτος δὲ ὁ μεταξὺ εὔρου καὶ νότου· τὸν δὲ ἐπὶ θάτερα μεταξὺ λιβὸς καὶ νότου, οἱ μὲν λιβόνοτον, οἱ δὲ λιβοφοίνικα καλοῦσι. Τῶν δὲ ἀνέμων οἱ μέν εἰσιν εὐθύπνοοι, ὁπόσῳ διεκπνέουσι πρόσω κατ' εὐθεῖαν· οἱ δὲ ἀνακαμψίπνοοι, καθάπερ ὁ καικίας λεγόμενος· καὶ οἱ μὲν χειμῶνος, ὥσπερ οἱ νότοι δυναστεύοντες· οἱ δὲ θέρους, ὡς οἱ ἐτησίαι λεγόμενοι. μίξιν ἔχοντες τῶν τε ἀπὸ ἄρκτου φερομένων καὶ ζεφύρων· οἱ δὲ ὀρνιθίαι καλούμενοι, ἐαρινοί τινες ὄντες ἄνεμοι, βορέαι εἰσὶ τῷ γένει. Τῶν γε μὴν βιαίων πνευμάτων καταιγὶς μέν ἐστι πνεῦμα ἄνωθεν πίπτον ἐξαίφνης, θύελλα [7] δὲ πνεῦμα βίαιον καὶ ἄφνω προσαλλόμενον· λαίλαψ δὲ καὶ στρόβιλος πνεῦμα εἱλούμενον κάτωθεν ἄνω. ἀναφύσημα δὲ, γῆς πνεῦμα ἄνω φερόμενον, κατὰ τὴν ἐκ βυθοῦ τινος ἢ ῥήγματος ἀνάδο-

7) Cod. θύαλα.

8) Mosc. ἀπηλιότης.

σιν. ὅταν δὲ εἰλούμενον πολὺ φέρηται, πρηστὴρ χθόνιός ἐστιν [9].

ΑΠΟΦΘΕΓΜΑΤΑ.

Ἀγαλλίας [1] ὁ Κερκυραῖος Ἀριστοφάνει [2] γνώριμος εἶπε τὰς δύο πόλεις, ἃς φησιν ἐν τῇ ἀσπιδοποιΐᾳ Ὅμηρος, εἶναι Ἀθήνας καὶ Ἐλευσῖνα, κατασκευάζων οὕτως· τὴν μὲν προτέραν, ἐπεὶ κατὰ γένεσιν τοῦ κόσμου πρώτη πόλις αἱ Ἀθῆναι, κατὰ δὲ τὴν φύσιν τοῦ στοιχείου [3], ὁ θεὸς τὴν πόλιν τειχοποιεῖ· ἐπιφέρει δὲ γάμους καὶ ὑμεναίους ἐν Ἀθήναις· ταῦτα γὰρ πρῶτον ἤχθη, αὐλούς τε ἐν τοῖς γάμοις εὗρεν Ἀθηνᾶ· δίκην τε ἐν τῇ πόλει· παρὰ γὰρ Ἀθηναίοις πρῶτον ἐγένετο δικαστήριον ἐπὶ Ἁλιροθίῳ [4] τῷ Ποσειδῶνος [5]· οἱ δὲ δικασταὶ Ἀθήνησι μισθὸν λαμβάνουσι· καὶ διὰ τοῦτο λέγει κεῖσθαι ἐν μέσῳ δύο χρυσοῦ τάλαντα· τὴν δὲ ἑτέραν πόλιν οὖσαν Ἐλευσῖνα· πόλεμον δὲ ἔσχον Ἀθηναῖοι πρὸς Ἐλευσινίους, ὃν αὐτοῖς ἐπολέμησεν Εὔμολπος καὶ Ποσειδών· βοηθοὶ δὲ αὐτοῖς εἰσιν Ἄρης τε καὶ Ἀθηνᾶ· ὁ μὲν χάριν ἀποδιδοὺς, ὅτι ἀπελύθη κριθεὶς ἐν ἀρείῳ πάγῳ· ἡ δὲ, ὅτι τῆς πόλεως ὡς οἰκείας ἐκήδετο, καὶ τὰ ἐπαγόμενα ἴδια Ἐλευσῖνος· εὐρεῖα, Τριπτόλεμος, ἐπείπερ Ἐλευσῖνι πρῶτον καρποὺς Δημήτηρ ἔδωκεν· ἡ δὲ σταφυλῆς μέγα βρίθουσα ἀλωή· ἐπὶ Ἰκαρίῳ καὶ Διονύσῳ πορεία. ὁ δὲ ποικιλλόμενος χο-

9) In Laur. orbis delineatus est, intra quem radiis ductis singuli venti ordine suo disponuntur.

1) Vide Eustath. et Pseudo-Didym. ad Il. Σ. v. 490. Variae lectiones, quas hic notavimus, repetitae sunt ex Cod. MS. scholiorum Homeri. Matth.

2) Impress. Ἀριστοφάνους.

3) Impress. τῶν στοιχείων.

4) Codd. et impress. Ἁλιροθίῳ. Geminationem τοῦ ῥ. in compositis ex ῥέω poëtae saepe omittunt, ut Hesiod. Theog. 288. Καλλιρόη. Cfr. Böckh not. crit. ad Pind. Olymp. XI. 73. Markl. ad Eur. Iph. A. 420. Eodem modo apud Pausan. VII. 21. 1 — 5. sexies scribitur Καλλιρόη, nulla a Bekkero annotata varietate: Angel. semel §. 5. Καλλιῤῥόην τὴν πηγὴν καλοῦσιν scribit.

5) Mosc. τῷ Ποσειδῶνι.

ρὸς Ἀριάδνης καὶ Θησέως ἔχει πράξεις· ἰδίως [6] δὲ καὶ ὁ τεχνίτης τῶν Ἀθηνῶν Ἥφαιστος Ἐριχθονίῳ [7] τῷ υἱῷ χαριζόμενος βασιλεύοντι τῶν Ἀθηνῶν τὴν τοιαύτην παρασκευὴν παρεισήγαγε [8]· τὸν ἄρειον δὲ πάγον ἑρμηνείει ὁ ἱερὸς κύκλος· οἱ δὲ δικασταὶ Ἀθηνῶν.

Αἰσώπου.

Αἴσωπος ἐρωτηθείς, τί ὄφελος τοῖς ψευδομένοις ἐκ τοῦ ψεύδους, ἔφη, τὸ κἂν ἀληθῆ λέγωσι, μὴ πιστεύεσθαι.

Ὁ αὐτὸς [9] ἐρωτηθείς, τί οἱ θεοὶ πράττουσιν, ἔφη, τὰ μὲν οἰκοδομεῖν, τὰ δὲ καταβάλλειν.

Ὁ αὐτὸς [10] ἔφη, δύο πήρας ἕκαστον ἡμῶν φέρειν· τὴν μὲν ἔμπροσθεν, τὴν δὲ ὄπισθεν, καὶ εἰς μὲν τὴν ἔμπροσθεν ἀποτιθέναι τὰ τῶν ἄλλων ἁμαρτήματα, εἰς δὲ τὴν ὄπισθεν τὰ ἑαυτῶν, διὸ οὐ καθορῶμεν αὐτά.

Ὁ αὐτὸς [11] ἀκούσας παρά τινος, ὅτι ὁ δεῖνα λέγει κατά σου, καὶ τὴν λοιδορίαν ἐξειπόντος, ἔφη, ὅτι [12] οἱ τὰς μαχαίρας ποιοῦντες οὐκ αὐτοὶ ἀποκτείνουσιν, ἀλλ᾽ οἱ χρώμενοι ταῖς ὑπ᾽ ἐκείνων κατεσκευασμέναις· καὶ ἐμὲ νῦν οὐκ ἐκεῖνος λέγει κακῶς, ἀλλὰ σὺ ὁ χρώμενος τῇ ἐκείνου βλασφημίᾳ.

Ὁ αὐτὸς ὀνειδισθεὶς ὑπό τινος ἐπὶ τῷ χαλεπὴν ἔχειν τὴν ὄψιν, ἔφη, οὐκ εἰς τὸ εἶδος, ἀλλ᾽ εἰς τὸν νοῦν προσέχειν δεῖ.

Ἀλεξάνδρου.

Ἀλέξανδρος ὁ Φιλίππου καὶ Ὀλυμπιάδος Μακεδών,

6) Impressa ἴδιος.

7) In impress. additur: γάρ. Codd. om.

8) Impress. παρήγαγε.

9) Stob. T. 105. 61. Laur.

10) Recepi ex Laur.

11) Hoc et sq. apophth. Laur. om.

12) ὅτι ab impress. abest.

ἐρωτηθεὶς ὑπό τινος, ποῦ τοὺς θησαυροὺς ἔχεις, δείξας τοὺς φίλους, ἔφη ἐν τούτοις.

Ὁ αὐτὸς ἰδών τινα τῶν γερόντων βάπτοντα τὰς τρίχας, εἶπε, μὴ τὰς τρίχας βάπτε, ἀλλ', εἰ δύνασαι, τὰ γόνατα.

Ὁ αὐτὸς ἐρωτηθεὶς, ποῖος βασιλεὺς ἄριστος, ἔφη, ὁ τοὺς φίλους δωρεαῖς συνέχων, τοὺς δὲ ἐχθροὺς διὰ τῶν εὐεργεσιῶν φίλους ποιούμενος.

Ὁ αὐτὸς Ξενοκράτει τῷ φιλοσόφῳ πεντήκοντα τάλαντα πέμψας, ὡς οὐκ ἐδέξατο, μὴ δεῖσθαι φήσας, ἠρώτησεν, εἰ μηδὲ φίλον ἔχει Ξενοκράτης· ἐμοὶ γὰρ, ἔφη, μόλις ὁ Δαρείου πλοῦτος εἰς τοὺς φίλους ἤρκεσεν.

Ὁ αὐτός τινος τῶν αὐτοῦ φίλων αἰτήσαντος αὐτὸν εἰς προῖκα τῆς θυγατρὸς, ἐκέλευσε πεντήκοντα τάλαντα λαβεῖν, αὐτοῦ δὲ φήσαντος, ἱκανὰ εἶναι δέκα, σοὶ μὲν ἔφη λαβεῖν, ἐμοὶ δὲ οὐχ ἱκανὰ δέκα δοῦναι.

* Ὁ αὐτὸς [13] ἀχθείσης παιδίσκης πρὸς αὐτὸν, ὡς συναναπαυσομένης πρὸς ἑσπέραν βαθείαν ἠρώτησεν, ὅτι τηνικαῦτα· τῆς δὲ εἰπούσης, ὅτι περιέμενον γὰρ τὸν ἄνδρα κατακλῖναι, πικρῶς ἐπετίμησε τοῖς παισὶν, ὡς μικροῦ δι' αὐτοὺς μοιχὸς γενόμενος.

Ἄλλοτε [14] ὁ αὐτὸς πληρώσας ὀστέων πίνακα, ἔπεμψε Διογένει τῷ κυνικῷ· ὁ δὲ λαβὼν εἶπε, κυνικὸν μὲν τὸ βρῶμα, οὐ βασιλικὸν δὲ τὸ δῶρον.

Ὁ αὐτὸς εἰς Ἰλλυριοὺς παραγενόμενος ἐν τῷ τοῦ Διὸς βωμῷ καιδὼν γυναῖκα κάλλει διαφέρουσαν, ἐκπλαγεὶς αὐτῆς τὴν εὐμορφίαν πολὺν χρόνον ἐθεάσατο. Τοῦ δὲ Ἡφαιστίωνος εἰπόντος, εἰκός ἐστι παραλαβεῖν αὐτὸν τὴν ἐρωμένην, ἔφη, καὶ πῶς οὐ δεινὸν, εἰ οἱ ἄλλων ἀκρασίας κολάζειν βουλόμενοι, δουλεύοντες ἀκρασίαις, ὑπὸ τῶν ἐκτὸς ἀνθρώπων φωραθῶμεν.

* Ὁ αὐτὸς [15] παῖς ὢν, πολλὰ τοῦ Φιλίππου κατορ-

13) Plut. Apophth. Vol. VIII. p. 100. Hutt.

14) ἄλλοτε Laur. om.

15) Plut. l. l.

θοῦντος οὐκ ἔχαιρεν, ἀλλὰ πρὸς τοὺς συντρεφομένους ἔλεγε παῖδας, ἐμοὶ μὲν ὁ πατὴρ οὐδὲν ἀπολείψει· τῶν δὲ παίδων λεγόντων, ὅτι ταῦτα σοὶ κτᾶται, τί δὲ ὄφελος εἶπεν, ἐὰν ἔχω μὲν πολλὰ, πράξω δὲ οὐδέν.

* Ὁ αὐτὸς [16] ἐλαφρὸς ὢν καὶ ποδώκης καὶ παρακαλούμενος ὑπὸ τοῦ πατρὸς, Ὀλύμπια δραμεῖν σταδιον, εἴγε ἔμελλον, ἔφη, βασιλεῖς ἕξειν ἀνταγωνιστάς.

* Ὁ αὐτὸς [17] Ἀναξάρχῳ τῷ φιλοσόφῳ δοῦναι τὸν διοικητὴν ἐκέλευσεν, ὅσον ἂν αἰτήσῃ· τοῦ δὲ διοικητοῦ φήσαντος, ὡς ἑκατὸν αἰτεῖται τάλαντα, καλῶς, ἔφη, ποιεῖ, γιγνώσκων, ὅτι φίλον ἔχει καὶ δυνάμενον τηλικαῦτα δωρεῖσθαι καὶ βουλόμενον.

* Αὐτῷ [18] ἐπιθυμιῶντι τοῖς θεοῖς ἀφειδῶς καὶ πολλάκις ἐπιδραττομένῳ τοῦ λιβανωτοῦ, παρὼν Λεωνίδας ὁ παιδαγωγὸς, οὕτως, εἶπεν, ὦ παῖ, δαψιλῶς ἐπιθυμιάσεις, ὅταν τῆς λιβανωτοφόρου κρατήσῃς· ὡς οὖν ἐκράτησεν, ἔπεμψεν ἐπιστολὴν πρὸς αὐτόν· ἀπέσταλκά σοι τάλαντα λιβανωτοῦ καὶ κασίας, ἵνα μηκέτι μικρολογῇ πρὸς τοὺς θεούς, εἰδὼς, ὅτι καὶ τῆς ἀρωματοφόρου κρατοῦμεν.

Ὁ αὐτὸς [19] παρακαλούμενος ὑπὸ τῶν φίλων νυκτὸς ἐπιθέσθαι τοῖς πολεμίοις εἶπεν, οὐ βασιλικόν ἐστι κλέπτειν τὴν νίκην.

Ὁ αὐτὸς [20] ἐρωτηθεὶς, τίνα μᾶλλον ποθεῖ, τὸν πατέρα Φίλιππον, ἢ Ἀριστοτέλην [21] τὸν διδάσκαλον· τὸν διδάσκαλον ἔφη· ὁ μὲν γὰρ τοῦ γενέσθαι, ὁ δὲ τοῦ καλῶς γενέσθαι αἴτιος.

Ὁ αὐτὸς εἶπε, τῆς αὐτῆς ἁμαρτίας εἶναι, τὸ διδόναι, οἷς μὴ δεῖ, καὶ τὸ μὴ διδόναι, οἷς δεῖ.

Ὁ αὐτὸς θεασάμενός τινα ὁμώνυμον αὐτῷ δειλὸν ὄντα, ἔφη, νεανίσκε, ἢ τοὔνομα [22] ἄλλαξον, ἢ τὸν τρόπον.

16) Plut. Vit. Alex. c. 4.
17) Plut. Apophth.
18) Plut. Apophth. et Vit. Alex. c. 25.
19) Plut. Vit. Al. c. 31.
20) Plut. Vit. Al. c. 8. Cfr. Theon. Progymn. c. 5.
21) Impress. Ἀριστοτέλη.
22) Impress. τὸ ὄνομα.

Ὁ αὐτὸς [23]τῶν Ἰνδῶν τὸν ἄριστον δοκοῦντα καὶ λεγόμενον διὰ δακτυλίου τὸν ὄϊστὸν [24] ἀφιέναι, ἐκέλευσεν ἐπιδείξασθαι, καὶ μὴ βουλόμενον ὀργισθεὶς ἀνελεῖν προσέταξεν. Ἐπεὶ δὲ ἀπαγόμενος ὁ ἄνθρωπος, ἔλεγε πρὸς τοὺς ἄγοντας, ὅτι πολὺς χρόνος ἐστὶν, ἀφ' οὗ ἐπὶ χεῖρας τόξον οὐκ ἔλαβον, καὶ τὸ ἀποτυχεῖν ἐφοβήθην, ταῦτα ἀκούσας Ἀλέξανδρος ἐθαύμασε· καὶ ἀπέλυσε μετὰ δώρων αὐτὸν, ὅτι μᾶλλον ἀποθανεῖν ὑπέμεινεν, ἢ τῆς δόξης ἀνάξιος φανῆναι.

Λύτοῦ ἐξιόντος ἐπὶ τὸν πόλεμον, Ἀριστοτέλης ἔφη, περίμεινον τὸ τέλειον τῆς ἡλικίας καὶ τότε πολέμει· ὁ δὲ, φοβοῦμαι, εἶπε, μὴ περιμένων τὸ τέλειον τῆς ἡλικίας τὴν τῆς νεότητος τόλμαν ἀπολέσω.

Ὁ αὐτὸς ἰδὼν Διογένην [25] κοιμώμενον ἐν πίθῳ, ἔφη, πίθε μεστὲ φρενῶν· ὁ δὲ φιλόσοφος ἀναστὰς ἔφη, ὦ βασιλεῦ μέγιστε·

23) Plut. p. 105. τῶν δὲ Ἰνδῶν τὸν ἄριστα τοξεύειν δοκοῦντα. Laur. et impr. τὸν ἄριστα δοκοῦντα sine τοξεύειν.

24) Mosc. et impr. ἰστόν. In impresso exemplari Dresdensi ad marg. adscriptum est ὄϊστόν. Ita Laur. et Plut. Eadem permutatio in Paus. I. 40. 3. τέλος δὲ ἀναλωθῆναι αὐτοῖς τοὺς ὀϊστούς. Cod. Vindob. LI. ἰστούς. IV. 3. 2. ἔπη τῶν Ὁμήρου καταλέγουσιν, ἐν οἷς τὸν Μαχάονα ὁ Νέστωρ τῷ ὀϊστῷ βεβλημένον περιέπων ἐστὶν εὐνοϊκῶς. Angel. ἰστῷ. — De dictione: διὰ δακτυλίου τὸν ὄϊστὸν ἀφιέναι vide Wyttenb. ad Julian. Or. I. p. 71. C. Rem tangit Joannes Sicel. in Commentar. inedito ad Hermog. περὶ ἰδεῶν: ὁ δὲ κατὰ μέρος ἔχων ἐπιστημόνως καὶ ἐμβατεύων μετὰ λόγου ταῖς θεωρίαις, δ ἂν βούληται, λογισμῷ καὶ τέχνῃ ποιεῖ· καὶ καθάπερ ὁ ἐπ' Ἀλεξάνδρου τοξότης Ἰνδὸς, καὶ μὴν καὶ Ὀδυσσεύς· καὶ οὐκ ἂν ἐκπεσεῖται τοῦ σκοποῦ καὶ τοῦ πρέποντος, κἂν εἰς μικρόν τι δεήσοι καὶ στενὸν τὴν ἐπιστήμην ἐνδείξασθαι, τὴν ἐκ μελέτης καὶ ἀσκήσεως ἀληθοῦς ἐγγινομένην αὐτῷ ibid. inferius. Οὐχ οὕτως ὁ ἐπιστήμων, ἀλλὰ καὶ ἔννοιαν καὶ λέξιν καὶ μέθοδον πάντα τὰ ἐπεισρέοντα τῷ νῷ διὰ τὴν πολυμάθειαν ἐξετάζει, καὶ ἕκαστον ἑαυτῷ τε καὶ τοῖς, ὧν ἐστιν ἁρμόδιον προσώποις καὶ πράγμασι, κατάλληλως συναρμόζει καὶ ἐφαρμόζει, καὶ οὐκ ἄν ποτε κύριος ὢν ἑαυτοῦ ἀνοίκειον φήσειε, κἂν εἰς τὸν ἔσχατον ἀφίκοιτο κίνδυνον, ὥσπερ οὐδ' ὁ Μαρδυαῖος ἐκεῖνος τὸν ὀϊστὸν Ἀλεξάνδρου βιάζοντος.

25) Laur. Διογένην ἰδών.

Θέλω τύχης σταλαγμὸν ἢ φρενῶν πίθον,
Ἧς μὴ παρούσης δυστυχοῦσιν [26] *αἱ φρένες.*

Ὁ αὐτὸς παρακαλούμενος ὑπὸ τῶν φίλων τεκνοποιῆσαι, ἔφη, μὴ ἀγωνιᾶτε, καταλείπω γὰρ ὑμῖν τέκνα τὰς ἐκ τῶν ἀγώνων μου νίκας.

Ὁ αὐτὸς [27]*, ἐπεὶ Ἀντίπατρος αὐτῷ πολλὰ κατὰ τῆς μητρὸς ἔγραφεν, ἀγνοεῖς, ἔφη, ὦ Ἀντίπατρε, ὅτι μητρὸς ἓν δάκρυον, πολλῶν διαβολῶν ἐπιστολὰς ἀπαλείφει.*

Ὁ αὐτὸς [28] *νοσήσας μακρὰν νόσον, ὡς ἀνέῤῥωσεν, οὐδὲν, ἔφη, διατεθῆναι χεῖρον, ὑπέμνησε γὰρ ἡμᾶς ἡ νόσος, μὴ μέγα φρονεῖν θνητοὺς ὄντας.*

Ὁ αὐτὸς τοῦ οἰνοχόου αὐτοῦ ἀπολέσαντος φιάλην χρυσῆν, καὶ διὰ τοῦτο φοβουμένου, μαθὼν τοῦτο, προσκαλεσάμενος εἶπε, θάρσει, ὦ παῖ, ὅπου γὰρ ἂν εἴη, ἡμετέρα ἐστίν.

Τοῦ Ξέρξου [29] *προστάξαντος πολλοὺς εἰς Δελφοὺς ἰέναι καὶ τὸ τέμενος ἐμπρῆσαι καὶ τὰ ἀναθήματα συλῆσαι* [30]*, οἱ μὲν πεμφθέντες παραδόξων ὄμβρων γενομένων καὶ μεγάλων κεραυνῶν πεσόντων ἐκ τοῦ περιέχοντος διεφθάρησαν συχνοί· οἱ δὲ Δελφοὶ τρύπαιον ἔστησαν παρὰ τὸ τῆς παράνης* [31] *Ἀθηνᾶς ἱερὸν, ἐν ᾧ ταῦτα ἐνέγραψαν·*

Μνᾶμα Ἀλεξάνδρου [32] *πολέμου καὶ μάρτυρα νίκας*
Δελφοί με στᾶσαν Ζανὶ χαριζόμενοι.
Σὺν φοίβῳ πτολίπορθον ἀπωσάμενοι στίχα Μήδων
Καὶ χαλκοστέφανον ῥυσάμενοι τέμενος.

* *Ὁ αὐτὸς* [33] *πυθόμενος ὑπό τινος λοιδορεῖσθαι, βασιλικὸν, ἔφη, εὖ ποιοῦντα κακῶς ἀκούειν.*

* *Ὀλυμπιὰς ἡ μήτηρ αὐτοῦ πρὸς αὐτὸν ἔλεγε, χρεῖσσον γέγονας ἢ μητρὶ συνέφερεν· ἐπὶ κακῷ δηλονότι τὸν*

26) Impress. *δυστοχοῦσιν.*

27) Plut. Vit. Al. c. 39.

28) Stob. T. 21. 15. Mosc. et impr. *διατεθεῖναι.* Laur. *διαπεθῆναι.*

29) Abest a Laur.

30) Mosc. *συλλῆσαι.*

31) Mihi quidem epithetum hoc aliunde non constat.

32) Mosc. *Μνῶμ' Ἀλεξάνδροιο.*

33) Plut. Apophth. et Vit. Al. c. 41.

ἄριστον ἔτεκον ἄριστον, καὶ δύστηνον, λαβοῦσα ἴσως ἐκ τοῦ ὦμοι δυσαριστοτόκεια.

* Ὁ αὐτὸς [34] τὴν ἄνυδρον ὁδεύων, αὐτός τε ὑπὸ δίψους ἐπόνει καὶ οἱ Μακεδόνες· οἱ δὲ κατάσκοποι τῆς χώρας ἐν κοίλῃ πέτρᾳ μικρὸν ὑδάτιον εὑρόντες, τοῦτο βαλόντες ἐπὶ κράνος, Ἀλεξάνδρῳ κομίζουσιν· ὁ δὲ τῇ στρατιᾷ δείξας, ὡς εὐθυμεῖν χρὴ φανέντος ὕδατος, αὐτὸς μὴ πιὼν ἐξέχεε τὸ κράνος πάντων ὁρώντων· οἱ δὲ Μακεδόνες ἀλαλάξαντες, ἐκέλευον αὐτὸν ἡγεῖσθαι τῆς ὁδοῦ, πρὸς τὸ δίψος εἰρώστως ἀντέχοντες διὰ τὴν τοῦ βασιλέως ἐγκράτειαν.

* Ὁ αὐτὸς πολεμῶν προσέτασσε τοῖς στρατιώταις, ξυρεῖν τὰ τῶν Μακεδόνων γένεια, ἵνα μὴ παρέχοιεν πρόχειρον λαβὴν τοῖς ἐναντίοις.

* Ὁ αὐτὸς [35] τοξεύματι πληγεὶς εἰς τὸ σκέλος, ὡς πολλοὶ συνέδραμον τῶν πολλάκις εἰωθότων αὐτὸν θεὸν προσαγορεύειν, διαχυθεὶς τῷ προσώπῳ, τουτὶ μὲν αἷμα, εἶπεν, ὡς ὁρᾶτε, καὶ οὐκ

Ἰχὼρ, οἷός περ τε ῥέει μακάρεσσι θεοῖσιν.

* Ὁ αὐτὸς Ὁμήρου εἰπόντος, τρήρωνες ταί τ' ἀμβροσίην Διΐ πατρὶ φέρουσι, διὰ τὸ δοκεῖν, ἔλεγε, τοὺς θεοὺς φιλοσόφους καὶ ἡδονῆς μείζους, ἀναθεῖναι τὸν ποιητὴν τὴν ἐκείνων τροφὴν τῷ ἀσθενεστάτῳ καὶ τριφερωτάτῳ ζώῳ, ὑφ' οὗ βραχύ τι ἂν παρακομίζοιτο. Ἄλλοι δὲ Δία μὲν νομίζουσι τὸν ἥλιον, ἀκολούθως τῷ Πλάτωνι, ὃς ἐν Φαίδρῳ φησὶν, ὁ μὲν δὴ μέγας ἐν οὐρανῷ Ζεὺς, ὃς ἐστιν ὁ ἥλιος, πτηνὸν ἅρμα ἐλαύνων, ἀμβροσίαν δὲ τὰς ἀτμίδας, αἷς ὁ ἥλιος τρέφεται· καθὰ δοξάζει καὶ Δημόκριτος· δῆλον δὲ, ὡς καὶ ἐκ θαλάττης τοιαύτη ἀνιμωμένη τροφὴ ἅμα φέρεται· καὶ Ἀριστοτέλης δὲ ἀλληγορικῶς εἶπε, δηλοῦν Ὅμηρον ἐξ ἀναθυμιάσεως τρέφεσθαι τοὺς

34) Plut. Al. c. 42.

35) Plut. Apophth. et Vit. Al. c. 28.

θεοὺς, ἤτοι τὰ ἄνω σώματα ἄνω πόρον ζῶον παραλαβόντα εἰς ἔνδειξιν τῆς τοιαύτης τροφῆς. Τὸ δὲ ἀφαιρεῖσθαί τι ὑπὸ τῆς πέτρας δηλοῦν ἔφη, ὡς καὶ ἡ γῆ ἕλκει ἐκ τῆς τοιαύτης ἀναθυμιάσεως. Ἀλέξανδρος δὲ ὁ Πάριος ἱστορεῖ, τὸν Ὅμηρον υἱὸν Αἰγυπτίων, Δημαγόρου καὶ Αἴθρας, τροφὸν δὲ αὐτοῦ προφῆτίν τινα θυγατέρα Ὥρου, ἱερέως Ἴσιδος, ἧς ἐκ τῶν μαστῶν μέλι ῥεῦσαί ποτε εἰς τὸ στόμα τοῦ παιδίου, καὶ τὸ βρέφος ἐν νυκτὶ φωνὰς ἐνέα προέσθαι, χελιδόνος, ταῶνος, περιστερᾶς, κορώνης, πέρδικος, πορφυρίωνος, ψαροὺς, ἀηδόνος, κοττύφου· εὑρεθῆναί τε τὸ παιδίον μετὰ περιστερῶν ἐννέα παῖζον ἐπὶ τῆς κλίνης· εὐωχουμένην δὲ παρὰ τοῖς τοῦ παιδὸς γονεῦσι τὴν Σιβύλλαν ἐμμανῆ γενομένην, ἔπη σχεδιάσαι, ὧν ἡ ἀρχὴ, Δαμαγόρᾳ πολυνίκην, ἐν οἷς καὶ μεγακλεῆ καὶ στεφανίτην αὐτὸν προσεῖπον, καὶ ναὸν κτίσαι κελεῦσαι ἐννέα πελειάδων, ἐδήλου δὲ τὰς Μούσας· τὸν δὲ καὶ τοῦτο ποιῆσαι, καὶ τῷ παιδὶ ἀνδρωθέντι ἐξειπεῖν τὸ πρᾶγμα, καὶ τὸν ποιητὴν οὕτω σεμνῦναι τὰ ζῶα, οἷς βρέφος ὢν συνέπαιξε, καὶ πονῆσαι αὐτὰ τῷ Διΐ τὴν ἀμβροσίαν κομίζειν.

Ἄλλοι δέ φασι, τὸν Ὅμηρον, αἰνιττόμενον, ὡς τῶν Πληιάδων ἓξ ὁρωμένων ὅμως ὁ ἀριθμὸς αὐτῶν οὐκ ἀπόλλυται, ἑπτὰ οὖν οὖσαι φαίνονται ἓξ τοῖς ἐκεῖ, τῆς μιᾶς διὰ τὸ καὶ ἄλλως ἀμυδρὸν τοῦ ἀστρώου ἀφανιζομένης ὑπὸ τῶν πετρῶν· ὡς δὲ ἡμεῖς, φασὶ, πελειάδων ἐπιτελλουσῶν ἀρχόμεθα θερίζειν, οὕτω καὶ θεοὶ τὴν ἀμβροσίαν κομίζουσιν.

* Ἀλεξάνδρου πρὸς Ὑρκανίαν ἐπανελθόντος, ἦκε πρὸς αὐτὸν ἡ βασίλισσα τῶν Ἀμαζόνων, ὄνομα Θάλῃστρις, μετὰ τριακοσίων Ἀμαζονίδων κεκοσμημένων πολεμικοῖς ὅπλοις, βασιλεύουσα τῆς μεταξὺ τοῦ Φάσιδος καὶ Θερμώδοντος χώρας· ἦν δὲ τῇ τε κάλλει καὶ τῇ τοῦ σώματος ῥώμῃ διαφέρουσα· τοῦ δὲ βασιλέως θαυμάζοντος τό τε παράδοξον τῆς παρουσίας, καὶ τὸ ἄξίωμα τῶν γυναικῶν, καὶ τὴν Θάλῃστριν ἐρομένου, τίνα χρείαν ἔχουσα πάρε-

στιν, ἀπεφαίνετο, παιδοποιΐας ἕνεκεν· ἐκεῖνον γὰρ τῶν ἁπάντων ἀνδρῶν διὰ τὰς πράξεις ἄριστον ὑπάρχειν· αὐτὴν δὲ τῶν γυναικῶν ἀλκῇ τε καὶ ἀνδρείᾳ διαφέρειν· εἰκὸς οὖν τὸν γεννώμενον ἐκ δυοῖν γονέων πρωτευόντων ὑπερέξειν ἀρετῇ τῶν ἄλλων ἀνθρώπων· καὶ πέρας ἡσθεὶς ὁ βασιλεὺς, καὶ προσδεξάμενος τὴν ἔντευξιν αὐτῆς καὶ συμπεριενεχθεὶς ἡμέρας ιγ, τιμήσας τε ἀξιολόγοις δώροις, ἐξαπέστειλεν εἰς τὴν οἰκίαν.

* Ὁ αὐτὸς [36] δέκα λαβὼν Ἰνδῶν γυμνοσοφιστὰς, τοὺς δοκοῦντας ἀρίστους εἶναι καὶ βραχυλογωτάτους, προβλήματα αὐτοῖς προὔθηκε, τὸν μὴ ἀποκρινάμενον εὐστόχως ἀνελεῖν ἀπειλήσας, ἕνα τὸν πρεσβύτερον αὐτῶν ἐπικρίνειν κελεύσας. Ὁ μὲν οὖν πρῶτος ἐξετασθεὶς, πότερον οἴεται τοὺς ζῶντας εἶναι πλείονας ἢ τοὺς τεθνεῶτας; τοὺς ζῶντας, ἔφη, οὐ γὰρ εἶναι τοὺς τεθνεῶτας. Ὁ δεύτερος δὲ, πότερον τὴν γῆν ἢ τὴν θάλασσαν μείζονα θηρία τρέφειν, τὴν γῆν, ἔφη, ταύτης γὰρ μέρος εἶναι τὴν θάλασσαν. Ὁ δὲ τρίτος, ἀνακρινόμενος, τίνι λογισμῷ τὸν Σαββᾶ ἀπέστησαν ἄρχοντα αὐτῶν ὄντα, ἀπεκρίθη, καλῶς ζῆν βουλόμενοι αὐτὸν ἢ κακῶς ἀποθανεῖν. Ὁ δὲ πέμπτος ἐρωτηθεὶς, πότερον οἴηται τὴν ἡμέραν προτέραν ἢ τὴν νύκτα γεγονέναι; εἶπεν, ἡμέρα μία, τῶν γὰρ ἀπόρων ἐρωτήσεων ἀνάγκη καὶ τὰς ἀποκρίσεις ἀπόρους εἶναι. Ὁ δὲ ἕκτος, ἀπορηθεὶς, πῶς ἄν τις φιληθείη μάλιστα, ἂν κράτιστος ὤν, ἔφη, μὴ φοβερὸς εἴη. Ὁ δὲ ἕβδομος ἐρωτηθεὶς, πῶς ἄν τις ἐξ ἀνθρώπων γένοιτο θεός; εἰ πράξειεν εἶπεν, ἃ πρᾶξαι ἄνθρωπον μὴ δυνατόν ἐστιν. Ὁ δὲ ὄγδοος ἐρωτηθεὶς, τί ἰσχυρότερον, ζωὴ ἢ θάνατος, ζωὴ, ἔφη, τοσαῦτα κακὰ φέρουσα. Ὁ δὲ ἔνατος, ἐξετασθεὶς, μέχρι τίνος ἀνθρώπῳ καλῶς ἔχει ζῆν, μέχρις οὗ, ἔφη, τεθνάναι μὴ νομίζῃ τοῦ ζῆν ἄμεινον. Κελεύσαντος δὲ τοῦ

56) Plut. Al. c. 64. Cfr. Boisson. Anecd. Vol. I. p. 145.

Ἀλεξάνδρου καὶ τὸν δέκατον εἰπεῖν τι, δικαστὴς γὰρ ἦν, ἕτερος ἔφη ἑτέρου χεῖρον, εἶπε· τοῦ δὲ Ἀλεξάνδρου φήσαντος, οὐκοῦν καὶ σὺ πρῶτος ἀποθανῇ τσιαῦτα κρίνων, καὶ πῶς, εἶπε, βασιλεῦ, ἀληθὴς εἶης, φήσας πρῶτον ἀποκτεῖναι, τὸν πρῶτον ἀποκρινόμενον κάκιστα.

Ἀλκμαίωνος.

Ἀλκμαίων [1] Πυρίθου Κροτωνιάτης τὴν ψυχὴν ἀθάνατον ἔφη καὶ κινεῖσθαι αὐτὴν συνεχές, ὡς τὸν ἥλιον.

Ἀλέξιδος.

Ἄλεξις [2], ὁ τῶν κωμῳδιῶν ποιητὴς, ἐπειδή τις αὐτὸν ὄντα πρεσβύτην ἑώρα μόλις πορευόμενον, καὶ ἠρώτα, τί ποιεῖς, ἔφη κατὰ σχολὴν ἀποθνήσκω.

* Ὁ αὐτὸς εἶπε.

Τὰς ἡδονὰς συλλέγειν τὸν σώφρονα
Τρεῖς δ' εἰσιν, αἵγε τὴν δύναμιν κεκτημέναι,
Τὴν ὡς ἀληθῶς συντελοῦσαν τῷ βίῳ,
Τὸ πιεῖν, τὸ φαγεῖν, τὸ τῆς Ἀφροδίτης τυγχάνειν,
Τὰ δ' ἄλλα προσθήκας ἅπαντα χρὴ καλεῖν.

* Ὁ αὐτὸς εἶπεν [3].

Οὐκ ἔστι παιδαγωγὸς ἀνθρώποις ἄρα
Ἔρωτος οὐδεὶς ἄλλος ἐπιμελέστερος,
Εἴτ' οὐ μεγιστός ἐστι τῶν θεῶν ἔρως,
Καὶ τιμιώτατόν γε τῶν πάντων πολύ;
Οὐδεὶς γὰρ οὕτως ἐστὶ φειδωλὸς σφόδρα
Ἄνθρωπος, οὐδ' οὕτως ἀκριβὴς τοὺς τρόπους,
Ὃς οὐχὶ τοίτῳ μερίδα τῷ θεῷ νέμει.

1) Diog. Laërt. VIII. segm. 83. fine. Ab impr. et Laur. nomen hoc abest.

2) Stob. T. 116. 47. ἐκ τῶν Ἀριστοτέλους χρειῶν.

3) Stob. T. 63. 13.

* Ὁ αὐτὸς εἶπε [4].

Τοιοῦτο τὸ ζῆν ἐστιν, ὥσπερ οἱ κύβοι,
Οὐ ταὐτ᾽ ἀεὶ πίπτουσιν· οὐδὲ τῷ βίῳ
Ταὐτὸν διαμένει σχῆμα· μεταβολὰς δ᾽ ἔχει.

* Ὁ αὐτὸς εἶπε [5].

Κἂν εὐτυχῇ τις, ὡς ἔοικε, προσδοκᾷν
Ἀεί τι δεῖ, καὶ μήτι πιστεύειν τύχῃ.

* Ὁ αὐτὸς εἶπε [6].

Τῶν μετρίων αἱ μείζονες λύπαι
Ποιοῦσι τοῦ φρονεῖν μετάστασιν.

* Ὁ αὐτὸς εἶπεν [7].

Οὐκ ἔσθ᾽ ὅπως ἔχουσιν αἱ τύχαι φρένας·
Οὐδεὶς γὰρ ἂν τοιοῦτος ἠτύχει ποτέ.

Ἄμασις.

Ἄμασις [1], ὁ τῶν Αἰγυπτίων βασιλεὺς φίλῳ ἀποβαλόντι υἱὸν γράφων παραμυθητικὸν εἶπεν, εἰ ὅτε οὐδέπω ἦν οὐκ ἐλύπου, μηδὲ νῦν, ὅτι οὐκέτι ἔστι [2], λυπηθῇς.

Ἄμασις Πολυκράτει ὧδε λέγει [3]· ἡδὺ μὲν πυνθάνεσθαι ἄνδρα φίλον καὶ ξεῖνον εὖ πρήσσοντα· ἐμοὶ δὲ αἱ σαὶ μεγάλαι εὐτυχίαι οὐκ ἀρέσκουσιν, ἐπισταμένῳ τὸ θεῖον, ὡς ἐστι φθονερόν. Καίκως βούλομαι καὶ αὐτὸς καὶ τῶν ἂν κήδομαι, τὸ μέν τι εὐτυχέειν τῶν πραγμάτων, τὸ δὲ προσπταίειν, καὶ οὕτω διαφέρειν τὸν αἰῶνα ἐναλλὰξ πρήσσων, ἢ εὐτυχέειν τὰ πάντα· οὐδένα γάρ κω λόγῳ

4) Stob. T. 100. 4.
5) Stob. T. 105. 27.
6) Stob. T. 99. 28.
7) Stob. T. 107. 4.

1) Stob. T. 124. 32.
2) Mosc. ἔσται. Laur. μηδὲ νῦν λυπηθῇς, ὅτε οὐκ ἔστιν.
3) Stob. T. 112. 15. Ἡροδότου ἱστορίας τρίτης.

οἶδα ἀκούσας, ὅστις εἰς τέλος οὐ κακῶς ἐτελεύτησε πρόῤῥιζος, εὐτυχέων τὰ πάντα.

* Ἀναξιμένης

ἔλεγε, τοῖς ἀστείοις πρεσβύταις, ὅσον αἱ κατὰ τὸ σῶμα ἡδοναὶ ἀπομαραίνονται, τοσοῦτον αἱ περὶ τοὺς λόγους ἐπιθυμίαι πάλιν αὔξονται.

Ἀναξάρχου.

Ἀνάξαρχος [4] Ἀβδηρίτης ἐν ξυμποσίῳ τοῦ Ἀλεξάνδρου ἐρωτήσαντος αὐτὸν, τί ἄρα δοκεῖ τὸ δεῖπνον, ἔφη, ὦ βασιλεῦ, πάντα πολυτελῶς· ἔδει δὲ λοιπὸν κεφαλὴν σατράπου τινὸς παρατεθεῖσθαι, ἀποῤῥίπτων πρὸς τὸν Νικοκρέοντα· ὁ δὲ μνησικακήσας μετὰ τὴν τελευτὴν τοῦ βασιλέως, ὅτι πλέων ἀκουσίως προσηνέχθη τῇ Κίπρῳ ὁ Ἀνάξαρχος, συλλαβὼν αὐτὸν, καὶ εἰς ὅλμον βαλὼν, ἐκέλευσε τύπτεσθαι σιδηροῖς ὑπέροις· τὸν δὲ, οὐ φροντίσαντα τῆς τιμωρίας εἰπεῖν, ἐκεῖνο δὴ τὸ περιφερόμενον, πτίσσε, πτίσσε [5] τὸν Ἀναξάρχου θύλακον, Ἀνάξαρχον οὐ πλήτεις· κελεύσαντος δὲ τοῦ Νικοκρέοντος καὶ τὴν γλῶτταν αὐτοῦ ἐκτμηθῆναι, λόγος, ἀποτραγόντα προσπτύσαι αὐτῷ.

Ἀνταγόρου.

Ἀνταγόρας, ἐπεὶ ἀνεγίνωσκε παρὰ Βοιωτοῖς τὸ τῆς Θρᾴδος σύγγραμμα, καὶ οὐδεὶς ὑπεσημαίνετο, κλείσας

4) Diog. Laërt. IX. segm. 58.

5) Mosc. πτύξαι, πτύσαι, litterae ξ inscriptum σ. Matth. Laur. et impr. πτύσαι, πτύσαι. Ad rem cfr. Epigramma in Muratorii Anecd. Graec. p. 180. εἰς Φιλάγριον καὶ πρὸς ὑπομονήν.

Ἔστιν Ἐπικτήτοιο μέγα κλέος ἐν προτέροισιν,
Ἔστιν Ἀναξάρχου· ὧν ὁ μὲν ἀγνόμενος,
Τὸ κλέος οὐκ ἀλέγιζεν· ὁ δ' ὅλμου χεῖρας ἔχοντος
Κοπτόμενος γ' ἐβόα, πτίσσετε τὸν θύλακον.
Ἀλλὰ σὺ καὶ δηναιὰ, Φιλάγριε, σώματι κάμνων,
Λαπτομένῳ ψυχὴν αἰὲν ἄπληκτον ἔχεις.

In proverbium abiit apophthegma usu tritissimum, vide infra sub litt. πρὸς πτίσσε. Sylburg. et Potter. ad Clem. strom. IV. 8. p. 589.

τὸ βιβλίον, δικαίως, εἶπε, καλεῖσθε Βοιωτοί· βοῶν γὰρ ὦτα ἔχετε.

Ἀναξαγόρου.

Ἀναξαγόρας [1] Ἡγησιβούλου Κλαζομένιος, δύο ἔλεγε διδασκαλίας εἶναι θανάτου, τόν τε πρὸ τοῦ γενέσθαι χρόνον, καὶ τὸν ὕπνον.

Ὁ αὐτός [2] πρῶτος τῇ ὕλῃ νοῦν ἐπέστησεν, ἀρξάμενος οὕτω τοῦ συγγράμματος, ὃ ἐστιν ἡδέως καὶ μεγαλοφρόνως ἡρμηνευμένον [3], πάντα χρήματα ἦν ὁμοῦ, εἶτα νοῦς ἐλθὼν αὐτὰ διεκόσμησε, παρὸ καὶ νοῦς ἐκλήθη· καί φησι περὶ αὐτοῦ Τίμων ἐν τοῖς σίλλοις οὕτω·

Καί που Ἀναξαγόρην φασ᾽ ἔμμεναι ἄλκιμον ἥρω [4],
Νοῦν, ὅτι δὴ νόος αὐτῷ, ὃς ἐξαπίνης ἐπαγείρας
Πάντα συνεσφήκωσεν ὁμοῦ τεταραγμένα πρόσθεν.

Ὁ αὐτὸς [5] πρὸς τὸν εἰπόντα, οὐδέν σοι μέλλει τῆς πατρίδος, ἔφη, ἐμοὶ γὰρ καὶ σφόδρα μέλλει, δείξας τὸν οὐρανόν.

Αὐτόν φασι [6] προειπεῖν τὴν περὶ Αἰγὸς ποταμοὺς γενομένην τοῦ λίθου πτῶσιν, ὃν εἶπεν ἐκ τοῦ ἡλίου πεσεῖσθαι, ὅθεν καὶ Εὐριπίδην, μαθητὴν ὄντα αὐτοῦ, χρυσέαν βῶλον εἰπεῖν τὸν ἥλιον ἐν τῷ Φαέθοντι.

Ὁ αὐτὸς [7] πρὸς τὸν εἰπόντα, εἰ τὰ ἐν Λαμψάκῳ ὄρη ἔσται ποτὲ θάλαττα, ἔφη, ἐάν γε [8] ὁ χρόνος μὴ ὑπολείπῃ.

Ὁ αὐτὸς [9] πρὸς τὸν εἰπόντα, ἐστερήθης Ἀθηναίων, οὐμενοῦν, ἔφη, ἀλλ᾽ ἐκεῖνοι ἐμοῦ.

1) Stob. 120. 19.

2) Diog. Laërt. II. segm. 6.

3) Impr. ἡρμημένον.

4) Codd. et impr. corruptos exhibent hos versus. ποῦ Ἀναξαγόρην φὴς ἔμμεναι ἄλκιμον ἥρωόνυν ὅτι δὴ νόος αὐτῷ, ὡς ἐξαπίνης ἐπεγείρας. Pro φὴς Laur. et impr. φάς.

5) Diog. segm. 7.

6) Segm. 10. Laur. φασὶν αὐτόν.

7) Segm. 10.

8) γε Mosc. om., recepi ex Laur. et impr.

9) Segm. 10.

Ὁ αὐτὸς [10] ἐρωτηθεὶς, εἰς τί γεγένηται, εἰς θεωρίαν, ἔφη, ἡλίου καὶ σελήνης καὶ οὐρανοῦ.

Ἀντιγόνου [11].

Ἀντίγονος πρὸς τινα μακαρίζουσαν αὐτὸν γραῦν, εἰ ἤθεις, ὦ μῆτερ, ἔφη, ὅσων κακῶν ἐστι μεστὸν τουτὶ τὸ βάκος, δείξας τὸ διάδημα, οὐκ ἂν ἐπὶ κοπρίας αὐτὸ κείμενον ἐβάστασας.

Ἀναχάρσιδος.

Ἀνάχαρσις [12] ὁ Γνούρου Σκύθης ἐρωτηθεὶς, πῶς οὐκ ἄν τις γένοιτο φιλοπότης, εἰ πρὸ ὀφθαλμῶν ἔχει τὰς τῶν μεθυόντων ἀσχημοσύνας, εἶπεν.

Ὁ αὐτὸς [13] μαθὼν τέτταρας δακτύλους εἶναι τὸ πάχος τῆς νεὼς, τοσοῦτον, ἔφη, τοῦ θανάτου τοὺς πλέοντας ἀπέχειν.

Ὁ αὐτὸς [14] τὸ ἔλαιον μανίας φάρμακον ἔλεγε διὰ τὸ ἀλειφομένους τοὺς ἀθλητὰς ἐπιμαίνεσθαι ἀλλήλοις.

Ὁ αὐτὸς [15] θαυμάζειν ἔλεγε, πῶς οἱ Ἕλληνες ἀπαγορεύοντες μὴ ψεύδεσθαι, ἐν ταῖς ἐκκλησίαις φανερῶς ψεύδονται.

Ὁ αὐτὸς [16] ἔφη, γλώσσης, γαστρὸς, αἰδοίων κρατεῖν.

Ὁ αὐτὸς [17] ἐρωτηθεὶς τίνα τῶν πλοίων εἰσὶν ἀσφαλέστερα, ἔφη τὰ νενεωλκημένα.

Ὁ αὐτὸς ἐρωτηθεὶς, διὰ τίνα αἰτίαν οἱ ἄνθρωποι λυποῦνται πάντοτε, ἔφη, ὅτι οὐ μόνον αὐτοὺς τὰ ἴδια κακὰ λυπεῖ, ἀλλὰ καὶ τὰ ἀλλότρια ἀγαθά.

10) Segm. 10.
11) Stob. T. 49. 20.
12) In Diog. Laërt. I. segm. 103. Stob. T. 18. 35. Ἀνάχαρσις, ἔφη, ἐρωτηθεὶς, πῶς ἄν τις μὴ μεθύσκοιτο· εἰ, φησὶν, ὁρᾷ τοὺς μεθύοντας, οἷα ποιοῦσιν.
13) Diog. segm. 103.
14) Segm. 104.
15) Segm. 104.
16) Segm. 104. Laur. Ἀνάχαρσις ἔφη.
17) Segm. 104. Apogr. Dresd. et impr. ρεωκείμενα praebet.

Ὁ αὐτὸς [18] ἐρωτηθεὶς, πότεροι πλείους εἰσὶν, οἱ ζῶντες, ἢ οἱ νεκροὶ, τοὺς οὖν πλέονας [19], ἔφη, ποῦ τίθης.

Ὁ αὐτὸς [20] ὀνειδιζόμενος ὑπὸ Ἀττικοῦ, ὅτι Σκύθης ἐστὶν, ἀλλ' ἐμοὶ μὲν ὄνειδος, εἶπεν, ἡ πατρὶς, σὺ δὲ τῆς πατρίδος.

Ὁ αὐτὸς [21] ἐρωτηθεὶς, τί ἐστιν ἐν ἀνθρώποις ἀγαθόν τε καὶ φαῦλον, γλῶσσα, ἔφη.

Ὁ αὐτὸς [22] ἔλεγε, κρεῖττον ἕνα φίλον ἔχειν πολλοῦ ἄξιον, ἢ πολλοὺς μηδενὸς ἀξίους.

Ὁ αὐτὸς [23] τὴν ἀγορὰν εὐρισμένον ἔφη τόπον εἰς τὸ ἀλλήλους ἀπατᾶν καὶ πλεονεκτεῖν.

Ὁ αὐτὸς [24] ὑπὸ μειρακίου παρὰ πότον ὑβρισθεὶς ἔφη, μειράκιον, ἐὰν νέος ὢν, τὸν οἶνον μὴ φέρῃς, γέρων γενόμενος ὕδωρ οἴσεις.

Εὗρε [25] δ' ἐς βίον ἄγκυραν καὶ κεραμεικὸν τροχόν.

Φασί [26] ποτε τοῦτον κοιμώμενον κατέχειν τῇ μὲν δεξιᾷ τὸ στόμα, τῇ δὲ λαιᾷ τὰ αἰδοῖα, αἰνιττόμενον, δεῖν μὲν ἀμφοῖν, μεῖζον δὲ εἶναι γλώττης κρατεῖν [27].

Ἀντισθένους.

Ἀντισθένης [1], Ἀντισθένους Ἀθηναῖος, μὴ ὢν ἰθαγενὴς καὶ ὀνειδιζόμενος εἶπε, καὶ ἡ μήτηρ τῶν θεῶν

18) Segm. 104. Laur. πότερον.

19) Diog. Laërt. πλέοντας. Is. Casaub. postquam conjecerat πλέονας, i. e. mortuos, in Arsenium incidisse et conjecturam suam probatam invenisse se refert.

20) Segm. 104. Stob. T. 86. 16. responsum exhibet: ... εἶπε, τῷ γένει, ἀλλ' οὐ τῷ τρόπῳ.

21) Segm. 105.

22) Segm. 105.

23) Segm. 105.

24) Segm. 105.

25) Segm. 105. De inventione rotae figulinae vide praeter interpr. Diogenis Bach. ad Critiae fragm. p. 35. Schol. ad Pind. Olymp. XIII. 28.

26) Clem. Strom. V. 8. p. 672. 10. in Laur. non est.

27) Impress. addit: ἢ ἡδονῆς. Inter apophthegmata Codicis Vat. CLI. legitur: Ἀνάχαρσις ἔλεγεν, ὅταν ἐπαινῶσίν με πολλοὶ, τότε νομίζω μηδενὸς ἄξιος εἶναι, ὅταν δὲ ὀλίγοι, σπουδαῖον ἄνθρωπον.

1) Diog. Laërt. VI. segm. 1.

Φρυγία ἐστίν. Ἐδόκει γὰρ εἶναι Θρᾴττης μητρός· ὅθεν καὶ ἐν Τανάγρᾳ κατὰ τὴν μάχην εὐδοκιμήσας, ἔδοκε λέγειν Σωκράτει, ὡς οὐκ ἂν ἐκ δυοῖν Ἀθηναίων οὕτως [2] ἐγεγόνει γενναῖος.

Ὁ αὐτὸς [3] πρῶτος τὸν λόγον ὡρίσατο εἰπών, λόγος ἐστὶν ὁ τὸ, τί ἦν ἢ ἔστι, δηλῶν.

Ὁ αὐτὸς [4] πρὸς τὸ Ποντικὸν μειράκιον μέλλον φοιτᾶν αὐτῷ, καὶ πυθόμενον, τίνων αὐτῷ δεῖ, φησὶ, βιβλαρίου καὶ νοῦ, καὶ γραφείου [5] καὶ νοῦ, καὶ πινακιδίου καὶ νοῦ· τὸν νοῦν παρεμφαίνων.

Ὁ αὐτός [6] μυούμενός ποτε τὰ Ὀρφικὰ, τοῦ ἱερέως εἰπόντος, ὅτι οἱ ταῦτα μυούμενοι πολλῶν ἀγαθῶν ἐν Ἅιδου μετέχουσι· τί οὖν, ἔφη, οὐκ ἀποθνήσκεις;

Ὁ αὐτὸς [7] ἐρωτηθεὶς, διατί ὀλίγους ἔχει μαθητὰς, ὅτι ἀργυρέᾳ, ἔφη, αὐτοὺς ἐκβάλλω ῥάβδῳ.

Ὁ αὐτὸς [8] ἐρωτηθεὶς, τί μακαριώτερον ἐν ἀνθρώποις, ἔφη, εὐτυχοῦντα ἀποθανεῖν.

Ὁ αὐτὸς [9] γνωρίμου ποτὲ πρὸς αὐτὸν ἀποδυραμένου, ὡς εἴη τὰ ὑπομνήματα ἀπολωλεκὼς, ἔδει γὰρ, ἔφη, ἐν τῇ ψυχῇ αὐτὰ καὶ μὴ ἐν ταῖς χάρταις καταγράφειν.

Ὁ αὐτὸς [10] ἔλεγε τοὺς βουλομένους ἀθανάτους εἶναι δεῖν ζῆν εὐσεβῶς καὶ δικαίως.

Ὁ αὐτὸς [11] εἶπε, τότε τὰς πόλεις ἀπύλλυσθαι, ὅταν μὴ δύνωνται τοὺς φαύλους ἀπὸ τῶν σπουδαίων διακρίνειν.

Ὁ αὐτὸς [12] ἔφη, ὥσπερ ὑπὸ τοῦ ἰοῦ τὸν σίδηρον, οὕτως ὑπὸ τοῦ ἰδίου ἤθους τοὺς φθονεροὺς κατεσθίεσθαι.

2) Mosc. et impress. οὗτος. Mosc. γεγόνει.

3) Segm. 3.

4) Segm. 3.

5) Impress. γραφιδίου. Mosc. γραφίου, pro quo scripsi γραφείου.

6) Segm. 4.

7) Segm. 4.

8) Segm. 5.

9) Segm. 5. impress. ἀποδυρομένου.

10) Segm. 5.

11) Segm. 5.

12) Segm. 5.

Ὁ αὐτὸς [13] εἶπεν, ὁμονοούντων ἀδελφῶν συμβίωσιν παντὸς τείχους ἰσχυροτέραν εἶναι.

Ὁ αὐτὸς [14] τοιαῦτα ἔφη δεῖν ἐφόδια ποιεῖσθαι, ἃ καὶ ναναγήσαντι συγκολυμβήσει.

Ὁ αὐτὸς [15] ἔσκωπτε Πλάτωνα ὡς τετυφωμένον, πομπῆς οὖν γενομένης ἵππον θεασάμενος φρυακτὴν, φησὶ πρὸς Πλάτωνα, ἐδόκεις μοι καὶ σὺ ἵππος ἂν εἶναι λαμπρυντής. Τοῦτο δὲ εἶπεν, ἐπεὶ συνεχῶς ὁ Πλάτων Ἵππων' [16] ἐπήνει. Καί ποτε ἐλθὼν πρὸς αὐτὸν νοσοῦντα, καὶ θεασάμενος λεκάνης, ἔνθα ὁ Πλάτων ἐμεμέκει, ἔφη, χολὴν μὲν ὁρῶ ἐνταῦθα, τύφον δὲ οὐχ ὁρῶ.

Ὁ αὐτὸς [17] ἐρωτηθεὶς ὑπὸ Σωκράτους, καθάφησι Φανίας ἐν τῷ περὶ τῶν Σωκρατικῶν, τί ποιῶν καλὸς κἀγαθὸς ἔσοιτο, ἔφη, εἰ τὰ κακὰ [18], ἃ ἔχεις, ὅτι φευκτά ἐστι, μάθοις παρὰ τῶν εἰδότων.

Ὁ αὐτὸς [19] Ποντικοῦ νεανίσκου πολυωρήσειν αὐτὸν ἐπαγγελλομένου, εἰ τὸ πλοῖον ἀφίκοιτο τῶν ταρίχων, λαβὼν αὐτὸν καὶ θύλακον κενὸν πρὸς ἀλφιτόπωλιν ἦκε, καὶ σαξάμενος ἀπῄει· τῆς δὲ αἰτούσης τὸ διάφορον, ὁ νεανίσκος, ἔφη, ἐὰν τὸ πλοῖον αὐτοῦ τῶν ταρίχων ἀφίκηται.

Ὁ αὐτὸς [20] διδακτικὴν ἀπεδείκνυε τὴν ἀρετὴν, καὶ τοὺς αὐτοὺς εὐγενεῖς τοὺς καὶ ἐναρέτους· αὐτάρκη δὲ τὴν ἀρετὴν πρὸς εὐδαιμονίαν μηδενὸς προσδεομένην, ὅτι μὴ Σωκρατικῆς ἰσχύος. Τήν τε ἀρετὴν τῶν ἔργων εἶναι, μὴ λόγων πλείστων δεομένην, μήτε μαθημάτων· αὐτάρκη τε εἶναι τὸν σοφόν· πάντα γὰρ αὐτοῦ εἶναι τὰ τῶν ἄλλων, ἥν τε ἀδοξίαν ἀγαθὸν, καὶ ἴσον τῷ πόνῳ, καὶ τὸν σο-

13) Segm. 6.

14) Segm. 6.

15) Segm. 7.

16) Apud Diog. legitur: *τοῦτο δὲ ἐπεὶ συνεχὲς ὁ Πλάτων ἵππον ἐπήνει.*

17) Segm. 8.

18) Apogr. Dresd. et impress. *καλά.*

19) Segm. 9.

20) Segm. 10. 11. In impress. *καὶ τοὺς αὐτοὺς — — αὐτάρκη δὲ τὴν ἀρετὴν* desunt.

φὸν οὐ κατὰ τοὺς κειμένους νόμους πολιτεύεσθαι, ἀλλὰ κατὰ τὸν τῆς ἀρετῆς.

Ὁ αὐτὸς [21] γαμήσειν ἔλεγε τεκνοποιΐας χάριν ταῖς εὐφυεστάταις συνιόντα γυναιξὶ, καὶ ἐρασθήσεσθαι δέ· μόνον γὰρ εἰδέναι τὸν σοφὸν, τίνων χρὴ ἐρᾶν.

Ὁ αὐτὸς [22] ἔλεγε, συμμάχους ποιεῖσθαι τοὺς εὐψύχους ἅμα καὶ δικαίους· ἀναφαίρετον γὰρ ὅπλον ἡ ἀρετή.

* Ὁ αὐτὸς ἐρωτηθεὶς, ποῖα δεῖ μανθάνειν τῶν Ὁμήρου ἔφη·

Ὅττι τοι ἐν μεγάροισι κακόν τ᾽ἀγαθόν τε τέτυκται.

Ὁ αὐτὸς [23] ἔφη, κρεῖττόν ἐστι μετ᾽ ὀλίγων ἀγαθῶν πρὸς ἅπαντας τοὺς κακοὺς, ἢ μετὰ πολλῶν κακῶν πρὸς ὀλίγους μάχεσθαι.

Ὁ αὐτὸς [24] ἔλεγε τὸν δίκαιον περὶ πλείονος ποιεῖσθαι τοῦ εὐγενοῦς· ἀνδρὸς καὶ γυναικὸς ἡ αὐτὴ ἐστιν ἀρετή· ἀγαθὰ καλά· τὰ κακὰ αἰσχρά· τὰ πονηρὰ πάντα νομίζειν ξενικά· τεῖχος ἀσφαλέστατον φρόνησιν, μήτε γὰρ καταῤῥεῖν μήτε προδίδοσθαι τύχῃ· τείχη κατασκευαστέον ἐν τοῖς αὐτῶν ἀναλώτοις λογισμοῖς.

Τοῦτον [25] Θεόπομπος ἐπαινεῖ μόνον ἐκ πάντων Σωκρατικῶν, δεινόν τε εἶναι καὶ δι᾽ ὁμιλίας ἐμμελοῦς ὑπαγαγέσθαι πάνθ᾽ ὁντινοῦν [26]· δῆλον δὲ ἐκ τῶν συγγραμμάτων καὶ τοῦ Ξενοφῶντος συμποσίου.

Ἀνακρέοντος.

Ἀνακρέων [27] δωρεὰν παρὰ Πολυκράτους λαβὼν πέντε τάλαντα, ὡς ἐφρόντισεν ἐπ᾽ αὐτοῖς δυοῖν νυκτοῖν, ἀπέδωκεν αὐτὰ, εἰπὼν, οὐ τιμᾶσθαι αὐτὰ τῆς φροντίδος.

21) Segm. 11.
22) Segm. 12.
23) Segm. 12.
24) Segm. 12. et 13.
25) Segm. 14. Laur. Θεόπομπος ἐπαινεῖ Ἀντισθένην μόνον.
26) Mosc. et impr. παρ᾽ ὁντινοῦν.
27) Stob. T. 93. 25.

Ὁ αὐτὸς εἶπεν·

Ἔρωτα γὰρ τὸν ἁβρὸν
Μέλπομεν βρύοντα μίτραις
Πολυανθέμοις ἀείδει,
Ὁ δὲ καὶ θεῶν δυνάστης
Ὁ δὲ καὶ βροτοὺς δαμάζει.

Ὁ αὐτὸς ἔφη·

Ἀτό μοι θανεῖν γένοιτ', οὐ γὰρ ἂν ἄλλη λύσις
Ἐκ πόνων γένοιτ', οὐδ' ἅμα τῶν δε.

Ἀπολλωνίου.

Ἀπολλώνιος ὁ φιλόσοφος [28] πρὸς τοὺς γραμματέας τῶν Ἐφεσίων νουθετῶν εἶπεν, οἱ παῖδες νῦμῶν πατέρων δέονται, οἱ νέοι γερόντων, αἱ γυναῖκες ἀνδρῶν, οἱ ἄνδρες ἀρχόντων, οἱ ἄρχοντες νόμων, οἱ νόμοι φιλοσόφων, οἱ φιλόσοφοι θεῶν, οἱ θεοὶ πίστεως· προγόνων ἀγαθῶν ἐστὲ, τὰ παρόντα μισεῖτε.

Ὁ αὐτὸς ἔφη, οὐ θρηνητέον, οἷων ἐστερήθημεν, ἀλλὰ μνημονευτέον, ὅτι μετὰ τῶν φίλων τὴν καλλίστην βιωτὴν ἐβιώσαμεν.

Ἀριμνήστου.

Ἀρίμνηστος [1] ἐρωτηθεὶς, τὶ μέγιστον ἀγαθὸν ἀνθρώπῳ, εἶπε, τὸ καλῶς ἀποθανεῖν. Ὅθεν ὁ Μουσώνιος ἥρπαζε τὸ καλῶς ἀποθνήσκειν ἔλεγεν, ὅτε ἔξεστι, μὴ κατὰ μικρὸν τὸ μὲν ἀποθνήσκειν σοι παρῇ, τὸ δὲ καλῶς μηκέτι ἐξῇ.

Ἀρχεσιλάου.

Ἀρχεσίλαος ὁ Σεύθου [2] ἢ Σκύθου, ὡς φησιν Ἀπολ-

28) Laur. incipit: Ἀπολλώνιος ἔφη· οὐ θρηνητέον, οἷον ἐστερήθημεν, κ. τ. λ. Tum Ὁ αὐτὸς πρὸς τοὺς γραμμ.

1) Stob. T. 118. 27. Ὅθεν ὁ Μουσώνιος etc. ex Laur. recepi: absunt ab impr. et ab Mosc.

2) Stob. T. 43. 91. impress. εὔθου.

ἰώδωρος, ἔλεγεν, ὥσπερ ὅπου φάρμακα πολλὰ, καὶ ἰατροὶ πολλοὶ, ἐνταῦθα νόσοι πλεῖσται, οὕτω καὶ ὅπου νόμοι πλεῖστοι, ἐκεῖ εἶναι καὶ ἀδικίαν μεγίστην.

Ἀριστείδου.

Ἀριστείδης ὁ δίκαιος ὀνειδιζόμενος ἐπὶ πενίᾳ ὑπό τινος πλουσίου, εἶπεν, ἐμοὶ μὲν ἡ πενία οὐδὲν ἱστορήσει κακὸν, σοὶ δὲ ὁ πλοῦτος ταραχὰς οὐκ ὀλίγας.

Ὁ αὐτὸς ἐρωτηθεὶς, πόσον ἐστὶ χρόνον ἄνθρωπον καλῶς ζῆν, ἔφη, ἕως ἂν ὑπολάβῃ τὸ τεθνάναι τοῦ ζῆν χρεῖττον εἶναι.

* Ἀριστείδης ἐχθρὸς ὢν Θεμιστοκλέους καὶ πρεσβευτὴς ἐκπεμφθεὶς σὺν αὐτῷ, βούλει, φησὶν, ὦ Θεμιστόκλεις, ἐπὶ τῶν ὅρων τὴν ἐχθραν ἀπολίπωμεν, ἂν γὰρ δοκῇ, πάλιν αὐτὴν ἐπανιόντες ληψόμεθα.

* Ὁ αὐτὸς, ἐπεὶ τῶν Ἀθηναίων ὁρμωμένων ἐπὶ τὸν ἐξοστρακισμὸν ἄνθρωπος ἀγράμματος καὶ ἄγροικος ὄστρακον ἔχων προσῆλθεν αὐτῷ, κελεύων ἐγγράψαι τὸ ὄνομα τοῦ Ἀριστείδου, γιγνώσκεις, ἔφη, τὸν Ἀριστείδην· τοῦ δὲ ἀνθρώπου γιγνώσκειν μὲν οὐ φήσαντος ἄχθεσθαι δὲ τῇ τοῦ δικαίου προσηγορίᾳ, σιωπήσας ἐνέγραψε τὸ ὄνομα τῷ ὀστράκῳ καὶ ἀπέδωκεν.

* Ὁ αὐτὸς [3] ἐρωτηθεὶς, τί μάλιστα αὐτὸν ἐν τῇ φυγῇ ἐλύπει, τὸ τῆς πατρίδος ὄνειδος, ἔφη, κακῶς ἀκουούσης ἐν τῇ φυγῇ αὐτοῦ.

* Αὐτῷ περὶ πολιτικὰ διατρίβοντι, εἶθε ἔφη ἡ γυνὴ, τὰ μὲν ἴδια κοινὰ ἐνόμισας, τὰ δὲ κοινὰ ἴδια.

Ἀριστίππου.

Ἀρίστιππος [4] ὁ Κυρηναῖος φιλόσοφος ἐρωτηθεὶς, τί

3) Plut. Arist. c. 7.

4) Primum et secundum apophth. Laur. om. — Diog. Laërt. II. segm. 69. — Eadem apophthegmata, ex Diogene L. sumta sunt etiam in Cod. Farn. I. E. 48.

αὐτῷ περιγέγονέν ἐκ φιλοσοφίας, ἔφη, τὸ δύνασθαι πᾶσ θαῤῥούντως ὁμιλεῖν.

Ὁ αὐτὸς [5] χρισάμενος μύρῳ, κακοὺς κακῶς ἀπολω-λέναι τοὺς κιναίδους ἔφασκε, τοῦ μύρου τὴν ὠφέλειαν εἰ λοιδορίαν διαβεβληκότας.

Ὁ αὐτὸς ὀνειδιζόμενος [6] ὑπό τινος ἀνεχώρει, τοῦ δ ἐπιδιώκοντος καὶ λέγοντος, φεύγεις, καὶ ἔφη· τοῦ μὲ γὰρ κακῶς λέγειν σὺ τὴν ἐξουσίαν ἔχεις, τοῦ δὲ μ ἀκούειν ἐγώ.

Ἀρίστιππον [7] ποτέ φασι κατὰ πότον κελεύσαντο Διονυσίου, ἕκαστον ἐν πορφυρᾷ ἐσθῆτι ὀρχήσασθαι, τὸ μὲν Πλάτωνα μὴ προσίεσθαι, εἰπόντα, οὐκ ἂν δυναίμη θῆλυν ἐνδῦναι στολὴν, λαβόντα καὶ μέλλοντα ὀρχήσασθα εὐστόχως εἰπεῖν, καὶ γὰρ ἐν βακχεύμασιν

Οὗσ' ἦγε σώφρων οὐ διαφθαρήσεται.

Ὁ αὐτὸς εἶπε, μέμνησο λιμοῦ καὶ δίψης· ταῦτα γὰρ δύνανται μεγάλως τοῖς σωφροσύνην διώκουσιν.

Ὁ αὐτὸς [9], αἰτήσαντος [10] αὐτόν τινος, πόσον αἰτοί μισθὸν ὑπὲρ τῆς τοῦ τέκνου παιδεύσεως, χιλίας, ἔφη δραχμὰς· τοῦ δὲ Ἡράκλεις εἰπόντος, ὡς ὑπέρπολυ ἤτη-μαι· δύναμαι γὰρ ἀνδράποδον χιλίων πρίασθαι· τοιγα-ροῦν εἶπε, δύο ἕξεις ἀνδράποδα, καὶ τὸν υἱὸν καὶ ὃν ἂ πρίῃ.

Ὁ αὐτὸς παρεκελεύετο τοῖς νέοις, τοιαῦτα ἐφόδια κτᾶσθαι, ἅτινα αὐτοῖς καὶ ναυαγήσασι συνεκκολυμβήσει.

Ὁ αὐτὸς θεασάμενός [11] τινα ὀργιζόμενον καὶ δι

5) Segm. 76. Neapol. Diogenem exscripsit, Arsenius contraxit.

6) Segm. 70. Laur. et impr. ὑβριζόμενος Diog. et Neapol. λοιδορούμενός ποτε ἀνεχ.

7) Segm. 78. Codd. et impr. praebent κατὰ πότον. Diog. L. Neapol. παρά.

8) Codd. οὖσα.

9) Segm. 72. Aristippo tribuitur etiam a Plutarcho de educat. c. 7. ubi Wyttenb. Isocrati tribuit liber de Vitis X Oratorum: qui Plutarchi nomen in fronte gerit.

10) Laur. et impr. ἐρωτήσαντος.

11) Stob. T. 20. 65. impr ἰδών.

τῶν λόγων χαλεπαίνοντα, ἔφη· μὴ τοὺς λόγους δι' ὀργῆς ἤγωμεν, ἀλλὰ τὴν ὀργὴν διὰ τῶν λόγων παύσωμεν.

Ὁ αὐτὸς [12] Διονυσίου ποτὲ τριῶν ἑταιρῶν οὐσῶν μίαν ἐκλέξασθαι κελεύσαντος, τὰς τρεῖς ἀπήγαγεν, εἰπών, οὐδὲ τῷ Πάριδι συνήνεγκε μίαν προκρίναι· ἀπαγαγὼν μέντοι αὐτὰς ἄχρι τοῦ θυρῶνος, ἀπέλυσεν. Οὕτως ἦν καὶ ἑλέσθαι καὶ καταφρονῆσαι πολύς· διὸ ποτὲ Στράτωνα, οἱ δὲ Πλάτωνα πρὸς αὐτὸν εἰπεῖν, σοὶ μόνῳ δέδοται χλαμύδα φορεῖν καὶ ξάκος.

Αὐτόν ποτε [13] παριόντα, λάχανα πλύνων Διογένης ἔσκωψεν καὶ φησὶν, εἰ ταῦτα ἔμαθες προσφέρεσθαι, οὐκ ἂν τυράννων αὐλὰς ἐθεράπευες· ὁ δὲ, καὶ σὺ, εἶπεν, εἰ περ ἤδεις [14] ἀνθρώποις ὁμιλεῖν, οὐκ ἂν λάχανα ἔπλυνες.

Ὁ αὐτὸς [15] ἐρωτηθεὶς ὑπὸ Διονυσίου, διατί οἱ μὲν φιλόσοφοι ἐπὶ τὰς τῶν πλουσίων θύρας ἔρχονται· οἱ δὲ πλούσιοι ἐπὶ τὰς τῶν φιλοσόφων οὐκέτι, ἔφη, ὅτι οἱ μὲν ἴσασιν, ὧν δέονται, οἱ δ' οὐκ ἴσασιν.

Ὁ αὐτὸς [16] ἐρωτηθεὶς, τίνι διαφέρουσιν οἱ πεπαιδευμένοι τῶν ἀπαιδεύτων, ἔφη, ὥσπερ οἱ δεδαμασμένοι ἵπποι τῶν ἀδαμάστων.

Ὁ αὐτὸς αἴνιγμά [17] τινος προτείνοντος αὐτῷ, καὶ εἰπόντος, λῦσον, τί, ὦ μάταιε, ἔφη, λῦσαι θέλεις, ὃ καὶ δεδεμένον ἡμῖν πράγματα παρέχει;

Ὁ αὐτὸς [18], ἄμεινον, ἔφη, ἐπαιτεῖν, ἢ ἀπαίδευτον εἶναι, οἱ μὲν γὰρ χρημάτων, οἱ δὲ ἀνθρωπισμοῦ δέονται.

12) Diog. Laërt. segm. 67. Consentit Neapol.

13) Segm. 68. Laur. παριόντα ποτε sine αὐτόν. Neapol. παριόντα ποτὲ αὐτόν.

14) Codd. εἴδης. Neapol. ἴδης.

15) Diog. segm. 69. Consentit Neapol. Stob. T. 3. 46. Ἀντισθένης ἐρωτηθεὶς, τί δή ποτε οὐκ οἱ πλούσιοι πρὸς τοὺς σοφοὺς ἰσιασιν, ἀλλ' ἀνάπαλιν; εἶπεν, ὅτι οἱ σοφοὶ μὲν ἴσασιν, ὧν ἐστιν αὐτοῖς χρεία πρὸς τὸν βίον· οἱ δὲ οὐκ ἴσασιν· ἐπεὶ μᾶλλον σοφίας ἢ χρημάτων ἐπεμελοῦντο.

16) Segm. 69. Consentit Neapol.

17) Segm. 70. — Neapol. αὐτῷ πρυτ.

18) Segm. 70. Consentit Neapol.

Αὐτῷ εἰς [19] *Κόρινθον πλέοντί ποτε καὶ χειμαζομένῳ συνέβη ταραχθῆναι· πρὸς οὖν τὸν εἰπόντα, ἡμεῖς μὲν οἱ ἰδιῶται οὐ δεδοίκαμεν, ὑμεῖς δὲ οἱ φιλόσοφοι δειλιᾶτε· οὐ γὰρ περὶ μιᾶς* [20]*, ἔφη, ψυχῆς ἀγωνιοῦμεν ἕκαστοι.*

Ὁ αὐτὸς [21]*, λοιδορουῦντος αὐτόν τινος, ἔφη, τοῦ μὲν λέγειν κακῶς σὺ κύριος εἶ, τοῦ δὲ δικαίως ἀκούειν, ἐγώ.*

Ὁ αὐτὸς [22] *ἔφη πρὸς τὸν ἀδελφὸν, μέμνησο, ὅτι τῆς μὲν διαστάσεως σὺ ἤρξω, τῆς δὲ διαλύσεως ἐγώ.*

Ὁ αὐτὸς [23] *ἐρωτηθεὶς, τίνι διαφέρει ὁ σοφὸς τοῦ μὴ σοφοῦ, εἰς ἀγνῶτας, ἔφη, τοὺς δύο γυμνοὺς ἀπόστειλον, καὶ εἴσῃ.*

Ὁ αὐτὸς [24] *πρὸς τὸν αἰτιώμενον, ὅτι ἑταίρᾳ συνοικεῖ· ἆρά γε εἶπεν* [25]*, μήτε διενέγκαι οἰκίαν λαβεῖν, ἐν ᾗ πολλοί ποτε ᾤκησαν, ἢ μηδὲ εἷς; εἰπόντος δ' οὔ· τί δαὶ πλεῦσαι ἐν νηΐ, ᾗ μύριοί ποτε ἔπλευσαν, ἢ μηδὲ εἷς; οὐδαμῶς· οὐδ' ἄρα γυναικὶ, ἔφη, συνεῖναι, ᾗ πολλοὶ κέχρηνται, ἢ μηδείς.*

Ὁ αὐτὸς [26] *πρὸς τὸν αἰτιώμενον, ὅτι Σωκράτους μαθητὴς ὢν, ἀργύριον λαμβάνει, καὶ μάλα, εἶπε· καὶ γὰρ Σωκράτῃ* [27]*, πεμπόντων τινῶν αὐτῷ καὶ σῖτον καὶ οἶνον, ὀλίγα λαμβάνοντα τὰ λοιπὰ ἀποπέμπειν· εἶχε γὰρ ταμίας τοὺς πρώτους Ἀθηναίων· ἐγὼ δὲ Εὐτυχίδην ἀργυρώνητον.*

19) Segm. 71. Laur. *Ἀριστίππῳ εἰς Κόρινθον πλέοντί ποτε.*

20) Diog. *ὁμοίας.*

21) Stob. T. 19. 6. Articulum *ὁ* ante *αὐτὸς* apogr. Dresd. om. In Laur. apophth. hoc non est.

22) Stob. T. 84. 19.

23) Segm. 73. Neapol. *ἐρωτηθεὶς ποτε.* Hoc et omnia sqq. Laur. om.; tum post *Ἀρχελάου* nomen sequitur: *Ἀριστίππου καὶ ταῦτα.*

24) Segm. 74. Consentit Neapol.

25) Codd. et impr. *εἰπεῖν.*

26) Segm. 74. Consentit Neapol.

27) Codd. et impr. *Σωκράτει.*

Ὁ αὐτὸς [28] ἐχρῆτο Λαΐδι τῇ ἑταίρᾳ, καθὰ φησὶ καὶ Σωτίων ἐν δευτέρῳ τῶν διαδοχῶν· πρὸς οὖν τοὺς μεμφομένους ἔλεγεν [29]· ἔχω Λαΐδα, ἀλλ᾽ οὐκ ἔχομαι· ἐπεὶ τὸ κρατεῖν καὶ μὴ ἡττᾶσθαι ἡδονῶν ἄριστον, οὐ τὸ μὴ [30] χρῆσθαι.

Ὁ αὐτὸς [31] πρὸς τὸν ὀνειδίσαντα αὐτῷ πολυτελῆ ὀψωνίαν, σὺ οὐκ ἂν, ἔφη, τριοβόλου ταῦτα ἐπρίω; ὁμολογήσαντος δὲ, οὐκέτι, τοίνυν φιλήδονος ἐγὼ, ἀλλὰ σὺ φιλάργυρος. Ὁ αὐτὸς Σίμου [32] ποτὲ τοῦ Διονυσίου ταμίου πολυτελεῖς οἴκους αὐτῷ καὶ λιθοστρώτους δεικνύντος (ἦν δὲ Φρὺξ καὶ ὄλεθρος), ἀναχρεμψάμενος [33] προσέπτυσε τῇ ἴψει· τοῦ δ᾽ ἀγανακτήσαντος, οὐκ εἶχον, εἶπε, τόπον ἐπιτηδειότερον.

Ὁ αὐτὸς [34] σεμνυνομένου τινὸς ἐπὶ πολυμαθίᾳ, ἔφη, ὥσπερ οὐχ οἱ τὰ πλεῖστα ἐσθίοντες καὶ γυμναζόμενοι ὑγιαίνουσι μᾶλλον τῶν τὰ δέοντα προσφερομένων, οὕτως οὐχ οἱ πολλὰ, ἀλλ᾽ οἱ χρήσιμα ἀναγιγνώσκοντές εἰσι σπουδαῖοι.

Ὁ αὐτὸς [35] Διονυσίου ποτε ἐρομένου, ἐπὶ τί ἥκοι, ἐπὶ τὸ μεταδώσειν, ὧν ἔχει, ἔφη, καὶ λήψεσθαι, ὧν μὴ ἔχει· ἔνιοι δὲ οὕτως· ἀποκρίνασθαι· ὁπότε μὲν σοφίας ἐδεόμην, ἦκον παρὰ Σωκράτην, νῦν δὲ χρημάτων δεόμενος παρὰ σὲ ἥκω.

Ὁ αὐτὸς αὐχοῦντός τινος ἐπὶ τῷ κολυμβᾶν, οὐκ αἰσχύνῃ εἶπεν, ἐπὶ δελφίνων ἔργοις ἀλαζονευόμενος;

28) Segm. 74. 75. Neapol. ἐχρῆτο καὶ Λά. — καὶ ante Σωτίων impress. om. Alios, qui mentionem hujus apophthegmatis faciunt, recenset Potter ad Clem. Strom. II. p. 490.

29) Laur. et impr. ἔφη.

30) μὴ apogr. Dresd. om.

31) Segm. 75. Consentit Neapol.

32) Segm. 75. Consentit Neapol. Laur. Σιμοῦ.

33) Impress. ἀναχριμψάμενος. Laur. ἀναχρυμψάμενος.

34) Segm. 71.

35) Segm. 77. Mosc. et impr. om.

36) Segm. 75.

Ὁ αὐτὸς [37] Πολυξένου ποτὲ τοῦ σοφιστοῦ εἰσελθόντος πρὸς αὐτὸν καὶ θεασαμένου γυναῖκάς τε καὶ πολυτελῆ ὀψωνίαν, ἔπειτα αἰτιασαμένου, μικρὸν διαλιπών, δύνασαι καὶ σὺ μεθ' ἡμῶν σήμερον γενέσθαι· τοῦ δὲ ἐπινεύσαντος, τί οὖν, ἔφη, ἐμέμφου; ἔοικας γὰρ οὐ τὴν ὀψωνίαν, ἀλλὰ τὸ ἀνάλωμα αἰτιᾶσθαι.

Ὁ αὐτὸς τοῦ [38] θεράποντος ἐν ὁδῷ βαστάζοντος ἀργύριον καὶ βαρυνομένου, ὡς φασιν οἱ περὶ τὸν Βίωνα ἐν ταῖς διατριβαῖς, ἀπόχεε, ἔφη, τὸ πλέον, ὅσον δύνασαι, βάσταζε.

Ὁ αὐτὸς δεύμενός [39] ποτε περὶ φίλου Διονυσίου, καὶ μὴ ἐπιτυγχάνων, εἰς τοὺς πόδας αὐτοῦ ἔπεσε· πρὸς οὖν τὸν ἐπισκώψαντα οὐκ ἐγώ φησιν αἴτιος, ἀλλὰ Διονύσιος, ὁ ὢν τοῖς ποσὶ τὰς ἀκοὰς ἔχων.

Ὁ αὐτὸς [40] τοὺς τῶν κυκλίων παιδευμάτων μετασχόντας, φιλοσοφίας δὲ ἀπολειφθέντας, ὁμοίους ἔλεγεν εἶναι τοῖς τῆς Πηνελόπης μνησιῆρσι· καὶ γὰρ ἐκείνους Μελανθὼ μὲν καὶ Πολυδώραν καὶ τὰς ἄλλας θεραπαίνας ἔχειν, πάσας δὲ μᾶλλον ἢ αὐτὴν τὴν δέσποιναν δύνασθαι γῆμαι.

Ὁ αὐτὸς ᾔτει [41] Διονύσιον ἀργύριον, καὶ ὃς, ἀλλὰ μὴν ἔφης, οὐκ ἀπορήσειν τὸν σοφὸν· ὁ δ' ὑπολαβών, δὸς, εἶπε, καὶ περὶ τούτου μὴ ζητῶμεν· δόντος δὲ, ὁρᾷς, ἔφη, ὅτι οὐκ ἠπόρησα.

57) Segm. 76.

58) Segm. 77. Mosc. θεραπεύοντος. Laur. Diog. et Neap. θεράποντος.

59) Segm. 79.

40) Segm. 79. Neapol. τοὺς τῶν ἐγκυκλ. Stob. T. 4. 110. Aristoni Chio tribuit: Ἀρίστων ὁ Χῖος τοὺς περὶ τὰ ἐγκύκλια μαθήματα πονοῦντας, ἀμελοῦντας δὲ φιλοσοφίας, ἔλεγεν, ὁμοίους εἶναι τοῖς μνηστῆρσι τῆς Πηνελόπης, οἳ ἀποτυγχάνοντες ἐκείνης, περὶ τὰς θεραπαίνας ἐγίνοντο. segm. 82.

41) Apogr. Dresd. et impr. ἀποῤῥήσειν.

Ἀριστωνος [42].

Ἀρίστων ὁ Χῖος [43], ὁ καὶ Φίλανθος ἐπικαλούμενος, τοὺς λόγους τῶν διαλεκτικῶν εἴκαζε τοῖς τῶν ἀραχνίων ὑφάσμασιν· οὐδὲν μὲν χρησίμους, λίαν δὲ τεχνικούς.

Ὁ αὐτὸς ἔφη [44], ὁ ἑλλέβορος ὁλοσχερέστερος μὲν λη-φθεὶς καθαίρει, εἰς δὲ πάνυ μικρὰ τριφθεὶς πνίγει· οὕτω καὶ ἡ κατὰ φιλοσοφίαν λεπτολογία.

Ὁ αὐτὸς ἔφη [45], τὴν διαλεκτικὴν ἐοικέναι τῷ ἐν τοῖς ὁδοῖς πηλῷ, πρὸς οὐδὲν γὰρ οὐδ' ἐκεῖνον χρήσιμον ὄντα, καταβάλλειν τοὺς βαδίζοντας.

Ὁ αὐτὸς εἶπεν [46]· οἱ ἐν διαλεκτικῇ βαθύνοντες ἐοί-κασι καρκίνους μασσωμένοις [47], οἳ δι' ὀλίγον τρόφιμον περὶ πολλὰ ὀστᾶ ἀσχολοῦνται.

Ὁ αὐτὸς [48] τοὺς διαλεκτικοὺς ἐοικέναι ἔλεγε τοῖς ψηφοπαίκταις, οἵτινες χαριέντως παραλογίζονται.

Ἀρχύτου.

Ἀρχύτας, Μνησαγόρου, Ταραντῖνος, φιλόσοφος ἅμα καὶ μηχανικὸς ὤν, ἐποίησε περιστερὰν ξυλίνην πετομένην, ἧις, εἴποτε καθίσειεν, οὐκέτι ἀνίστατο· μέχρι γὰρ τούτου.

Ὁ αὐτὸς [49] ἀναγνοὺς τὸν Ἐρατοσθένους Ἑρμῆν, τοῦ-τον ἐπήνεγκε τὸν στίχον·

Χρείω πάντ' ἐδίδαξε, τί δ' οὐ χρειώ κεν ἂν εὕροι [50];

42) Laur. Ἀρίστωνος Χίου, τοῦ καὶ Φιλάνθου ἐπικαλουμένου. Incipit: Ἀρίστων ἔφη, ὁ ἑλέβορος.

43) Stob. T. 82. 15.

44) Stob. T. 82. 16.

45) Stob. T. 82. 11. Laur. ὁ αὐτὸς ἔλεγεν ἐοικέναι τὴν διαλεκτικήν.

46) Stob. T. 82. 7.

47) Impress. μασωμένοις.

48) Stob. T. 82. 4. Arcesilao tribuit. Laur. om.; contra id, quod Mosc. primo loco posuit, h. l. refert.

49) Stob. T. 95. 15. Πλουτάρχου ἐκ τοῦ· ὅτι καὶ γυναῖκα παιδευτέον.

50) Laur. et impr. ἀνεύροι, sine accentu.

Ἀρταβάζου.

Ἀρταβάζος [51] ἔχων τοὺς τῶν φευγόντων Περσῶν εἰς τετρακισμυρίους, καὶ διὰ Φωκίδος εἰς Μακεδονίαν πορευθεὶς ὀξυτάταις πορείαις ἐχρῆτο καὶ ἐσώθη μετὰ τῶν στρατιωτῶν εἰς τὴν Ἀσίαν· οἱ δ' Ἕλληνες ἐκ τῶν λαφύρων δέκατον ἐξελόμενοι κατεσκεύασαν χρυσοῦν τρίποδα καὶ ἀνέθηκαν εἰς Δελφοὺς, ἐπιγράψαντες ἐλεγεῖον τόδε·

Ἑλλάδος εὐρυχόρου [52] σωτῆρες τόν δ' ἀνέθηκαν,
Δουλοσύνας στυγερῆς ῥυσάμενοι πόλιας.

Ἐπέγραψαν δὲ καὶ τοῖς ἐν Θερμοπύλαις θανοῦσι Λακεδαιμονίοις κοινῇ μὲν πᾶσι τόδε·

Ὦ [53] ξεῖν', ἄγγειλον Λακεδαιμονίοις, ὅτι τῇδε
Κείμεθα, τοῖς κείνων πειθόμενοι νομίμοις.

Ἀρκεσιλάου.

Ἀρκεσίλαος [1] ὁ Σεύθου ἢ Σκύθου, Ἡμονός τινος Χίου, ἀειδοῦς ὄντος καὶ ὑπολαμβάνοντος εἶναι καλοῦ, καὶ ἐν χλανίσιν ἀεὶ ἀναστρεφομένου, εἰπόντος, ἢ οὐ δοκεῖ αὐτῷ ὁ σοφὸς ἐρασθήσεσθαι; ἔφη, οὐδὲ ἂν οὕτω καλὸς ἦ τις, ὥσπερ σὺ, οὐδ' ἂν οὕτω καλὰ ἱμάτια ἔχῃ.

Ὁ αὐτὸς [2], ὡς Ἀπολλόδωρός φησιν, στωμύλου τινὸς ἀγεννοῦς πράγματα αὐτῷ παρέχοντος, ἔφη·

Ἀχόλαστ' ὁμιλεῖν γίνεται δούλων τέκνα.

Ὁ αὐτὸς, ὡς [3] Ἀπολλόδωρός φησιν, εἰσελθών ποτε πρὸς Κτησίβιον νοσοῦντα, καὶ ἰδὼν ἀπορίᾳ θλιβόμενον, κύφα βαλάντιον ὑπέθηκε τῷ προσκεφαλαίῳ· καὶ ὃς ἰδὼν,

51) Impr. Ἀρτάβαζος. Laur. hoc nomen om.

52) Mosc. εὐρυχώρου.

53) ὦ Mosc. om.

1) Diog. Laërt. IV. segm. 34. — Mosc. et impr. Εὔθου et Ἥμωνος.

2) Segm. 35. Mosc. στομύλλου, uterque ἀχόλαστα.

3) Segm. 37. Codd. et impr. Κατησίβιον. Laur. ὡς Ἀπολλόδωρος φησιν om.

Ἀρκεσιλάου, φησὶ, τὸ παίγνιον· ἀλλὰ καὶ ἄλλοτε χιλίας δραχμὰς ἀπέστειλεν.

Ὁ αὐτὸς πρὸς [4] τὸν πυθόμενον, διατί ἐκ μὲν τῶν ἄλλων μεταβαίνουσιν εἰς τὴν Ἐπικούρειον, ἐκ δὲ τῶν Ἐπικουρείων οὐδέποτε, ἔφη, ἐκ μὲν γὰρ ἀνδρῶν Γάλλοι γίνονται, ἐκ δὲ Γάλλων ἄνδρες οὐ γίνονται.

Ὁ αὐτὸς, ὡς φησιν Ἀπολλόδωρος, ἔλεγεν, ὥσπερ ὅπου φάρμακα πολλὰ καὶ ἰατροὶ πολλοὶ, ἐνταῦθα νόσοι πλεῖσται, οὕτω καὶ, ὅπου νόμοι πλεῖστοι, ἐκεῖ εἶναι καὶ ἀδικίαν μεγίστην.

Διογένους [5] Λαερτίου ἐπίγραμμα εἰς Ἀρκεσίλαον.

Ἀρκεσίλαε, τί μοί τι τοσοῦτον ἄκρητον ἀφειδῶς
Ἔσπασας, ὥστε φρενῶν ἐκτὸς ὄλισθες ἐών [6];
Οἰκτείρω σ᾽ οὐ τόσσον, ἐπεὶ θάνες, ἀλλ᾽ ὅτι Μούσας
Ὕβρισας, οὐ μετρίῃ χρησάμενος κύλικι.

Σιμωνίδου [7] ἐπίγραμμα εἰς Ἀρκεσίλαον ἀγαλματοποιόν.

Ἀρτέμιδος τόδ᾽ ἄγαλμα, δικηόσιαι γὰρ ἑ μισθὸς
Δραχμαί τοι Πάριαι [8], τῶν δ᾽ ἐπίσημι᾽ Ἄρατος.
Ἀσκητὸς ποίησεν Ἀθηναίης παλάμῃσιν
Ἄξιος Ἀρκεσίλας, υἱὸς Ἀριστοδίκου [9].

Ἀριστοτέλους.

Ἀριστοτέλης [1], ὁ Νικομάχου καὶ Φεστίδος [2], τὴν

4) Segm. 43. Apogr. Dresd. et impress. τὸ ἐπικούριον, ἐκ δὲ τῶν ἐπικουρίων.

5) Segm. 45.

6) Codd. ὀλίσθαι σε ὧν. Laur. ὧν ad versum sq. trahit. Impr. ὀλίσθαι. Post οἰκτείρω om. omnes σ᾽.

7) Abest hoc ab impressis. In Laur. vox ἐπίγραμμα non est.

8) Πάριαι Laur.

9) In Codd. Ἀρκεσίλαος, υἱὸς Ἀριστοδήμου.

1) Diog. Laërt. V. segm. 31. Non omnia apophthegmata, ab Arsenio allata, apud Diogenem inveniuntur, qui segm. 34. dicit: πολλὰ γὰρ καὶ ἄλλα εἰς αὐτὸν ἀναφέρεται συγγράμματα αὐτοῦ καὶ ἀποφθέγματα, ἀγράφου φωνῆς εὐστοχήματα.

2) Impr. Φαιστιάδος.

φιλίαν ὡρίζετο ἰδότητα εὐνοίας ἀντίστροφον· ταύτης δ τὴν μὲν εἶναι συγγενικὴν, τὴν δὲ ἐρωτικὴν, τὴν δὲ ξενικήν· εἶναι δὲ καὶ τὸν ἔρωτα μὴ μόνον συνουσίας, ἀλλὰ κα φιλοσοφίας.

Ὁ αὐτὸς [3] ὀνειδιζόμενος, ὅτι πονηρῷ ἀνθρώπῳ ἐλεημοσύνην ἔδωκεν, οὐ τὸν τρόπον, εἶπεν, ἀλλὰ τὸν ἄνθρωπον ἠλέησα.

Ὁ αὐτὸς [4] ἐρωτηθεὶς, διατί μέγας ὢν, μικρὰν ἔγημε γυναῖκα, εἶπε, τοῦ κακοῦ ἐκλογὴν ποιησάμενος τὸ ἐλάχιστον ἠρετισάμην.

Ὁ αὐτὸς [5] συνεχῶς ἔλεγεν, ὡς ἡ μὲν ὅρασις ἀπὸ τοῦ περιέχοντος ἀέρος λαμβάνει τὸ φῶς, ἡ δὲ ψυχὴ ἀπὸ τῶν μαθημάτων.

Ὁ αὐτὸς [6] τῆς παιδείας ἔφη, τὰς μὲν ῥίζας εἶναι πικρὰς, τὸν δὲ καρπὸν γλυκύν.

Ὁ αὐτὸς [7] ἐρωτηθεὶς, τί γηράσκει ταχὺ, χάρις, ἔφη.

Ὁ αὐτὸς ἐρωτηθεὶς, τί ἐστιν ἐλπὶς, ἐγρηγορότος εἶπεν ἐνύπνιον.

* Ὁ αὐτὸς τριῶν ἔφη δεῖν παιδείᾳ, φύσεως, μαθήσεως, ἀσκήσεως.

Ὁ αὐτὸς [8] Σωκράτην μὲν ἔλεγεν ὀλιγοχρόνιον τυραννίδα, Πλάτωνα δὲ προτέρημα φύσεως, Θεόφραστον σιω-

3) Segm. 17. Stob. T. 37. 32. Ἀριστοτέλης ὁ φιλόσοφος αἰτηθείς ποτε ἔραιον ὑπὸ μοχθηροῦ, καὶ παρασχόμενος, ἐπειδὴ ἐπελάβετό τις αὐτοῦ, ὅτι τοιούτῳ ἔδωκεν, οὐ τῷ ἀνθρώπῳ, ἔφη, ἀλλὰ τῷ ἀνθρωπίνῳ. Cfr. Diog. segm. 20. Idem est in apophth. Cod. Vat. CLI. ἐπεκούρησεν ποτέ τινι Ἀριστοτέλης ἐπαιτήσαντι αὐτὸν, καί τις πρὸς αὐτὸν εἶπεν, ὡς πονηρὸς εἴη ἄνθρωπος, ἀλλ' οὐ τῷ ἀνθρώπῳ ἔδωκά, φησιν, ἀλλὰ τῷ ἀνθρωπίνῳ. — ibid. Ἀριστοτέλης ἐρωτώμενος, τί ἄνθρωπος ἔχει ὅμοιον θεῷ, τὸ εὐεργετεῖν, ἔφη.

6) In Mosc. deest: recepi ex Laur. et impr.

7) Hoc apophth. et duo sqq. ex segm. 18.

8) De pulcritudine haec ab istis philosophis dicta sunt. Vid. Diog. Laërt. L. V. segm. 19. Illo in loco displicet mihi Casauboni correctio, qui Aristoteli tribuit, δῶρον εὐμορφίαν pro εὐμορφίας. Debuisset corrigere δῶρον τὴν εὐμορφίαν. Sed sententia etiam frigidiuscula vi-

πῶσαν ἀπάτην, Θεόκριτον ἐλεφαντίνην ζημίαν, Καρνεάδην ἀδορυφόρητον βασιλείαν.

Ὁ αὐτὸς [9] ἐρωτηθεὶς, τίνι διαφέρουσιν οἱ πεπαιδευμένοι τῶν ἀπαιδεύτων, ὅσῳ, εἶπεν, οἱ ζῶντες τῶν τεθνεώτων.

Ὁ αὐτὸς [10] ἐρωτηθεὶς, τί ἐστι φίλος, ἔφη, μία ψυχὴ ἐν δύο σώμασιν οἰκοῦσα.

Ὁ αὐτὸς [11] τῶν ἀνθρώπων ἔλεγε τοὺς μὲν οὕτω φείδεσθαι, ὡς ἀεὶ ζησομένους, τοὺς δὲ οὕτως ἀναλίσκειν, ὡς αὐτίκα τεθνηξομένους.

Ὁ αὐτὸς [12] ἐρωτηθεὶς, τί ποτε αὐτῷ περιγέγονεν ἐκ φιλοσοφίας, ἔφη, τὸ ἀνεπιτάκτως ποιεῖν, ἃ τινες διὰ τὸν ἀπὸ τῶν νόμων φόβον ποιοῦσιν.

Ὁ αὐτὸς [13] ἐρωτηθεὶς, πῶς ἂν προκόπτοιεν οἱ μαθηταὶ, ἔφη, ἐὰν τοὺς προέχοντας διώκοντες, τοὺς ὑστεροῦντας μὴ ἀναμένωσιν.

Ὁ αὐτὸς τὸν ἐν νόσῳ διαθήκας γράφοντα ἔφη παραπλήσια πάσχειν τοῖς ἐν χειμῶνι θαλαττίῳ εὐτρεπίζειν ἀρχομένοις τὰ τῆς νηὸς ὅπλα.

Ὁ αὐτὸς εἶπεν· ἐπιτήδειος εἰς [14] φιλίαν ὁ πλεῖστα ἀδικεῖσθαι δυνάμενος.

Ὁ αὐτὸς βλασφημούμενος ὑπὸ ἀνθρώπου ἀσελγοῦς, ἔφη, σὺ καὶ ἀκούεις τὰ κακὰ ῥᾳδίως καὶ λέγεις· ἐμοὶ δὲ λέγειν ἄηθες καὶ ἀκούειν ἀηθές.

Ὁ αὐτὸς ἐν τῷ σοφιστῇ φησι, πρῶτον Ἐμπεδοκλέα ῥητορικὴν εὑρεῖν, Ζήνωνα δὲ διαλεκτικὴν, ἐν δὲ τῷ περὶ ποιητῶν φησὶν, καὶ ὅτι Ὁμηρικὸς ὁ Ἐμπεδοκλῆς καὶ δεινὸς περὶ τὴν φράσιν γέγονε, φορτικώτερος [15] ὢν καὶ τοῖς ἄλλοις τοῖς περὶ ποιητικὴν ἐπιτεύγμασι χρώμενος.

Ὁ αὐτὸς [16] ἔφη, ἐν παντὶ τῷ βίῳ τρεῖς μεταμελείας

detur. Malim ergo δῶρον εὐφυΐας. Matth.

9—13) Segm. 20.

14) Laur. πρὸς φιλίαν.

15) Mosc. φορτικότερος. Laur. et impr. φορτικός τε.

16) Catoni majori tribuit Plut. c. 9.

εἶναι· μίαν μὲν ἐπὶ τῷ γυναικὶ πιστεῦσαι λόγον ἀπόῤῥητον· ἑτέραν δὲ, πλεῦσαι· τὴν δὲ τρίτην, ὅτι μίαν ἡμέραν ἀδιάθετος ἔμεινας.

Ὁ αὐτὸς ἐρωτηθεὶς [17], διατί τῶν καλῶν ὁ ἔρως, τυφλοῦ, εἶπεν, ἡ ἐρώτησις.

Ὁ αὐτὸς ἔφη [18], τὸ κάλλος πάσης ἐπιστολῆς συστατικώτερον εἶναι.

Ὁ αὐτὸς [19] τοὺς τὰ ἐνεργῆ πράγματα πειρωμένους δεικνύναι ὅμοιον ἔφη ποιεῖν τοῖς διὰ λύχνου τὸν ἥλιον φιλοτιμουμένοις δεικνύναι.

Ὁ αὐτὸς [20] ἐρωτηθεὶς ὑπό τινος, τί δυσκυλώτατόν ἐστιν ἐν τῷ βίῳ, εἶπε, τὸ σιωπᾶν, ἃ μὴ δεῖ λαλεῖν.

Ὁ αὐτὸς θεασάμενος νεανίσκον κατωφρυωμένον, μηδὲν δὲ ἐπιστάμενον, νεανίσκε, ἔφη, οἷος μὲν δοκεῖς αὐτὸς εἶναι, ἐγὼ γενοίμην· οἷος δὲ τῇ ἀληθείᾳ ὑπάρχεις, τοιοῦτοί μου [21] οἱ ἐχθροὶ γένοιντο.

Ὁ αὐτὸς ἔφη, θεοῦ μέν ἐστι, πράττειν ἃ βούλεται, ἀνθρώπου δὲ, τὰ δέοντα προθυμεῖσθαι.

Ὁ αὐτὸς κατανοήσας μειράκιον ἐπὶ τῇ πολυτελείᾳ τῆς χλαμύδος σεμνυνόμενον, οὐ παύσῃ, ἔφη, μειράκιον, ἐπὶ βροβάτου σεμνυνόμενος ἀρετῇ;

Ὁ αὐτὸς ἔφη, ὁ φθόνος ἀνταγωνιστής ἐστι τῶν εὐτυχούντων.

Ὁ αὐτὸς ἐρωτηθεὶς [22], εἰ ὁ ἔρως ἕνεκα τῆς συνουσίας γίνεται, οὔτε, ἔφη, διὰ τοῦτο, οὐτ' ἄνευ τούτου.

Πόθεν τρέφεται ὁ κόσμος [1].

Ὁ αὐτὸς εἶπεν, εἰ τρέφεται ὁ κόσμος καὶ φθαρή-

17) Stob. T. 65. 14. Diog. L. segm. 20. In Laur. deest.

18) Diog. segm. 18. Laur. om. — Ad finem Mosc. addit: ἢ δῶρον εὐμορφίας, quae verba absunt ab impr. et a Stob. T. 65. 11.

19) Stob. T. 4. 87. Laur. non habet.

20) Stob. T. 41. 8.

21) Impr. μοι.

22) Stob. T. 63. 32.

1) Ex Plutarch. T. II. p. 886. 887. Matth.

σεται, ἀλλὰ μὴν οὐδεμιᾶς ἐπιδέεται τροφῆς, διὰ τοῦτο καὶ ἀΐδιος. Πλάτων αὐτὸν αὐτῷ τὸν κόσμον ἐκ τοῦ φθίνοντος κατὰ μεταβολὴν τὸ τρέφον παρέχεσθαι· Φιλόλαος διττὴν εἶναι τὴν φθοράν, τοτὲ μὲν ἐξ οὐρανοῦ πυρὸς ῥυέντος, τοτὲ δὲ ἐξ ὕδατος σεληνιακοῦ περιστροφῇ τοῦ ἀέρος ἀποχυθέντος, καὶ τούτων εἶναι τὰς ἀναθυμιάσεις τροφὰς τοῦ κόσμου [2].

Πόθεν τρέφεται ὁ κόσμος [3].

Ὁ αὐτὸς εἶπεν, ἀρχαῖός τις λόγος καὶ πάτριός ἐστι πᾶσιν ἀνθρώποις, ὡς ἐκ θεοῦ τὰ πάντα καὶ διὰ θεῶν ἡμῖν συνέστηκεν· οὐδεμία δὲ φύσις αὐτὴ καθ᾽ ἑαυτήν ἐστιν αὐτάρκης, ἐρημωθεῖσα τῆς ἐκ τούτου σωτερίας· διὸ [4] καὶ τῶν παλαιῶν εἰπεῖν τινες προήχθησαν, ὅτι πάντα ταῦτά ἐστι θεῶν πλέα τε καὶ δι᾽ ὀφθαλμῶν ἐνδαλλόμενα ἡμῖν, καὶ δι᾽ ἀκοῆς καὶ πάσης αἰσθήσεως· τῇ δὲ θείᾳ δυνάμει πρέποντα καταβαλλόμενοι [5] λόγον, οὐ μὴν τῇ γε οὐσίᾳ· σωτὴρ μὲν γὰρ ὄντως ἁπάντων ἐστὶ καὶ γενέτωρ τῶν ὁπωσδήποτε κατὰ τόνδε τὸν κόσμον συντελουμένων ὁ θεός.

Ἀρχελάου [1].

Ἀρχέλαος, Ἀπολλοδώρου ἢ Μίδωνος, Ἀθηναῖος ἢ Μιλήσιος, μαθητὴς Ἀναξαγόρου, διδάσκαλος Σωκράτους, τὴν φυσικὴν φιλοσοφίαν ἐκ τῆς Ἰωνίας μετήγαγεν Ἀθήναζε, καὶ ἐκλήθη φυσικός· οὗτος δύο αἰτίας ἔλεγεν εἶναι γενέσεως, θερμὸν καὶ ὑγρὸν καὶ τὰ ζῶα ἀπὸ τῆς ἡλίου θέρμης γεννηθῆναι, καὶ τὸ δίκαιον εἶναι καὶ τὸ αἰσχρὸν οὐ φύσει, ἀλλὰ νόμῳ· ὁ δὲ λόγος αὐτῷ οὕτως ἔχει· τηκόμενόν φησι τὸ ὑγρὸν ὑπὸ τοῦ θερμοῦ, καθὸ μὲν εἰς πυ-

2) Mosc. addit: Ὁ αὐτὸς ἔφη, θεοῦ μέν ἐστι πράττειν κ. τ. λ., ut paullo ante.

3) Abest a Laur.

4) Διὸ καὶ τῶν παλαιῶν etc. usque ad finem absunt ab impressis.

5) Mosc. καταβαλλομένη. Forte καταβαλλόμενοι. Matth.

1) Nomen hoc in impressis

ρῶδες συνίστανται, ποιεῖν γῆν· καθὸ δὲ περιῤῥεῖ, ἀέρα γεννᾷν· ὅθεν ἡ μὲν ἀπὸ τοῦ ἀέρος, ὁ δὲ ὑπὸ τῆς τοῦ πυρὸς περιφορᾶς κρατεῖται. Γεννᾶσθαι δέ φησι τὰ ζῶα ἐκ θέρμης τῆς γῆς καὶ ἰλύος, ἣν παραπλησίαν γάλακτι οἷον τροφὴν ἀνίησιν· οὕτω δὴ καὶ τοὺς ἀνθρώπους ποιῆσαι.

* Ἀ π ε λ λ ῆ ς [2]

ὁ ζωγράφος, ἐρωτηθεὶς, διατί τὴν τύχην καθημένην ἔγραψεν, εἶπεν· οὐχ ἕστηκε γάρ.

* Ἀ ρ ι σ τ ώ ν υ μ ο ς

εἶπεν, ὅτι πλῷ ἔοικε τῷ παρὰ γῆν ὁ τῶν πενήτων βίος· ὁ δὲ τῶν πλουσίων τῷ διὰ πελάγους· τοῖς μὲν γὰρ ῥᾴδιόν ἐστι καὶ πεῖσμα βαλεῖν καὶ προσχεῖν καὶ νεωλκῆσαι· τοῖς δ' οὐ.

* Ἀπόφθεγμα Ἀπολλωνίδου τοῦ Νικαέως, ἄλλοι δέ φασι Δημητρίου τοῦ Σκηψίου.

Ἀρετὴ τριὰς, σύνεσις, καὶ κράτος, καὶ τύχη.

* Ἀ γ α θ ο κ λ έ ο υ ς.

Ἀγαθοκλῆς υἱὸς ἦν κεραμέως· γενόμενος δὲ κύριος Σικελίας καὶ βασιλεὺς ἀναγορευθεὶς εἰώθει κεραμεᾶ ποτήρια τιθέναι παρὰ τὰ χρυσᾶ, καὶ τοῖς νέοις ἐπιδεικνύμενος λέγειν, ὅτι τοιαῦτα ποιῶν πρότερον, νῦν ταῦτα ποιεῖ διὰ τὴν ἐπιμέλειαν καὶ τὴν ἀνδρίαν.

Ὁ αὐτὸς πολιορκῶν ποτε πόλιν, ἐπειδὴ τῶν ἀπὸ τοῦ τείχους τινὲς ἐλοιδοροῦντο λέγοντες, ὦ κεραμεῦ, τὸν μισθὸν πόθεν ἀποδώσεις τοῖς στρατιώταις, πρός καὶ μειδιῶν εἶπεν, αἴκα ταύταν ἕλω. Λαβὼν δὲ κατὰ κράτος ἐπίπρασκε τοὺς αἰχμαλώτους, λέγων· ἐάν με πάλιν λοιδορῆτε, πρὸς τοὺς κυρίους ὑμῶν ἔσται μοι ὁ λόγος.

Ὁ αὐτὸς ἐγκαλούντων τοῖς ναύταις αὐτοῦ τῶν Ἰθα-

non exstat, quamvis in nominum catalogo enumeretur.

2) Stob. T. 105. 60.

κηρίων, ὅτι τῇ νήσῳ προσβαλόντες τῶν θρεμμάτων τινὰ ἀπέσπασαν, ὁ δὲ ἡμέτερος, ἔφη, βασιλεὺς ἐλθὼν πρὸς ἡμᾶς, οὐ μόνον τὰ βρύβατα λαβὼν, ἀλλὰ καὶ τὸν ποιμένα προσεκτυφλώσας ἀπῆλθεν.

* Ἀγασικλέους.

Ἀγασικλῆς ὁ Λακεδαιμονίων βασιλεὺς πρὸς τὸν εἰπόντα, πῶς ἄν τις ἀδορυφόρητος ὢν ἄρχειν ἀσφαλῶς δύναιτο, ἐὰν οὕτως, ἔφη, αὐτῶν ἄρχῃ, ὥσπερ οἱ πατέρες τῶν υἱῶν.

Ὁ αὐτὸς, θαυμάζοντός τινος, ὅτι φιλήκοος ὢν οὐ προσδέχεται Φιλοφάνην τὸν σοφιστὴν, ἔφη· τούτων χρήζω μαθητὴς εἶναι, ὧν εἰμι υἱός.

* Ἀγαμέμνονος.

Ἀγαμέμνων φυλαττόμενος τὸ δόξαι θατέρῳ τῶν ἡρώων χαρίσασθαι, αἰχμαλώτους τῶν Τρώων συναγαγὼν ἤρετο αὐτοὺς, ὁπότερος τῶν δύο τοίτων ἡρώων, Αἴαντος λέγω καὶ Ὀδυσσέως, πρὸς κακοῦ μᾶλλον ἐγένετο; Τῶν δὲ εἰπόντων, ὡς Ὀδυσσεὺς, ἔκρινε λοιπὸν ἄριστον εἶναι τὸν πλεῖστα μάλιστα λυπήσαντα τοὺς ἐχθροὺς, ὅθεν Ὅμηρος·

Παῖδες δὲ Τρώων δίκασαν καὶ Παλλὰς Ἀθήνη.

* Ἀγησιλάου.

Ἀγησίλαος ὁ μέγας, ἐπαινοῦντός τινος ῥήτορα ἐπὶ τῷ δυνατῶς αἴξειν τὰ μικρὰ πράγματα, οὐδὲ σκυτοτόμον, ἔφησεν, ἡγοῦμαι σπουδαῖον, ὃς σμικρῷ ποδὶ ὑποδήματα μεγάλα περιτίθησιν.

Ὁ αὐτὸς, ὁπότε ψεγόντων τινῶν ἢ ἐπαινούντων ἀκούοι, οὐχ ἧττον ᾤετο δεῖν καταμανθάνειν τοὺς τῶν λεγόντων τρόπους, ἢ περὶ ὧν λέγοιεν.

Ὁ αὐτὸς ἔλεγεν· οὐχ οἱ τόποι τοὺς ἄνδρας ἐντίμους, ἀλλ' οἱ ἄνδρες τοὺς τόπους ἐπιδεικνύουσιν.

Ὁ αὐτὸς ἰδὼν μῦν ἑλκόμενον ἐκ θυρίδος ὑπὸ παιδαρίου κρατοῦντος, ἐπεὶ ὁ μῦς ἐπιστραφεὶς ἔδακε τὴν χεῖρα τοῦ κρατοῦντος καὶ ἔφυγεν, ἐπιδείξας τοῖς παρού-

σιν εἶπεν· ὅταν τὸ ἐλάχιστον ζῶον οὕτως ἀμύνηται τοὺς ἀδικοῦντας, τί τοὺς ἄνδρας προσήκει ποιεῖν λογίζεσθαι;

Ὁ αὐτὸς ἐρωτηθεὶς, ἄχρι τίνος εἰσὶν οἱ τῆς Λακωνικῆς ὅροι, τὸ δόρυ κραδάνας, εἶπεν· ἄχρις οὗ τοῦτο φθάνοι.

Ὁ αὐτός τινος ἐπιζητοῦντος, διατί ἀτείχιστος ἡ Σπάρτη, ἐπιδείξας τοὺς πολίτας ἐξωπλισμένους, ταῦτά ἐστιν, εἶπε, τὰ Λακεδαιμονίων τείχη. Ἄλλου δὲ τὸ αὐτὸ ἐπιζητοῦντος, οὐ λίθοις δεῖ καὶ ξύλοις τετειχίσθαι τὰς πόλεις, ἔφη, ταῖς δὲ τῶν ἐνοικούντων ἀρεταῖς.

Ὁ αὐτὸς τοῖς αὐτοῦ φίλοις παρήγγειλε, μὴ χρήμασιν, ἀνδρίᾳ δὲ καὶ ἀρετῇ σπουδάζειν πλουτεῖν.

Ὁ αὐτὸς ἐρωτώμενος, πῶς μεγάλην δόξαν περιεποιήσατο, θανάτου καταφρονήσας, ἔφη.

Ὁ αὐτὸς μακαρίζοντός τινος τὸν Περσῶν βασιλέα, νέον κομιδῇ ὄντα, εἶπεν, ἀλλ᾽ οὐδὲ Πρίαμος ταύτην ἔχων τὴν ἡλικίαν ἠτύχησεν.

Ὁ αὐτὸς ἐρωτώμενος, διατί μάλιστα παρὰ τοὺς ἄλλους εὐδαιμονοῦσιν οἱ Σπαρτιᾶται, διότι, εἶπε, παρὰ τοὺς ἄλλους ἀσκοῦσιν ἄρχειν τε καὶ ἄρχεσθαι.

Ὁ αὐτὸς ἐρωτηθεὶς, πῶς ἄν τις μάλιστα παρ᾽ ἀνθρώποις εὐδοκιμοίη, εἰ λέγοι, εἶπε, τὰ ἄριστα, πράττοι δὲ τὰ κάλλιστα.

Ὁ αὐτὸς τὸν στρατηγὸν δεῖν ἔφασκε πρὸς μὲν τοὺς ἐναντίους τόλμαν, πρὸς δὲ τοὺς ὑποτεταγμένους εὔνοιαν ἔχειν.

Ὁ αὐτὸς, ἐπιζητοῦντός τινος, τίνα δεῖ μανθάνειν τοὺς παῖδας, ταῦτα εἶπεν, οἷς καὶ ἄνδρες γενόμενοι χρήσονται

Ὁ αὐτὸς ἔλεγε, τοὺς τὴν Ἀσίαν κατοικοῦντας, ἐλευθέρους μὲν κακοὺς εἶναι, δούλους δὲ ἀγαθούς.

Ὁ αὐτὸς [3] περὶ ἀνδρείας καὶ δικαιοσύνης ἐρωτηθεὶς,

5) Plut. c. 25.

ποτέρα βελτίων, οὐδὲν ἀνδρείας ἔφη χρήζομεν, ἐὰν πάντες ὦμεν δίκαιοι.

Ὁ αὐτὸς [4], Λακεδαιμονίων νικησάντων Ἀθηναίους καὶ τοὺς συμμάχους ἐν Κορίνθῳ, πυθόμενος τὸ πλῆθος τῶν πολεμίων νεκρῶν, φεῦ τῆς Ἑλλάδος, εἶπεν, ἃ τοσούτους ὑφ' ἑαυτᾶς ἀπολώλεκεν, ὅσους ἀρκεῖ τοὺς βαρβάρους νικῆν ἅπαντας.

Ἀποθνήσκων [5] δὲ τοὺς φίλους ἐκέλευσε μηδεμίαν πλάθαν μηδὲ μιμηλὰν ποιήσασθαι, τὰς εἰκόνας οὕτω προσαγορεύων· εἰ γάρ τι καλὸν ἔργον πεποίηκα, τοῦτό μου μνημεῖόν ἐστιν, εἰ δὲ μηδὲν, οὐ δ' εἰ πάντες ἀνδριάντες.

Ξενοφῶν δὲ περὶ αὐτοῦ ἔλεγε· ποίας γὰρ νεότητος οὐ κρεῖττον τὸ ἐκείνου γῆρας;

* Ἄγιδος.

Ἄγις ὁ βασιλεὺς οὐκ ἔφη τοὺς Λακεδαιμονίους ἐρωτᾶν, πόσοι εἰσὶν, ἀλλὰ ποῦ εἰσιν οἱ πολέμιοι.

Ὁ αὐτὸς ἐν Μαντινείᾳ κινδυνόμενος διαμάχεσθαι τοῖς πολεμίοις πλείοσιν οὖσιν, εἶπεν· ἀνάγκη πολλοῖς μάχεσθαι τὸν ἄρχειν πολλῶν βουλόμενον.

Ὁ αὐτὸς πρὸς ἄνθρωπον πονηρὸν ἐρωτῶντα πολλάκις, τίς ἄριστος εἴη Σπαρτιατῶν, εἶπεν, ὁ τύνη ἀνομοιότατος.

Ὁ αὐτὸς πρὸς τὸν πυνθανόμενον, πόσοι εἰσὶν οἱ Λακεδαιμόνιοι, πολλοὶ σοι, ἔφη, δόξουσιν εἶναι, ἐὰν αὐτοὺς ἴδῃς μαχομένους.

Πρεσβευτὴς ἐκ Περίνθου παραγενόμενος εἰς Λακεδαίμονα ἐμακρηγόρει· ὡς δ' ἐπαύσατο λέγων, καὶ ἠρώτα τὸν Ἄγιν, τί δεῖ τοῖς Περινθίοις ἀπαγγεῖλαι, τί δ' ἄλλο, ἔφη, ἢ ὅτι σὺ μὲν μόλις ἐπαύσω λέγειν, ἐγὼ δ' ἐσιώπων.

4) Plut. c. 16. 5) Plut. c. 2.

* Ἀλκιβιάδου.

Ἀλκιβιάδης [6] προσελθὼν διδασκαλείῳ ῥαψῳδίαν Ἰλιάδος ᾔτει· τοῦ δὲ διδασκάλου μηδὲν ἔχειν Ὁμήρου φήσαντος, ἐντρίψας αὐτῷ κόνδυλον παρῆλθεν..

Ὁ αὐτὸς ἔτι [7] παῖς ὢν ἐλήφθη λαβὴν ἐν παλαίστρᾳ, καὶ μὴ δυνάμενος διαφυγεῖν, ἔδακε τὴν χεῖρα τοῦ καταπαλαίοντος· εἰπόντος δὲ ἐκείνου, δάκνεις ὡς αἱ γυναῖκες, οὐμενοῦν, εἶπεν, ἀλλ᾽ ὡς οἱ λέοντες.

Ὁ αὐτὸς ἔχων [8] κύνα πάγκαλον ἐωνημένον ἑπτακισχιλίων δραχμῶν, ἀπέκοψεν αὐτοῦ τὴν οὐράν· ἐρωτήσαντος δέ τινος αὐτὸν, τίνος χάριν τοῦτο πεποίηκεν, ὅπως, ἔφη, τοῦτο λέγωσιν Ἀθηναῖοι περὶ ἐμοῦ, καὶ μηδὲν ἄλλο πολυπραγμονῶσιν.

Ὁ αὐτὸς [9], καλούμενος ἐπὶ κρίσιν θανατικὴν ὑπὸ Ἀθηναίων ἀπὸ Σικελίας, ἔκρυψεν ἑαυτὸν, εἰπών, εὐήθη εἶναι τὸν δίκην ἔχοντα ζητεῖν ἀποφυγεῖν, ἐξὸν φυγεῖν· εἰπόντος δέ τινος, οὐ πιστεύεις τῇ πατρίδι τὴν περὶ σεαυτοῦ κρίσιν; ἐγὰ μὲν, ἔφη, οὐδὲ τῇ μητρὶ, μή πως ἀγνοήσασα τὴν μέλαιναν βάλῃ ψῆφον ἀντὶ τῆς λευκῆς. Ἀκούσας δὲ, ὅτι θάνατος αὐτοῦ καὶ τῶν σὺν αὐτῷ κατέγνωσται, δείξωμεν οὖν, εἶπεν, ὅτι ζῶμεν, καὶ πρὸς Λακεδαιμονίους τρεψάμενος τὸν Δεκελικὸν ἤγειρεν ἐπὶ τοὺς Ἀθηναίους πόλεμον.

Ἀντιφάνους.

Ἀντιφάνης [10] εἶπεν, ὁ μηδὲν ἀδικῶν οὐδενὸς δεῖται νόμου.

Ὁ αὐτὸς εἶπεν [2].

Ἐν γῇ πένεσθαι κρεῖττον, ἢ πλουτοῦντα πλεῖν.

6) Plut. Alc. c. 7.
7) Plut. Alc. c. 2.
8) ib. c. 9.
9) ib. c. 22.
10) Stob. T. 9. 16.
11) Stob. T. 59. 15.

* Ὁ αὐτὸς εἶπεν [12].

Ὀφθαλμιῶν ἄνθρωπος ἰσχυρῶς, κακὰ
Πάμπολλα πάσχων, ἓν ἀγαθὸν πάσχει μόνον,
Ὅτ᾽ οὐχ ὁρᾷ γυναῖκα τοῦτον τὸν χρόνον.

* Ὁ αὐτὸς εἶπεν [13].

Ἆρ᾽ ἔστι λῆρος πάντα πρὸς τὸ χρυσίον,
Μόνον γὰρ ἀεὶ διαμένειν εἴωθ᾽ ἀεί.
Τὸ χρῶμα δ᾽ αὐτό· τῶν φίλων δὲ τοὺς τρόπους
Οὐδέποθ᾽ ὁμοίως ζωγραφοῦσιν αἱ τύχαι·
Πλοῦτος δὲ βάσανός ἐστιν ἀνθρώπου τρόπων.
Ὅταν εὐπορῶν γὰρ αἰσχρὰ πράττῃ πράγματα,
Τί τούτων ἀπορήσαντ᾽ ἂν οὐκ οἴει ποιεῖν;

* Ὁ αὐτὸς εἶπεν [14].

Οὐ πώποτ᾽ ἐξήλωσα πλουτοῦντα σφόδρα
Ἄνθρωπον, ἀπολαύοντα μηδὲν ὧν ἔχει.

* Ὁ αὐτὸς εἶπεν.

Ὁ πλοῦτος ἡμᾶς, καθάπερ ἰατρὸς κακὸς,
Τυφλοὺς βλέποντας παραλαβὼν πάντας ποιεῖ.

* Ὁ αὐτὸς εἶπε [15].

Τρόπος δίκαιος κτῆμα τιμιώτατον.

* Ὁ αὐτὸς εἶπε [16].

Πρὸς γὰρ τὸ γῆρας ὥσπερ ἐργαστήριον
Ἅπαντα τ᾽ ἀνθρώπεια προσφοιτᾷ κακά.

12) Stob. T. 73. 52.
13) ib. 91. 14.
14) ib. 16. 7.
15) ib. T. 37. 13.
16) ib. T. 116. 14. Arsen. γὰρ om.

Ὁ αὐτὸς εἶπε [17].

Τὸ γῆρας ὥσπερ βωμός ἐστι τῶν κακῶν.
Πάντ᾽ ἔστ᾽ ἰδεῖν γὰρ εἰς τοῦτο καταπεφευγότα.

Ὁ αὐτὸς ἔφη [18].

Ὡς ἔστι τὸ γαμεῖν ἔσχατον τοῦ δυστυχεῖν.

* Ἀντιφῶντος.

Ἀντιφῶν εἶπε· τέχνῃ κρατοῦμεν, ὧν φύσει νικώμεθα.

Ὁ αὐτὸς εἶπεν.

Εἰ δέοι τι ἁμαρτεῖν, τὸ ἀδίκως ἀπολῦσαι ὁσιώτερον ἢ τὸ ἀδίκως ἀπολέσαι· τὸ μὲν γὰρ ἁμάρτημά ἐστι, τὸ δὲ ἀδίκως ἀποκτεῖναι ἀσέβημα.

* Ἀρτωρίος.

Ἀρτωρίός τις ἐν τῷ περὶ μακροβιωτίας ἐφ᾽ ὅσον βρέξαι τὰ σιτία μόνον οἴεται δεῖν προσάγειν ποτὸν, ἵνα μακροτέραν κτησώμεθα τὴν ζωήν.

* Ἀρχιδάμου [19].

Ἀρχίδαμος, ὁ Ἀγησιλάου, ἰδὼν βέλος τότε πρῶτον ἐκ Σικελίας κομισθὲν, ἀνεβόησεν, ὦ Ἡράκλεις, ἀπόλωλεν ἀνδρὸς ἀρετά.

Ἀνὴρ [20] εἰς Λακεδαίμονα ἀφίκετο Χῖος, γέρων ἤδη ὤν, τὰ μὲν ἄλλα ἀλαζών, ἡδεῖτο δὲ ἐπὶ τῷ γήρᾳ, καὶ τὴν τρίχα πολιὰν οὖσαν, ἐπειρᾶτο βαφῇ ἀφανίζειν· παρελθὼν οὖν εἶπεν ἐκεῖνα, ὑπὲρ ὧν καὶ ἀφίκετο· ἀνασιὰς οὖν ὁ Ἀρχίδαμος, τί ἂν, ἔφη, οὗτος ὑγιὲς εἴποι, ὃς οὐ

17) Stob. T. 116. 15.
18) ib. T. 68. 27.
19) ib. T. 50. 12.
20) ib. T. 12. 20.

μόνον ἐπὶ τῇ ψυχῇ τὸ ψεῦδος, ἀλλὰ καὶ ἐπὶ τῇ κεφαλῇ περιφέρει;

ΙΣΤΟΡΙΑΙ.

Ἱστορία Ἀλκμήνης καὶ Ἠλεκτρυόνος.

Ἀλκμήνης τῆς Ἠλεκτρυόνος καὶ Ἀμαξοῦς τῆς Ἀναγκαίου ἠράσθη Ἀμφιτρύων, ὃς ἀνελὼν Ἠλεκτρυόνα βοῶν ἀμφισβητήσεως χάριν, ἐξ Ἄργους ἔφυγεν εἰς Θήβας, σὺν αὐτῷ δὲ καὶ Ἀλκμήνη· ὑποδεχθέντων δὲ ἀσμένως ὑπὸ τῶν βασιλευόντων τῆς πόλεως Κρέοντος καὶ Ἡνιόχου, τιμῆς ἐτύγχανον μεγίστης· οὐ βουλομένης δὲ Ἀλκμήνης γαμηθῆναι, εἰ μὴ οἱ φονεῖς τῶν ἀδελφῶν αὐτῆς ἀναιρεθῶσι· διὸ κατηγωνίσατο αὐτοὺς Ἀμφιτρύων, προσλαβόμενος συμμάχους Βοιωτοὺς καὶ Λοκροὺς, ἔτι δὲ καὶ Φωκεῖς, ἐνιαυτὸν προσεδρεύσας· ὡς δὲ ἐπιστρέψας ἀπὸ τῆς στρατείας ἦγε τοὺς γάμους ἑαυτοῦ τε καὶ τῆς Ἀλκμήνης, τῇ αὐτῇ νυκτὶ ἐρασθεὶς αὐτῆς ὁ Ζεὺς καὶ εἰκασθεὶς Ἀμφιτρύωνι ἐμίγη καὶ υἱὸν ἐποίησεν· ὁμοίως δὲ καὶ Ἀμφιτρύων τῇ αὐτῇ νυκτί. Ἤδη δὲ ἐκείνης δεκαμηνιαῖον χρόνον τῆς μίξεως ἐχούσης γεννᾶται Ἡρακλῆς μὲν ἐκ Διὸς, Ἰφικλῆς δὲ ἐξ Ἀμφιτρύωνος. Φασὶ δὲ Δία, συγκοιμώμενον Ἀλκμήνῃ, πεῖσαι τὸν ἥλιον μὴ ἀνατεῖλαι ἐπὶ τρεῖς ἡμέρας, ὅθεν καὶ ἐπὶ τρεῖς αὐτῇ ὁ Ζεὺς τὸν τριέσπερον Ἡρακλέα ἐποίησεν.

Ἱστορία περὶ Ἀχιλλέως,
ὅτε περιέβαλλον αὐτὸν τὰ γυναικεῖα ἱμάτια.

Ἀλεξάνδρου τοῦ Ἑκάβης τε καὶ Πριάμου Ἑλένην ἁρπάσαντος, Ἀγαμέμνων καὶ Μενέλαος τοὺς Ἕλληνας κατὰ τῶν Τρώων ἐστρατολόγησαν. Πηλεὺς δὲ προγινώσκων, ὅτι μοιρίδιον ἦν ἐν Τροίᾳ θανεῖν τὸν Ἀχιλλέα, παραγενόμενος εἰς Σκύρον πρὸς Λυκομήδην τὸν βασιλέα,

παρέθετο τὸν Ἀχιλλέα, γυναικείαν ἐσθῆτα ἀμφιέσας, ὡς κόρην μετὰ τῶν θυγατέρων ἀναστρέφεσθαι· χρησμοῦ δὲ δοθέντος, μὴ ἁλώσεσθαι τὴν Τροίαν χωρὶς Ἀχιλλέως, πεμφθέντες ὑφ' Ἑλλήνων Ὀδυσσεύς τε καὶ Φοίνιξ καὶ Νέστωρ, Πηλέως ἀρνουμένου παρ' αὐτῷ παῖδα μὴ τυγχάνειν, πορευθέντες εἰς Σκύρον, καὶ ὑπονοήσαντες μετὰ τῶν παρθένων τὸν Ἀχιλλέα τρέφεσθαι, ταῖς Ὀδυσσέως ὑποθήκαις ὅπλα καὶ ταλάρους ἔρριψαν σὺν ἱστουργικοῖς ἐργαλείοις ἔμπροσθεν τοῦ παρθενῶνος. Αἱ μὲν οὖν κόραι ἐπὶ τοὺς ταλάρους ὥρμησαν καὶ τὰ λοιπὰ, Ἀχιλλεὺς δὲ ἀνελόμενος τὰ ὅπλα κατάφωρος ἐγένετο καὶ συνεστρατεύσατο. Πρότερον δὲ ταῖς παρθένοις συνδιατρίβων ἔφθειρε Δηϊδάμειαν τὴν Λυκομήδους, ἥ τις ἐξ αὐτοῦ ἐγέννησε Πύρρον, τὸν ὕστερον Νεοπτόλεμον κληθέντα, ὅστις τοῖς Ἕλλησι νέος ὢν συνεστρατεύσατο μετὰ θάνατον τοῦ πατρός.

Ἱστορία περὶ Ἄκτορος.

Ἄκτωρ γένει μὲν ἦν Λοκρὸς, γήμας δὲ Αἴγιναν τὴν Ἀσώπου τοῦ ποταμοῦ, Θηβῶν θυγατέρα, μετὰ τὴν Διὸς μίξιν κατὰ μῆνα ἐγέννησε Μενοίτιον, ὃς ἀνελθὼν ἐπὶ τὴν πατρώαν γῆν Ὀποῦντα, Πάτροκλον ἐτέκνωσεν, ὃν εἰκότως Ὅμηρος Μυρμηδόνα εἶπε, διὰ τὸ γεννηθῆναι τὸν πατέρα αὐτοῦ ἐν Αἰγίνῃ.

Ἱστορία Ἀρηϊθόου τοῦ Βοιωτίου.

Ἀρηΐθοος ὁ Βοιώτιος, ἄριστος τῶν κατ' αὐτὸν ἀνθρώπων, διαβὰς εἰς τὴν Ἀρκαδίαν· (ἦν γὰρ ἀψιμαχία τις δεῦρο τοῖς Βοιωτίοις πολίταις καὶ τοῖς Ἀρκάσι περὶ γῆς ὅρων), πλείστην ἐντεῦθεν κατεσύρετο λείαν· καταφρόνησιν δὲ αὐτοῦ μεγάλην ἐμβαλόντων Ἀρκάδων, Λυκοῦργος ὁ τῶν ἐνταῦθα κράτιστος ἀνὴρ λόχον ποιήσας ἔπεισε τοῦ Ἀρηϊθόου τὴν πολλὴν φάλαγγα, ἀνεῖλέ τε αὐτὸν, καὶ

ὑπολαβὼν αὐτὸς τὴν λείαν, εἴ τι καὶ πρὸς ἄμιναν παντευχίαν μετὰ τῆς κορύνης. Ἡ ἱστορία παρὰ Φερεκύδῃ.

Περὶ Ἁρμονίδου καὶ Φερέκλου.

Ἁρμονίδης τέκτων ἦν, λεγόμενος τοῦτο τὸ ὄνομα ἐκ τοῦ ἐφαρμόζειν ἐντέχνως τὰ ξύλα τοῖς τεχναστοῖς πράγμασιν, οὗ τινος υἱὸς ὑπῆρχεν ὁ Φέρεκλος, πρῶτος τέκτων καὶ εὑρετὴς γεγονὼς τῆς νηὸς, ἐν ᾗ καὶ τὸν Ἀλέξανδρον παρεσκεύασαν εἰσελθεῖν καὶ παραγενέσθαι εἰς Λακεδαίμονα, καὶ ἁρπάσαι τὴν Ἑλένην, τῆς Ἀφροδίτης τῷ Φερέκλῳ συμβουλευσάσης πρὸς τοῦτο, καὶ αὐτὸν τὸν Ἀλέξανδρον, διὰ τὸ προτιμηθῆναι τῷ Ἀλεξάνδρῳ τῶν ἄλλων θεαινῶν τὴν Ἀφροδίτην τῇ τοῦ μήλου κρίσει καὶ χάριτι· ὡς τὴν ὥραν τοῦ κάλλους ὑπεξαιρεθεῖσαν ὑπ᾽ Ἀλεξάνδρου, καὶ προκριθεῖσαν τῶν ἄλλων ὡς εἴρηται· προσφυῶς δὲ συμβέβηκεν υἱὸν τοῦ Ἁρμονίδου τὸν Φέρεκλον ὀνομάζεσθαι, ἐκ τέκτονος τοιούτου γεγενημένον αὐτόν.

Περὶ ἄρκτων.

Ἄρκτοι δύο δείκνυνται ἐν τῷ βορείῳ κλίματι· αὕτη τε ἡ μεγάλη ἡ καλουμένη ἅμαξα διὰ τὸ εἰς ἁμάξης τρόπον κατηστερίσθαι, καὶ ἐγγὺς ἐκείνης ἡ μικρὰ ἡ κυνόσουρα καλουμένη, διὰ τὸ ὡς κυνὸς ἔχειν ἀνακεκλασμένην τὴν οὐρὰν, ἧς Ὅμηρος οὐ μέμνηται, ὡς εὑρεθείσης ὕστερον παρὰ Θαλοῦ τοῦ Μιλησίου [21], ἑνὸς τῶν ἑπτὰ σοφῶν. Ζεὺς Καλλιστοῦς ἐρασθεὶς τῆς Λυκάονος ἐμίσγετο αὐτῇ λανθάνων Ἥραν· ἐπιγνοῦσα δὲ ἡ θεὸς, μετέβαλεν αὐτὴν εἰς ἄρκτον, καὶ ὡς θηρίον Ἀρτέμιδι προσέταξε τοξεῦσαι. Ζεὺς δὲ εἰς οὐρανὸν αὐτὴν ἀγαγὼν πρώτην κατηστέρισεν.

Ἀρκευθός ἐστι φυτὸν ἀκανθῶδες, οὗ τὴν ὀδμὴν πάντα τὰ ἑρπετὰ ἀποστρέφονται, παρὰ τὸ [22] τὴν ἀρὰν, ὅ ἐστι τὴν βλάβην, κεύθειν.

21) Cod. *Μηλισίου.* 22) *Τὸ* Cod. om.

Περὶ Ἀγχίσου καὶ Ἀφροδίτης.

Ἀφροδίτη χρησμοῦ ἐμπεσόντος, ὅτι τῆς Πριαμιδῶν ἀρχῆς καταλυθείσης οἱ ἀπὸ Ἀγχίσου Τρώων βασιλεύσουσιν, Ἀγχίσῃ καὶ παρηκμακότι συνῆλθε· τεκοῦσα δ' Αἰνείαν καὶ βουλομένη πρόφασιν κατασκευάσαι τῆς τῶν Πριαμιδῶν καταλύσεως, Ἀλεξάνδρῳ πόθον Ἑλένης ἐνέβαλε, καὶ μετὰ τὴν ἁρπαγὴν, τὸ μὲν δοκεῖν συνεμάχει τοῖς Τρωσὶ, ταῖς δὲ ἀληθείαις παρηγόρει τὴν ἧτταν αὐτῶν, ἵνα μὴ παντελῶς ἀπελπίσαντες ἀποδώσουσι τὴν Ἑλένην.

Ἱστορία,

πόθεν οἱ Ἕλληνες ἐκλήθησαν Ἀχαιοί.

Ἀχαιοὶ ἐκλήθησαν οἱ Ἕλληνες οὕτω. Ξοῦθός τις παῖς Αἰόλου λαβὼν γυναῖκα Κρέουσαν, τὴν Ἐρεχθέως θυγατέρα, ἔσχεν ἐξ αὐτῆς παῖδας δύο, Ἴωνα καὶ Ἀχαιὸν, ὧν ὁ μὲν Ἴων Ἀθήνας ᾤκησεν, ὁ δὲ Ἀχαιὸς φόνον ἐμφύλιον δράσας παρεγένετο εἰς Θεσσαλίαν, καὶ κυριεύσας τῆς χώρας τοὺς ὑποτεταγμένους ἀφ' ἑαυτοῦ ἐκάλεσεν Ἀχαιούς. Ἕλληνες δὲ κοινῶς πάντες οἱ τῆς Ἑλλάδος ἐκλήθησαν ἀπὸ Ἕλληνος.

Ἱστορία περὶ Πηδάσου.

Ἀχιλλεὺς ὑπὸ τὸν Τρωϊκὸν πόλεμον πορθῶν τὰς περιοίκους τῆς Ἰλίου πόλεις ἀφίκετο εἰς τὴν πάλαι Μονῃΐαν, νῦν δὲ Πήδασον καλουμένην, καὶ ταύτην σὺν ταῖς ἄλλαις ἑλεῖν· ἀπορροῦντος δὲ αὐτοῦ τὴν εἰς τὸ τέλος πολιορκίαν, διὰ τὰ ἰσχυρότατα τοῦ τόπου, καὶ μέλλοντος ἀναχωρεῖν, φασὶν ἔσω τῶν τειχῶν οὖσάν τινα παρθένον, ἐρασθῆναι τοῦ Ἀχιλλέως, καὶ λαβοῦσαν μῆλον εἰς τοῦτο γράψαι, καὶ ῥίψαι εἰς μέσον τῶν Ἀχαιῶν. Ἦν δὲ ἐν αὐτῷ γεγραμμένον·

Μὴ σπεῦδ', Ἀχιλλεῦ, πρὶν Μονήϊαν ἕλῃς,
Ὕδωρ γὰρ οὐκ ἔνεστι διψῶσι.

Καὶ τὸν Ἀχιλλέα ἐπιμείναντα οὕτω λαβεῖν τὴν πόλιν τῇ τοῦ ὕδατος σπάνει.

Αἰθίοπες [23] *τὰς ἀδελφὰς μάλιστα τιμῶσι, καὶ τὰς διαδοχὰς μάλιστα καταλείπουσιν οἱ βασιλεῖς οὐ τοῖς ἑαυτῶν, ἀλλὰ τοῖς τῶν ἀδελφῶν υἱοῖς· ὅταν δ' ὁ διαδεξάμενος μὴ ᾖ, τὸν κάλλιστον ἐκ πάντων καὶ μαχιμώτατον αἱροῦνται βασιλέα, ἀσκοῦσι δὲ εὐσέβειαν καὶ δικαιοσύνην, ἄθυροι δ' αὐτῶν αἱ οἰκίαι, καὶ ἐν ταῖς ὁδοῖς κειμένων πολλῶν οὐδὲ εἷς κλέπτει.*

Ἀρχὴ τοῦ β στοιχείου.

Τὸ β μετὰ τοῦ α.

Βαθεῖαν αὔλακα [1]· *ἐπὶ τῶν βαθείας φρένας καὶ κεκρυμμένας ἐχόντων.*

Βάκηλος εἶ [2]· *ἀντὶ τοῦ γυναικώδης καὶ ἄνανδρος· ὁ γὰρ Βάκηλος, μέγας μὲν ἦν, ἀνόητος δὲ καὶ γυναικώδης.*

23) Idem Mosc. inter sententias *περὶ νόμων καὶ ἐθῶν* continet.

1) Apost. Cent. V. 31. Aesch. Theb. 592. de Amphiarao:

Οὐ γὰρ δοκεῖν δίκαιος, ἀλλ' εἶναι θέλει,
Βαθεῖαν ἄλοκα διὰ φρενὸς καρπούμενος.

Plut. Aristid. c. 3. *ὅθεν, ὡς ἔοικε, τῶν εἰς Ἀμφιάραον ὑπ' Αἰσχύλου πεποιημένων ἰαμβείων ἐν τῷ θεάτρῳ λεγομένων· οὐ γὰρ δοκεῖν κ. τ. λ., πάντες ἀνέβλεψαν εἰς Ἀριστείδην, ὡς ἐκείνῳ μάλιστα τῆς ἀρετῆς ταύτης προσηκούσης.* — Codd. *κεκρυμμένους.*

2) Apost. Cent. V. 34. Teles Stobaei T. 40. 8. *ἀλλ' εἴ τι δυσχερὲς αὐτοῖς εἴη, ἢ ὀδυνῷντο ἐπὶ τούτῳ, οὐκ ἂν ἦσαν βάκηλοι* (ex emendat. Jacobsii Lectt. Stob. p. 74.).

Βάκχης τρόπον [3]· *ἐπὶ τῶν ἀεὶ στυγνῶν καὶ σιωπηλῶν, παρόσον αἱ Βάκχαι σιγῶσιν.*

Βαλανεῦσιν ἔοικας [4]· *ἐπὶ τοῦ πολυπράγμονος καὶ περιέργου, παρόσον σχολὴν ἄγοντες πολυπραγμονοῦσιν οἱ βαλανεῖς.*

Βαλανείοις [5] *διὰ τέτταρας αἰτίας χρώμεθα, διὰ καθαριότητα, ἀλέας χάριν, ὑγιείας, ἡδονῆς· οἱ παλαιοὶ δὲ ταῦτα ἀνθρωπογναφεῖα ἐκάλουν· ἐπεὶ θᾶττον ἢ προσῆκε ῥακοῖ τὰ σώματα καὶ προγηράσκειν ἀναγκάζει. Ἐκλήθη δὲ βαλανεῖον, ὅτι οἱ παλαιοὶ τὰς βαλάνους ἐσθίοντες, τὰ κελύφη ἔκαιον ἐν τοῖς λουτροῖς.*

Βάλλ᾽ [6] *εἰς ἔχοντα τὴν ἐπιστήμην· ἐπὶ τῶν λοιδορούντων τοὺς ὁμοτέχνους.*

Βάλλ᾽ [7] *εἰς μακαρίαν· οἷον εἰς Ἅιδου· ἐπὶ τῶν διδόντων δι᾽ ἀρετὴν ἑαυτοὺς εἰς θάνατον. Μακαρία γὰρ, ἡ Ἡρακλέους, ὁπηνίκα ἐπεστράτευσεν ὁ Εὐρυσθεὺς ταῖς Ἀθήναις, ἑαυτὴν ἀπέδωκε σφάγιον, ὑπὲρ τῆς τῶν λοιπῶν σωτηρίας.*

Βάμμα Κυζικηνόν [8]· *τὴν ἀκάθαρτον ἀσχημοσύνην οἱ Ἀττικοὶ λέγουσιν.*

Βάμμα Σαρδιανικόν [9]· *ἀντὶ τοῦ μή σε ἐρυθρὸν*

5) Apost. Cent. V. 54. Vide Lobek Aglaoph. I. p. 67. not.

4) Apost. Cent. V. 32.

5) Clem. Paedagog. III. 9. *βαλανείου τοίνυν τέσσαρές εἰσιν αἰτίαι, καθ᾽ ἃς ἐπ᾽ αὐτὸ παραγινόμεθα, ἢ γὰρ καθαρότητος ἕνεκα κ. τ. λ.* Post *ἡδονῆς* Arsen. plura omisit. Ultima vero: *ἐκλήθη δὲ βαλανεῖον* etc., apud Clementem non inveni. — Pro *βαλανείοις* initio Mosc. habet *βαλανείων*, genitivo, ut videtur, ex ea, quam Clemens habet, constructione relicto. Laur. non habet.

6) Apost. Cent. V. 33. Consentit Macar.

7) Apost. Cent. V. 36. Laur. *ἐς μακαρίαν*. Aristoph. Equ. 1151. *ἅπαγ᾽ ἐς μακαρίαν ἐκποδών*, ubi Casaub. Cfr. Ruhnk. ad Tim. Lex. p. 59. Bergl. ad Alciphr. I. 9. III. 32.

8) Apost. V. 37. Aristoph. Pac. 1172.

ταξίαρχον προσβλέπων
Τρεῖς λύφους ἔχοντα καὶ φοινικίδ᾽ ὀξεῖαν πάνυ.
Ἦν ἐκεῖνός φησιν εἶναι βάμμα Σαρδιανικόν.
Ἦν δέῃ δέ που μάχεσθαι ἔχοντα τὴν φοινικίδα,
Τηνικαῦτ᾽ αὐτὸς βέβαπται βάμμα Κυζικηνικόν.

9) Apost. Cent. V. 38. *β.*

ποιήσω· νῆσος γάρ ἐστι μεγίστη ἡ Σαρδὼ πρὸς τῇ Ἰταλίᾳ, ἐν ᾗ γίνονται πορφύραι διάφοροι καὶ ὀξίταται· βούλεται οὖν δηλοῖν, ἵνα μή σε πληγὰς ἐντρίψω.

Βαταχάρας [10]· ἐπὶ τῶν παχέων καὶ ἀδυνάτων· κατὰ συστολὴν δὲ ἀναγνωστέον.

Βάττου σίλφιον [11]· ἐπὶ τῶν σπανίους τιμὰς λαμβανόντων· οἱ γὰρ Κυρηναῖοι ἐνὶ τῶν Βάττων ἐξαίρετον ἔδωκαν τὸ σίλφιον, καὶ τοῦ νομίσματος ἐπὶ μὲν θατέρου Ἄμμωνα, ἐπὶ δὲ θατέρου σίλφιον ἐτύπωσαν· οἱ δὲ ἐπὶ Λιβύης Ἀμπελιῶται εἰς Δελφοὺς ἀνέθεσαν καυλὸν σιλφίου.

Βάλλ᾽ εἰς ὄλεθρον [12], *βάλλ᾽ εἰς φθόρον.*

Βάτραχος Σερίφιος [13]· ἐπὶ τῶν ἀφώνων· οἱ γὰρ ἐν τῇ Σερίφῳ βάτραχοι οὐ βοῶσιν· αἴτιον δὲ ἡ τοῦ ὕδατος ἄγαν ψυχρότης, ὅθεν εἴ τις ἐφ᾽ ἕτερα μετάγοι τὸ ζῷον, λάλον εὐθὺς ἂν ἐποίησε [14], καὶ πρὸς τὴν οἰκείαν μετεβίβασε φύσιν. Κυρηναῖον δὲ βάτραχον τὸ τῶν ὑδάτων πικρὸν ἄλαλον ἀπεργάζεται.

Βατράχῳ οἰνοχοεῖς [15]· ἐπὶ τῶν ταῦτα παρεχόντων, ἅπερ οὐ χρῄζουσιν οἱ λαμβάνοντες. — *Βάτραχος* [16]

Σαρδινιακόν. Clem. Paedagog. II. 10. p. 255. 16. *βάμμα γοῦν Σαρδηνιακὸν καὶ ἄλλο ἀμφάκινον καὶ χλωρὸν ἕτερον, ῥοδομιγὲς καὶ κοκκυβαφὲς, καὶ ἄλλα μυρία· διὰ σπουδῆς βάμματα ἐπινενόηται ταῖς ἐξώλοις ἡδυπαθείαις.*

10) Apost. Cent. V. 39. — *Κατὰ συστολὴν* additur, quoniam etiam divisim scribitur *Βάτα χάρας*, ut apud Suid.

11) Apost. Cent. V. 40. Mosc. et Laur. *Βάτου.* Macar. *ἐπὶ τῶν μεγάλων καὶ πολυτελῶν, τὸν γὰρ σιλφίου καυλὸν Κυρηναῖοι ἐξαίρετον ἔδοσαν Βάττῳ.* Aristoph. Plut. 924.

οὐδ᾽ ἂν δοίης γέ μοι
Τὸν πλοῦτον αὐτὸν καὶ τὸ
Βάττου σίλφιον.

ubi interpp. adde Epigramma inter Diod. Sic. Fragm. ab A. Majo edita, repetitum a Welckero Syll. epigr. p. 266.

12) Apost. Cent. V. 41. Macar. *βάλλ᾽ ἐς ὄλεθρον καὶ βάλλ᾽ ἐς φθόρον καὶ βάλλ᾽ ἐς κόρακας ὅμοια.*

13) Apost. Cent. V. 42. Macar. *ἐπὶ τῶν ἀφώνων*, nihil amplius. Vide Aelian. H. A. III. 37. et de ranis Cyrenaeis c. 55.

14) Codd. *εὐθὺς ἐνεποίησε.* Apost. *εὐθὺς ἐποίησε.* Lectionem *ἐνεποίησε* ortam credo ex *ἂν ἐποίησε.*

15) Apost. Cent. V. 45. Macar. *πρὸς τοὺς ταῦτα νέμοντας, ὧν οὐ χρῄζουσιν οἱ λαμβάνοντες.*

16) Aelian. H. A. XII. 15.

τὸν ὕδρον μισεῖ καὶ δέδοικεν ἰσχυρῶς, οὐκοῦν τῇ βοῇ τῇ πολλῇ πειρᾶται ἀντεκπλήττειν αὐτὸν καὶ ἀντιφοβεῖν.

Βαβαὶ Μύξος [17]· ἐπὶ τῶν μεγαλαυχούντων· οὗτος γὰρ, ἱερεὺς τῆς Ἀρτέμιδος ὢν ἐν Ἐφέσῳ, μεγάλαυχος ἦν.

Βασιλεὺς ἢ ὄνος, ἤγουν νικῶν ἢ ἡττώμενος· ὁμοία τῇ, ἢ τρὶς ἓξ ἢ τρεῖς κύβοι. *Πλάτων ἐν Θεαιτήτῳ*· ὁ δὲ ἁμαρτὼν καθεδεῖται, ὥσπερ [18] οἱ σφαιρίζοντες, ὄνος· ὃς δ' ἂν περιγίνηται ἀναμάρτητος, βασιλεὺς ἡμῶν.

Βατταρίζειν ἀντὶ τοῦ τραυλίζειν.

Βασίλειος ὀφθαλμός [19]· τὸν ἐπί τινα ἀρχὴν πεμπόμενον οὕτως ἐκάλουν.

Βάσανος λίθος [20]· ἐπὶ τῶν ἐξεταζομένων ἐν λόγοις, παρόσον ἡ Λυδία λίθος τὸν χρυσὸν δοκιμάζει.

Βαλὼν [21] *φεύξεσθαι οἴει*· πρὸς τοὺς κακόν τι ποιοῦντας καὶ οἰομένους φυγεῖν.

Βάλλ' ἐς ὕδωρ [22]· ἀντὶ τοῦ καταπόντισον, ἐπὶ τῶν ὀλέθρου ἀξίων.

Βάλλ' εἰς ἔχοντα τὴν ἐπιστήμην· ἐπὶ τῶν λοιδορούντων τοὺς ὁμοτέχνους.

17) Apost. Cent. V. 44. Mosc. *μύξας*.

18) Plat. Theaet. p. 146. A. *ὥσπερ φασὶν οἱ παῖδες οἱ σφαιρ.*

19) Apost. Cent. V. 46. *ὀφθαλμοὶ βασιλέως* vocabantur ministri quidam regis Persarum, quorum erat, quidquid in regno ageretur, ad regem deferre. Xen. Cyrop. VIII. 2. 10. Blomf. ad Aesch. Pers. 973.

20) Apost. Cent. V. 47. Cfr. Theocr. Id. XII. 36.

Λυδίῃ ἴσον ἔχειν πέτρῃ στόμα,
χρυσὸν ὁποίῃ
Πεύθονται, μὴ φαῦλον, ἐτήτυμον ἀργυραμοιβοί.

Clem. Strom. I. 9. p. 342. 15. *ὁ δὲ πρὸς τὸν βίον ἀναφέρων ἕκαστα τὸν ὀρθὸν — — τῷ ὄντι πολύμητις, δίκην τῆς βασάνου λίθου· ἣ δ' ἐστὶ Λυδὴ, διακρίνειν πεπιστευμένη τὸ νόθον ἀπὸ τοῦ ἰθαγενοῦς χρυσίου.* Theogn. 449.

Εὑρήσεις δέ με πᾶσιν ἐπ' ἔργμασιν ὥσπερ ἄπεφθον
Χρυσὸν, ἐρυθρὸν ἰδεῖν, τριβόμενον βασάνῳ.

21) Apost. Cent. V. 48. et Codd. *βάλλων*. Scripsi *βαλών*. Dicitur enim *βαλόντα ἐκφεύγειν*, emisso telo effugere. Vide Wyttenb. ad Plut. de sera numinis Vind. p. 6. ed. singul.

22) Apost. Cent. V. 49. Macar. *ἐπὶ τῶν ὀλέθρου ἀξίων, ἢ καταπόντισον.*

Βατράχῳ [23] *ὕδωρ, καὶ στέαρ γαλῆ· ἐπὶ τῶν ταῦτα διδόντων, οἷς χαίρουσιν οἱ λαμβάνοντες.*

Βάλλειν μήλοις [24] *· ἐπὶ τῶν τυχεῖν, ὧν ἐρῶσι, βουλομένων· παρήχθη δὲ ἀπὸ τῶν πεμφθέντων ἐπ' Ἀταλάντην μήλων· προὔκειτο γὰρ τῷ νικῶντι δρόμῳ τὴν Ἀταλάντην ἔπαθλον ὁ ταύτης γάμος· ὁ γοῦν Ἱππομένης, εἰς* [25] *ἄμιλλαν καταστὰς, βουλόμενος αὐτὴν νικῆσαι, χρυσᾶ μῆλα ἔῤῥιψε, καὶ περὶ τὴν τούτων συλλογὴν ἐκείνης ἀσχολουμένης, οὗτος ταύτην ὑπερέβαλε.*

Βαλάντιον [26] *ἐρώντων φύλλῳ πράσου δέδεται· παρόσον οἱ ἐρῶντες εὐκόλως καταναλίσκουσιν.*

Τὸ β μετὰ τοῦ δ.

Βδέλυγμα ἐρημώσεως [1] *· ἦγουν εἴδωλον καὶ ἐκτύπωμα καὶ σημεῖον τῆς ἐρημώσεως· ἦσαν δὲ εἰκόνες τινὲς ἀπηγορευμέναι τῷ νόμῳ, εἰς τοῦτο εἰσκομιζόμεναι, ὃ δὴ Πιλάτος πεποίηκε* [2] *· λέγεται δὲ ἐπὶ τῶν ἐβδελυγμένων.*

23) Apost. Cent. V. 50. Macar. *βατράχῳ ὕδωρ, ὡς γαλῇ στέαρ.* cetera ut Arsen.

24) Apost. Cent. V. 51. Erat mos amantium *τὸ μηλοβολεῖν.* Theocrit Id. V. 88.

Βάλλει καὶ μάλοισι τὸν αἰπόλον ἃ Κλεαρίστα,
Τὰς αἶγας παρελεῦντα, καὶ ἁδύ τι ποππυλιάσδει.

Cfr. Id. VI. 6. Virgil. Ecl. III. 64.

Malo me Galatea petit, lasciva puella,
Et fugit ad salices, et se cupit ante videri.

Scorta in juvenes mala conjecisse apparet ex Aristoph. Nub. 996. *ἵνα μὴ — — — μήλῳ βληθεὶς ὑπὸ πορνιδίου τῆς εὐκλείας ἀποθραυσθῇς.* Cfr. Coray ad Heliod. III. p. 118. Boisson. ad Nicet. p. 324. Creuzer Symbol. T. III. p. 495. — Aliter Plut. Alex. c. 51. *οὐκέτι φέρων τὴν ὀργὴν Ἀλέξανδρος, μήλων παραχειμένων ἑνὶ βαλὼν ἔπαισεν αὐτὸν, καὶ τὸ ἐγχειρίδιον ἐζήτει.*

25) *Εἰς* deest in Mosc., excidisse conjecit Matth.: est in Laur. et Apost.

26) Laur. om. — Macar. addit: *Βακτηρία καὶ σχῆμα καὶ τριβώνιον· τοῦτο ἔσκωπτον τοὺς Ἀθήνῃσι δικαστάς.*

1) Apost. Cent. V. 52. Daniel XI. et XII.

2) Matth. XXIV. 15. Pantinus supplet ex Suida: *νύκτωρ εἰς τὸν ναὸν τοῦ βασιλέως εἰκόνα εἰσαγαγών*, quae verba in versione exprimit.

Βδάλλειν [3], *τὸ ἀμέλγειν· παρὰ τὸ βίᾳ ἐκθλιβόμενον ἀδδίσκειν τὸ γάλα. Κλήμης* [4] *οὕτως ἡ μετάδοσις ἀγαθὴ φιλανθρωπίας ὑπάρχουσα πηγὴ, κοινωνοῦσα τοῖς διψῶσι πότου, αὔξεται πάλιν καὶ πίμπλαται, ὃν τρόπον ἐπὶ τοὺς θηλαζομένους ἢ καὶ βδαλλομένους μαστοὺς ἐπιῤῥεῖν εἴωθε τὸ γάλα.*

Τὸ $\overline{\beta}$ *μετὰ τοῦ* $\overline{\varepsilon}$.

Βεκκεσέληνε [5]· *ἀρχαῖε καὶ ἀνόητε· σύγκειται ἡ λέξις ἀπὸ τοῦ βέκκος* [6], *ὁ ἄρτος, κατὰ διάλεκτον τῶν Λυδῶν, καὶ τοῦ σελήνη· ἀμφότερα γὰρ ἀρχαῖα.*

Βέλτερος [7] *ἀλκήεντος ἔφυσε σοφισμένος ἀνήρ.*

Βεβαιοτέραν [8] *τὴν φιλίαν ἔχε πρὸς τοὺς γονεῖς.*

Βέβαιον [9] *οὐδέν ἐστιν ἐν θνητῷ βίῳ,*
Βιοῖ γὰρ οὐδείς, ὃν προαιρεῖται τρόπον.

Τὸ $\overline{\beta}$ *μετὰ τοῦ* $\overline{\eta}$.

Βησᾶς ἔστηκεν [10]· *ἐπὶ τῶν ὑπομώρων· οὗτος γὰρ ἔστηκεν ἀχανὴς καὶ παταγώδης καὶ ὑπόμωρος.*

Βὴξ ἀντὶ πορδῆς [11]· *ἐπὶ τῶν περδόντων καὶ προσποιουμένων βήττειν ἢ γελᾶν, ὃ ἐκλαμβάνεται ἐπὶ τῶν ἐν ἀπορίᾳ τι πράττειν προσποιουμένων.*

Τὸ $\overline{\beta}$ *μετὰ τοῦ* $\overline{\iota}$.

Βίαντος [1] *Τενταμίδου Πριηνέως δίκη· οὐ-*

5) Non est in Laur. Alciphr. III. 16. *βδάλας τὰ αἰγίδια* ubi Wagner.

4) Paedagog. III. 7. p. 277. 27.

5) Apost. Cent. V. 54. Apogr. Dresd. *Βεκκαισέληνε.* Aristoph. Nub. 398. *ὦ μῶρε σὺ καὶ χορῶν ὄζων καὶ βεκκασέληνε.*

6) Herod. II. init.

7) Apost. Cent. V. 55. addit *Φωκυλίδου ἀπόφθεγμα.* In Laur. hoc cum tribus sqq. deest.

8) Stob. T. 79. 31. *Χαιρήμονος.*

9) Stob. T. 105. 47. *Ἀμφίου.*

10) Apost. Cent. V. 56. ultima verba *καὶ παταγ. κ. ὑπομ.* non habet.

11) Apost. Cent. V. 57.

1) Apost. Cent. V. 58. Idem

τος εἷς τῶν ἑπτὰ σοφῶν ἦν, λέγεται δὲ εἰς τὰς δίκας δεινὸς γεγονέναι· οὗτος δίκην ὑπέρ τινος λέξας, ἤδη ὑπέργηρως ὢν, μετὰ τὸ καταπαῦσαι τὸν λόγον, ἀπέκλινε τὴν κεφαλὴν εἰς τοὺς τῆς θυγατρὸς υἱοῦ κόλπους. Εἰπόντος δὲ καὶ τοῦ ἐναντίου καὶ τῶν δικαστῶν τὴν ψῆφον ἐνεγκόντων τῷ ὑπὸ τοῦ Βίαντος βοηθουμένῳ λυθέντος τοῦ δικαστηρίου νεκρὸς ἐν τοῖς κόλποις εὑρέθη. Καὶ αὐτὸν μεγαλοπρεπῶς ἔθαψεν ἡ πόλις, εἰς ὃν [2] καὶ Διογένους τοῦ Λαερτίου τόδε τὸ ἐπίγραμμα φέρεται·

Ἐ π ί γ ρ α μ μ α.

Τῇδε Βίαντα κέκευθε, τὸν [3] ἀτρέμας ἤγαγεν Ἑρμῆς
Εἰς Ἀΐδην πολιῷ γήραϊ νιφόμενον.
Εἶπε γὰρ, εἶπε δίκην ἑτέρου τινὸς, εἶτ' ἀποκλινθεὶς
Παιδὸς ἐς ἀγκαλίδας μακρὸν ἔτεινεν ὕπνον.

Βίον [4] Κύκλωπος· τὸν ἀνόσιον καὶ ὠμὸν, οἱ γὰρ Κύκλωπες οὔτε Διὸς αἰγιόχου, καθ' Ὅμηρον, οὔτε θεῶν μακάρων ἀλέγουσιν.

Βίον [5] μεμαγμένον· ἐπὶ τῶν εὐδαιμονιζόντων ἐπὶ πολυτελεῖ καὶ ἡδεῖ βίῳ.

Βίον ἀκανθώδη [6]· τὸν τραχὺν καὶ σκληρόν.

Βιβλίον [7] τοὐμὲν μέθυ· πρὸς τοὺς διαφθειρομένους τινα ἔργα· ἢ ἐπὶ τῶν φιλολύγων.

inde a verbis οὗτος δίκην ὑπέρ τινος λέξας in apophth. impr. exstat (sumtum ex Diog. Laërt. I. segm. 84.), ubi alterum additur epigramma:

Ἕτερον εἰς τὸν αὐτόν.
Κλεινοῖς ἐν δαπέδοισι Πριήνης φύντα καλύπτει
Ἥδε Βίαντα πέτρα, κόσμον Ἴωσι μέγαν.

2) Sequentia verba cum epigrammate Apost. non habet: in Laur. interjectis duobus provv. titulus est: Διογένους Λαερτίου ἐπίγραμμα εἰς Βίαντα.

3) Codd. κεκεύθατον.

4) Laur. non habet.

5) Apost. Cent. V. 60. verba ultima ἐπὶ πολυτελεῖ κ. ἡ. β. non habet. Macar. βίος μεμαγμένος, ἐπὶ τῶν ἀπόνως τρεφομένων.

6) Apost. Cent. V. 61.

7) Apost. Cent. V. 62.

Βίοι ἀνθρώπων καὶ φυτῶν σπέρματα συνεξομοιοῦνται ταῖς χώραις.

Βία [8] *πενήτων πλουσίων παράκλησις, παρόσον οἱ μὲν πένητες ἀναγκάζονται· οἱ δὲ πλούσιοι θρύπτονται καὶ θωπεύονται.*

Βίος [9] *ἀνεόρταστος, μακρὴ ὁδὸς ἀπανδόκευτος.*

Βίον [10] *καλὸν ζῆν, ἂν γυναῖκα μὴ ἔχῃς.*

Βίος βίου δεόμενος οὐκ ἔστι βίος.

Τὸ $\overline{\beta}$ *μετὰ τοῦ* $\overline{\lambda}$.

Βλέπειν [11] *γὰρ ἄντικρυς δόξεις μ' Ἄρην ἐπὶ τῶν ὑπισχνουμένων παντὶ σθένει συμπράττειν.*

Βλέπει [12] *τὸ στῆθος ἀετὸς τρωθεὶς πάλαι,*
Ἀλγῶν δὲ λοιπὸν ἦστο πολλὰ δακρύων,
Βλέπων δ' ὀϊστὸν εἶπεν ἐπτερωμένον,
Βαβαὶ πτερούν με τὸν πτερωτὸν ὀλλύει.

Βλακὸς ἀχρηστότερος [13]· *εἴρηται ἀπὸ ἰχθύος τινὸς ὁμοίου σιλούρῳ. Ἀχρήστου δὲ οὕτως, ὡς μηδὲ κύνα αὐτῷ χρῆσθαι· οἱ δὲ ἀπὸ τοῦ πρὸς τῇ Κύμῃ χωρίου Βλακείας, οὗ μέμνηται καὶ Ἀριστοτέλης· καὶ ἐν Ἀλεξανδρείᾳ δὲ τέλος τὸ βλακεννόμιον, ὃ οἱ ἀστρολόγοι τελοῦσι διὰ τὸ τοὺς μόρους εἰσιέναι εἰς* [14] *αὐτούς.*

Τὸ $\overline{\beta}$ *μετὰ τοῦ* $\overline{o}$.

Βοῦς Κύπριος εἶ [1]· *ἤτοι κοπροφάγος· τοιοῦτοι γὰρ οἱ ἐκεῖσε* [2] *βόες.*

8) Apost. Cent. V. 63.

9) Apost. Cent. V. 59. addit *Δημοκρίτου τὸ παροιμιῶδες ἀπόφθεγμα.* Cfr. Stob. T. 16. 21.

10) Stob. T. 68. 20. Apogr. Dresd. *ἂν μὴ γυν.* — A Laur. hoc et sq. prov. abest.

11) Apost. Cent. V. 64. ex Aristoph. Plut. 328.

12) Laur. om.

13) Apost. Cent. V. 65. Apogr. Dresd. *χρηστότερος.*

14) Praepositioni *εἰς* inscriptum *πρός.* Matth. Laur. *πρός.*

1) Apost. Cent. V. 66. Boves Cyprios contra tormina hominum excrementis mederi sibi solitos esse refert Plin. H. N. XXVIII. 20. Cfr. Fisch. ad Aristoph. Plut. 706.

2) Apost. *ἐκεῖ.* Recte dicitur

Βοῦς ὁ Μολοττῶν [3]· *ἐπὶ τῶν εἰς πολλὰ διαιρουμένων πράγματα· οἱ γὰρ Μολοττοὶ τοὺς βόας ἐν ταῖς ἑορταῖς εἰς πολλὰ διέτεμνον.*

Βοῦς ἐπέβη [4]· *ἐπὶ τῶν ἐξαίφνης σιωπώντων· τὸ γὰρ ἀργύριον βοῦν εἶχε τῶν Ἀθηναίων· οἱ οὖν δωροδοκούμενοι ἐσιώπων.*

Βοῦς ὑπὸ ζυγόν· ἐπὶ τῶν μοχθούντων ἀεί.

Βοῦν ἐπὶ γλώττης φέρει [5]· *ἐπὶ τῶν μὴ δυναμένων παῤῥησιάζεσθαι· ἁρμόζει δὲ ἐπὶ τῶν ῥητόρων τῶν λαμβανόντων νομίσματα, ὑπὲρ τοῦ μὴ κατηγορῆσαί τινα, ἀλλὰ σιωπῆσαι.*

Βοῦς ἕβδομος [6]· *πέμματα, κέρατα ἔχων κατὰ μίμησιν τῆς πρωτοφαοῦς σελήνης. ἐκάλουν δὲ αὐτὸ βοῦν, προστιθέντες καὶ τὸν ἕβδομον, ὅτι ἐπὶ ἓξ ταῖς σελήναις* [7]

ἐκεῖσε pro ἐκεῖ. Eurip. Alc. 375. ἐκεῖσε προσδόκα μ' ὅταν θάνω. Julian. Caes. p. 307. C. ἐκεῖσε τεχθείς. Misopag. p. 359. B. ἐπειδὴ παρὰ τὸν ἐκεῖσε βασιλέα πρῶτον ἀφίκετο. p. 360. A. ἐτράφην ἐκεῖσε. Long. Pastoral. τοῖς μὲν οὖν θεοῖς ἐκεῖσε παρεσκεύαστο τὸ συμπόσιον, ubi Villois. p. 228.

3) Apost. Cent. V. 67.

4) Apost. Cent. V. 68. Theogn. 813.

Βοῦς μοι ἐπὶ γλώσσης κρατερῷ ποδὶ λὰξ ἐπιβαίνων
Ἴσχει κωτίλλειν, καίπερ ἐπιστάμενον.

Eustath. Opusc. p. 168. l. 28. ed. Tafel. Ἀλλὰ ταῦτα μέν, ἐξ ὧν μοι ὁ ὄκνος, καὶ δι' ὧν, οὐ μόνον βοῦς ἐπὶ γλώττῃ, τοῦτο δὴ τὸ σκῶμμα τοῦ ἀργὰ λαλεῖν, ὡς ἐάν τις εἴη βούγλωσσος, ἀλλὰ καὶ λίθος ὥσει καὶ λάκκῳ δυσχρηστουμένου ὕδατος ἐπέκειτο. Clem. Strom. V. 4. p. 661. Ναὶ τὰν Ὄλυμπον καταδερκομέναν σκαπτοῦχον Ἥραν, ἔστι μοι πιστὸν ταμιεῖον ἐπὶ γλώσσης, ἡ ποιητικὴ φησιν. Ὅ τε Αἰσχύλος· ἀλλ' ἔστι κἀμοὶ κλεὶς ἐπὶ γλώσσῃ φύλαξ. Cfr. Blomf. ad Aesch. Ag. 35. Bovis typum nummis Atticis impressum cum fabulam esse demonstraverit Eckhel Doctr. Numm. T. II. p. 207., de boja, i. e. γλωττοπίδῃ sive camo cogitavit Lobek Aglaoph. I. p. 36.

5) Apost. Cent. V. 74. Macar. βοῦς ἐπὶ γλώσσῃ· ἐπὶ τῶν μὴ δυναμένων ἐκ δωροδοκίας παῤῥησιάζεσθαι.

6) Apost. Cent. V. 76. Macar. ἐπὶ τῶν ἀναισθήτων· οἱ γὰρ πένητες τῶν Ἀθηναίων ἓξ ἀεὶ θύοντες ἔμψυχα, πρόβατον, ὖν, αἶγα, ὄρνιν, βοῦν, χῆνα, ἕβδομον ἐπέθυον πέμμα τετράγωνον· ἐπειδὴ τοίνυν ἀναίσθητον ἐδόκει τὸ ζῶον, ἐπισκώπτοντες τοὺς ἀνοήτους ἐκάλουν βοῦν ἕβδομον.

7) Codd. τῆς σελήνης.

ἐπεθύετο οὗτος ἕβδομος, ὡς Εὐθυκλῆς ἐν Ἀταλάντῃ· τάττεται δὲ ἐπὶ τῶν ἄγαν ἀναισθήτων· οἱ δέ φασιν ἕβδομον βοῦν, ὅτι οἱ πένητες ἔθυον ἔμψυχα ἕξ, πρόβατον, ὗν, αἶγα, ὄρνιν, πετεινὸν, χῆνα, καὶ ἕβδομον βοῦν.

Βοῦς [8] ἔνθα τὸν μόσχον ἀφῃρέθη, ἐνταῦθα ἐλθοῦσα ὀδύρεται μυκηθμῷ συντρόφῳ τὸ πάθος· καὶ βόες μέντοι ὑπὸ ζυγὸν ἰέναι θέλοντες, οἱ μὲν μειδιῶσιν [9], οἱ δὲ ἐπὶ πόδα ἀναχωροῦσιν· ἵππος δὲ ἄρα καὶ ὅταν ἀκούσῃ ψαλλίων κρότον καὶ χαλινοῦ κτύπον, καὶ προστερνίδια θεάσηται, φριμάττεται ἐνταῦθα, καὶ τὰς ὁπλὰς σκιρτῶν ἐπικροτεῖ καὶ ἐνθουσιᾷ· βοῦς [10] δ' ἢν καταπίῃ βούπρηστιν, ἔστι δὲ ζῶον, πίμπραται καὶ ῥηγνύμενος, ἀπόλλυται οὐ κατὰ μακρόν [11].

Βοῦς εἰς ἀμητόν [12]· ἐπὶ τῶν ἐπ' ὠφελείᾳ καμνόντων· Πτολεμαίῳ τῷ δευτέρῳ, φασὶν, ἐξ Ἰνδῶν κέρας ἐκομίσθη, καὶ τρεῖς ἀμφορέας ἐχώρησεν. Οὗτος ἄρα βοῦς ἦν, ὡς ἐκπεφυκέναι οἱ τηλικοῦτον κέρας.

Βοῦς ἐν αὐλίῳ γέρων [13]· ἐπὶ τῶν δι' ἀσθένειαν ἡσυχαζόντων.

8) Apost Cent. V. 76. ex Aelian. H. A. VI. 10.

9) Humani affectus ad animalia transferuntur: Long. Pastoral. p. 55. Villois. σκιρτῶντα (sc. πρόβατα) καὶ βληχώμενα, καὶ ὅμοια χαίρουσιν, ubi vide editorem.

10) Aelian. VI. 34. Mosc. βούβρηστιν.

11) Codd. μικρόν. Confusio non infrequens. Paus. I. 23. 4. οὐ μὴν οὐδὲ Μαλιεῦσι παρέμεινε μελέτη τῶν τόξων, δοκῶ δὲ οὔτε πρότερον ἐπίστασθαι σφᾶς, πρὶν ἢ Φιλοκτήτην, παύσασθαί τε οὐ διὰ μακροῦ. Riccard. μικροῦ. Joseph. b. j. II. 17. 6. καὶ τοῖς χρήμασιν αὐτὸς οὐκ εἰς μικρὰ κατεχρῆτο. Par. 1425. εἰς μακρὰν κατεχρήσατο. Liban. Progymn. p. 885. Reisk. πάσας γὰρ δὴ μικρῶν χεῖρας ὑπερέβαλλεν ἡ περὶ ταῦτα τέχνη. Reisk. f. μικροῦ. Camerar. μακρῷ. Bast in epimetro ad epist. crit. in ed. Lips. Pluti Hemst. p. XXV. δημιουργῶν. Cfr. Jacobs. ad Achill. Tat. p. 628. Boisson. ad Philostr. p. 361. ad Nicet. I. 182. III. 179. VI. 297. ad Anecd. Vol. I. p. 450. Trendelenb. ad Aristoph. Ran. 55. Dorvill. ad Char. p. 595.

12) Apost. Cent. V. 77. Quae de cornu ad Ptolemaeum perlato referuntur, sumta sunt ex Aeliano H. A. III. 34.

13) Apost. Cent. V. 78. Macar. βοῦς ἐναύλιος· ἐπὶ τῶν εἰς

Βοῦς [14] *ἐπὶ σωρῷ· ἐπὶ τῶν ἡδυπαθούντων.*

Βουδόρῳ νόμῳ [15]*· ἐπὶ τῶν ἀξίων δέρεσθαι, ὡς οἱ βόες.*

Βοιώτιος νόμος [16]*· ἐπὶ τῶν τὰς ἀρχὰς μὲν ἠρεμαίως ἐχόντων, αὖθις δὲ σφοδρῶς ἐπιγινομένων.*

Βότρυς [17] *πρὸς βότρυν πεπαίνεται· ἐπὶ τῶν ἐξισοῦσθαι φιλονεικούντων.*

Βοιώτιος ὗς [18]*· ἐπὶ τῶν ἀπαιδεύτων· εἰς τοῦτο γὰρ ἐσκώπτοντο οἱ Βοιωτοί· ἡ* [19] *δὲ παροιμία ἐντεῦθεν. Ὕαντες ἔθνος βάρβαρον ἀρχαῖον κατῴκησαν τὴν Βοιωτίαν· ἐκ μεταφορᾶς δὲ τοῦ ὀνόματος ἀντὶ τοῦ Ὕαντας λέγειν ὗς ἐκάλεσαν, ὥστε καὶ τοῖς ὕστερον διαδοθῆναι λέξιν ἐπὶ τῶν Βοιωτῶν· καὶ λοιπὸν νομισθῆναι διὰ τὴν πολλὴν ἀλογίαν καὶ ἀγροικίαν οὕτως ἐξ ἀρχαίου αὐτοὺς κεκλῆσθαι* [20]*· τοὺς δὲ βουλομένους εἰς ἀπαιδευσίαν* [21] *σκώπτειν τινὰς τοῦτο λέγειν· Βοιωτία ὗς.*

Βουλείας [22] *δικάζει· ἐπὶ τῶν τὰς κρίσεις ὑπερτιθεμένων ἀεὶ δικαστῶν.*

μηδὲν χρησιμευόντων. *Βοῦς ἐν τῷ αὐλείῳ καταλείπομαι* de iis dici, qui suis cari esse desierunt, notat Villois. ad Long. p. 276.

14) Apost. Cent. V. 79.

15) Apost. Cent. V. 69.

16) Apost. Cent. V. 70. Macar. *ἐπὶ τῶν τὰς ἀρχὰς μὲν ἠρεμούντων, ὕστερον δὲ ἐπιτεινόντων.*

17) Apost. Cent. V. 72. Laur. *βόβρυς.*

18) Apost. Cent. V. 80. Macar. *Βοιωτία ὗς, ἐπὶ τῶν ἀναισθήτων καὶ ἀπαιδεύτων.* Pind. Ol. VI. 151. *γνῶναί τ' ἔπειτ', ἀρχαῖον ὄνειδος ἀλαθέσιν λόγοις εἰ φεύγομεν, Βοιωτίαν ὗν.*

19) Mosc. *οἱ δὲ παρ.* Mox *δὲ* post *ἐκ μεταφορᾶς* uterque Cod. om.

20) Mosc. *καλεῖσθαι.* Supra scriptum *κεκλῆσθαι.* Matth. Ita Apost. et Laur.

21) Mosc. *ἀπαισίαν.*

22) Apost. Cent. V. 75. Mosc. om. Consentit Macar.: nisi quod habet *Βουλίας.* Ludus hic in nominibus fingendis non est infrequens: habuimus supra *Ἀλκείας ἰάσαιτο.* Apud Macar. est prov. *δεινὰ τὰ δεινά, ἐπὶ τῶν σφόδρα χαλεπῶν, τὸ δὲ τέ-*

Βοῦς ἐν πόλει [23]· *ἐπὶ τῶν θαυμαζομένων. Λυσία γὰρ ἐν ἀκροπόλει βοῦν ἀνέθηκεν.*

Βοιώτια αἰνίγματα [24]· *ἐπὶ τῶν ἀσυνέτων· Βοιωτὴ γὰρ ἡ Σφίγξ.*

Βορβόρῳ [25] *ὕδωρ λαμπρὸν μιαίνων οὔποθ' εὑρήσεις ποτόν· ἐπὶ τῶν τὰ κάλλιστα μιγνύντων τοῖς αἰσχίστοις.*

Βοῶν [26] *ὦτα ἔχετε· ἐπὶ τῶν μὴ συνιέντων· Ἀνταγόρας γὰρ ἀναγινώσκων παρὰ Βοιωτοῖς τὸ τῆς Θηβαΐδος γράμμα, ἐπεὶ οὐδεὶς ἐπεσημαίνετο, κλείσας τὸ βιβλίον, εἰκότως, ἔφη, καλεῖσθε Βοιωτοὶ, βοῶν γὰρ ὦτα ἔχετε.*

Τὸ β μετὰ τοῦ ρ.

Βρασίδας [27] *μὲν ἀνὴρ ἀγαθὸς, ἃ δὲ Λακεδαίμων πολλῶς ἔχει τήνω κἀῤῥόνας· ἐπὶ τῶν ἑαυτοὺς οἰομένων κρείσσους εἶναι τῶν ἄλλων.*

Βοιώτειον οὖς [28]· *ἐπὶ τῶν ἀναισθήτων.*

Βραχεῖ [29] *λόγῳ δὲ πολλὰ πρόσκειται σοφά.*

λειον· δεινὰ τὰ δεινὰ καὶ δεινότερα Δεινίου.

23) Apost. Cent. V. 85.

24) Apost. Cent. V. 81. Macar. *ἐπὶ τῶν ἀσυνέτων, ἐκ μεταφορᾶς τῆς Σφιγγός.*

25) Apost. Cent. V. 83. Macar. *βορβόρῳ θ' ὕδωρ λαμπρὸν λαμβάνων οὔποθ' εὑρήσῃς ποτόν. Ἐπὶ τῶν τὰ καλὰ μιγνύντων τοῖς αἰσχίστοις.* Verba haec Aeschyli Eumenid. 680. ad immutationes in Areopago constituendo ab Ephialte intentatas apte relata a Döderlino (in Progr. Erlang. MDCCCXX.) colorem ferre videntur Pythagoreum, collata Lysidis epistola ad Hipparchum apud Jambl. Vita Pythagorae p. 75. *ἐγκίρναντι γὰρ ἤθεσι τεταραγμένοις καὶ θολεροῖς θεωρήματα καὶ λόγως θείως· καθάπερ εἴ τις εἰς φρέαρ βαθὺ βορβόρου πλῆρες ἐγχέοι καθαρὸν καὶ διειδὲς ὕδωρ· τόν τε γὰρ βόρβορον ἀνετάραξε καὶ τὸ ὕδωρ ἠφάνισεν.*

26) Apost. Cent. V. 82.

27) Apost. Cent. V. 86. Codd. *τήνου κἀῤῥόνας.* Vide infra Apophthegmata.

28) Apost. Cent. V. 89. Codd. *βρώτειον οὖς.*

29) Stob. T. 35. 4. *Σοφοκλῆς Ἀλήτῃ.*

Βραχύ [30] *τοι σθένος ἀνδρὸς, ἀλλὰ ποικιλίαι πραπίδων.*

Βώλοις ἄρουραν [31] *ἐπὶ τῶν τοῖς μικροῖς χαριζομένων τοὺς μεγάλους.*

Βώμαξ [32] *εἶ καὶ βωμολόχος· οὗτος ἀπὸ τῶν βωμῶν πρὶν* [33] *καρπωθῆναι αἴρων· τάσσεται δὲ ἐπὶ τῶν μαλακιζομένων.*

ΑΠΟΦΘΕΓΜΑΤΑ.

Βίαντος.

Βίας [1] *ὁ Τενταμίδου Πριηνεὺς εἶπε, μακάριός ἐστιν ὁ πλουτῶν, καὶ ὧν ἐπιθυμεῖ ἀπολαύων, ὁ δὲ μὴ ἐπιθυμῶν μακαριώτερος.*

Ὁ αὐτὸς εἶπε [2]*, δεῖ τὸν ἀγαθὸν ἄνδρα μεμνῆσθαι μὲν τῶν γεγενημένων, πράττειν δὲ τὰ ἐνεστῶτα, περὶ δὲ τῶν μελλόντων ἀσφαλίζεσθαι.*

Ὁ αὐτὸς ἐρωτηθεὶς, τίς ἄριστος σύμβουλος, ἔφη, ὁ καιρός.

** Ὁ αὐτὸς ἔλεγε, ψυχῆς μέγας χαλινὸς ἐστιν ὁ νοῦς.*

Ὁ αὐτὸς εἶπε, κρατίστην εἶναι δημοκρατίαν, ἐν ᾗ πάντες ὡς τύραννον φοβοῦνται τὸν νόμον.

Ὁ αὐτὸς [3] *ἔφη, οἱ ἀγαθοὶ εὐαπάτητοι.*

30) Stob. T. 54. 6. Laur. om.

31) Apost. Cent. V. 88. Laur. addit post *μεγάλους· ἐπὶ τῶν τὰ κάλλιστα μιγνύντων τοῖς αἰσχίστοις.*

32) Apost. Cent. V. 87.

33) *Πρίν* Mosc. om. Macar. addit: *Βοῦτος περιφοιτᾷ· ἐπὶ τῶν εὐήθων καὶ παχυτάτων. — Βουλήσεταί τις μᾶλλον ἢ δυνήσεται· ἐπὶ τῶν προαιρουμένων μὲν ἀδικῆσαι, οὐ δυναμένων δέ. — Βοῦς ἐπὶ φάτνην· ἐπὶ τῶν ἐπὶ τὰ συνήθη καὶ ἥδιστα ἀφικνουμένων.* (Od. λ. 410. Philostr. Im. II. 10. *τὸ δὲ κυριώτατον τῆς σκηνῆς Ἀγαμέμνων ἔχει, κείμενος οὐκ ἐν πεδίοις Τρωϊκοῖς — ἀλλ' ἐν μειρακίοις καὶ γυναίοις, βοῦς ἐπὶ φάτνῃ· τουτὶ γὰρ τὸ μετὰ τοὺς πόνους τε καὶ τὸ ἐν δείπνῳ.*)

1) Laur. *Βίας εἶπεν ὁ Τευταμίδου· μακάριος* etc.

2) Laur. om.

3) Stob. T. 37. 36. Laur. om.

τὸν ὕδρον μισεῖ καὶ δέδοικεν ἰσχυρῶς, οὐκοῦν τῇ βοῇ τῇ πολλῇ πειρᾶται ἀντεκπλήττειν αὐτὸν καὶ ἀντιφοβεῖν.

Βαβαὶ Μύξος [17]· ἐπὶ τῶν μεγαλαυχούντων· οὗτος γὰρ, ἱερεὺς τῆς Ἀρτέμιδος ὢν ἐν Ἐφέσῳ, μεγάλαυχος ἦν.

Βασιλεὺς ἢ ὄνος, ἤγουν νικῶν ἢ ἡττώμενος· ὁμοία τῇ, ἢ τρὶς ἓξ ἢ τρεῖς κύβοι. Πλάτων ἐν Θεαιτήτῳ· ὁ δὲ ἁμαρτὼν καθεδεῖται, ὥσπερ [18] οἱ σφαιρίζοντες, ὄνος· ὃς δ' ἂν περιγίνηται ἀναμάρτητος, βασιλεὺς ἡμῶν.

Βατταρίζειν ἀντὶ τοῦ τραυλίζειν.

Βασίλειος ὀφθαλμός [19]· τὸν ἐπί τινα ἀρχὴν πεμπόμενον οὕτως ἐκάλουν.

Βάσανος λίθος [20]· ἐπὶ τῶν ἐξεταζομένων ἐν λόγοις, παρόσον ἡ Λυδία λίθος τὸν χρυσὸν δοκιμάζει.

Βαλὼν [21] *φεύξεσθαι οἴει*· πρὸς τοὺς κακόν τι ποιοῦντας καὶ οἰομένους φυγεῖν.

Βάλλ' ἐς ὕδωρ [22]· ἀντὶ τοῦ καταπόντισον, ἐπὶ τῶν ὀλέθρου ἀξίων.

Βάλλ' εἰς ἔχοντα τὴν ἐπιστήμην· ἐπὶ τῶν λοιδορούντων τοὺς ὁμοτέχνους.

17) Apost. Cent. V. 44. Mosc. *μύξας*.

18) Plat. Theaet. p. 146. A. *ὥσπερ φασὶν οἱ παῖδες οἱ σφαιρ.*

19) Apost. Cent. V. 46. *ὀφθαλμοὶ βασιλέως* vocabantur ministri quidam regis Persarum, quorum erat, quidquid in regno ageretur, ad regem deferre. Xen. Cyrop. VIII. 2. 10. Blomf. ad Aesch. Pers. 973.

20) Apost. Cent. V. 47. Cfr. Theocr. Id. XII. 56.

Λυδίῃ ἴσον ἔχειν πέτρῃ στόμα,
χρυσὸν ὁποίῃ
Πεύθονται, μὴ φαῦλον, ἐτήτυμον ἀργυραμοιβοί.

Clem. Strom. I. 9. p. 342. 15. *ὁ δὲ πρὸς τὸν βίον ἀναφέρων ἕκαστα τὸν ὀρθὸν — — τῷ ὄντι πολύμητις, δίκην τῆς βασάνου λίθου· ἡ δ' ἐστὶ Λυδὴ, διακρίνειν πεπιστευμένη τὸ νόθον ἀπὸ τοῦ ἰθαγενοῦς χρυσίου.* Theogn. 449.

Εὑρήσεις δέ με πᾶσιν ἐπ' ἔργμασιν ὥσπερ ἄπεφθον
Χρυσὸν, ἐρυθρὸν ἰδεῖν, τριβόμενον βασάνῳ.

21) Apost. Cent. V. 48. et Codd. *βάλλων*. Scripsi *βαλών*. Dicitur enim *βαλόντα ἐκφεύγειν*, emisso telo effugere. Vide Wyttenb. ad Plut. de sera numinis Vind. p. 6. ed. singul.

22) Apost. Cent. V. 49. Macar. *ἐπὶ τῶν ὀλέθρου ἀξίων, ἢ καταπόντισον.*

Βατράχῳ [23] *ὕδωρ, καὶ στέαρ γαλῇ· ἐπὶ τῶν ταῦτα διδόντων, οἷς χαίρουσιν οἱ λαμβάνοντες.*

Βάλλειν μήλοις [24]*· ἐπὶ τῶν τυχεῖν, ὧν ἐρῶσι, βουλομένων· παρήχθη δὲ ἀπὸ τῶν πεμφθέντων ἐπ' Ἀταλάντην μήλων· προὔκειτο γὰρ τῷ νικῶντι δρόμῳ τὴν Ἀταλάντην ἔπαθλον ὁ ταύτης γάμος· ὁ γοῦν Ἱππομένης, εἰς* [25] *ἅμιλλαν καταστὰς, βουλόμενος αὐτὴν νικῆσαι, χρυσὰ μῆλα ἔῤῥιψε, καὶ περὶ τὴν τούτων συλλογὴν ἐκείνης ἀσχολουμένης, οὗτος ταύτην ὑπερέβαλε.*

Βαλάντιον [26] *ἐρώντων φύλλῳ πράσου δέδεται· παρόσον οἱ ἐρῶντες εὐκόλως καταναλίσκουσιν.*

Τὸ β μετὰ τοῦ δ.

Βδέλυγμα ἐρημώσεως [1]*· ἦγουν εἴδωλον καὶ ἐκτύπωμα καὶ σημεῖον τῆς ἐρημώσεως· ἦσαν δὲ εἰκόνες τινὲς ἀπηγορευμέναι τῷ νόμῳ, εἰς τοῦτο εἰσκομιζόμεναι, ὃ δὴ Πιλάτος πεποίηκε* [2]*· λέγεται δὲ ἐπὶ τῶν ἐβδελυγμένων.*

23) Apost. Cent. V. 50. Macar. *βατράχῳ ὕδωρ, ὡς γαλῇ στέαρ.* cetera ut Arsen.

24) Apost. Cent. V. 51. Erat mos amantium *τὸ μηλοβολεῖν.* Theocrit Id. V. 88.

Βάλλει καὶ μάλοισι τὸν αἰπόλον ἃ Κλεαρίστα,
Τὰς αἶγας παρελεῦντα, καὶ ἁδύ τι ποππυλιάσδει.

Cfr. Id. VI. 6. Virgil. Ecl. III. 64.

Malo me Galatea petit, lasciva puella,
Et fugit ad salices, et se cupit ante videri.

Scorta in juvenes mala conjecisse apparet ex Aristoph. Nub. 996. *ἵνα μὴ — — — μήλῳ βληθεὶς ὑπὸ πορνιδίου τῆς εὐκλείας ἀποθραυσθῇς.* Cfr. Coray ad Heliod. III. p. 118. Boisson. ad Nicet. p. 324. Creuzer Symbol. T. III. p. 495. — Aliter Plut. Alex. c. 51. *οὐκέτι φέρων τὴν ὀργὴν Ἀλέξανδρος, μήλων παραχειμένων ἐνὶ βαλὼν ἔπαισεν αὐτὸν, καὶ τὸ ἐγχειρίδιον ἐζήτει.*

25) *Εἰς* deest in Mosc., excidisse conjecit Matth.: est in Laur. et Apost.

26) Laur. om. — Macar. addit: *Βακτηρία καὶ σχῆμα καὶ τριβώνιον· τοῦτο ἔσκωπτον τοὺς Ἀθήνῃσι δικαστάς.*

1) Apost. Cent. V. 52. Daniel XI. et XII.

2) Matth. XXIV. 15. Pantinus supplet ex Suida: *νύκτωρ εἰς τὸν ναὸν τοῦ βασιλέως εἰκόνα εἰσαγαγών*, quae verba in versione exprimit.

Βδάλλειν [3], *τὸ ἀμέλγειν· παρὰ τὸ βίᾳ ἐκθλιβόμενον ἀδδίσκειν τὸ γάλα. Κλήμης* [4] *οὕτως ἡ μετάδοσις ἀγαθὴ φιλανθρωπίας ὑπάρχουσα πηγὴ, κοινωνοῦσα τοῖς διψῶσι πότου, αὔξεται πάλιν καὶ πίμπλαται, ὃν τρόπον ἐπὶ τοὺς θηλαζομένους ἢ καὶ βδαλλομένους μαστοὺς ἐπιῤῥεῖν εἴωθε τὸ γάλα.*

Τὸ β μετὰ τοῦ ε.

Βεκκεσέληνε [5]*· ἀρχαῖε καὶ ἀνόητε· σύγκειται ἡ λέξις ἀπὸ τοῦ βέκκος* [6]*, ὁ ἄρτος, κατὰ διάλεκτον τῶν Λυδῶν, καὶ τοῦ σελήνη· ἀμφότερα γὰρ ἀρχαῖα.*

Βέλτερος [7] *ἀλκήεντος ἔφυσε σοφισμένος ἀνήρ.*

Βεβαιοτέραν [8] *τὴν φιλίαν ἔχε πρὸς τοὺς γονεῖς.*

Βέβαιον [9] *οὐδέν ἐστιν ἐν θνητῷ βίῳ,*
Βιοῖ γὰρ οὐδεὶς, ὃν προαιρεῖται τρόπον.

Τὸ β μετὰ τοῦ η.

Βησᾶς ἔστηκεν [10]*· ἐπὶ τῶν ὑπομώρων· οὗτος γὰρ ἕστηκεν ἀχανὴς καὶ παταγώδης καὶ ὑπόμωρος.*

Βὴξ ἀντὶ πορδῆς [11]*· ἐπὶ τῶν περδόντων καὶ προσποιουμένων βήττειν ἢ γελᾶν, ὃ ἐκλαμβάνεται ἐπὶ τῶν ἐν ἀπορίᾳ τι πράττειν προσποιουμένων.*

Τὸ β μετὰ τοῦ ι.

Βίαντος [1] *Τευταμίδου Πριηνέως δίκη· οὐ-*

5) Non est in Laur. Alciphr. III. 16. *βδάλας τὰ αἰγίδια* ubi Wagner.

4) Paedagog. III. 7, p. 277. 27.

5) Apost. Cent. V. 54. Apogr. Dresd. *Βεκκαισέληνε.* Aristoph. Nub. 398. *ὦ μῶρε σὺ καὶ κροκίων ὄζων καὶ βεκκασέληνε.*

6) Herōd. II. init.

7) Apost. Cent. V. 55. addit *Φωκυλίδου ἀπόφθεγμα.* In Laur. hoc cum tribus sqq. deest.

8) Stob. T. 79. 31. *Χαιρήμονος.*

9) Stob. T. 105. 47. *Λυσίου.*

10) Apost. Cent. V. 56. ultima verba *καὶ παταγ. κ. ὑπομ.* non habet.

11) Apost. Cent. V. 57.

1) Apost. Cent. V. 58. Idem

τος εἷς τῶν ἑπτὰ σοφῶν ἦν, λέγεται δὲ εἰς τὰς δίκας δεινὸς γεγονέναι· οὗτος δίκην ὑπέρ τινος λέξας, ἤδη ὑπέργηρως ὢν, μετὰ τὸ καταπαῦσαι τὸν λόγον, ἀπέκλινε τὴν κεφαλὴν εἰς τοὺς τῆς θυγατρὸς υἱοῦ κόλπους. Εἰπόντος δὲ καὶ τοῦ ἐναντίου καὶ τῶν δικαστῶν τὴν ψῆφον ἐνεγκόντων τῷ ὑπὸ τοῦ Βίαντος βοηθουμένῳ λυθέντος τοῦ δικαστηρίου νεκρὸς ἐν τοῖς κόλποις εὑρέθη. Καὶ αὐτὸν μεγαλοπρεπῶς ἔθαψεν ἡ πόλις, εἰς ὃν [2] καὶ Διογένους τοῦ Λαερτίου τόδε τὸ ἐπίγραμμα φέρεται·

Ἐ π ί γ ρ α μ μ α.

Τῆδε Βίαντα κέκευθε, τὸν [3] ἀτρέμας ἤγαγεν Ἑρμῆς
Εἰς Ἀΐδην πολιῷ γήραϊ νιφόμενον.
Εἶπε γὰρ, εἶπε δίκην ἑτέρου τινὸς, εἶτ' ἀποκλινθεὶς
Παιδὸς ἐς ἀγκαλίδας μακρὸν ἔτεινεν ὕπνον.

Βίον [4] Κύκλωπος· τὸν ἀνόσιον καὶ ὠμὸν, οἱ γὰρ Κύκλωπες οὔτε Διὸς αἰγιόχου, καθ' Ὅμηρον, οὔτε θεῶν μακάρων ἀλέγουσιν.

Βίον [5] μεμαγμένον· ἐπὶ τῶν εὐδαιμονιζόντων ἐπὶ πολυτελεῖ καὶ ἡδεῖ βίῳ.

Βίον ἀκανθώδη [6]· τὸν τραχὺν καὶ σκληρόν.

Βιβλίον [7] τοὐμὲν μέθυ· πρὸς τοὺς διαφθειρομένους τινα ἔργα· ἢ ἐπὶ τῶν φιλολόγων.

inde a verbis οὗτος δίκην ὑπέρ τινος λέξας in apophth. impr. exstat (sumtum ex Diog. Laërt. I. segm. 84.), ubi alterum additur epigramma:

Ἕτερον εἰς τὸν αὐτόν.
Κλεινοῖς ἐν δαπέδοισι Πριήνης φύντα καλύπτει
Ἥδε Βίαντα πέτρα, κόσμον Ἴωσι μέγαν.

2) Sequentia verba cum epigrammate Apost. non habet: in Laur. interjectis duobus provv. titulus est: Διογένους Λαερτίου ἐπίγραμμα εἰς Βίαντα.

3) Codd. κεκεύθατον.

4) Laur. non habet.

5) Apost. Cent. V. 60. verba ultima ἐπὶ πολυτελεῖ, κ. ἡ. β. non habet. Macar. βίος μεμαγμένος, ἐπὶ τῶν ἀπόνως τρεφομένων.

6) Apost. Cent. V. 61.

7) Apost. Cent. V. 62.

Βίοι ἀνθρώπων καὶ φυτῶν σπέρματα συνεξομοιοῦνται ταῖς χώραις.

Βία [8] *πενήτων πλουσίων παράκλησις, παρόσον οἱ μὲν πένητες ἀναγκάζονται· οἱ δὲ πλούσιοι θρύπτονται καὶ θωπεύονται.*

Βίος [9] *ἀνεόρταστος, μακρὴ ὁδὸς ἀπανδόκευτος.*

Βίον [10] *καλὸν ζῆν, ἂν γυναῖκα μὴ ἔχῃς.*

Βίος βίου δεόμενος οὐκ ἔστι βίος.

Τὸ β μετὰ τοῦ λ.

Βλέπειν [11] *γὰρ ἄντικρυς δόξεις μ' Ἄρην' ἐπὶ τῶν ὑπισχνουμένων παντὶ σθένει συμπράττειν.*

Βλέπει [12] *τὸ στῆθος ἀετὸς τρωθεὶς πάλαι,*
Ἀλγῶν δὲ λοιπὸν ἦστο πολλὰ δακρύων,
Βλέπων δ' ὀϊστὸν εἶπεν ἐπτερωμένον,
Βαβαὶ πτερούν με τὸν πτερωτὸν ὀλλύει.

Βλακὸς ἀχρηστότερος [13]*· εἴρηται ἀπὸ ἰχθύος τινὸς ὁμοίου σιλούρῳ. Ἀχρήστου δὲ οὕτως, ὡς μηδὲ κύνα αὐτῷ χρῆσθαι· οἱ δὲ ἀπὸ τοῦ πρὸς τῇ Κύμῃ χωρίου Βλακείας, οὗ μέμνηται καὶ Ἀριστοτέλης· καὶ ἐν Ἀλεξανδρείᾳ δὲ τέλος τὸ βλακεννόμιον, ὃ οἱ ἀστρολόγοι τελοῦσι διὰ τὸ τοὺς μόρους εἰσιέναι εἰς* [14] *αὐτούς.*

Τὸ β μετὰ τοῦ ο.

Βοῦς Κύπριος εἶ [1]*· ἤτοι κοπροφάγος· τοιοῦτοι γὰρ οἱ ἐκεῖσε* [2] *βόες.*

8) Apost. Cent. V. 63.

9) Apost. Cent. V. 59. addit *Δημοκρίτου τὸ παροιμιῶδες ἀπόφθεγμα.* Cfr. Stob. T. 16. 21.

10) Stob. T. 68. 20. Apogr. Dresd. *ἂν μὴ γυν.* — A Laur. hoc et sq. prov. abest.

11) Apost. Cent. V. 64. ex Aristoph. Plut. 328.

12) Laur. om.

13) Apost. Cent. V. 65. Apogr. Dresd. *χρηστότερος.*

14) Praepositioni *εἰς* inscriptum *πρός.* Matth. Laur. *πρός.*

1) Apost. Cent. V. 66. Boves Cyprios contra tormina hominum excrementis mederi sibi solitos esse refert Plin. H. N. XXVIII. 20. Cfr. Fisch. ad Aristoph. Plut. 706.

2) Apost. *ἐκεῖ.* Recte dicitur

Βοῦς ὁ Μολοττῶν [3]· *ἐπὶ τῶν εἰς πολλὰ διαιρουμένων πράγματα· οἱ γὰρ Μολοττοὶ τοὺς βόας ἐν ταῖς ἑορταῖς εἰς πολλὰ διέτεμνον.*

Βοῦς ἐπέβη [4]· *ἐπὶ τῶν ἐξαίφνης σιωπώντων· τὸ γὰρ ἀργύριον βοῦν εἶχε τῶν Ἀθηναίων· οἱ οὖν δωροδοκούμενοι ἐσιώπων.*

Βοῦς ὑπὸ ζυγόν· ἐπὶ τῶν μοχθούντων ἀεί.

Βοῦν ἐπὶ γλώττης φέρει [5]· *ἐπὶ τῶν μὴ δυναμένων παῤῥησιάζεσθαι· ἁρμόζει δὲ ἐπὶ τῶν ῥητόρων τῶν λαμβανόντων νομίσματα, ὑπὲρ τοῦ μὴ κατηγορῆσαί τινα, ἀλλὰ σιωπῆσαι.*

Βοῦς ἕβδομος [6]· *πέμματα, κέρατα ἔχων κατὰ μίμησιν τῆς πρωτοφαοῦς σελήνης. ἐκάλουν δὲ αὐτὸ βοῦν, προστιθέντες καὶ τὸν ἕβδομον, ὅτι ἐπὶ ἓξ ταῖς σελήναις* [7]

ἐκεῖσε pro ἐκεῖ. Eurip. Alc. 375. ἐκεῖσε προσδόκα μ' ὅταν θάνω. Julian. Caes. p. 307. C. ἐκεῖσε τεχθείς. Misopag. p. 359. B. ἐπειδὴ παρὰ τὸν ἐκεῖσε βασιλέα πρῶτον ἀφίκετο. p. 360. A. ἐτράφην ἐκεῖσε. Long. Pastoral. τοῖς μὲν οὖν θεοῖς ἐκεῖσε παρεσκεύαστο τὸ συμπόσιον, ubi Villois. p. 228.

3) Apost. Cent. V. 67.

4) Apost. Cent. V. 68. Theogn. 813.

Βοῦς μοι ἐπὶ γλώσσης κρατερῷ ποδὶ λὰξ ἐπιβαίνων
Ἴσχει κωτίλλειν, καίπερ ἐπιστάμενον.

Eustath. Opusc. p. 168. l. 28. ed. Tafel. Ἀλλὰ ταῦτα μὲν, ἐξ ὧν μοι ὁ ὄκνος, καὶ δι' ὧν, οὐ μόνον βοῦς ἐπὶ γλώττῃ, τοῦτο δὴ τὸ σκῶμμα τοῦ ἀργὰ λαλεῖν, ὡς ἐάν τις εἴη βούγλωσσος, ἀλλὰ καὶ λίθος ὥσει καὶ λάκκῳ δυσχερτουμένου ὕδατος ἐπέκειτο. Clem. Strom. V. 4. p. 661. Ναὶ τὰν Ὄλυμπον καταδερκομέναν σκαπτοῦχον Ἥραν, ἔστι μοι πιστὸν ταμιεῖον ἐπὶ γλώσσης, ἡ ποιητικὴ φησιν. Ὅ τε Αἰσχύλος· ἀλλ' ἔστι κἀμοὶ κλεὶς ἐπὶ γλώσσῃ φύλαξ. Cfr. Blomf. ad Aesch. Ag. 35. Bovis typum nummis Atticis impressum cum fabulam esse demonstraverit Eckhel Doctr. Numm. T. II. p. 207., de boja, i. e. γλωττοπίδῃ sive camo cogitavit Lobek Aglaoph. I. p. 36.

5) Apost. Cent. V. 74. Macar. βοῦς ἐπὶ γλώσσῃ· ἐπὶ τῶν μὴ δυναμένων ἐκ δωροδοκίας παῤῥησιάζεσθαι.

6) Apost. Cent. V. 76. Macar. ἐπὶ τῶν ἀναισθήτων· οἱ γὰρ πένητες τῶν Ἀθηναίων ἓξ ἀεὶ θύοντες ἔμψυχα, πρόβατον, ὖν, αἶγα, ὄρνιν, βοῦν, χῆνα, ἕβδομον ἐπέθυον πέμμα τετράγωνον· ἐπειδὴ τοίνυν ἀναίσθητον ἐδόκει τὸ ζῶον, ἐπισκώπτοντες τοὺς ἀνοήτους ἐκάλουν βοῦν ἕβδομον.

7) Codd. τῆς σελήνης.

ἐπεθύετο οὗτος ἕβδομος, ὡς Εὐθυκλῆς ἐν Ἀταλάντῃ· τάττεται δὲ ἐπὶ τῶν ἄγαν ἀναισθήτων· οἱ δέ φασιν ἕβδομον βοῦν, ὅτι οἱ πέντε ἔθυον ἔμψυχα ἓξ, πρόβατον, ὗν, αἶγα, ὄρνιν, πετεινὸν, χῆνα, καὶ ἕβδομον βοῦν.

Βοῦς [8] ἔνθα τὸν μόσχον ἀφῃρέθη, ἐνταῦθα ἐλθοῦσα ὀδύρεται μυκηθμῷ συντρόφῳ τὸ πάθος· καὶ βόες μέντοι ὑπὸ ζυγὸν ἰέναι θέλοντες, οἱ μὲν μειδιῶσιν [9], οἱ δὲ ἐπὶ πόδα ἀναχωροῦσιν· ἵππος δὲ ἄρα καὶ ὅταν ἀκούσῃ ψαλλίων κρότον καὶ χαλινοῦ κτύπον, καὶ προστερνίδια θεάσηται, φριμάττεται ἐνταῦθα, καὶ τὰς ὁπλὰς σκιρτῶν ἐπικροτεῖ καὶ ἐνθουσιᾷ· βοῦς [10] δ' ἢν καταπίῃ βούπρηστιν, ἔστι δὲ ζῶον, πίμπραται καὶ ῥηγνύμενος, ἀπόλλυται οὐ κατὰ μακρόν [11].

Βοῦς εἰς ἀμητόν [12]· ἐπὶ τῶν ἐπ' ὠφελείᾳ καμνόντων· Πτολεμαίῳ τῷ δευτέρῳ, φασὶν, ἐξ Ἰνδῶν κέρας ἐκομίσθη, καὶ τρεῖς ἀμφορέας ἐχώρησεν. Οὗτος ἄρα βοῦς ἦν, ὡς ἐκπεφυκέναι οἱ τηλικοῦτον κέρας.

Βοῦς ἐν αὐλίῳ γέρων [13]· ἐπὶ τῶν δι' ἀσθένειαν ἡσυχαζόντων.

8) Apost Cent. V. 76. ex Aelian. H. A. VI. 10.

9) Humani affectus ad animalia transferuntur: Long. Pastoral. p. 55. Villois. σκιρτῶντα (sc. πρόβατα) καὶ βληχώμενα, καὶ ὅμοια χαίρουσιν, ubi vide editorem.

10) Aelian. VI. 34. Mosc. βούβρηστιν.

11) Codd. μικρόν. Confusio non infrequens. Paus. I. 23. 4. οὐ μὴν οὐδὲ Μαλιεῦσι παρέμεινε μελέτη τῶν τόξων, δοκῶ δὲ οὔτε πρότερον ἐπίστασθαι σφᾶς, πρὶν ἢ Φιλοκτήτην, παύσασθαί τε οὐ διὰ μακροῦ. Riccard. μικροῦ. Joseph. b. j. II. 17. 6. καὶ τοῖς χρήμασιν αὐτὸς οὐκ εἰς μικρὰ κατεχρῆτο. Par. 1425. εἰς μακρὰν κατεχρήσατο. Liban. Progymn. p. 885. Reisk. πάσας γὰρ δὴ μικρῶν χεῖρας ὑπερέβαλλεν ἡ περὶ ταῦτα τέχνη. Reisk. f. μικροῦ. Camerar. μακρῷ. Bast in epimetro ad epist. crit. in ed. Lips. Pluti Hemst. p. XXV. δημιουργῶν. Cfr. Jacobs. ad Achill. Tat. p. 628. Boisson. ad Philostr. p. 361. ad Nicet. I. 182. III. 179. VI. 297. ad Anecd. Vol. I. p. 450. Trendelenb. ad Aristoph. Ran. 55. Dorvill. ad Char. p. 595.

12) Apost. Cent. V. 77. Quae de cornu ad Ptolemaeum perlato referuntur, sumta sunt ex Aeliano H. A. III. 34.

13) Apost. Cent. V. 78. Macar. βοῦς ἐναύλιος· ἐπὶ τῶν εἰς

Βοῦς [14] *ἐπὶ σωρῷ· ἐπὶ τῶν ἡδυπαθούντων.*

Βουδόρῳ νόμῳ [15]*· ἐπὶ τῶν ἀξίων δέρεσθαι, ὡς οἱ βόες.*

Βοιώτιος νόμος [16]*· ἐπὶ τῶν τὰς ἀρχὰς μὲν ἠρεμαίως ἐχόντων, αὖθις δὲ σφοδρῶς ἐπιγινομένων.*

Βότρυς [17] *πρὸς βότρυν πεπαίνεται· ἐπὶ τῶν ἐξισοῦσθαι φιλονεικούντων.*

Βοιώτιος ὗς [18]*· ἐπὶ τῶν ἀπαιδεύτων· εἰς τοῦτο γὰρ ἐσκώπτοντο οἱ Βοιωτοί· ἡ* [19] *δὲ παροιμία ἐντεῦθεν. Ὕαντες ἔθνος βάρβαρον ἀρχαῖον κατῴκησαν τὴν Βοιωτίαν· ἐκ μεταφορᾶς δὲ τοῦ ὀνόματος ἀντὶ τοῦ Ὕαντας λέγειν ὗς ἐκάλεσαν, ὥστε καὶ τοῖς ὕστερον διαδοθῆναι λέξιν ἐπὶ τῶν Βοιωτῶν· καὶ λοιπὸν νομισθῆναι διὰ τὴν πολλὴν ἀλογίαν καὶ ἀγροικίαν οὕτως ἐξ ἀρχαίου αὐτοὺς κεκλῆσθαι* [20]*· τοὺς δὲ βουλομένους εἰς ἀπαιδευσίαν* [21] *σκώπτειν τινὰς τοῦτο λέγειν· Βοιωτία ὗς.*

Βουλείας [22] *δικάζει· ἐπὶ τῶν τὰς κρίσεις ὑπερτιθεμένων ἀεὶ δικαστῶν.*

μηδὲν χρησιμευόντων. Βοῦς ἐν τῷ αὐλείῳ καταλείπομαι de iis dici, qui suis cari esse desierunt, notat Villois. ad Long. p. 276.

14) Apost. Cent. V. 79.

15) Apost. Cent. V. 69.

16) Apost. Cent. V. 70. Macar. *ἐπὶ τῶν τὰς ἀρχὰς μὲν ἠρεμούντων, ὕστερον δὲ ἐπιτεινόντων.*

17) Apost. Cent. V. 72. Laur. *ῥόβρυς.*

18) Apost. Cent. V. 80. Macar. *Βοιωτία ὗς, ἐπὶ τῶν ἀναισθήτων καὶ ἀπαιδεύτων.* Pind. Ol. VI. 151. *γνῶναί τ' ἔπειτ', ἀρχαῖον ὄνειδος ἀλαθέσιν λόγοις εἰ φεύγομεν, Βοιωτίαν ὗν.*

19) Mosc. *οἱ δὲ παρ.* Mox *δὲ* post *ἐκ μεταφορᾶς* uterque Cod. om.

20) Mosc. *καλεῖσθαι.* Suprascriptum *κεκλῆσθαι.* Matth. Ita Apost. et Laur.

21) Mosc. *ἀπαισίαν.*

22) Apost. Cent. V. 75. Mosc. om. Consentit Macar.: nisi quod habet *Βουλίας.* Ludus hic in nominibus fingendis non est infrequens: habuimus supra *Ἀκεσίας ἰώσατο.* Apud Macar. est prov. *δεινὰ τὰ δεινά, ἐπὶ τῶν σφόδρα χαλεπῶν, τὸ δὲ αἰ-*

Βοῦς ἐν πόλει [23]· *ἐπὶ τῶν θαυμαζομένων. Λυσία γὰρ ἐν ἀκροπόλει βοῦν ἀνέθηκεν.*

Βοιώτια αἰνίγματα [24]· *ἐπὶ τῶν ἀσυνέτων· Βοιωτὴ γὰρ ἡ Σφίγξ.*

Βορβόρῳ [25] *ὕδωρ λαμπρὸν μιαίνων οὔποθ' εὑρήσεις ποτόν· ἐπὶ τῶν τὰ κάλλιστα μιγνύντων τοῖς αἰσχίστοις.*

Βοῶν [26] *ὦτα ἔχετε· ἐπὶ τῶν μὴ συνιέντων· Ἀναξαγόρας γὰρ ἀναγινώσκων παρὰ Βοιωτοῖς τὸ τῆς Θηβαΐδος γράμμα, ἐπεὶ οὐδεὶς ἐπεσημαίνετο, κλείσας τὸ βιβλίον, εἰκότως, ἔφη, καλεῖσθε Βοιωτοὶ, βοῶν γὰρ ὦτα ἔχετε.*

Τὸ β μετὰ τοῦ ρ.

Βρασίδας [27] *μὲν ἀνὴρ ἀγαθὸς, ἃ δὲ Λακεδαίμων πολλῶς ἔχει τήνω κἀῤῥόνας· ἐπὶ τῶν ἑαυτοὺς οἰομένων κρείσσους εἶναι τῶν ἄλλων.*

Βοιώτειον οὖς [28]· *ἐπὶ τῶν ἀναισθήτων.*

Βραχεῖ [29] *λόγῳ δὲ πολλὰ πρόσκειται σοφά.*

λειον· δεινὰ τὰ δεινὰ καὶ δεινότερα Δεινίου.

23) Apost. Cent. V. 85.

24) Apost. Cent. V. 81. Macar. *ἐπὶ τῶν ἀσυνέτων, ἐκ μεταφορᾶς τῆς Σφιγγός.*

25) Apost. Cent. V. 85. Macar. *βορβόρῳ θ' ὕδωρ λαμπρὸν λαμβάνων οὔποθ' εὑρήσῃς ποτόν. Ἐπὶ τῶν τὰ καλὰ μιγνύντων τοῖς αἰσχίστοις.* Verba haec Aeschyli Eumenid. 680. ad immutationes in Areopago constituendo ab Ephialte intentatas apte relata a Döderlino (in Progr. Erlang. MDCCCXX.) colorem ferre videntur Pythagoreum, collata Lysidis epistola ad Hipparchum apud Jambl. Vita Pythagorae p. 75. *ἐγχίρναντι γὰρ ἥδεσι τεταραγμένοις καὶ θολεροῖς θεωρήματα καὶ λόγως θείως· καθάπερ εἴ τις εἰς φρέαρ βαθὺ βορβόρου πλῆρες ἐγχέοι καθαρὸν καὶ διειδὲς ὕδωρ· τόν τε γὰρ βόρβορον ἀνετάραξε καὶ τὸ ὕδωρ ἠφάνισεν.*

26) Apost. Cent. V. 82.

27) Apost. Cent. V. 86. Codd. *τήνου κἀῤῥόνας.* Vide infra Apophthegmata.

28) Apost. Cent. V. 89. Codd. *βρώτειον οὖς.*

29) Stob. T. 35. 4. *Σοφοκλῆς Ἀλήτῃ.*

Βραχύ [30] τοι σθένος ἀνδρὸς, ἀλλὰ ποικιλίαι πραπίδων.

Βώλοις ἄρουραν [31] ἐπὶ τῶν τοῖς μικροῖς χαριζομένων τοὺς μεγάλους.

Βώμαξ [32] εἶ καὶ βωμολόχος· οὗτος ἀπὸ τῶν βωμῶν πρὶν [33] καρπωθῆναι αἴρων· τάσσεται δὲ ἐπὶ τῶν μαλακιζομένων.

ΑΠΟΦΘΕΓΜΑΤΑ.

Βίαντος.

Βίας [1] ὁ Τευταμίδου Πριηνεὺς εἶπε, μακάριός ἐστιν ὁ πλουτῶν, καὶ ὧν ἐπιθυμεῖ ἀπολαύων, ὁ δὲ μὴ ἐπιθυμῶν μακαριώτερος.

Ὁ αὐτὸς εἶπε [2], δεῖ τὸν ἀγαθὸν ἄνδρα μεμνῆσθαι μὲν τῶν γεγενημένων, πράττειν δὲ τὰ ἐνεστῶτα, περὶ δὲ τῶν μελλόντων ἀσφαλίζεσθαι.

Ὁ αὐτὸς ἐρωτηθεὶς, τίς ἄριστος σύμβουλος, ἔφη, ὁ καιρός.

* Ὁ αὐτὸς ἔλεγε, ψυχῆς μέγας χαλινὸς ἐστιν ὁ νοῦς.

Ὁ αὐτὸς εἶπε, κρατίστην εἶναι δημοκρατίαν, ἐν ᾗ πάντες ὡς τύραννον φοβοῦνται τὸν νόμον.

Ὁ αὐτὸς [3] ἔφη, οἱ ἀγαθοὶ εὐαπάτητοι.

30) Stob. T. 54. 6. Laur. om.

31) Apost. Cent. V. 88. Laur. addit post μεγάλους· ἐπὶ τῶν τὰ κάλλιστα μιγνύντων τοῖς αἰσχίστοις.

32) Apost. Cent. V. 87.

33) Πρίν Mosc. om. Macar. addit: Βοῦτος περιφοιτᾷ· ἐπὶ τῶν εὐήθων καὶ παχυτάτων. — Βουλήσεταί τις μᾶλλον ἢ δυνήσεται· ἐπὶ τῶν προαιρουμένων μὲν ἀδικῆσαι, οὐ δυναμένων δέ. — Βοῦς ἐπὶ φάτνην· ἐπὶ τῶν ἐπὶ τὰ συνήθη καὶ ἥδιστα ἀφικνουμένων. (Od. λ. 410. Philostr. Im. II. 10. τὸ δὲ κυριώτατον τῆς σκηνῆς Ἀγαμέμνων ἔχει, κείμενος οὐκ ἐν πεδίοις Τρωϊκοῖς — ἀλλ' ἐν μειρακίοις καὶ γυναίοις, βοῦς ἐπὶ φάτνῃ· τουτὶ γὰρ τὸ μετὰ τοὺς πόνους τε καὶ τὸ ἐν δείπνῳ.)

1) Laur. Βίας εἶπεν ὁ Τευταμίδου· μακάριος etc.

2) Laur. om.

3) Stob. T. 37. 36. Laur. om.

Ὁ αὐτὸς [4] θανάτῳ τινὰ καταδικάζων, ἐδάκρυσεν· εἰπόντος δέ τινος, τί παθὼν αὐτὸς καταδικάζων κλαίεις; εἶπεν, ὅτι ἀναγκαῖόν ἐστι τῇ μὲν φύσει τὸ συμπαθὲς ἀποδοῦναι, τῷ δὲ νόμῳ τὴν ψῆφον.

Ὁ αὐτὸς [5] συμπλέων ποτὲ ἀσεβέσι, χειμαζομένης τῆς νηὸς, κἀκείνων θεοὺς ἐπικαλουμένων, σιγᾶτε, ἔφη, μὴ αἴσθωνται ὑμᾶς ἐνθάδε πλέοντας.

Ὁ αὐτὸς τοὺς αἰτουμένους [6] παρὰ τῶν θεῶν φρένας ἀγαθὰς, καὶ μὴ ἑαυτοὺς παιδεύοντας, ἀναισθήτους ἔφασκεν εἶναι, οὔτε γὰρ ζωγράφον εὐχόμενον εἶναι τοῖς θεοῖς δοῦναι αὐτῷ γραμμὴν καὶ εὔχροιαν λαβεῖν, ἂν μὴ μάθῃ [7] τὴν τέχνην, οὔτε μουσικὸν γενέσθαι ποτ' ἄν, ἕνεκεν εὐχῆς, εἰ μὴ τὰ μουσικὰ μάθοι, τὸν δὲ αὐτὸν τρόπον οὐδ' ἂν φρόνιμόν τινα γενέσθαι εὐχόμενον, εἰ μὴ τούτων τὴν μάθησιν λάβοι.

Ὁ αὐτὸς [8] ἐρωτηθεὶς, τί δυσχερές, τὴν ἐπὶ τὸ χεῖρον, ἔφη, μεταβολὴν εὐγενῶς ὑπενεγκεῖν.

Ὁ αὐτὸς ἔλεγεν, οἱ πλεῖστοι ἄνθρωποι κακοί.

Χρὴ πρῶτον αὐτὸν ἐμβλέψαντα πράττειν, εἰ μὲν καλὸς φαίνῃ, καλὰ ποιεῖν, εἰ δὲ αἰσχρὸς, τὸ τῆς φύσεως ἐλλιπὲς διορθοῦν.

Ἄσκει καλοκἀγαθίαν. Βραδέως ἐγχείρει, ὃ δ' ἂν ἄρξῃ, διαβεβαιοῦ. Μίσει τὸ ταχὺ λαλεῖν. Μὴ εὐήθης ἴσθι, μήτε κακοήθης. Ἀφροσύνην μὴ προσδέχου. Φρόνησιν ἀγάπα. Πάντοτε λέγε, ὡς εἰσὶ θεοί. Νόει τὸ πραττόμενον. Ἄκουε πολλά. Λάλει καίρια. Πένης ὢν πλουσίοις μὴ ἐπιτίμα, ἢν μὴ μέγα ὠφελῇς. Ἀνάξιον ἄνδρα μὴ ἐπαίνει διὰ πλοῦτον. Πείσας λαβέ. Κτῆσαι ἐν μὲν νεότητι εὐπραξίαν, ἐν δὲ τῷ γήρᾳ σοφίαν. Ἕξεις

4) Stob. T. 46. 67.
5) Diog. Laërt. I. segm. 86.
6) Mosc. αἰτιωμένους.
7) Mosc. ἂν μὴ μάθῃ. Laur. εἰ μὴ μάθοι.
8) Hoc et sqq. usque ad δόξῃ ἡγεμονίαν Laurentiano debentur: nonnulla habet Diog. Laërt. segm. 86. 88.

ἔργῳ μνήμην, καιρῷ εὐλάβειαν, πλούτῳ δειλίαν, λόγῳ πειθώ, σιγῇ κόσμον, γνώμῃ ἀνδρείαν, πράξει δυναστείαν, δόξῃ ἡγεμονίαν.

Ὁ αὐτὸς ἀτυχῇ εἶναι ἔφη τὸν ἀτύχειαν μὴ φέροντα.

Ὁ αὐτὸς [9] ἐρωτηθεὶς, τί ἂν εἴη τῶν κατὰ βίον ἄφοβον, εἶπεν, ὀρθὴ συνείδησις.

Ὁ αὐτὸς, ἐπικαλουμένου τινὸς τὸν θάνατον ἐπὶ τέκνων ἀπωλείᾳ, ἔφη, τί αὐτὸν καλεῖς, ἄνθρωπε, ὃς κἂν μὴ καλέσῃς, ἥξει.

Ὁ αὐτὸς ἐρωτηθεὶς, ποῖος τῶν θανάτων κακὸς, ἔφη, ὁ ἀπὸ τῶν νόμων ἐπαγόμενος [10].

* Βίας ἐνεδρευθεὶς ὑπὸ Ἰφικράτους τοῦ Ἀθηναίων στρατηγοῦ καὶ ἐρωτώμενος ὑπὸ τῶν στρατιωτῶν, τὶ δεῖ ποιεῖν, τί ἄλλο, ἔφη, ἢ ὑμᾶς μὲν σώζεσθαι, ἐμὲ δὲ μαχόμενον ἀποθανεῖν.

Βίωνος.

Βίων [11] ὁ Βορεισθενίτης ἔλεγε καταγελάστους εἶναι τοὺς σπουδάζοντας περὶ τὸν πλοῦτον, ὃν τύχη μὲν παρέχει, ἀνελευθερία δὲ φυλάττει, χρηστότης δὲ ἀφαιρεῖται.

* Ὁ αὐτὸς πρὸς τὸν Θέογνιν λέγοντα·

Πᾶς γὰρ ἀνὴρ πενίῃ δεδμημένος, οὔτε τι εἰπεῖν
Οὔτ᾽ ἔρξαι δύναται, γλῶσσα δὲ οἱ δέδεται,

πῶς σὺ πένης ὢν, ἔφη, φλυαρεῖς τοσαῦτα καὶ καταδολεσχεῖς ἡμῶν.

Ὁ αὐτὸς [12] ἔλεγεν, ὥσπερ τὰ φαῦλα τῶν βαλαντίων, κἂν μηδενὸς ᾖ ἄξια, τοσούτου [13] εἰσὶν ἄξια, ὅσον ἐν ἑαυτοῖς τὸ νόμισμα ἔχουσιν, οὕτω καὶ τῶν πλουσίων τοὺς οὐδενὸς ἀξίους καρποῦσθαι τὰς ἀξίας ὧν κέκτηνται.

9) Stob. T. 24. 11.

10) Sequitur in impr. Ὁ αὐτὸς, *δίκην ὑπέρ τινος λέξας*· idem quod supra inter provv. *Βίαντος Τευταμίδου Πριηνέως δίκη* relatum est.

11) Stob. T. 95. 54.

12) Stob. T. 91. 32.

13) Codd. et impr. *τοσοῦτον*.

Ὁ αὐτὸς ἔφη [14], τὰ χρήματα τοῖς πολλοῖς ἡ τύχη οὐ δεδώρηται, ἀλλὰ δεδάνεικεν.

* Ὁ αὐτὸς ἔλεγεν, ἡ τύχη ὥσπερ ποιήτρια, ὁτὲ μὲν πρωτολόγου, ὁτὲ δὲ ὑστερολόγου περιτίθησι πρόσωπον, καὶ ὁτὲ μὲν βασιλέως, ὁτὲ δὲ ἀλήτου.

Ὁ αὐτὸς [15] ἰδών τινα φθονερὸν σφόδρα κεκυφότα, εἶπεν, ἢ τούτῳ μέγα κακὸν συμβέβηκεν, ἢ ἄλλῳ μέγα ἀγαθόν.

* Ὁ αὐτὸς ἔλεγε, δεῖ τὸν ἄρχοντα παυόμενον τῆς ἀρχῆς μὴ πλουσιώτερον, ἀλλ᾽ ἐνδοξότερον γεγονέναι [16].

Βοιωτός.

Βοιωτὸς ἐντυχὼν θησαυρῷ μετὰ ἑβδομήκοντα ἔτη, ἐπάρας τὸ σκέλος ἀπεματάϊσε καὶ πυρῆλθεν, ὡς οὐκέτι οὐδὲν ὄντα πρὸς αὐτόν.

Βοιωτῶν [17] ἔνιοι τοὺς χρέος οὐκ ἀποδιδόντας εἰς ἀγορὰν ἄγοντες καθῆσθαι κελεύουσιν· εἶτα κόφινον ἐπιβάλλουσιν αὐτῷ· ὃς δ᾽ ἂν κοφινωθῇ, ἄτιμος γίγνεται· δοκεῖ δὲ τοῦτο καὶ ὁ Εὐριπίδου πατὴρ πεπονθέναι, Βοιωτὸς ὢν τὸ γένος.

Βρέννος [18] ὁ Γαλατῶν βασιλεὺς λεηλατῶν τὴν Ἀσίαν εἰς Ἔφεσον ἦλθε, καὶ στρατοπεδευσάμενος περιέμενε τοῦ πολέμου τὴν προθεσμίαν· παρθένος δέ τις τῶν ἐπισήμων, ὄνομα Δημονίκη, εἰς ἐπιθυμίαν ἐμπεσοῦσα τοῦ βαρβάρου, προδώσειν αὐτῷ τὴν Ἔφεσον ὑπέσχετο, ἐὰν μισθὸν λάβῃ τὰ ψέλλια καὶ τοὺς ὅρμους· ὁ δὲ Βρέννος δεξάμενος αὐτὴν εἰς τόπον ὡρισμένον ἤγαγε τοὺς ὑπο-

14) Stob. T. 105. 56.

15) Stob. T. 38. 50. Cfr. Diog. Laërt. IV. segm. 51. qui reliqua apophthegmata non habet. Laur. ad Biantem refert, Georgidae Gnomologium apud Boisson. Anecd. I. p. 26. ad Diagoram.

16) In impressis sequuntur: ἐκ τῶν Βίωνος βουκολικῶν 1) ταὶ Μοῖσαι τὸν ἔρωτα, 2) ἃ μεγάλα μοι Κύπρις, 3) ἔσπερε τᾶς ἀρετᾶς, 4) ἰξευτὰς ἔτι κώρος.

17) Recepi ex Laur. et impr.

18) Est in impr. et in Laur.

τεταγμένους, καὶ προσέταξεν αὐτοῖς τὸν χρυσὸν, ὅσον εἶχον κόσμου χάριν, βάλλειν εἰς τὴν τῆς φιλαργύρου κόλπον· ποιησάντων δὲ αὐτῶν τὸ παραγγελθὲν, ἡ Δημονίκη ὑπὸ τῆς δαψιλείας τοῦ βαλλομένου χρυσίου ζῶσα κατεχώσθη.

* Βρασίδου.

Βρασίδας [19] ἐν μάχῃ διὰ τῆς ἀσπίδος ἀκοντισθεὶς καὶ τὸ δόρυ τοῦ τραύματος ἑλκύσας αὐτῷ τούτῳ τὸν πολέμιον ἀπέκτεινεν· ἐπερωτηθεὶς δὲ, πῶς ἐτρώθη, προδούσης με τῆς ἀσπίδος, εἶπεν.

Ὁ αὐτὸς ἐν ἰσχάσι συλλαβὼν μῦν καὶ δηχθεὶς ἀφῆκεν, εἶτα πρὸς τοὺς παρόντας, οὐδὲν οὕτω, ἔφη, σμικρόν ἐστιν, ὃ μὴ σώζεται τολμῶν ἀμύνεσθαι τοὺς ἐπιχειροῦντας. Ἐπεὶ δὲ συνέβη πεσεῖν αὐτὸν, ἐλευθεροῦντα τοὺς ἐπὶ Θράκης Ἕλληνας, οἱ δὲ πεμφθέντες ἐς Λακεδαίμονα πρέσβεις τῇ μητρὶ προσῆλθον αὐτοῦ Ἀρχιλεωνίδῃ, πρῶτον μὲν ἠρώτησεν, εἰ κακῶς ὁ Ἀρχύτας ἀπέθανεν· ἐγκωμιαζόντων δὲ τῶν Θρᾳκῶν αὐτὸν καὶ λεγόντων, ὡς οὐδεὶς ἄλλος ἔσται τοιοῦτος, ἀγνοεῖτε, εἶπεν, ὦ ξένοι, Βρασίδας μὲν γὰρ ἦν ἀνὴρ ἀγαθὸς, ἃ δὲ Λακεδαίμων πολλῶς ἔχει τήνου κἀρύονας.

* Βερενίκης πλόκαμος [20].

Βερενίκη γυνή τις ἦν τοῦ ἐν Ἀλεξανδρείᾳ Πτολεμαίου τοῦ Εὐεργέτου καλουμένου. Τοῦ οὖν ἀνδρὸς αὐτῆς Πτολεμαίου ὄντος ἐν πολέμοις, ηὔξατο, ὅτι εἰ ὑποστρέψει ἄτρωτος, τῶν πλοκάμων τῶν ἑαυτῆς ἀπόκαρμα ἀναθήσει ἀνάθημά ἐν τῷ ἱερῷ, καὶ ἀνέθηκεν ἡ Βερενίκη. Κόνων οὖν τις ἀστρονόμος ἦν ἐπὶ τῶν αὐτῆς χρόνων, καὶ πρὸς κολακείαν αὐτῆς φησιν, ὅτι οἱ θεοὶ τὸν πλόκαμον

qui titulum habet: *Ἱστορία Βρένου καὶ Δημονίκης.*

19) Sumta sunt haec ex Plut. Apophth. Lacon.

20) Impr. *πλόμακος.*

τοῦτον ἐν ἄστροις ἀνέθηκαν, καὶ νῦν ἐστί τις βοτρυοειδὴς [21] θέσις ἀστέρων ἐν τῷ οὐρανῷ, ὃ καλοῦσι πλόκαμον Βερενίκης.

Παράδοξον [22].

Βοσκός τις ἔβοσκε πρόβατα εἰς ὄρος· καὶ ἀναμεταξὺ τοῦ ὄρους ἐκείνου ἦν χάος, ὃ εὑρέθη πρῶτον ἀπὸ ἑνὸς τῶν προβάτων· ἰδὼν δὲ τοῦτο ὁ βοσκὸς, ὅτι παρὰ φύσιν λαλεῖ τὸ πρόβατον, παρακύψας αὐτὸς ἐκεῖσε, ἤρξατο καὶ αὐτὸς λαλεῖν στίχων πλοκὰς καὶ ἕτερα ἐξαίσια· ἰδόντες δὲ τοῦτόν τινες τῶν ἀνθρώπων στίχων πλοκὰς λέγοντα, ἠρώτων αὐτὸν, πῶς ἄρα τοιαῦτα λαλεῖ· ὁ δὲ εἶπεν, ὅτι εἰς τὸ ὄρος, ἐν ᾧ ἔβοσκον τὰ πρόβατα, ἐκεῖσε μεμάθηκα ἀπὸ χάους τινός· ἀκούσαντες δὲ οἱ ἐγχώριοι, ἔκτισαν ἐκεῖσε ναὸν τῷ Ἀπόλλωνι, ἐν ᾧ καὶ τρίποδα χαλκοῦν [23] ἔστησαν, διὰ τὸ χρᾶσθαι αὐτῷ τῇ μαντείᾳ· στήσαντες ἄνωθεν τοῦ χαλκοῦ γυναῖκα παρθένον, ἵνα ἀνακρούῃ αὐτὸν καὶ ἐξ αὐτοῦ τοὺς χρησμοὺς δέχωνται.

Βακχεῖός ἐστι ποῦς συγκείμενος ἐκ βραχείας υ καὶ δύο μακρῶν — — οἷον νοήμων· ἐκλήθη δὲ βακχεῖος, ἐπειδὴ οἱ ὕμνοι τῶν διθυραμβοποιῶν πρὸς Διόνυσον ἐκ τοιούτου μέτρου ὡς ἐπὶ τὸ πλεῖστον ἐλέγοντο· λέγεται δὲ βακχεῖος ἀπὸ τῶν βακχῶν τῶν ἑπομένων τῷ Διονύσῳ· διθύραμβοι δὲ ὕμνοι λέγονται, ὅτι ἐν διθύρῳ ἄντρῳ τῆς Νύσσης ἐτράφη ὁ Διόνυσος· ὅθεν καὶ παλιμβάκχειος ὁ τούτῳ ἐναντίος, συγκείμενος ἐκ δύο μακρῶν — — καὶ βραχείας υ οἷον Ἥφαιστος.

Ἀρχὴ τοῦ $\overline{\gamma}$ στοιχείου.

Τὸ $\overline{\gamma}$ μετὰ τοῦ $\overline{\alpha}$.

Γάλα [1] ὀρνίθων· ἐπὶ τῶν λίαν εὐδαιμονούντων

21) Cod. βοτρυοειδῶς.
22) Hoc et sq. ex Laur. recepi.
23) Cod. χαλκόν.
1) Apost. Cent. V. 90. Ari-

καὶ πάντα κεκτημένων· τὸν γὰρ Σάμιον οἱ θέλοντες ἐπαινεῖν καὶ τὸν Ἄμασιν τοῦτο ἔλεγον, ἄλλοι δὲ ἐπὶ τῶν σπανίων.

Γάλα [2] τρέφει νήπια, παῖδα δ' ἔμφρονα
Γάλα πιαίνει σωφροσύνη καθάπερ.

Γάλακτος φυσιολογία. [3].

Τὸ μὲν αἷμα πρωτόγονον ἐν ἀνθρώπῳ εὑρίσκεται, ὃ δή τινες οὐσίαν εἰπεῖν ψυχῆς τετολμήκασι· τοῦτο δὴ τὸ αἷμα φυσικῇ τρεπόμενον πέψει, κινησάσης τῆς μητρὸς, φιλοστοργίᾳ συμπαθεῖ ἐξανθεῖ καὶ γηράσκει πρὸς τὸ ἄφορον τοῦ παιδίου, καὶ ἔστι μὲν τῆς σαρκὸς ὑγρότερον τὸ αἷμα, οἷον ὑγρά τις οὖσα σὰρξ, τοῦ δὲ αἵματος νοσιμώτερον τὸ γάλα καὶ λεπτομερέστερον· εἴτε γὰρ τὸ ἐπιχορηγούμενον αἷμα τῷ ἐμβρύῳ, καὶ διὰ μητρώου πρότερόν ἐστι πεμπόμενον ὀμφαλοῦ, εἴτε αὖ τὸ καταμήνιον αὐτὸ, ἀποκλεισθὲν τῆς οἰκείας φορᾶς, κατὰ φυσικὴν ἀνάχυσιν χωρεῖν κελεύεται πρὸς τοῦ παντρόφου καὶ γενεσιουργοῦ θεοῦ ἐπὶ τοὺς φλεγμαίνοντας ἤδη μαστοὺς, καὶ ὑπὸ πνεύματος ἀλλοιούμενον θερμοῦ, ποθεινὴ σκευάζεται τῷ νηπίῳ τροφὴ, αἷμα τὸ μεταβάλλον ἐστί· μάλιστα γὰρ πάντων μελῶν μαστοὶ συμπαθεῖς μήτρᾳ. Ἐπὰν οὖν κατὰ τοὺς τόκους ἀποκοπὴν λάβῃ τὸ ἀγγεῖον, δι' οὗ πρὸς τὸ ἔμβρυον τὸ αἷμα ἐφέρετο, μύσις μὲν γίνεται τοῦ πόρου, τὴν δὲ ὁρμὴν ἐπὶ τοὺς μαστοὺς τὸ αἷμα λαμβάνει, καὶ πολλῆς τῆς ἐπιφορᾶς γενομένης διατείνονται, καὶ μεταβάλλει τὸ αἷμα εἰς γάλα [4], ἀναλόγως τῇ ἐπὶ τῆς

stoph. Av. 732. εὐδαιμονίαν, βίον, εἰρήνην, νεότητα, γέλωτα, χορούς, θαλίας, γάλα τ' ὀρνίθων, ubi Interpp.

2) Nusquam versus hos inveni.

3) Ex Clement. Alexandr. Paedagog. Lib. I. cap. 6. p. 121. Matth. Laur. non habet.

4) Cfr. Plut. Aemil. Paul. c. 14. καθάπερ γὰρ οἱ μαστοὶ τῶν γυναικῶν οὐχ ὥσπερ ἀγγεῖα πλήρεις εἰσὶν ἐπιῤῥέοντος ἑτοίμου γάλακτος, ἀλλὰ μεταβάλλοντες τὴν τροφὴν ἐν αὑτοῖς ἐργάζονται γάλα καὶ διηθοῦσιν· οὕτως οἱ περίψυκτοι καὶ παιδα-

ἐλκώσεως εἰς πύον τοῦ αἵματος μεταβολῇ· εἴτε αὖ ἀπὸ τῶν ἐν μαστοῖς παρακειμένων φλεβῶν, ἀναστομουμένων κατὰ τὰς διατάσεις τῆς κυήσεως, τὸ αἷμα μεταχεῖται εἰς τὰς φυσικὰς τῶν μαστῶν σήραγγας [5]· τοῦτο δὲ ἀνακιρνάμενον τὸ ἀπὸ τῶν γειτνιουσῶν καταπεμπόμενον ἀρτηριῶν πνεῦμα, μενούσης ἔτι τῆς ὑποκειμένης ἀκεραίου τοῦ αἵματος οὐσίας ἐκκιμαινόμενον λευκαίνεται, καὶ τῇ τοιαύτῃ ἀνακοπῇ κατ᾽ ἐξαφρισμὸν μεταβάλλεται, παραπλήσιόν τι πεπονθὸς τῇ θαλάττῃ, ἣν δὴ κατὰ τὰς ἐκβολὰς τῶν πνευμάτων, οἱ ποιηταί φασιν ἀποπτύειν ἁλὸς ἄχνην· πλὴν ἀλλὰ αἷμα ἔχει τὴν οὐσίαν. Τούτῳ τῷ τρόπῳ καὶ οἱ ποταμοὶ ῥόθῳ φερόμενοι, τῇ ἐμπεριλήψει τοῦ περιχεχυμένου ἀέρος ξαινόμενοι, ἀφρὸν μυρμύρουσι· καὶ τὸ ἐνστόμιον [6] ἡμῖν ὑγρὸν τῷ πνεύματι ἐκλευκαίνεται· τίς οὖν ἡ ἀποκλήρωσις, μὴ οὐχὶ καὶ τὸ αἷμα ἐπὶ τὸ φωτεινότατον καὶ λευκότατον ὑπὸ τοῦ πνεύματος τρέπεσθαι ὁμολογεῖν; πάσχει δὲ [7] τὴν μεταβολὴν κατὰ ποιότητα οὐ κατ᾽ οὐσίαν· ἀμέλει γοῦν οὐ τροφιμώτερον ἄλλο τι, οὐδὲ μὴν γλυκύτερον, ἀλλ᾽ οὐδὲ λευκότερον εὕροις ἂν γάλακτος· πάντη δὲ ἔοικε τοῦτο τῇ πνευματικῇ τροφῇ· γλυκεῖα μὲν διὰ τὴν χάριν ὑπάρχουσα, τρόφιμος δὲ, ὡς ζωὴ, λευκὴ δὲ ὡς ἡμέρα Χριστοῦ· καὶ τὸ αἷμα Χριστοῦ πεφανέρωται ὡς γάλα. — Οὐ μὴν [8] ἀλλὰ καὶ ἐκ τῶν ποιμνίων ἔκ τε τῶν βουκολίων ἔξεστι μαθεῖν, ὡς ἐξ αἵματος γάλα κατὰ μεταβολὴν γίνεται· τὰ γὰρ ζῶα ταῦτα τοῦ ἔτους κατὰ τὴν ὥραν, ἣν ἔαρ καλοῦμεν ὑγροτέρου τοῦ περιέχοντος γεγονότος, ἀλλὰ καὶ τῆς πίας καὶ τῶν νομῶν εὐχύλων, τὸ τηνικάδε οὐσῶν καὶ ἐνίκμων, αἵματος πίμπλαται πρότερον, ὡς ἐκ τῆς διατάσεως τῶν

κωδεις τόποι τῆς γῆς ὕδωρ μὲν οὐκ ἔχουσι καλυπτόμενον etc.

5) Apogr. Dresd. *σύραγγας.*

6) Apogr. Dresd. *εὐστόμιον.*

7) Apogr. Dresd. nullo praegresso interrogationis signo: *πάσχειν τὴν μεταβ.*

8) Haec longo a prioribus intervallo sejuncta leguntur p. 127. 31.

φλεβῶν κυρτουμένων τῶν ἀγγείων δείκνυται· ἐκ δὲ τοῦ αἵματος δαψιλέστερον χεῖται τὸ γάλα· θέρους δ' ἔμπαλιν ὑπὸ τοῦ καύματος συγκαιόμενον καὶ ἀναξηραινόμενον, ἴστησι τὴν μεταβολὴν τὸ αἷμα καὶ ταύτῃ ἔλαττον ἀμέλγονται.

Γαλῆ Ταρτησία [9]· ὡς μεγάλων ἐκεῖ γινομένων.

Γαλῆ χιτώνων [10]· αὕτη ἐπὶ τῶν ἀδίκων τάσσεται, καὶ μηδὲν ἀνιέντων· ὁμοία ἐστὶ τῇ οὐ πρέπει γαλῇ κροκωτός. — Φασὶ τὴν γαλῆν καὶ τὸν αἴλουρον πάντα, ὅσα δυσώδη ἐστὶ, μισεῖν· ταύτῃ τοι καὶ τὸ σφέτερον περίσσωμα [11] ἀφιέναι, πρότερον βόθρον ὀρύξαντας, ἵνα ἀφανίσωσιν αὐτὸ, τῆς γῆς ἐπιβαλόντες· ἔστι δὲ ὁ μὲν ἄρρην λαγνίστατος, ὁ δὲ θῆλυς φιλότεκνος· φεύγει δὲ τὴν πρὸς ἄρρενα ὁμιλίαν· ἀφίησι γὰρ τὸν θορὸν θερμότατόν τε καὶ προσεοικότα πυρὶ, καὶ καίει τῆς θηλείας τὸ ἄρθρον· εἰδὼς οὖν ὁ ἄρρην τοῦτο, τὰ κοινὰ βρέφη διαχρῆται· ἡ δὲ παίδων ἑτέρων πόθῳ ἑαυτὴν παρέχει συνελθεῖν.

Γαλῆ στέαρ [12]· ἐπὶ τῶν οἷς χαίρουσιν ταῦτα λαμβανόντων.

Γαλῆ χιτώνιον [13]· ἐπὶ τῶν [14] τὰ ἑαυτῶν προβλήματα ἐσθιόντων.

Εὔδημας δέ φησι, Γαλῆ χιτών· αὕτη ἐπὶ τῶν ἀδίκων τάσσεται καὶ μηδὲν ἀνιέντων· ὁμοία ἐστὶ τῇ· οὐ πρέπει γαλῇ κροκωτός.

9) Apost. Cent. V. 91. Mosc. Ταρτυσία. Macar. ἐπὶ τῶν πονηρῶν καὶ λίαν ἀναιδῶν· Ταρτησσὸς γὰρ πόλις μεγάλη πρὸς τῷ Ὠκεανῷ.

10) Apost. Cent. V. 92. Macar. γαλῆ χιτώνιον· ἐπὶ τῶν ἀχρήστων. — Vide paullo inferius. Matth. Pantinus pro ἀδίκων legendum censet ἀνοιζείων, vel, ut in Suida est ἀνομοίων, et ἀνυόντων pro ἀνιέντων. Quae sequuntur φασὶ τὴν γαλῆν κ. τ. λ. sumta sunt ex Aelian. H. A. VI. 27.

11) Apost. περίσπευμα.

12) Apost. Cent. V. 95.

13) Apost. Cent. V. 96.

14) Τῶν omisit apogr. Dresd. Duobus articulis deinceps positis alter saepe omittitur: vide Jacobs ad Achill. Tat. p. 398.

Γαλῆν ἔχεις [15]· *ἐπὶ τῶν ἀποτρεπτικῶν· παρόσοι οἱ γαλῆν ἔχοντες οὐκ εὐτυχοῦσιν.*

Μενάνδρου [16].

Γαμεῖν κεκρικότα δεῖ σε γινώσκειν, ὅτι
Ἀγαθὸν [17] *μεθέξεις, ἂν μὴ λάβῃς μικρὸν κακόν.*
Γαστέρα [18] *μοι προφέρεις· κάλλιστον ὄνειδος ἁπάντων.*

Ἡ πλήρης μὲν ἐλαφροτέρη, κενὴ δὲ βαρεῖα· ἐπὶ τῶν γαστριμάργων.

Γαστὴρ [19] *παχεῖα λεπτὸν οὐ τίκτει νόον.*

Γασύπους κρεῶν ἐπιθυμεῖ· ἐπὶ τῶν ἐπιθυμούντων τῶν ἀλλοτρίων.

Γάμοι [20] *Αἰγύπτου καὶ Δαναοῦ· ἐπὶ τῶν ἀλυσιτελῶς γαμούντων. Αἴγυπτος καὶ Δαναὸς ἦσαν ἀδελφοί, ἀπ᾽ Ἰοῦς τῆς Ἰνάχου θυγατρὸς καὶ τοῦ Βήλου· τούτων ὁ μὲν Αἴγυπτος εἶχε παῖδας πεντήκοντα ἄρρενας· ὁ δὲ Δαναὸς πεντήκοντα θυγατέρας, ὃς φθονῶν τῷ ἀδελφῷ Αἰγύπτῳ διὰ τὴν τῶν ἀρρένων παίδων κτῆσιν, καὶ φοβηθεὶς, ὅπως μὴ ὑπ᾽ αὐτοῦ ἐκβληθῇ τῆς βασιλείας, ἀνδρωθέντων τῶν υἱῶν αὐτοῦ ἐδίωξεν αὐτὸν εἰς Αἴγυπτον ἅμα τοῖς παισὶν, ὅθεν καὶ ἀπ᾽ αὐτοῦ ἡ χώρα Αἴγυπτος ἐκλήθη. Χρόνου δέ τινος γινομένου καὶ τῶν παίδων ἀνδρωθέντων θαρρῶν τῇ τούτου δυνάμει, παρεγένετο εἰς τὸ Ἄργος. Ὁ δὲ Δαναὸς φοβούμενος αὐτὸν καὶ πρόνοιαν ποιούμενος τῆς βασιλείας, ἐπιβουλὴν κατὰ τῶν Αἰγύπτου υἱῶν ταύτην ἐσκέψατο· συνέθετο γὰρ τῷ Αἰ-*

458. 779. 893. ad Philostr. 555. Boisson. ad Philostr. Her. p. 343.

15) Apost. Cent. V. 98.

16) Stob. T. 68. 11. Laur. om.

17) Gaisf. recepit *ἀγαθὸν*. Vide supra sub *ἀργυρέαις λύγξ*.

18) Apost. Cent. V. 94.

19) Apost. Cent. V. 97. Codd. *νόον οὐ τίκτει.*

20) Apollon. Rh. Schol. et Diod. Sic. Matth.

γήπῳ συνάψαι πρὸς γάμον τὰς ἑαυτοῦ θυγατέρας τοῖς υἱοῖς αὐτοῦ· ἑτοίμως δὲ ἐπαγγειλάμενος τῷ Αἰγύπτῳ, συνεβούλευσε ταῖς θυγατράσιν ὁ Δαναὸς, ὥστε ἀνελεῖν νύκτωρ τοὺς ἑαυτῶν ἄνδρας πρὸ τῆς μίξεως τῆς πρὸς αὐτούς, θάνατον ἀπειλήσας ταῖς μὴ τοῦτο ποιησάσαις. Αἱ μὲν οὖν πᾶσαι ἔχουσαι τὰ ἐκ τοῦ πατρὸς προσιάγματα ἀνεῖλον τοὺς ἄνδρας, μία δὲ μόνη ἐφείσατο τοῦ Λυγκέως, ἀπὸ τῆς μίξεως διάθεσιν ἔχουσα πρὸς αὐτόν· οὗτος δὲ σωθεὶς ἐξεδίκησε τοὺς αὐτοῦ ἀδελφοὺς, ἐφόνευσε γὰρ τὰς θυγατέρας τοῦ Δαναοῦ καὶ αὐτὸν, καὶ τῆς βασιλείας ἐκράτησε τοῦ Ἄργους ἅμα τῇ Ὑπερμνήστρᾳ [21]· καὶ γὰρ ἐκ τούτων Ἄβας, ἐξ οὗ καὶ Προῖτος καὶ Ἀκρίσιος, ἐξ οὗ καὶ Δανάη, ἐξ ἧς καὶ Περσεύς.

Γάμους [22] εὐτελεῖς καὶ ἰσοτίμους ποιεῖν. Φίλωνος.

Γαμψώνυχας [23] μὴ τρέφειν· ἀντὶ τοῦ ἅρπαγας φεύγειν.

Τὸ γ μετὰ τοῦ ε.

Γελοιότερος Μελιτίδου [24]· ἐπὶ τῶν ἐπὶ μωρίᾳ

21) Mosc. Ὑπερταιμνήστρᾳ.

22) Laur. hoc et sq. non habet.

23) Josephus Rhacendytes in Synopsi Rhetoricae (Cod. Ven. Class. VIII. Cod. XVIII.) Αἴνιγμα δέ ἐστι φράσις ἐπιτετηδευμένη εἰς ἀσάφειαν, ἐπικρύπτουσα τὸ νοούμενον· οἷον ζυγὸν μὴ ὑπερβαίνειν ἀντὶ τοῦ τὸ δίκαιον, καὶ γαμψώνυχας μὴ τρέφειν ἀντὶ τοῦ ἅρπαγας, μελάνουρον μὴ ἐσθίειν ἀντὶ τοῦ ψεῦδος μὴ προσίεσθαι. — Macar. addit: Γαλλιστὶ τεμεῖν· ἐπὶ τῶν ἀφροντίστως ἀπαλλαγὴν πραγμάτων ποιήσασθαι βουλομένων· Γαλλοὶ γὰρ καλοῦνται οἱ ἀποτετμημένοι, ἤτοι ἀπὸ τοῦ ποταμοῦ Γάλλου, ἢ ὅτι ἀποπεπτώκασιν εἰς ἑτέραν φύσιν.

24) Apost. Cent. V. 99. Eustath. Opusc. p. 89. l. 90. ed. Tafel. οὔτε γὰρ εἰς ἁπλαστίαν ἐμαυτὸν ψευδογραφῶ κατὰ τοὺς πλείους τῶν περὶ ἡμᾶς, ὁ καὶ τοὺς ἀβαθεῖς ἀνθρώπους εἰς Μαμμακούθους καὶ Πολυώρους καὶ Μελιτίδας ἐγγράφων. p. 103. l. 48. μὴ ἐκστραφείην εἰς λήθαργον, μηδὲ μεταπλασθείην εἰς Μαμμαίκουθον, ἢ Μελιτίδην, ἢ τὸν ἕτερον Κύρροιβον ἢ εἰς Πολύωρον.

διαβεβλημένων [25]· *Μελιτίδης γὰρ ἦν ἀνὴρ κωμῳδούμενος ὑπὸ τῶν ποιητῶν ἐπὶ μωρίᾳ.*

Γέλως συγκρούσιος [26]· *παρόσον τινὲς γελῶντες τὰς χεῖρας συγκρούουσιν ἢ τοὺς πόδας· τάττεται δὲ ἐπὶ τῶν ἀτάκτως καὶ ἀκόσμως γελώντων.*

Γέλως Ἰωνικός [27]· *ἐπὶ τῶν ἐκλελυμένων· εἰς τοῦτο γὰρ οἱ Ἴωνες διαβάλλονται.*

Γεύεται [28] *πίσσης ὁ μῦς· ἐπὶ τῶν ἀξίως τιμωρουμένων.*

Γέλως Μεγαρικός [29]· *ἐπὶ τῶν ἀώρως ῥυπτομένων· ἤκμαζε γὰρ ἡ Μεγαρικὴ κωμῳδία ἐπὶ χρόνον· λέγεται* [30] *καὶ γέλως Χῖος.*

Γεννητὸς γεγονὼς τήρει τὴν τάξιν· λέγονται δὲ γενῆται οὐχ οἱ ἐκ γένους καὶ ἀφ' αἵματος προσήκοντες, ἀλλὰ οἱ ἐκ τῶν γενῶν τῶν συννενεμημένων εἰς τὰς φατρίας· οὗτοι δέ εἰσι καθάπερ οἱ δημόται, καὶ φράτορες νόμῳ τινὶ ἔχοντες κοινωνίαν· τὸ δὲ γένος ἔχει ἄνδρας τριάκοντα, αἱ δὲ φρατρίαι ἐκαλοῦντο τριττοί, ὅτι ἐκ τεσσάρων φυλῶν οὐσῶν εἰς τρία ἑκάστην διεῖλον μέρη· τὰς μὲν φυλὰς τέσσαρας ποιήσαντες, ἀπομιμησάμενοι τὰς τοῦ ἐνιαυτοῦ ὥρας, τὰς δὲ φρατρίας καὶ τριττὰς δώδεκα, καθάπερ οἱ μῆνες· τὰ δὲ γένη τριάκοντα ἑκάστῃ φρατρίᾳ, καθάπερ αἱ ἡμέραι τριακόσιαι ἑξήκοντα πέντε.

Γέραιρε [31] *σαυτὸν ἐν πλήθει· ἀντὶ τοῦ εὔφραινε σαυτόν.*

25) Laur. et Apost. *διαβεβοημένων.*

26) Apost. Cent. V. 100. Macar. *ὁ ἄκοσμος καὶ ἄταχτος ἀπὸ τοῦ κρούειν τὰς χεῖρας.*

28) Apost. Cent. VI. 1. Cfr. supra p. 76.

27) Macar. *ἐπὶ τῶν ἀναιδῶν καὶ ἐκλελυμένων.*

29) Apost. Cent. VI. 2. Cfr. Meineke Quaestiones Scen. Spec. I. p. 4. 5. Aristoph. Vesp. 57. *γέλωτα Μεγαρόθεν κεκλαμμένον.*

30) *Λέγεται κ. γ.* X. Apost. non habet.

31) Apost. Cent. VI. 3. explicationem non habet. — Abest a Mosc.

Γέροντος [32] *πόσθης δρύϊνος πάτταλος· δημώδης ἡ παροιμία.*

Γέρων [33] *ἀλώπηξ οὐχ ἁλίσκεται· ἐπὶ τῶν διὰ χρόνου πλῆθος οὐχ ἁμαρτανόντων.*

Γεράνδρυον [34] *μεταφυτεύειν· ἐπὶ τοῦ μὴ δεῖν τοὺς γέροντας ἐπὶ τὰ τῶν ἀκμαζόντων ἔργα προτρέπειν· γεράνδρυον γὰρ τὸ γηράσκον φυτόν· δρῦς γὰρ πᾶν φυτὸν γενικῷ ὀνόματι καλεῖται.*

Γενναῖος [35] *εἶ ἐκ βαλαντίου· ἐπὶ τῶν διὰ πλοῦτον εὐγενῶν εἶναι δοκούντων.*

Γέρανοι [36] *λίθους καταπεπωκυῖαι· ἐπὶ τῶν προνοητικῶς τι ποιούντων· αἱ γὰρ γέρανοι πετόμεναι λίθους φέρουσιν. Αἱ γέρανοι γεννῶνται μὲν ἐν Θρᾴκῃ· ἡ δὲ χειμεριώτατον χωρίον ἐστὶ καὶ κρυμωδέστατον, καὶ θέρους μὲν κατὰ χώραν μένουσι, φθινοπώρου δὲ ἤδη μεσοῦντος εἰς Αἴγυπτον καὶ Αἰθιοπίαν ἀπαίρουσιν· ὥσπερ οὖν γῆς περίοδον εἰδυῖαι, καὶ φύσεις ἀέρων καὶ ὡρῶν διαφορὰς, καὶ χειμῶνα ἠρινὸν διαγαγοῦσαι, πάλιν ἔαρος ὑποστρέφουσιν ὀπίσω· ποιοῦνται δὲ ἡγεμόνας τῆς πτήσεως τὰς ἤδη τῆς ὁδοῦ πεπειραμένας, εἶεν δ' ἂν, ὡς τὸ εἰκὸς αἱ πρεσβύτεραι, καὶ οὐραγεῖν δὲ τὰς τηλικαύτας ἀποκρίνουσι, μέσαι δὲ αὐτῶν αἱ νέαι τετάχαται, φυλάξασαι δὲ ἄνεμον οὖρον καὶ φίλον σφίσι, καὶ κατόπιν ἰέναι, χρώμεναί οἱ πομπῷ καὶ ἐπωθοῦντι εἰς τὸ πρόσω, εἶτα μέντοι τρίγωνον ὀξυγώνιον τὸ σχῆμα τῆς πτήσεως*

32) Apost. Cent. VI. 7.

33) Apost. Cent. VI. 4.

34) Apost. Cent. VI. 5. Codd. *γεράδρυον.*

35) Apost. Cent. VI. 6. Macar. *ἐκ τῶν διὰ πλοῦτον εὐδοκιμούντων.*

36) Apost. Cent. VI. 8. *λίθους καταπεπτωκότες.* Codd. *λίθου καταπεπτωκότος.* Scripsi *καταπεπωκυῖαι·* ita legitur apud Aristoph. Av. 1156. *ἐκ μέν γε Λιβύης ἦκον ὡς τριμύριαι γέρανοι, θεμελίους καταπεπωκυῖαι λίθους.* Eadem permutatio est apud Leonem Diac. p. 180. D. ed. Hase. *τὸν ἴσον αὐτῷ τῆς θείας ἐκπεπώκαμεν μήνιδος ἄκρατον.* Cod. *ἐκπεπτώκαμεν.* — Longiorem expositionem Apostolii et Laur. *αἱ γέρανοι γεννῶνται* usque ad *κυβερνήτης* Mosc. om.

ἀποφήνασαι, ἵνα ἐκπίπτουσαι τῷ ἀέρι διακόπτωσιν αὐτὸν, ῥᾷστα τῆς πορείας ἐχόμεναι· ὅταν δὲ προσφερόμενον ἀετὸν ἴδωσι, γινόμεναι κύκλος καὶ κολπωσάμενοι μηνοειδὲς τὸ μέσον ἀποφήνασαι, ἀπειλοῦσιν, ὡς ἀντιταξύμεναι· ὁ δὲ ἀναχωρεῖ καὶ κρούεται τὸ πτερὸν, αἱ δὲ ἀλλήλων τοῖς πυγαίοις ἐπερείδουσαι τὰ ῥάμφη, εἶτα μέντοι τρόπον τινὰ τὴν πτῆσιν συνδέουσι, καὶ τὸν κάματον σφίσιν εὐκάματον ἀποφαίνουσιν.

Ἔτι περὶ τῶν αὐτῶν [37]. Αἱ γέρανοι ἐξ Αἰγύπτου ὥρᾳ θέρους ἀνιστάμεναι, οὐκ ἀνεχόμεναι τὸ θάλπος, τείνουσαι τὰς πτέρυγας ὥσπερ ἱστία, φέρονται διὰ τοῦ ἀέρος, εὐθὺ τῆς Σκυθῶν γῆς· ἅτε δὲ οὐκ ἐν ῥυθμῷ ὂν τὸ ζῶον, ἀλλ' ἐμβριθὲς μὲν τὰ μέσα, μακρὸν δὲ κατὰ τὸν αὐχένα, κοῦφον δὲ κατὰ τὸν οὐραῖον, ἀραιὸν δὲ κατὰ τὰς πτέρυγας, ἐσχισμένον δὲ κατὰ τὰ κῶλα, κλυδωνίζεται τὴν πτῆσιν, ὥσπερ ναῦς χειμαζομένη, τοῦτο γνοῦσα ἡ γέρανος, ἢ αἰσθομένη ἢ πειραθεῖσα, οὐ πρότερον ἀνίπταται, πρὶν ξυλλαβεῖν λίθον τῷ στόματι, ἔρμα εἶναι αὐτῇ πρὸς τὴν πτῆσιν.

Κυβερνήτης ἰδὼν ἐν πελάγει μέσῳ γεράνους ὑποστρεφούσας, καὶ ἔμπαλιν πετομένας συνεῖδεν ἐναντίου προσβολὴν πνεύματος καὶ τῶν ὀρνέων μαθητὴς γενόμενος παλίμπλους ἦλθε καὶ τὴν ναῦν περιέσωσεν.

Γέροντι [38] μηδέποτε μηδὲν χρηστὸν ποιεῖν· παραινεῖ μηδένα ἀκαίρως εὐεργετεῖν.

Γέροντα [39] δ' ὀρθοῦν φλαῦρον, ὃς νέος πέσοι.

Γέρων [40] βοῦς ἀπένθητος δόμοισιν· ἐπὶ τῶν καθ' ὥραν τελευτησάντων.

Γέρων [41] ὀλίγα φοβεῖται· δήλη.

37) Absunt haec ab Aeliano, H. A. III. 13., ex quo sumta sunt antecedentia. Quae mox sequuntur κυβερνήτης etc. leguntur ibid. c. 14.

38) Apost. Cent. VI. 14. μηδέν. Laur. om.

39) Apost. Cent. VI. 15.

40) Apost. Cent. VI. 9.

41) Apost. Cent. VI. 10.

Γέρων [42] *πίθηκος οὐχ' ἁλίσκεται πάγῃ· τοῦτ' ἠρώτησε Διονύσιος Ἡρακλείδην· Ἡρακλείδης δ' ἀπεκρίθη πρὸς Διονύσιον* [43]*· γέρων πίθηκος ἁλίσκεται μέν, μετὰ χρόνον δ' ἁλίσκεται· ἐπὶ τῶν ἅπαξ δυστυχησάντων.*

Τὸ γ μετὰ τοῦ η.

Γηράσκω δ' αἰεὶ [1] *πολλὰ διδασκόμενος· ἐπὶ τῶν διὰ γῆρας ἐμπειροτέρων.*

Γῆρας [2] *διδάσκει πάντα καὶ χρόνου τριβή.*

Γῆρας [3] *καὶ πενία δύο τραύματα δυσθεράπευτα.*

Γῆ καὶ [4] *θάλαττα οὐρανομήκης· ἐπὶ τῶν σφόδρα ὀργιζομένων.*

Γῆς [5] *βάρος· ἐπὶ τῶν ἀχρήστων.*

Γῆς [6] *κρύψας ἔχεις· ἐπὶ τῶν φθονούντων.*

Γῆς ἕντερα [7]*· ἐπὶ τῶν μηδενὸς ἀξίων.*

Γηρᾷ ὁ βοῦς [8]*, τὰ δ' ἔργα πολλὰ τῷ βοΐ· ἐπὶ τῶν γεγηρακότων καὶ μηκέτι χρησιμευόντων.*

Τὸ γ μετὰ τοῦ ι.

Γιγάντων ἀπόνοια [9]*· ἐπὶ τῶν ἀθέων καὶ ἀσεβῶν παρόσον κἀκεῖνοι τοιοῦτοι.*

42) Apost. Cent. VI. 12.

43) Apost. sequentia separatim tanquam proprium proverbium habet nr. 11. — Macar. addit: *γέρων ἐρινὸς εὐφραίνει τοὺς γείτονας· ὁ λόγος ἐπὶ γεγαμηκότος γέροντος.*

1) Apost. Cent. VI. 16. Codd. *γηράσκω ἀεί.* — Solonis apophthegma Plut. c. 2. *σοφίας μὲν γὰρ ἦν ὁμολογουμένως ἐραστής, ὅς γε καὶ πρεσβύτερος ὢν ἔλεγε γηράσκειν ἀεὶ π. δ.* Cfr. ib. c. 31.

2) Apost. Cent. VI. 21. Mosc. hoc et sq. om.

3) Apost. Cent. VI. 22. addit *Ἡροδότου.*

4) Apost. Cent. VI. 18. Laur. *καὶ* om.

5) Apost. Cent. VI. 20. Macar. *ἦγουν ἄχρηστος.* Cfr. Il. Σ. 104. *κεῖμαι παρὰ νηυσὶν ἐτώσιον ἄχθος ἀρούρης.*

6) Apost. Cent. VI. 23.

7) Apost. Cent. VI. 24. Macar. *γῆς ἔντερον.* Reliqua consentiunt.

8) Apost. Cent. VI. 25. Articulum ὁ metri caussa adjeci. Pro *βοΐ* Codd. praebent *βίῳ.* Macar. *γέρων ὁ βοῦς τὰ ἔργα πολλὰ τῷ βοΐ*, in reliquis consentit.

9) Apost. Cent. VI. 26.

Εὐριπίδου [10].

Γίνωσκε τἀνθρώπεια, μηδ' ὑπερμέτρως
Ἄλγει, κακοῖς γὰρ οὐ σὺ πρόσκεισαι μόνη.

Τὸ γ̄ μετὰ τοῦ λ̄.

Γλαύκου τέχνη [11]· *ἐπὶ τῶν μὴ ῥᾳδίως κατεργαζομένων· ἢ ἐπὶ τῶν πάνυ ἐπιμελῶς καὶ ἐντέχνως εἰργασμένων· ἐπειδὴ οὗτος εὗρε σιδήρου κόλλησιν Χῖος ὤν.*

Γλαῦκα [12] *Ἀθήναζε καὶ Γλαῦκα Ἀθηναίοις· ἐπὶ τῶν τοιαῦτα ἀλλαχόθεν ἐμπορευομένων πρὸς τοὺς ἄφθονα ἔχοντας.*

Γλαῦκος [13] *ἄλλος ἱππόβρωτος· φασὶν, ὅτι οὗτος κατεβρώθη ὑπὸ τῶν ἵππων, ἀγνοοῦντες, ὅτι ἱπποτροφῶν* [14] *καὶ τῶν οἰκείων οὐδενὸς ἐπιμελούμενος ἐπέτριβη καὶ ἐπέλιπεν αὐτὸν ὁ βίος.*

Γλαῦκος [15] *πιὼν μέλι ἀνέστη· ἐπὶ τῶν κηρυχθέντων, ὅτι ἀπέθανον, εἶτα φανερουμένων. Γλαύκου ἀποθανόντος (οὐ τοῦ Σισύφου) ἐπὶ τῷ μέλιτι, ὁ Μίνως ἐν τῷ τύμβῳ κατώρυξε τὸν τοῦ Κοιράνου Πολύειδον, ὃς ἦν ἐκ τοῦ Ἄργους, ὃς ἰδὼν δράκοντι πόαν ἐπιθέντα τεθνεῶτι, καὶ ἀναστήσαντα αὐτὸν καὶ οὗτος τὸ αὐτὸ ποιήσας εἰς τὸν Γλαῦκον, ἀνέστησε· τοῦτο δὲ ἀδύνατον. Ἐγένετο δὲ τοιόνδε τι· Γλαῦκος πιὼν μέλι ἐταράχθη· χολῆς δὲ πλείονος αὐτῷ κινηθείσης ἐλειποθύμησεν* [16] *ὁ Γλαῦκος· ἀφίκοντο δ' οὖν οἵ τε ἄλλοι ἰατροὶ, ἅτε δὴ*

10) Stob. T. 134. 7.

11) Apost. Cent. VI. 27. Macar. *ἐπὶ τῶν λίαν ἐντέχνων.* Cfr. Heind. ad Plat. Phaed. p. 108. D. Hoc et tria sqq. provv. de Glauco agentia in apophth. impr. retulit Arsenius.

12) Apost. Cent. VI. 30. Lucian. Nigrin. init. *ἡ μὲν παροιμία φησὶ, γλαῦκα εἰς Ἀθήνας, ὡς γελοῖον ὄν, εἴ τις ἐκεῖ κομίζει γλαῦκας, ὅτι πολλαὶ παρ' αὐτοῖς εἰσιν.* Aristoph. Av. 301. *τί φῄς, τίς γλαῦκ' Ἀθήναζ' ἤγαγε.* Idem prov. repetitur paullo post.

13) Apost. Cent. VI. 31.

14) Mosc. *ὑπὸ τροφῶν.* Laur. super *ὑπὸ* scriptum habet *ἱππο.*

15) Apost. Cent. VI. 32.

16) Mosc. *ἐλυποθύμησεν.*

χρήματα ληψόμενοι, ἀλλὰ δὴ καὶ Πολύειδος, ὃς ἰδὼν τὴν πόαν, ἣν ἔμαθε παρά τινος ἰατροῦ, ᾧ ὄνομα ἦν Δράκων, καὶ ταύτῃ τῇ βοτάνῃ χρησάμενος ὑγιᾶ ἐποίησε τὸν Γλαῦκον· ἔλεγον οὖν τινες, ὅτι Πολύειδος τὸν Γλαῦκον ὑπὸ μέλιτος θανόντα ἀνέστησεν· ἀφ' ὧν τὸν μῦθον ἐπλάσαντο.

Γλαῦκος φαγὼν πόαν οἰκεῖ ἐν θαλάττῃ· ὁμοία τῇ προτέρᾳ. Ἄιδεται, ὅτι Γλαῦκος ὁ θαλάσσιος φαγὼν πόαν ἀθάνατος ἐγένετο καὶ νῦν ἐν θαλάττῃ οἰκεῖ· τὸ δὲ τῇ πόᾳ ταύτῃ μόνον Γλαῦκον ἐντυχεῖν καὶ λίαν ἔνι γε εὔηθες· τό τε ἄνθρωπον ἐν θαλάσσῃ ἢ ἄλλο τι τῶν χερσαίων ζῆν. Ἔχει δὲ τὸ ἀληθὲς οὕτως· Γλαῦκος ἦν ἀνὴρ ἁλιεὺς Ἀνθηδόνιος· ἦν δὲ κολυμβητὴς, ἐν τούτῳ ὑπερφέρων πάντων κολυμβητῶν· κολυμβῶντα δὲ ἐν τῷ λιμένι θρώντων αὐτὸν τῶν πολιτῶν αὐτὸς διακολυμβήσας εἴς τινα τόπον, καὶ μὴ ὀφθεὶς τοῖς οἰκείοις ἡμέρας ἱκανὰς, διακολυμβήσας πάλιν, ὤφθη αὐτοῖς. Πυνθανομένων δὲ τῶν οἰκείων, ποῦ διέτριβεν, αὐτὸς ψευδόμενος ἔφη, ἐν τῇ θαλάττῃ· καὶ συγκλείων εἰς αὐτὸν ἰχθύας, ὁπότε χειμὼν γένοιτο καὶ μηδεὶς τῶν ἄλλων ἁλιέων ἰχθῦς δύναιτο λαμβάνειν, ἐλέγετο τοῖς πολίταις, τίνας βούλοιντο τῶν ἰχθύων ἀποκομισθῆναι αὐτοῖς, καὶ κομίζων, οὓς ἂν ἤθελον, Γλαῦκος θαλάσσης ἐκλήθη· καὶ περιτυχὼν θηρίῳ θαλαττίῳ ἀπώλετο· μὴ ἐλθόντος δὲ αὐτοῦ ἐκ τῆς θαλάττης, ἐμυθεύσαντο οἱ ἄνθρωποι, ὡς ἐν θαλάσσῃ οἰκεῖ κἀκεῖ μένει.

Γλυκὺς ἀγκών [17]· οὐ κατ' ἐναντίωσιν ἡ παροιμία, ἀλλὰ βουλόμενος εἰπεῖν, ὦ γλυκέα ἤθη· ἔστι δὲ παροιμία, ὡς ἐπιφωνούμενον· οὕτως ἐχρήσατο Πλάτων ὁ κωμικὸς ἐν τῷ Φάωνι· γέρων αὐτῷ ὑπόκειται ἐρῶν

17) Apost. Cent. VI. 33. Plat. Phaedr. c. 39. *γλυκὺς ἀγκών, ὦ φαῖδρε· λέληθέ σε, ὅτι ἀπὸ τοῦ μακροῦ ἀγκῶνος τοῦ κατὰ Νεῖλον ἐκλίθη κ. τ. λ.*, ubi Ast.

αὐλητρίδος· ὦ χρυσοῦν ἀνάθημα, ὦ γλυκὺς ἀγκὼν, ὡς εἴ τις εἴποι, ὦ γλυκὺς πῆχυς.

Γλυκὺς [18] *ἀγκὼν παροιμιωδῶς μοχθηρίαν τόπου ὑποδηλοῖ.*

Γλυκὺς [19] *ἀπείρῳ πόλεμος· ἐπὶ τῶν ὑπ' ἀπειρίας ἑαυτοὺς καθιέντων εἰς τοὺς κινδύνους.*

Γλυκὺς [20] *κρατὴρ ἀγαφθέγκτων ἀοιδᾶν.*

Γλυκεῖ' [21] *ὀπώρα φύλακος ἐκλελοιπότος· ἐπὶ τῶν ἄνευ μόχθου τἀλλότρια καρπουμένων.*

Γλαὺξ διΐπταται [22]· *ἐπὶ τῶν αἰσίῳ χρωμένων οἰωνῷ· ἡ πτῆσις τῆς γλαυκὸς νίκης σύμβολον τοῖς Ἀθηναίοις ἐνομίζετο.*

Γλαῦκα εἰς Ἀθήνας· ἐπὶ τῶν ἐπιδεικνυμένων πρὸς τοὺς εἰδότας, ἅπερ ἄμεινον αὐτοῦ ἴσασιν, ὅτι πολλαὶ [23] *εἰς Ἀθήνας γλαῦκες.*

Γλαὺξ [24] *ἐπί τινα πρᾶξιν σπουδῆς ἐχομένην ἀνδρὶ ὡρμημένῳ συνοῦσα καὶ ἐπιστᾶσα οὐκ ἀγαθὸν σύμβολόν φασιν. Ἐν τῇ Κρήτῃ γλαῦκα μὴ γενέσθαι φασὶ τὸ παράπαν, ἀλλὰ καὶ εἰσκομισθεῖσαν ἀποθνήσκειν· τὸν ἄρρενα ἡ θήλεια νικήσασα μάχῃ ἀμβρύνεταί τε ὑφ' ἡδονῆς, καὶ καθίησι κάλλη, καὶ φρονήματος ὑποπίμπλαται καὶ βαίνει μακρότερα.*

Γλώσσῃ [25] *ματαίᾳ ζημία προστρίβεται.*

Γλῶσσα [26] *ποῦ πορεύῃ, πόλιν ἀνορθώσασα καὶ πάλιν καταστρέψασα; ἐπὶ τῶν διὰ λόγων ἢ βλαπτόντων ἢ ὠφελούντων.*

18) Laur. om.

19) Apost. Cent. VI. 54. Macar. *γλυκὺς ἀπείρων πόλεμος· δήλη.*

20) Pind. Ol. VI. 158. — Laur. om. — Mosc. *ἀγαφθέγτων.*

21) Apost. Cent. VI. 55. Codd. *γλυκεῖα.*

22) Aristoph. Vesp. 1086. *γλαὺξ γὰρ ἡμῶν, πρὶν μάχεσθαι, τὸν στρατὸν διέπτετο.*

23) *πολλοὶ* Mosc. et Laur.

24) Mosc. om. — Ex Aelian. H. A. X. 57. et *ἐν τῇ Κρήτῃ* v. 2. et 5.

25) Stob. T. 36. 17. Apost. Cent. VI. 56. addit: *Αἰσχύλου.*

26) Apost. Cent. VI. 59.

Γλῶσσα [27] *βλάσφημος διανοίας κακῆς ἔλεγχος.*

Γλώσσης [28] *μάλιστα πανταχοῦ πειρῶ κρατεῖν.*
Ὃ καὶ γέροντι καὶ νέῳ τιμὴν φέρει,
Ἡ γλῶσσα σιωπὴν κεκτημένη. Χάριτος ἡ ὑποθήκη.

Τὸ γ μετὰ τοῦ ν.

Γνῶθι σαυτόν [1]· *ἐπὶ τῶν ὑπὲρ δύναμιν κομπαζόντων· τὸ μὲν ἀπόφθεγμα Βίαντος· ὡς παροιμία δὲ λαμβάνεται· μαρτυρεῖ Θεόφραστος ἐν τῷ περὶ παροιμιῶν· οἱ πολλοὶ δὲ Χίλωνος εἶναι, τὸ ἀπόφθεγμα. Κλέαρχος δὲ ὑπὸ τοῦ θεοῦ λεχθῆναι Χίλωνι Δαμαγήτου Λακεδαιμονίῳ.*

Γνῶμαι [2] *πλέον κρατοῦσιν, ἢ σθένος χερῶν. Σοφοκλέους.*

Γνώμη [3] *δὲ κρείσσων ἐστὶν ἢ ῥώμη χερῶν. Ἀγάθωνος.*

Γνώμης [4] *γὰρ ἐσθλῆς ἔργα χρηστὰ γίνεται.*

Γνώμων εἶ· ἀντὶ τοῦ κανὼν καὶ ἀκριβὴς σταθμή.
Γνώμη [5] *γὰρ ἀνδρὸς εὖ μὲν οἰκοῦνται πόλεις,*
Εὖ δ᾽ οἶκοι, εἰς τ᾽ αὖ πόλεμον ἰσχύει μέγα·
Σοφὸν γὰρ ἓν βούλευμα [6] *τὰς πολλὰς χέρας*
Νικᾷ, σὺν ὄχλῳ δ᾽ ἀμαθία πλέον κακόν.

27) Apost. Cent. VI. 29. addit: *Πλουτάρχου.*

28) Stob. T. 55. 4. Laur. hoc et antecedens om.

1) Apost. Cent. VI. 42. bene Arsen. huic proverbio adjunxit, quod Apost. supra ad: *γλώσσῃ ματαίᾳ* etc. attulit. *Ὡς παροιμία δὲ λαμβ.* sqq. sumta sunt ex Stobaeo T. 21. 12. Cfr. Clem. Strom. I. 14. p. 351. 11. *τὸ μὲν οὖν· γνῶθι σαυτὸν, οἱ μὲν Χίλωνος ὑπειλήφασι· Χαμαιλέων δὲ ἐν τῷ περὶ θεῶν, Θαλοῦ. Ἀριστοτέλης δὲ τῆς Πυθίας.* Macar. *Χείλωνος εἶναί φασι τὸ ἀπόφθεγμα.*

2) Apost. Cent. VI. 57. Legitur etiam apud Stob. T. 54. 3.

3) Apost. Cent. VI. 58. apud Stob. T. 54. 4.

4) Hoc et sq. Laur. om.

5) Stob. T. 54. 5. Hoc et sq. Mosc. non habet.

6) Cod. *εὐβούλευμα.*

Γνῶθι σεαυτὸν ἄριστε πόθεν καὶ ὅστις ἐτύχθης,
Ῥεῖα μὲν ὧδε τύχης κάλλεος ἀρτετύπου.

Τὸ γ μετὰ τοῦ ο.

Γόργειον βλέπει [7]*· ἐπὶ τῶν ἀγρίως βλεπόντων.*

Γοργόνα [8] *Περσεὺς ἐχειρώσατο· ἐπὶ τῶν πάνυ τι γενναῖον κατωρθωκότων· φασὶ τὸν Φόρκυνα τρεῖς ἐσχηκέναι θυγατέρας, αἵτινες ἕνα ὀφθαλμὸν ἔχουσαι ἀνὰ μέρος ἐχρῶντο· τούτῳ δὲ ἡ χρωμένη ἐνετίθει αὐτῆς εἰς τὴν κεφαλὴν, καὶ οὕτως ἔβλεπε· καὶ μιᾶς αὐτῶν τῇ ἑτέρᾳ ἀποδιδούσης τὸν ὀφθαλμὸν ἔβλεπον πᾶσαι. Ἐλθὼν δὲ ὁ Περσεὺς ὀπίσω αὐτῶν ἐν ἠρεμαίῳ βαδίσματι, κρατήσας τὴν ἔχουσαν τὸν ὀφθαλμὸν καὶ κατέχων* [9] *ξίφος γεγυμνωμένον, φησὶ δεῖξαι αὐτῷ τὴν Γοργόνα· ἐὰν δὲ μὴ φράσωσιν, ἀποκτεῖναι αὐτάς. Αἱ δὲ* [10] *φοβούμεναι φράζουσιν· ὁ δὲ ἀποτεμὼν τὴν κεφαλὴν τῆς Γοργόνος εἰς ἀέρα ἦλθε καὶ δείξας ταύτην τῷ Πολυδεύκει, λίθινον* [11] *τοῦτον ἐποίησε. Τοῦτο δὲ γελοῖον, τὸ ἄνδρα ζητοῦντα νεκροῦ κεφαλὴν ἰδόντα ἀπολιθωθῆναι· τίς γὰρ δύναμις τοῦ νεκροῦ; ἐγένετο δὲ τοιοῦτό τι. Φόρκυς ἦν ἀνὴρ Κυρηναῖος· οἱ δὲ Κυρηναῖοι κατὰ γένος μέν εἰσιν Αἰθίοπες· οἰκοῦσι δὲ νῆσον τὴν Κυρήνην* [12]*, ἔξω οὖσαν τῶν Ἡρακλείων στηλῶν, εἰσὶ δὲ τρεῖς· καὶ ποιεῖ τετράπηχυ ἄγαλμα Ἀθηνᾶς χρυσοῦν· καλοῦσι δὲ τὴν Ἀθηνᾶν Κυρηναῖοι Γοργώνην, ὥσπερ τὴν Ἄρτεμιν Θρᾷκες Βένδειαν, Κρῆτες δὲ Δίκτυνναν, Λακεδαιμόνιοι δὲ Οὖπιν. Ὁ μὲν οὖν Φόρκυς ἀποθνήσκει, πρὶν εἰς τὸ ἱερὸν ἀναθεῖναι τὸ*

7) Apost. Cent. VI. 42.
8) Apost. Cent. VI. 44.
9) Mosc. *κρατήσαντες τὸν ὀφθαλμὸν κατέχων καὶ ξίφος γεγυμνωμ.* Laur. *κρατήσας τὸν ὀφθ. κατέχων καὶ ξίφος.* Recepi ex Apost. *κρατήσας τὴν ἔχουσαν τ. ὀ.* In sequentibus, ubi Apost. habet, *καὶ κατέχων καὶ ξίφ. γεγ.* alterum *καὶ* omisi. Apud Arsenium fortasse scribarum transpositione *καὶ* post *κατέχων* positum est.
10) *δὲ* Codd. om.
11) Apogr. Dresd. *λύδινον.*
12) Codd. *Κύρνον.*

ἄγαλμα, κατέλιπε δὲ κόρας τρεῖς, Σθενὼ, Εὐρυάλην καὶ Μέδουσαν· αὗται γήμασθαι μὲν οὐδενὶ ἐβουλήθησαν· διελόμεναι δὲ τὴν οὐσίαν, ἑκάστη ἦρχε νήσου· τὴν δὲ Γοργόνα οὔτε ἀναθεῖναι τῷ ἱερῷ αὐταῖς ἐδόκει, οὔτε διελεῖν, ἄλλ᾽ ἐν μέρει κατετίθεντο ἐναλλὰξ θησαυρὸν ἑαυταῖς· ἦν δὲ τῷ Φόρκυνι ἑταῖρος, καλὸς καὶ ἀγαθὸς, καὶ αὐτῷ ἐν παντὶ πράγματι ἐχρῶντο, ὥσπερ ὀφθαλμῷ. Περσεὺς δ᾽ ἀνὴρ φυγὰς ἐξ Ἄργους, ἐληΐζετο τὰ κατὰ θάλατταν, ἔχων πλοῖα καὶ ἰσχύν τινα περὶ αὑτόν· πυθόμενος δὲ ταύτην τὴν Γοργόνα βασίλισσαν εἶναι γυναικῶν καὶ πολύχρυσον μὲν, ὀλίγανδρον δὲ, πρῶτα μὲν ναυλοχεῖ ἐν τῷ πορθμῷ, καὶ μεταξὺ τῆς Κυρήνης καὶ τῆς Σάρδεων διαπλέων τὰ παρὰ τῆς ἑτέρας εἰς τὴν ἑτέραν, τὸν ὀφθαλμὸν λαμβάνει, ὧν μία φράζει αὐτῷ, ὅτι ἄλλο μὲν οἰδὲν ἔχει λαβεῖν παρ᾽ αὐτῶν, εἰ μὴ τὴν Γοργόνα· μηνύει δὲ αὐτῷ τὸ πλῆθος τοῦ χρυσοῦ· αὗται οὖν αἱ κόραι, ἐπεὶ οὐκ εἶχον τὸν ὀφθαλμὸν ἐν τῷ μέρει, κατὰ τὸ εἰρημένον συνήεσαν ὁμόσε καὶ ἠτιῶτο ἑτέρα τὴν ἑτέραν· ὁπότε δὲ ἐπενοοῦντο μὴ ἔχειν, ἐθαύμαζον τί ἂν εἴη τὸ γεγονός. Ἐν τούτῳ προσπλεῖ αὐταῖς ὁ Περσεὺς καὶ φράζει, ὡς αὐτὸς ἔχει ἕνα ὀφθαλμὸν, καί φησι μὴ ἀποδοῦναι αὐταῖς, ἐὰν μὴ φράσωσιν, ὅπη [13] ἐστὶν ἡ Γοργών· ἐπηπείλει δὲ καὶ προσκτενεῖν εἰ μὴ εἴποιεν· ἡ μὲν οὖν Μέδουσα οὐ φράζει δεῖξαι, ἡ δὲ Σθενὼ καὶ Εὐρυάλη ἔδειξαν· τὴν μὲν οὖν Μέδουσαν ἀποκτείνει· ταῖς δὲ ἄλλαις ὀφθαλμὸν ἀποδίδωσι· λαβὼν δὲ τὴν Γοργόνα κατέκοψεν· ἀπαιτήσας δὲ τριήρη ἐπέθηκε τῆς Γοργόνος τὴν κεφαλὴν ἐπ᾽ αὐτήν· καὶ τῇ νηῒ δὲ ὄνομα ἔθετο Γοργών· ἐν ταύτῃ δὲ παραπλέων χρήματα παρὰ τῶν νησιωτῶν εἰσεπράττετο, καὶ τοὺς μὴ διδόντας ἀνῄρει· οὕτω δὲ καὶ

13) Apost. ὅπου. Recte se habet ὅπη, quod, prout alii verbo jungitur, alium sensum habet. Cfr. Böckh ad Pind. Olymp. 11. 10.

τοὺς Σεριφίους [14] ἤτει προσπελάσας ἐκείνοις χρήματα· συναγαγόντων δὲ αὐτῶν ὁ Περσεὺς ἤτει πάλιν εἰς τὴν ἀγοράν· οἱ καὶ ἐκλιπόντες τὴν Σέριφον ᾤχοντο. Προσπλεύσας οὖν πάλιν ὁ Περσεὺς ἐπὶ τὴν ἀπαίτησιν τῶν χρημάτων, καὶ ἐλθὼν εἰς τὴν ἀγορὰν, ἄνθρωπον μὲν οὐδένα εὗρε, λίθους δὲ ἀνδρομήκεις· τοῖς οὖν λοιποῖς τῶν νησιωτῶν ἔλεγεν ὁ Περσεὺς, ἐπειδὰν μὴ παρεῖχον τὰ χρήματα, ὁρᾶτε μὴ, ὡς Σερίφιοι θεασάμενοι τὴν τῆς Γοργόνος κεφαλὴν ἀπελιθώθησαν, τοῦτο πάθητε καὶ ὑμεῖς.

Γόνυ κνήμης ἔγγιον [15]· ἐπὶ τῶν ἑαυτοὺς μᾶλλον ἑτέρων ἀγαπώντων, καὶ τοὺς πλησίους τῶν μακράν· ἐν πολέμῳ γάρ φασί τινα ἰδόντα ἀνεψιὸν καὶ ἀδελφὸν διαπονουμένους καὶ ὑπερασπίσαντα τοῦ ἀδελφοῦ τοῦτο εἰπεῖν.

Τὸ γ μετὰ τοῦ ρ.

Γραῦς βαχχεύει [16]· ἐπὶ τῶν παρ' ὥραν τι ποιούντων· καὶ Ἀριστοφάνης· γραῦς καπρῶσα καὶ βαχχεύουσα.

Γραῦς ὥς τις ἵππος τὸν χαραδραῖον τάφον ἥξεις [17]· ἐπὶ τῶν ἀξίως τὰ ἔσχατα πασχόντων· οἱ γὰρ γεγηρακότες ἵπποι εἰς χαράδρους ἐμβάλλονται.

Γρᾶες [18] *κωθωνιζόμεναι.*

Γραῶν ὕθλοι [19]· ἐπὶ τῶν μάτην ληρούντων.

Γρῦ τὸ Λίωνος [20]· ἐπὶ τοῦ μικροῦ καὶ τυχόντος.

14) Codd. Σερίφους et paullo inferius ὡς Σίριφοι.
15) Apost. Cent. VI. 45.
16) Apost. Cent. VI. 47. Macar. ἐπὶ τῶν παρ' ὥραν τι διαπραττομένων.
17) Apost. Cent. VI. 48.
18) Apost. Cent. VI. 49.
19) Apost. Cent. VI. 50. Consentit Macar.
20) Apost. Cent. VI. 51. Pertinet huc, quod in apophth. Arsenius narrat: Λίωνι τῷ Ἀκαδημιακῷ, ἀπὸ συμποσίου ἀναστρέφοντι παρεπόμενος κακῶς τις ἔλεγε, καὶ βλασφημίας οὐδὲν ἀπε-

Γραῦς [21] *ἀνακροτήσασα πολὺν κονιορτὸν ἐγείρει· ἐπὶ τῶν δι' ἐμπειρίαν πολλὰ πράγματα κινούντων.*

Γραῦς ἀναθυᾷ [22]*· ἀντὶ τοῦ καπρᾷ· ἐπὶ τῶν παρ' ἡλικίαν γυναικιζομένων.*

Τὸ γ μετὰ τοῦ ν.

Γυμνότερος ἰαλέμου [1]*· δηλοῖ τὸν θρῆνον, τάσσεται δὲ ἐπὶ τῶν οἰκτρῶν.*

Γυμνότερος λεβηρίδος [2]*· ἐπὶ τῶν πάνυ πτωχῶν· ἀντὶ τοῦ γυμνότερος ὄφεως δέρματος.*

Γυμνοποδίαις χαίρει [3]*· ἐπὶ τῶν φιλεόρτων· παῖδες ἐχόρευον ἐν Σπάρτῃ τῆς Λακωνικῆς, εἰς θεοὺς ὕμνους ᾄδοντες εἰς τιμὴν τῶν ἐν Θυραιαῖς ἀποθανόντων Σπαρτιατῶν.*

Γυμνῇ τῇ κεφαλῇ [4]*· ἐπὶ τῶν ἀναισχύντως χωρούντων πρὸς πᾶν τὸ τυχόν.*

λίμπανεν· ὁ δ' ἡσύχως εἶχεν, ὡς δὲ καὶ ἐπὶ τὴν οἰκίαν ἦλθε, μέλλοντι αὐτῷ εἰσιέναι ὁ λοιδορῶν, τί δαί; ἔφη· πρὸς ὃν εἶπεν ὁ Δίων· οὐδὲ γρῦ.

21) Apost. Cent. VI. 52. Consentit Macar.

22) Apost. Cent. VI. 53. Hesych. *ἀναθύειν* (melius *ἀναθυᾶν* Vales.) *ἀνασκιρτᾶν καὶ αὖθις ἐξ ἀρχῆς ἀνατεάζειν.* A *θῦς* pro *ὗς* vel *σῦς* derivat Schneid. in Lexico, ita ut sit subare, id quod bene convenit cum *καπρίᾳν* de quo Hesych. s. v. *Ἀφροδισία ἄγρα· — — λέγει οὖν τὴν τῶν συῶν, διὰ τὸ καταφερὲς εἶναι τὸ ζῶον πρὸς ἀφροδισίαν· καπρᾶν γέ τοι καὶ καπραίνειν ἀπὸ τούτου.* id. *κάπρας, ἀκολασίας.* ubi Interpr. Cfr. Clem. Alex. Paedag. I. 7. — *γυναιξὶ, γαμεταῖς τε ἅμα καὶ παλλακίαιν ἀναρίθμοις ἐπιμίσγονται, καθάπερ οἱ κάπροι εἰς συνουσίαν ἠσκημένοι,* ubi Potter p. 131. 8. Ibid. II. 10. p. 222. 5. *ἐπεὶ γάρ ἐστι τοῦτο λαγνίστατον τὸ ζῶον, ἡ ὕαινα κ. τ. λ.* Cfr. Aristoph. Plut. 1024. *γραὸς καπρώσης τἀφόδια κατεσθίειν.*

1) Apost. Cent. VI. 54.

2) Apost. Cent. VI. 55. Macar. *ἀντὶ τοῦ τυφλότερος· ἐπὶ τῶν πάνυ πενήτων.* Eustath. Opusc. p. 330. l. 7. *γυμνοτέρους ὑπέρου λόγος παλαιὸς φησιν· ἡμεῖς δὲ οὐκ οἶδα εἰ καὶ αὐτοὶ κεισόμεθα εἰς παροιμίαν, οὕτω καταπαιχθέντες εἰς γύμνωσιν.* Cfr. sub litt. *λ. λεβηρίδος γυμν.*

3) Apost. Cent. VI. 56.

4) Apost. Cent. VI. 57.

Γυμνῷ [5] *φυλακὴν ἐπιτάττεις· δήλη.*

Γυμνὸς [6]*, ὡς ἐκ μήτρας· ἐπὶ τῶν ἀπόρων.*

Γύγαρθον φυσᾷς [7]*· ἐπὶ τῶν μάτην πονούντων· σημαίνει δὲ τὸ δίκτυον.*

Γυμνότερος [8] *παττάλου· ἐπὶ τῶν σφόδρα ἀπόρων.*

Γύης [9] *οὐκ ἔνεστιν ἐν τούτῳ· ἐπὶ τοῦ ἔν τινι ἀχρήστου.*

Γύγου δακτύλιος [10]*· ἐπὶ τῶν πολυμηχάνων καὶ πανούργων· Γύγης γὰρ βουκόλος ὢν τῆς γῆς ῥαγείσης εὗρε νεκρὸν φοροῦντα δακτύλιον, καὶ τοῦτον περιελόμενος φύσιν ἔχοντα, ὥστε κατὰ στροφὰς* [11] *τῆς σφενδόνης ὁρᾶσθαι, ὅταν βούληται καὶ μή, δι' αὐτοῦ ἔκτεινε τὸν βασιλέα Κανδαύλην καὶ ἦρξε.*

Γυπὸς σκιά [12]*· ἐπὶ τῶν μηδενὸς λόγου ἀξίων ἢ δειλῶν.*

Γυναικὶ [13] *μὴ πίστευε, μηδ' ὅταν θάνῃ· ὅτι δεῖ μὴ γυναικὶ πιστεύειν.*

Γυναικὸς φρένας [14]*· ἐπὶ τῶν ἀνοήτων.*

Γυνὴ [15] *στρατηγεῖ, καὶ γυνὴ στρατεύεται· ἐπὶ τῶν παραδόξων.*

Γυναικῶν ὄλεθροι [16]*· ἐπὶ τῶν οἰκτρῶς ἀναιρουμένων.*

Γύναι [17]*, γυναιξὶ κόσμον ἡ σιγὴ φέρει.*

5) Non inveni alibi.
6) Apost. Cent. VI. 61.
7) Apost. Cent. VI. 58.
8) Apost. Cent. VI. 62. Macar. *ἐπὶ τῶν σφόδρα ἀπορωτάτων.*
9) Apost. Cent. VI. 59.
10) Apost. Cent. VI. 60. Macar. *ἐπὶ τῶν πολυμηχάνων καὶ πανούργων.* Cfr. Plat. Pol. II. p. 359. D.
11) Apogr. Dresd. *καταστροφάς.*
12) Apost. Cent. VI. 64. Macar. *ἢ δειλῶν* om.
13) Apost. Cent. VI. 67. Macar. *δήλη ἡ παροιμία.*
14) Apost. Cent. VI. 65.
15) Apost. Cent. VI. 66. Consentit Macar.
16) Apost. Cent. VI. 68.
17) Apost. Cent. VI. 63. Ex

Γυναικὶ [18] *δ' ὄλβος, ἂν πόσιν στέργοντ' ἔχει.*
Γυναικὸς [19] *ὄμμα, τοῖς ἀκμάζουσιν βέλος.*
Γυναικὸς αὐδὴ θάνατος νεωτέροις.
Γυνὴ [20] *πολλὰ ἀνδρὸς ὀξυτέρη πρὸς κακοφραδμοσύνην.*
Γυναικὸς [21] *ἀρετὰς ἀξίως ἐπαινέσαι*
Σοφοῦ γένοιτ' ἂν ἵστορος λόγων.
Γωνίας ἄξιος ἀνήρ [22]*· ἐπὶ τῶν ἀσυνέτων καὶ ἀπραγμόνων.*

Α Π Ο Φ Θ Ε Γ Μ Α Τ Α.

Γ λ ύ κ ω ν ο ς.

Γλύκων ὁ σοφὸς ἔλεγε τοὺς ῥήτορας ὁμοίους εἶναι τοῖς βατράχοις· τοὺς μὲν γὰρ ἐν ὕδατι κελαδεῖν, τοὺς δὲ πρὸς κλεψύδραν.

Ὁ αὐτὸς τὴν παιδείαν ἔλεγεν ἱερὸν ἄσυλον.

Γλαῦκος Νηρέως προφήτης [1]*· οὗτος Ἀνθηδόνιος, ἑωρακὼς ἰχθῦν παρὰ τὴν ψάμμον βοτάνης γευσάμενον καὶ ἀναζήσαντα, φαγὼν καὶ αὐτὸς γέγονεν ἀθάνατος, ἀλλ' οὐκ ἀγήρως, ἐφ' ᾧ κατεπόντισεν ἑαυτόν.*

** Γλαύκου τοῦ Ἐπικυδέως παιδὸς ἐπερωτῶντος τὴν Πυθίαν, εἰ ὅρκῳ τὰ χρήματα λῃΐσεται, ἃ εἰς παρακατα-*

Soph. Aj. 293. Laur. hoc et quinque sqq. om.

18) Stob. T. 74. 15. ex Euripide.

19) Apost. Cent. VI. 70. hoc proverbium cum sequenti conjungit: *ὁμοία τῇ· γυναικὸς αὐδὴ θ. κ.*

20) Stob. T. 73. 52. *Δημοκρίτου.*

21) Stob. T. 67. 6. *Ἀπολλωνίδου.*

22) Apost. Cent. VI. 69. Macar. addit: *Γυνὴ εἰς Ἡρακλέους οὐ φοιτᾷ· πρὸς τοὺς ἀναξίους τινῶν πράξεων, παρόσον Ἡρακλῆς ἐδούλευσεν Ὀμφάλῃ. Γλαῦκες Λαυρεωτικαί· ἐπὶ τῶν πολλὰ χρήματα ἐχόντων· ἐν γὰρ Λαυρίῳ τῆς Ἀττικῆς χρυσοῦ μέταλλα ἦν· ἐχάραττον δὲ γλαῦκας ἐν τοῖς νομίσμασιν.*

1) Impress. *ὑποφήτης.* Ibid. plura huic nomini subjuncta sunt, quae in Proverbiis leguntur.

θήκην ἔλαβε παρὰ Μιλησίου ἀνδρὸς, ἡ Πυθία τάδε φησὶν·

Γλαῦκ' Ἐπικυδίδη, τὸ μὲν αἰτίκα κέρδιον οὕτω,
Ὅρκῳ νικῆσαι καὶ χρήματα λῄσασθαι,
Ὄμνυ· ἐπεὶ θάνατός γε καὶ εὔορκον μένει ἄνδρα,
Ἀλλ' ὅρκου παῖς ἐστιν ἀνώνυμος, οὐδ' ἔπι χεῖρες,
Οἰδὲ πόδες· κραιπνῶς δὲ μετέρχεται, εἰσόκε πᾶσαν
Συμμάρψας ὀλέσῃ γενεὴν καὶ οἶκον ἅπαντα.
Ἀνδρὸς δ' εὐόρκου γενεὴ κατόπισθεν ἀμείνων.

Γοργίου.

Γοργίας [2] *ὁ Λεοντῖνος ἐπὶ τέρματι ὢν τοῦ βίου, ὑπ' ἀσθενείας καταληφθεὶς κατ' ὀλίγον εἰς ὕπνον ὑπολισθαίνων ἔκειτο, εἴς δέ τις αὐτὸν τῶν ἐπιτηδείων ἤρετο, τί πράττοι· ὁ Γοργίας ἀπεκρίνατο, ἤδη με ὁ ὕπνος ἄρχεται παρακατατίθεσθαι τἀδελφῷ.*

Ὁ αὐτὸς [3] *ἤδη γηραιὸς ὑπάρχων, ἐρωτηθεὶς, εἰ ἡδέως ἀποθνήσκοι, ἥκιστα, εἶπεν· ὥσπερ δὲ ἐκ σαπροῦ καὶ ῥέοντος συνοικίου ἀσμένως ἀπαλλάττομαι.*

Αὐτοῦ πρεσβευτοῦ ἀποσταλέντος πρὸς τοὺς Ἀθηναίους καὶ λαμπρῶς ἐπιδεικνυμένου, οἱ Ἀθηναῖοι τὰς ἡμέρας ἐκείνας, ἐν αἷς ἐπεδείξατο, ἑορτὰς ἐκάλουν, τοὺς δὲ λόγους αὐτοῦ λαμπάδας.

Ὁ αὐτὸς [4] *ἐρωτηθεὶς, ποίᾳ διαίτῃ χρώμενος εἰς μακρὸν γῆρας ἦλθεν, οὐδὲν οὐδέποτε πρὸς ἡδονὴν οὔτε φαγὼν, οὔτε δράσας.*

Αὐτὸς [5] *καὶ τέχνας ῥητορικὰς πρῶτος ἐξεῦρε, καὶ κατὰ τὴν σοφιστίαν τοσοῦτον τοὺς ἄλλους ὑπερέβαλλεν, ὡς μισθὸν λαμβάνειν παρὰ τῶν μαθητῶν μνᾶς ἑκατόν.*

2) Stob. T. 118. 25. *Αἰλιανοῦ Ἱστοριῶν.* Apogr. Dresd. *ἐπὶ τέρμα* praebet.

3) Stob. T. 118. 29. *ἐκ τῶν Ἀριστοτέλους χρειῶν.* Pro *ἥκιστα* Gaisf. recepit *μάλιστα*, conjecit autem *ἥδιστα*.

4) Stob. T. 101. 21.

5) Impress. *οὗτος*.

Οὗτος καταντήσας Ἀθήνας, ἔτυχε γὰρ παρὰ τῶν Λεοντίνων εἰς Ἀθήνας πρεσβευτὴς ἀπεσταλμένος, καὶ παραχθεὶς εἰς τὸν δῆμον διελέχθη τοῖς Ἀθηναίοις περὶ συμμαχίας· καὶ τῷ ξενίζοντι τῆς λέξεως ἐξέπληξε τοὺς Ἀθηναίους, ὄντας εὐφυεῖς καὶ φιλολόγους· πρῶτος γὰρ ἐχρήσατο τῆς λέξεως σχηματισμοῖς περιττοτέροις καὶ τῇ φιλοτεχνίᾳ διαφέρουσιν, ἀντιθέτοις καὶ ἰσοκώλοις καὶ παρίσοις καὶ ὁμοιοτελεύτοις, καί τισιν ἑτέροις τοιούτοις, ἃ τότε μὲν διὰ τὸ ξένον τῆς κατασκευῆς ἀποδοχῆς ἠξιοῦτο, νῦν δὲ περιεργίαν ἔχειν δοκεῖ καὶ φαίνεται καταγέλαστον.

* Γ έ λ ω ν ο ς.

Γέλων ὁ τύραννος, ὅτε Καρχηδονίους πρὸς Ἱμέραν κατεπολέμησεν, εἰρήνην ποιούμενος πρὸς αὐτούς, ἠνάγκασεν ἐγγράψαι ταῖς ὁμολογίαις, ὅτι καὶ τὰ τέκνα παύσονται τῷ Κρόνῳ καταθύοντες.

Ὁ αὐτὸς ἐξῆγε πολλάκις τοὺς Συρακουσίους ὡς ἐπὶ στρατείαν καὶ φυτείαν, ὅπως ἥ τε χώρα βελτίων γένηται γεωργουμένη, καὶ μὴ χείρονες αὐτοὶ σχολάζοντες.

Ὁ αὐτὸς αἰτῶν χρήματα τοὺς πολίτας, ἐπεὶ ἐθορυβήθησαν, αἰτεῖν εἶπεν, ὡς ἀποδώσων, καὶ ἀπέδωκε μετὰ τὸν πόλεμον.

Ὁ αὐτὸς ἐν συμποσίῳ λύρας περιφερομένης, ἁρμοζομένων τῶν ἄλλων ἐφεξῆς καὶ ᾀδόντων, αὐτὸς τὸν ἵππον εἰσαγαγεῖν κελεύσας, ἐλάφρως καὶ ῥᾳδίως ἀνεπήδησεν ἐπ' αὐτόν [6].

I Σ T O P I A I.

Γύαρα τῶν Ἀσιαδῶν νήσων ἐστὶ λυπηροτάτη· τόπος ἐξαίρετος κολάσεως καὶ πόλις ἀνάγκης· ἐπίγεώς τις ἀσε-

6) Sequitur in impr. *Γαΐου Ἰουλίῳ Λουκίλλης*, quod est in Stobaeo T. 69. 21. et in Violeto inter sententias *περὶ γάμου*.

βῶν χῶρος, οὐ ποταμοῖς οὐδὲ λίμναις περικλυζόμενος, ἀλλ᾽ ἀξείνῳ πελάγει καὶ θαλάσσῃ δυσεμπελάστῳ φρουρούμενος· ὅθεν ζῶσιν οἱ καταδικασθέντες φυγάδων, ἅμα τύχην καὶ δασμὸν ὑπομένοντες. Ἔχει γὰρ ὁ τόπος γῆς μὲν τὸ ἐξόρειον, εἱρκτῆς δὲ τὸ ἄφυκτον, καὶ φυγάδες λέγονται· φυγεῖν δ᾽ οὐκ ἐῶνται τὸν τόπον· οὐ γὰρ ζῆν ἀπελύθησαν· ταύτην μέν τοι τὴν νῆσον οἰκοῦσί τινες ἑκουσίως ἐντραφέντες πολῖται, καὶ λέγονται καὶ ἀγαπῶσι· καί τις ἐξ αὐτῶν ἐπ᾽ ἀδικήμασι δημοσίοις ἐκδιωχθεὶς οὐκ ἐσπάσατο τὴν φυγὴν, ὡς ἐλευθερίαν, οὐδὲ τὴν ἐκβολὴν ὡς λύσιν προσεκύνησεν, ἀλλ᾽ ἔδωκεν ἀργύριον ὑπὲρ τοῦ κατελθεῖν, καὶ πείσας κατῆλθεν· οὕτω ἡ συνήθεια τὸν τόπον τοῖς μὲν κόλασιν πεποίηκε, τοῖς δὲ πατρίδα.

Ἱστορία περὶ γιγάντων.

Διὸς μεταστήσαντος τὸν πατέρα Κρόνον τῆς βασιλείας, καὶ τὴν τῶν θεῶν ἀρχὴν παραλαβόντος, γίγαντες, οἱ γῆς παῖδες, ἀγανακτήσαντες ἐν Ταρτησῷ, [ἐν ἄλλῳ Παρνασῷ] πόλις δὲ αἵτη κατὰ τὸν Ὠκεανὸν, μέγαν κατὰ Διὸς πόλεμον παρεσκεύαζον. Ζεὺς δὲ συναντήσας αὐτοῖς καταγωνίζεται πάντας, καὶ μεταστήσας αὐτοὺς εἰς ἔρεβος τῷ πατρὶ Κρόνῳ τὴν βασιλείαν παραδίδωσιν. Ὀφίωνα δὲ, τὸν δοκοῦντα πάντων ὑπερέχειν κατηγωνίσατο ὅρος ἐπιθεὶς, ἀφ᾽ οὗ Ὀφίων προσηγορεύθη.

Ἀρχὴ τοῦ $\overline{\delta}$ στοιχείου.

Τὸ $\overline{\delta}$ μετὰ τοῦ $\overline{\alpha}$.

Δαιδάλου ποίημα [1]· ἐπὶ τῶν ἀκριβούντων τὰς

1) Apost. Cent. VI. 71. Harpocr. Δαιδ. ποιήματα· ἐπὶ τῶν ἀκρ. τὰς τέχνας. Macar. ἐπὶ τῶν τεχνικῶς κατασκευασθέντων.

τέχνας· λέγεται γὰρ, ὅτι Μίνως Δαίδαλον καὶ Ἴκαρον καθεῖρξε διά τινα αἰτίαν, υἱοὺς αὐτοῦ ὄντας. Δαίδαλος δὲ ποιήσας πτέρυγας προσθετοὺς ἐξῆλθε μετὰ τοῦ Ἰκάρου· νοῆσαι δὲ ἄνθρωπον πετόμενον ἀμήχανον, καὶ ταῦτα πτέρυγας ἔχοντα προσθετούς [2]. Τὸ οὖν λεγόμενον ἦν τοιοῦτον· Δαίδαλος ὢν ἐν εἱρκτῇ, καθεὶς ἑαυτὸν διὰ θυρίδος καὶ σκαφίδι ἐμβὰς σὺν τῷ Ἰκάρῳ εἰς θάλασσαν ἔπλεεν· αἰσθόμενος δὲ ὁ Μίνως πέμπει πλοῖα διώξοντα· ὡς ἤσθετο δὲ Ἴκαρός τε καὶ Δαίδαλος διωκόμενοι, ἀνέμου λάβρου καὶ σφοδροῦ ὄντος, πετόμενοι, ἤγουν πλέοντες ἐν τῷ πελάγει, περιτρέπονται· καὶ ὁ μὲν Δαίδαλος σώζεται εἰς τὴν γῆν, ὁ δὲ Ἴκαρος τελευτᾷ ἐν τῷ πελάγει, ὅθεν ἀπ᾽ ἐκείνου Ἰκάριον πέλαγος ἐκλήθη· ἐκβληθεὶς δ᾽ ὁ Ἴκαρος ὑπὸ τῶν κυμάτων παρὰ τοῦ πατρὸς ἐτάφη.

Δάνειζέ μοι μαρτυρίαν· ἐπὶ τῶν παρὰ μέρος ἑαυτοὺς ἐπαινούντων.

Δακτύλῳ [3] *δείκνυται· ἐπὶ τῶν ἐπισήμων.*

Δασεῖαν νύκτα [4]· *τὴν χειμερινὴν φασιν.*

Δαιδάλου πτερά [5]· *ἐπὶ τῶν δι᾽ ἀπορίαν χρωμένων προσθήκῃ παρελκούσῃ.*

Δασύποδα [6] *λαγὼν παραδραμεῖται χελώνη· ἐπὶ τοῦ ἀδυνάτου.*

2) Mosc. hoc loco προσθετὰς praebet, ut bis Apost.

3) Notus Persii versus Sat. I. 28. At pulchrum est digito monstrari et dicier: hic est. Clem. Paedag. III. 11. p. 296. 22. οὐδὲ παραβλέπειν εἰς τοὺς ἀπαντῶντας, εἰ ἀποβλέπουσιν εἰς αὐτόν, καθάπερ ἐπὶ σκηνῆς ἐμπομπεύοντα, καὶ δακτυλοδεικτούμενον. Lucian. Somn. c. 11. ἅπαξ τῶν ὁρώντων ἕκαστος τὸν πλησίον κινήσας δείξει σὲ τῷ δακτύλῳ, οὗτος ἐκεῖνος λέγων. de Gymnas. c. 36. τὸ ἐπισημότατον γενέσθαι, καὶ δείκνυσθαι τῷ δακτύλῳ. Praec. rhet. c. 25. καὶ τὸ δείκνυσθαι τῷ δακτύλῳ, τοῦτον ἐκεῖνον ἀκρότατον ἐν πάσῃ κακίᾳ λεγόμενον. Herodot. c. 2. καὶ εἰπου γε φανείη μόνον, ἐδείκνυτο ἄν τῷ δακτύλῳ· οὗτος ἐκεῖνος Ἡρόδοτός ἐστιν. ibid. Harmonid. c. 1.

4) Apost. Cent. VI. 72.

5) Apost. Cent. VI. 75. legit παρελθούσῃ. Macar. ἐπὶ τῶν διὰ τὸ ἄπορον τοῦ λόγου παρελκούσῃ χρωμένων προσθήκῃ.

6) Apost. Cent. VI. 75.

Δασύπους [7] *χρεῶν ἐπιθυμεῖ· λέγεται ἐπὶ τοῦ ἐπιθυμοῦντος παρ᾽ ἄλλου γενέσθαι τὰ ὄντα αὐτῷ.*

Δάτος ἀγαθῶν [8]*· ἐπὶ τῶν εὐδαιμονούντων· ἡ γὰρ Δάτος, πύλις ἦν ἐπὶ Θρᾴκης, σφόδρα εὐδαίμων· δεδηλώκατον* [9] *δὲ περὶ αὐτῆς Θεόπομπος ἐν τρίτῳ Φιλιππικῶν καὶ Ἔφορος ἐν τετάρτῳ.*

Δακτύλιος ἡμέρα [10]*· ἐπὶ τῶν εὐημερούντων· Δακτύλιος γάρ τις ἐγένετο ἀνὴρ Ἀθήνησι μεγίστων τιμῶν λαχών.*

Δακτυλίῳ δεῖ σε ἐλκυσθῆναι· ἐπὶ τῶν διὰ νόσον ἢ λύπην ἰσχνῶν γενομένων.

Δαφνίνην [11] *φορῶ βακτηρίαν· ἐπὶ τῶν ὑπό τινων ἐπιβουλευομένων· παρόσον ἀλεξιφάρμακον ἡ δάφνη.*

Δαπανώμενος [12] *ἐφ᾽ ᾧ μὴ δεῖ, ὀλίγος ἔσῃ, ἐφ᾽ ᾧ δεῖ. Χίλωνος.*

Τὸ δ μετὰ τοῦ ε.

Δευτέρων [1] *ἀμεινόνων· ἐπὶ τῶν θυομένων ἐκ δευτέρου, ὅταν αὐτοῖς τὰ πρότερα ἱερὰ μὴ καυθῇ, καὶ ἐπὶ δεύτερα τραπῶσιν.*

Δέδοται [2] *καὶ κακοῖσιν ἄγρα· ἐπὶ τῶν παρ᾽ ἀξίαν εὐπραγούντων.*

Δειλὸν [3] *δ᾽ ὁ πλοῦτος καὶ φιλόψυχον κακόν· παρόσον οἱ πλούσιοι ἀσφαλίζονται.*

7) Apost. Cent. VI. 76.
8) Apost. Cent. VI. 74.
9) Apogr. Dresd. *δεδηλώτατον.*
10) Apost. Cent. VI. 77.
11) Apost. Cent. VI. 79. Macar. *δαφνίνην φοβῶ βακτηρίαν· τοῦτο εἰώθασι λέγειν οἱ ὑπό τινων ἐπιβουλευόμενοι, παρόσον φάρμακον ἡ δάφνη.*
12) Ap. Cent. VI. 78. Macar. addit: *Δαναΐδων πίθος, ἐπὶ τῶν ἀεὶ ἐκλιπόντων καὶ μὴ πληρουμένων. Δαίμων Κιλίκιος· ἐπὶ τῶν ἀποτροπαίων· λέγεται καὶ δαίμων αἴνεως ὅμοιον, ἀπὸ Αἴνου πόλεως Θρᾴκης.*
1) Apost. Cent. VI. 80.
2) Apost. Cent. VI. 81.
3) Apost. Cent. VI. 82. Versus Euripidis Phön. 554. cfr. Aristoph. Plut. 203. *ἀλλὰ καὶ λέγουσι πάντες ὡς δειλότατον ἔσθ᾽ ὁ πλοῦτος.* Macar. *δειλὸν*

Δεκάπους [4] *σκιά ἐστιν· ἐπὶ τῶν κατὰ καιρὸν ἀπιόντων ἐπὶ τὸ δεῖπνον· τὸ γὰρ παλαιὸν οἱ καλοῦντες ἐπὶ δεῖπνα καὶ οἱ καλούμενοι παρεσημαίνοντο τὴν σκιάν· καὶ οὕτως οἱ μὲν ἔμενον τοὺς κληθέντας, οἱ δὲ ἀπήεσαν ἐπὶ τὰς ἑστιάσεις, ἐφ' ἧς οἷόν τε ἦν τεκμήρασθαι εἰς πόσας ὥρας προσήκει.*

Δεῖ φίλοις καὶ τοῖς οἰκείοις βοηθεῖν, ἄχρι τοῦ μὴ ἐπιορκεῖν· Λυκούργου.

Δεῖ τοὺς γινομένους μέχρι ἂν ζῶσι ποιεῖν,
Ἀπραξία γὰρ λιτὸν οὐ τρέφει βίον. Μενάνδρου [5].

Δελφῖνα [6] *νήχεσθαι διδάσκεις· ἐπὶ τῶν ἐν ἐκείνοις τινὰ παιδοτριβούντων, ἐν οἷς ἤσκηνται.*

Δελφῖνα [7] *πρὸς τ' οὐραῖον δεῖς· ἐπὶ τοῦ ἀδυνάτου· διὰ τὸ εὐκίνητον εἶναι· πρὸς τοὺς οὐ δυναμένους τηρεῖν τὰ διδόμενα.*

Δέχεται [8] *καὶ βῶλον ἁλήτης· ἐπὶ τῶν πάντα δεχομένων· ἁλήτην γάρ φασί τινα βουκόλῳ συναντήσαντα, αἰτῆσαι τροφήν· ἄραντα δ' ἐκεῖνον βῶλον δοῦναι αὐτῷ, ὡς τοῦ Διὸς ὄντα· τὸν δὲ τοῦτο εἰπεῖν.*

Δειλότερος εἶ τῶν λαγωῶν.

Δειλότερος [9] *εἶ αὐτῆς τῆς δειλίας· ἐπὶ τῶν σφόδρα δειλῶν.*

Δειλότερος [10] *εἶ τοῦ παρακύπτοντος· ἐπὶ τῶν σφόδρα δειλῶν, ἀνὴρ γὰρ οὗτος ἐγένετο δειλὸς, ὃς παρακύψας ἐκ σπηλαίου, καὶ ἰδὼν τὸν Ἡρακλῆν ἀπελιθώθη καὶ διέμεινεν ἔτι καὶ νῦν ὁ λίθος ἀνθρωποειδής.*

ὁ πλοῦτος, παρόσον οἱ πλούσιοι τὰς οἰκίας ἀσφαλίζονται καὶ κύνας τρέφουσιν.

4) Apost. Cent. VI. 85.

5) Fragm. XCII. ed. Mein. qui ex emendatione Bentleji scribit: τοὺς πενομένους.

6) Consentit Macar.

7) Apost. Cent. VI. 84. rem pluribus exponit.

8) Apost. Cent. VI. 85. Consentit Macar.

9) Apost. Cent. VI. 86. Consentit Macar.

10) Apost. Cent. VI. 91.

Δεῖ νοσεῖν [11] *τὸ μέρος· ἐπὶ τῶν ἀκριβῆ φιλίαν ἐνδεικνυμένων.*

Δέκα [12] *ἢ κύων τέκοι, καὶ πάντα λευκά· ἐπὶ τῶν ὁμοίων καὶ εὐτυχῶν.*

Δέκα [13] *τοῦ ὀβολοῦ· καθ' ὑπερβολήν, ἐπὶ τῶν μηδενὸς ἀξίων.*

Δελφὶς [14] *ἐν λουτηρίῳ· ἐπὶ τῶν παρ' ἀξίαν τι ποιεῖν οὐκ ἀνεχομένων.*

Δεινὸν [15] *τὸ συνιδεῖν τὸ μέλλον· ἀπόφθεγμα Θάλεω τοῦ Μιλησίου.*

Δελφὸς [16] *ἀνὴρ στέφανον μὲν ἔχει, δίψει δ' ἀπόλωλεν· οὗτοι γὰρ διὰ τὸ ἱεροῦσθαι ἐστεφανωμένοι μέν εἰσι, δίψει δ' ἀπόλλυνται, ἀντὶ τοῦ τῶν ἀναγκαίων ἀποροῦσι.*

Δεινοὶ [17] *πλέκειν τοι μηχανὰς Αἰγύπτιοι· ἐπὶ τῶν σφόδρα κακουργοτάτων· τοιοῦτοι γὰρ οἱ Αἰγύπτιοι.*

Δελφῖνα νήχεσθαι διδάσκεις· ἐπὶ τῶν ἐν ἐκείνοις τινὰ παιδοτριβούντων, ἐν οἷς ἤσκηνται, ἢ ἐπὶ τῶν ἄκρως εἴς τι πεπαιδευμένων καὶ προσποιουμένων παρά τινων μανθάνειν.

Δεσμοὶ Τυρρηνοί [18]*· οἷς ἐχρῶντο κατ' ἐκεῖνο καιροῦ εἰς τὰς τῶν δεσμωτῶν κακουχίας.*

Δεύτερος πλοῦς [19]*· ὅτε ἀποτυχών τις οὐρίου, κώπαις πλεῖ.*

11) Apost. Cent. VI. 87.
12) Apost. Cent. VI. 88. Apogr. Dresd. *ὁ Κύων.*
13) Apost. Cent. VI. 89.
14) Apost. Cent. VI. 90.
15) Apost. Cent. VI. 92.
16) Apost. Cent. VI. 93. Apost. *ἀπόλωλεν.* Arsen. *ἀπόλλυται.* Macar. *παρόσον οὗτοι διὸ μὲν τὸ ἱερᾶσθαι ἐστεφανωμένοι ἦσαν, τῶν δὲ ἐπιτηδείων ἠπόρουν.*
17) Apost. Cent. VI. 94. Macar, *τοιοῦτοι γὰρ οἱ Αἰγ.* om.
18) Apost. Cent. VI. 96. Apogr. Dresd. *Τυρηνοί.* Ad rem vide O. Mueller. Etrusc. p. 84.
19) Apost. Cent. VI. 97. Explicatio Apostolii sumta est ex Menandro Stobaei Tit. 59. 9.

Δελφῖνα [20] *λεκάνη οὐ χωρεῖ· Εὐριπίδου.*
Δεῦρ' ἐλθὲ, εἰς οὓς γὰρ τοὺς λόγους εἰπεῖν θέλω.

Τὸ $\overline{\delta}$ *μετὰ τοῦ* $\overline{\eta}$.

Δηλίου κυλυμβητοῦ [1]· *ἐπὶ τῶν ἄκρως νηχομένων.*

Δηρὸν [2] *βουλεύειν, ἵν' ἔχῃ καὶ πολλὸν* [3] *ἄμεινον.*

Δημόκριτος τὸν φθόνον εἶπεν ἕλκος εἶναι τῆς ἀληθείας.

Τὸ $\overline{\delta}$ *μετὰ τοῦ* $\overline{\iota}$.

Διὰ [4] *μαχαιρῶν καὶ πυρὸς ῥίπτειν δεῖ· ἐπὶ τῶν παραβαλλομένων καὶ ῥιψοκίνδυνα ποιούντων.*

ὁ δεύτερος πλοῦς ἐστι δήπου λεγόμενος, ἂν ἀποτύχῃ τις οὐρίου κώπαισι πλεῖν. Macar. *ἐπὶ τῶν ἀσφαλῶς τι πραττόντων· παρόσον οἱ διαμαρτόντες κατὰ τὸν πρότερον πλοῦν ἀσφαλίζονται* (Cod. *ἀσφαλίζοντες*) *περὶ τὸν δεύτερον.* Naumach. v. 10. (Vol. III. p. 261. Poët. min. ed. Gaisf.)

Καὶ τοῦτο προδαεὶς ἐρέω, πῶς
χρή σε περῆσαι
Τὸν πλοῦν, ὥς φασιν, τὸν δεύτερον ἔμφρονι θυμῷ.

Cfr. Wagn. ad Alciphr. T. I. p. 60. Heind. ad Plat. Phaed. p. 99. D. Coray ad Heliod. I. p. 31. Synes. Dion. p. 49. D. ed. Petav. *οἱ δὲ πλείους οὐδὲ οἴκοθεν ἐκινήθησαν, ἀλλ' οὐδὲ τὸν δεύτερον λεγόμενον πλοῦν ὑπὸ τῆς σχολῆς εἰς νοῦν διεγείρονται.* Schol. ined. ad Theonis progymn. in Cod. Laur. *Δεύτερος δε, ὥς φασι, πλοῦς τῆς τοῦ πεῖσαι χρείας τὸ κἂν δι' ἀπάτης καὶ κακοτεχνίας.*

20) Apostolii (Cent. VI. 98.) expositionem longiorem omisit Arsen. Macar. addit: *Δελφικὴ μάχαιρα· ἐπὶ τῶν φιλοκερδῶν.* (Cfr. O. Muelleri Dor. I. p. 360.) *Δηλοῦ μήτηρ οὐ κλαίει· δημώδης καὶ φανερά.*

1) Apost. Cent. VI. 99. Diog. Laërt. Vita Heracl. IX. 7. *Σέλευκος μέντοι φησὶν ὁ γραμματικὸς, Κρότωνα τινὰ ἱστορεῖν ἐν τῷ Κατακολυμβητῇ, Κράτητά τινα πρῶτον εἰς τὴν Ἑλλάδα κομίσαι τὸ βιβλίον· ὃν καὶ εἰπεῖν, Δηλίου τινὸς δεῖσθαι κολυμβητοῦ, ὃς οὐκ ἀποπνιγήσεται ἐν αὐτῷ.*

2) Apost. Cent. VI. 100.

3) Apogr. Dresd. *πολλῶν.* Macar. addit: *Δῆλόν ἐστι καὶ τυφλῷ· ἐπὶ τῶν προφανῶν.*

4) Apost. Cent. VII. 1. Apogr. Dresd. *καὶ πῦρ.* Xen. Sympos. IV. 16. *ἐγὼ μετὰ Κλεινίου κἂν διὰ πυρὸς ἰοίην.* Cfr. Herm. ad Soph. Antig. 615. Lambin. ad Horat. Sat. I. 1, 38. *ῥίπτειν* sc. *ἑαυτόν.* Eur. Cycl. 165. *ῥίψαι*

Διακόνιον· οἱ μὲν τὴν τοῦ πλακοῦντος κρηπῖδα· Μενεκλῆς δὲ ἐν τῷ γλωσσοκόμῳ ταῦτα εἴρηκε περὶ αὐτοῦ· Ἀθηναῖοι τῷ Ἀπόλλωνι τὴν καλουμένην εἰρεσιώνην ὅταν ποιῶσι, πλάττοντες λύραν τε καὶ κοτύλην καὶ κλῆμα καί ἄλλ᾽ ἄττα κυκλοτερῆ πέμματα, ταῦτα καλοῦσι διακόνιον· λέγεται δ᾽ ἐπί τινος ἐγκρατοῦς· ὁμοίως δὲ καὶ ἀμερίας διακόνια τὰ κατὰ τὴν εἰρεσιώνην τῷ Ἀπόλλωνι πλασσόμενα πέμματα· τινὲς δὲ λέγουσι ζωμὸν ποιὸν, τινὲς δὲ μάζαν.

Διαγόρας [5] *ὁ Μήλιος· ἐπὶ τῶν ἀπίστων καὶ ἀθέων.*

Διακωδωνισθέντες [6]*· ὡς ἐπὶ τὸ πλεῖστον ἐπὶ τῶν διαπαιζομένων λαμβάνεται.*

Διϊτρεφὴς [7] *ἀνεπτέρωκεν· ἐπὶ τῶν ἀναπειθόντων ἐπί τι πρᾶγμα.*

Διὰ [8] *τοῦ τοίχου λαλεῖ· ἐπὶ τῶν ἀναισθήτων.*

Δικαιότερος σταχάνης [9]*· ἐπὶ τῶν τὰ δίκαια ἀγαπώντων· σταχάνην γὰρ οἱ Δωριεῖς τὴν τρυτάνην καλοῦσιν· ἴσως παρὰ τὴν στάσιν.*

Δίκης ὀφθαλμός [10]*· ἧς δεῖ μηδέποτε καταφρονεῖν ἀνθρώπους ὑπάρχοντας.*

τ᾽ ἐς ἅλμην. Theogn. vv. sunt notissimi: *χρὴ πενίην φεύγοντα καὶ ἐς μεγακήτεα πόντον, ἐπτεῖν, καὶ πετρῶν Κύρνε κατ᾽ ἠλιβάτων.*

5) Apost. Cent. VII. 3. et Codd. *ὁ Μιλήσιος.* Scripsi *Μήλιος*, quod posuit Pantin. apud Apost. Cfr. autores veteres, apud Perizon. ad Ael. V. H. II. 23. coll. 31. Bergl. ad Aristoph. Av. 1072. Eadem permutatio est apud Menand. de encom. p. 609. *ἡ δ᾽ αἰτία φαύλη, ὡς τὸ περὶ Μηλίους Ἀθηναίων ἔργον.* Ald. Par. Ricc. 1. *Μιλησίους.* Med. 1. *Μηλίους*, quod ex conjectura posuit Heeren. Jos. de b. J. II. 7. 1. *λαμπρῶς ἐφοδιασθεὶς διέπλευσεν εἰς Μῆλον.* Par. 1425. *Μίλητον.*

6) Apost. Cent. VII. 4.

7) Apost. Cent. VII. 5. Mosc. *ἀναπέπτωκεν.* Recte hoc sensu *ἀναπτεροῦν*, Jacobs ad Achill. Tat. VII. 15. Villois. ad Long. p. 91. Seidler ad Eurip. Electr. 177.

8) Apost. Cent. VII. 6.

9) Apost. Cent. VII. 7. Macar. *ἐπὶ τῶν τὰ δίκαια ἀγαπώντων· σταχάνη μία ἐστὶν ἡ τρυτάνη.*

10) Apost. Cent. VII. 8. Heliod. VIII. 15. *δεινὸς δὲ ὁ τῆς*

Δίζεσθαι βιοτὴν, ἀρετὴν δ ὅταν ᾖ βίος· παρόσον τὸ ζῆν τῆς ἀρετῆς πρότιμότερον.

Δίκη [11] *δίκην ἔτικτε καὶ βλάβη βλάβην· ἐπὶ τῶν φιλοδίκων καὶ συνειρόντων δίκας δίκαις.*

Δίκην [12] *ὑφέξει κἂν ὄνος δάκῃ κύνα· ἐπὶ τῶν ἐπὶ σμικροῖς συκοφαντουμένων.*

Δικτύῳ [13] *ἄνεμον θηρᾷς· ἐπὶ τῶν μάτην καὶ ἀνοήτως τι ποιούντων.*

Δίκης [14] *δικαιότερος· ἐπὶ τῶν σφόδρα δικαίων καθ' ὑπερβολήν.*

Διὰ [15] *δακτυλίου γ' ἂν ἕλκύσαις· ἐπὶ τῶν διὰ λύπην ἢ νόσον ἰσχνῶν γενομένων. Ἀριστοφάνης ἐν πλούτῳ.*

Διὰ [16] *παλαιᾶς ἡμέρας· ὥσπερ διὰ χρόνου, διὰ μακροῦ.*

Διὰ [17] *μέσου καὶ λιμὸς ἕρξει καὶ κάλλιστ' ἀπόλλυται· φθαρέντος γὰρ τοῦ λιμώττοντος καὶ ὁ λιμὸς ἀπόλλυται.*

Διομήδειος [18] *ἀνάγκη· ὃς ἠνάγκαζε τοὺς ξένους αἰσχραῖς οὔσαις ταῖς θυγατράσιν αὐτοῦ μίγνυσθαι, ἃς καὶ ἵππους ἀλληγορεῖ· τάττεται δὲ ἐπὶ τῶν κατ' ἀνάγκην*

Δίκης ὀφθαλμὸς ἐλέγχων καὶ τὰ ἀμήνυτα, κρυφία καὶ ἀθέμιτα φωτίζειν. Ex distinctione a Boissonadio ad Philostr. Her. p. 546. proposita. Plut. Sympos. VII. p. 161. F. *ἅμα δὲ καθορῶν τὸν οὐρανὸν ἀστέρων περίπλεων — — διανοεῖσθαι, ὡς οὐκ ἔστιν εἷς ὁ τῆς Δίκης ὀφθαλμὸς, ἀλλὰ πᾶσι τούτοις ἐπισκοπεῖ κύκλῳ ὁ θεὸς τὰ πραττόμενα περὶ γῆν τε καὶ θάλατταν.* Dictionis fons repetendus videtur ab eo, quod Diodor. Sic. III. 4. de Aegyptiorum hieroglyphis refert: *ὁ δὲ ὀφθαλμὸς δίκης τηρητὴς, καὶ παντὸς τοῦ σώματος φύλαξ.*

11) Apost. Cent. VII. 9.

12) Apost. Cent. VII. 11.

13) Apost. Cent. VII. 12. alia quaedam aliena adjungit.

14) Apost. Cent. VII. 13.

15) Apost. Cent. VII. 22. In Pluto v. 1036. legitur: *διὰ δακτυλίου μὲν οὖν ἔμεγ' ἂν διελκύσαις.*

16) Apost. Cent. VII. 31.

17) Apost. Cent. VII. 30.

18) Apost. Cent. VII. 15. Plat. Polit. VI. p. 493. D. *ἡ Διομήδεια λεγομένη ἀνάγκη ποιεῖν αὐτῷ ταῦτα, ἃ ἂν οὗτοι ἐπαινῶσιν.*

τι πραττόντων· οἱ δέ [19] φασιν, ὅτι Διομήδης καὶ Ὀδυσσεὺς τὸ Παλλάδιον κλέψαντες νυκτὸς ἀπῄεσαν· ἐπόμενος δὲ ὁ Ὀδυσσεὺς τὸν Διομήδην ἐβουλήθη ἀποκτεῖναι· ἐν τῇ σελήνῃ δὲ ἰδὼν τὴν σκιὰν τοῦ ξίφους ὁ Διομήδης, δήσας τὸν Ὀδυσσέα ἐποίησε προάγειν, παίων αὐτοῦ τῷ ξίφει τὸ μετάφρενον.

Διόνυσια [20]· ἑορτὴ παρ᾽ Ἀθηναίοις, καὶ παροιμία ἐξ αὐτοῦ σχεδὸν τοσοῦτον ὅσον, ἐκ Διονυσίων, ἐπὶ τῶν ἀποδοχῆς ἀξίων· ὁ Διόνυσος λέγεται καὶ Διθύραμβος, ὅτι ἐτρώφη ἐν ἄντρῳ τῆς Νύσσης· ἐκ τούτου ποιηταὶ διθυραμβοποιοί.

Διὸς Κόρινθος [21]· ἐπὶ τῶν τὰ αὐτὰ λεγόντων· ἐρρήθη δὲ δι᾽ αἰτίαν τοιαύτην· Μεγαρεῖς ὑπακούοντες Κορινθίοις ἐβαρύνοντο τοῖς ἐπιτάγμασι καὶ φανεροὶ δυσανασχετοῦντες ἦσαν ἐπὶ τούτῳ· Κορινθίων δὲ πρέσβεις ἦλθον εἰς τὰ Μέγαρα, καὶ τοῦ δήμου μὴ προσέχοντος αὐτοῖς ἀγαναχτοῦντες ἐβύων, οὐκ ἀνέχεται ταῦτα ὁ Διὸς Κόρινθος· φασὶν οὖν τοὺς Μεγαρεῖς ἐκβάλλοντας αὐτοὺς παίειν καὶ λέγειν, παῖε τὸν Διὸς Κόρινθον.

Διὸς ἐγκέφαλος [22] τὸ κάλλιστον βρῶμα· ἢ βασιλέως ἐγκέφαλος· ἐπὶ τῶν ἡδυπαθούντων [23]· οἱ δὲ, ὅτι τὰ πολιτελῆ βρώματα παρὰ Πέρσαις Διὸς ἐγκέφαλος λέγεται.

Διὸς ψῆφος [24]· οὕτω καλεῖται ὁ τόπος, ἐν ᾧ Ἀθηνᾶ καὶ Ποσειδὼν ἐκρίθησαν· Κραιῖνος Ἀρχιλόχοις.

Ἔνθα [25] Διὸς μεγάλου θάκοι πεσσοί τε καλοῦνται. Τάττεται δὲ ἡ παροιμία ἐπὶ τῶν ἱερῶν καὶ ἀθίκτων.

19) Vide Photii Bibl. λδ.

20) Apost. Cent. VII. 16.

21) Apost. Cent. VII. 17. Apud Aristoph. Ran. 439. Xanthias, iterum a Baccho monitus, ut stragula tolleret, dicit:

Ἀλλ᾽ ἢ Διὸς Κόρινθος ἐν τοῖς στρώμασιν,

ubi Schol. et Bergl.

22) Apost. Cent. VII. 19.

23) Apogr. Dresd. δυσπαθούντων.

24) Apost. Cent. VII. 20.

25) Apost. Cent. VII. 21.

Δίσκους [26] *ὠθεῖ ὑπὲρ τὰ ἐσκαμμένα· ἐπὶ τῶν προτερούντων· ἐπὶ δύο τινῶν πραγμάτων ἐπαίνου ἀξίων, τὸ δὲ ἓν ἐπισταμένων βέλτιον τοῦ ἑτέρου.*

Δίχολοι [27] *γνᾶμαι, οἱονεὶ δίτροποι· ἐπὶ τῶν δι-τρόπων.*

Δὶς [28] *ἑπτὰ πληγαῖς πουλύπους πιλούμενος· ἐπὶ τῶν κολάσεως ἀξίων· παρόσον ὁ πολύπους θηρευθεὶς τύπτεται πολλάκις, πρὸς τὸ πίων γενέσθαι.*

Δὶς [29] *καὶ τρὶς τὸ καλὸν, τὸ δὲ καλὸν οὐδ' ἅπαξ· δῆλον τοῦτο.*

Δὶς [30] *πρὸς τὸν αὐτὸν αἰσχρὸν προσκρούειν λίθον· ἐπὶ τῶν ἐκ δευτέρου τοῖς αὐτοῖς περιπιπτόντων.*

Δὶς [31] *παῖδες οἱ γέροντες· ἐπὶ τῶν πρὸς τὸ γῆρας εὐηθεστέρων εἶναι δοκούντων.*

Διωλύγιον κακόν [32]· *ἐπὶ τῶν μέγα τι καὶ δεινὸν ὑφισταμένων.*

26) Apost. Cent. VII. 23.
27) Apost. Cent. VII. 81.
28) Apost. Cent. VII. 24.
29) Apost. Cent. VII. 27. Plat. Gorg. p. 495. E. *καὶ δὶς γάρ τοι καὶ τρίς φασι καλὸν εἶναι τὰ καλὰ λέγειν τε καὶ ἐπισκοπεῖν*, ubi Heind.
30) Apost. Cent. VII. 29.
31) Apost. Cent. VII. 28. Arsenius humano capiti cervicem equinam subjunxit: *ἐπὶ τῶν διακινδυνευόντων· ὀξείαν γὰρ λέγουσι τὴν λόγχην.* Quae recepi, obtulit Apostol. et Macar. Ad rem vide Aristoph. Nub. 1417. Clem. Strom. VI. p. 748. 2. *Θεοπόμπου ποιήσαντος·*

Δὶς παῖδες οἱ γέροντες ὀρθῷ τῷ λόγῳ.

καὶ πρό γε τούτου Σοφοκλέους ἐν τῷ Πηλεῖ·

Πηλέα τὸν Αἰάκειον οἰκουρὸς μύνη
Γεροντα γῶγῶ κἀναπαιδεύω πάλιν·
Πάλιν γὰρ αὖθις παῖς ὁ γηράσκων ἀνήρ.

Ἀντιφῶν ὁ ῥήτωρ λέγει· γηροτροφία γὰρ προσέοικε παιδοτροφίᾳ. ἀλλὰ καὶ ὁ φιλόσοφος Πλάτων ἄρ', ὡς ἔοικεν, ὁ γέρων δίσπαις γένοιτ' ἄν. Adde Julian. Ep. 59. p. 446. A. *δὶς παιδες οἱ γέροντες.*

32) Apost. Cent. VII. 26. Vide Ruhnk. ad Tim. p. 88. Achill. Tat. I. 13. *διωλύγιον ἐκώκυσε*, ubi Jacobs. Cum Apost. consentit Macar. Idem addit: *Δι' ἀχύρου καὶ θύμου καὶ τρυτάνης· ἐπὶ τῶν φειδωλῶν καὶ γλίσχρων. Διὰ κενῆς· λείπει κώπης· οἱ δὲ νευρᾶς τόξου.*

Διπλοῦν [33] κάππα· ὅτι ἤθελον δηλῶσαί τι κακὸν δύο $\overline{\text{κκ}}$ ἔγραφον.

Τὸ $\overline{\delta}$ μετὰ τοῦ $\overline{\text{ο}}$.

Δοίδυξ αὔξει [1]· ἐπὶ τῶν μὴ αὐξανομένων· ὁ γὰρ δοίδυξ μικρός ἐστι καὶ στρογγύλος.

Δόρυ κηρύκειον [2]· ἐπὶ τῶν ἅμα παρακαλούντων καὶ ἀπειλούντων· οἱ δεκατευθέντες εἰς Δελφοὺς ὑπὸ Ἀθηναίων Γεφυραῖοι, λαβόντες χρησμὸν, ἀνδρὶ Γεφυραίῳ φίλος οἶκος, ἀκολουθοῦντες βουσὶν, ἕως ἂν οὗ κοπιῶσιν, ὁ θεὸς αὐτοῖς ἔχρησεν, ὅπως ἐκεῖ καταμείνωσι· πολεμουμένων Ἀθηναίων ὑπὸ Εὐμόλπου ἐπὶ τὴν Τανάγραν καλουμένην ὥδευσαν, δόντες μὲν [3] τῷ προηγουμένῳ κηρύκειον· καθοπλίσαντες δὲ κατόπιν τοὺς νέους.

Δοίδυκος σκιά [4]· ἐπὶ τοῦ μηδενός.

Δοῦλος [5] ὢν κόμην ἔχεις.

Δούλων πόλις [6] ἐν Λιβύῃ· Ἔφορος [7] ἐν πέμπτῃ· καὶ ἕτερα ἱεροδούλων, ἐν ᾗ εἷς ἐλεύθερός ἐστιν· ἔστι δὲ καὶ ἐν Κρήτῃ Δουλόπολις, ὡς Σωσιστράτης ἐν τῇ πρώτῃ [8] τῶν Κρητικῶν· ἔστι δέ τις περὶ Θρᾴκης Πονηρόπο-

33) Proverbium erat: τρία κάππα κάκιστα, spectans ad Cretenses, Cappadoces et Cilices, propter vanitatem male audientes. Vide Vulcan. ad Callim. H. in Jov. v. 8.

1) Apost. Cent. VII. 32.

2) Apost. Cent. VII. 34. Codd. Arsenii et Apostol. δορύκειον. Correxit Pantinus. Macar. δόρυ κηρυκείου μᾶλλον δάκνει· ἐπὶ τῶν αὐστηρότερον προσιόντων τοῖς μὴ διὰ πειθοῦς εἰκουσιν.

3) Apogr. Dresd. ἐν.

4) Apost. Cent. VII. 35. Macar. consentit.

5) Apost. Cent. VII. 36. ex Aristoph. Av. 911. Servis comam desectam esse constat; inde apud Achill. T. Leucippe, in servitutem redacta, dicitur τὴν κεφαλὴν κεκαρμένη. Κομᾶν vero et κόμην ἔχειν simul superbiae signum. Cfr. Jacobs ad Philostr. Icon. p. 231. Bergl. ad Aristoph. Plut. 170.

6) Apost. Cent. VII. 37.

7) Apogr. Dresd. Εὔφορος.

8) Πρώτῃ omisit apogr. Dresd. Macar. addit: Δουλότερος Μεσσήνης, ἐπὶ τῶν ἐσχάτῃ καὶ πικρᾷ δουλείᾳ ἐνεχομένων. Λακεδαιμόνιοι γὰρ τοῖς Μεσσηνίοις ὡς δούλοις χρώμενοι καὶ ἐμαστίγουν, καὶ τῶν ἄλλων πόλεων, ὡς ἰδίους ὄντας δούλους ἀπῆγον.

λις, ἣν Φίλιππόν φασι συνοικίσαι, τοὺς ἐπὶ πονηρίᾳ διαβαλλομένους αὐτόθι συναγαγόντα συκοφάντας καὶ ψευδομάρτυρας, καὶ τοὺς συνηγόρους καὶ τοὺς ἄλλους πονηροὺς ὡς δισχιλίους, ὡς Θεόπομπος ἐν τρισκαιδεκάτῃ τῶν Φιλιππικῶν φησι.

Τὸ $\overline{\delta}$ μετὰ τοῦ $\overline{\rho}$.

Δρυὸς [9] πεσούσης πᾶς ἀνὴρ ξυλεύεται· παρόσον ἀνὴρ μέγας ὅταν σφαλῇ πάντες κατ᾽ αὐτοῦ φέρονται καὶ τὰ αὐτοῦ [10] ἁρπάζουσι.

Δραχμῆς [11] μὲν ηὔλει, τεττάρων δ᾽ ἐπαύετο· ἐπὶ τῶν ἑτοίμως ἀρχομένων ἢ λέγειν ἢ πράττειν· δυσχερῶς δὲ παυομένων.

Τὸ $\overline{\delta}$ μετὰ τοῦ $\overline{\nu}$.

Δύο [12] τοίχους ἀλείφεις· λέγεται, ἐπὶ τῶν ἐπαμφοτεριζόντων καὶ διὰ μέσου χωρούντων ἐν μάχαις ἢ φιλίαις· εἴρηται δὲ ἴσως ἀπὸ τῶν δύο τοίχους εὐφεγγέας ποιούντων.

Δύο γὰρ ταῦτα, ὥσπερ στοιχεῖα τῆς ἀρετῆς εἰσιν, ἐλπίς τε τιμῆς καὶ φόβος τιμωρίας.

Δυοῖν [13] ἐπιθυμήσας οὐδετέρου ἔτυχες· ἐπὶ τῶν ἄγαν πλεονεκτούντων, οἳ διὰ πλεονεξίαν καὶ τὰ ἑαυτῶν ἀποβάλλουσιν.

δοῦλε δεσποτῶν ἄκουε, καὶ δίκαια καὶ ἄδικα· αὕτη τῶν περιφερομένων.

9) Apost. Cent. VII. 38. Macar. ἐπὶ τῶν ῥᾳδίως λαμβανόντων, ἃ πρότερον μόλις ἐδύναντο. Vide Schol. Theocr. Id. V. 65.

10) Apogr. Dresd. αὐτοῖς.

11) Apost. Cent. VII. 39. Cfr. supra sub Ἀράβιος αὐλητής. Hor. Sat. I. 83, 1.

Omnibus hoc vitium est cantoribus, inter amicos
Ut nunquam inducant animum cantare rogati,
Injussi nunquam desistant.

Macar. addit: Δρυὸς καὶ πέτρας λόγοι, ἐπὶ τῶν ἀδολεσχούντων καὶ μυθολογούντων παράδοξα. Cfr. Heind. ad Plat. Phaedr. p. 275. B.

12) Apost. Cent. VII. 40.

13) Apost. Cent. VII. 41. Macar. addit: δυσριγώτερος χελώνης· ἐπὶ τῶν εἰς ὁτιοῦν γλισχρευομένων.

Δύο θεοὺς ἥκω κομίζων ὑμῖν, πειθὼ καὶ βίαν· ἀπόφθεγμα τοῦ Θεμιστοκλέους πρὸς Ἀνδρίους [14] *χρηματιζομένου· οἱ δ' ἔφασαν ἔχειν δύο θεοὺς μεγάλους πενίαν καὶ ἀπορίαν.*

Δύσκωφος δυσκώφῳ ἐκρίνετο, ὁ δὲ κριτὴς κωφότερος [15]*· ἐπὶ τῶν πάνυ γελοίων.*

Δύσκολα τὰ καλά.

Τὸ $\overline{\delta}$ *μετὰ τοῦ* $\overline{\omega}$.

Δωδεκαμήχανος Κυρήνη [16]*· ἐπὶ τῶν παντοδαποῖς καὶ ποικίλοις χρωμένων ἤθεσιν· ἡ δὲ Κυρήνη ἦν ἑταίρα πάνυ ἐπίσημος, ἐκαλεῖτο δὲ δωδεκαμήχανος, διὰ τὸ πολλὰς μηχανὰς ἐν ταῖς συνουσίαις ποιεῖσθαι.*

Δῶρα [17] *θεοὺς πείθει καὶ αἰδοίους βασιλῆας· ἐπὶ τῶν διὰ δῶρα τὰς δίκας ἀντιστρεφόντων.*

Δῶρον δ' ὅ, τι δῷ τις ἐπαινεῖ.

Δωδωναῖον χαλκεῖον [18]*· ἐπὶ τῶν ἀκαταπαύστως καὶ πολλὰ λαλούντων· Δήμων μέν φησιν ἐν τῇ Δωδώνῃ πολλοὺς παραλλήλους κειμένους λέβητας· ὅταν δέ τις ἑνὸς ἅψηται, ἐκ διαδοχῆς πάντας ἠχεῖν. Ἀριστοτέλης δὲ ὡς πλάσμα διελέγχων δύο φησὶ στύλους εἶναι, καὶ ἐπὶ μὲν τοῦ ἑτέρου λέβητα, ἐπὶ θατέρου δὲ παῖδα κρατοῦντα μάστιγα, ἧς τοὺς ἱμάντας χαλκείους σειομένους ὑπ' ἀνέμου, τῷ λέβητι προσκρούειν, τὸν δὲ τυπτόμενον ἠχεῖν.*

14) Mosc. *ἀνδρείους.*

15) Mosc. *κωφώτερος.*

16) Apost. Cent. VII. 42. Aristoph. Ran. 1327.

17) Apost. Cent. VII. 45. Macar. *δῶρα καὶ θεοὺς πείθει· Ἡσιόδου εἶναί φασι.* Cfr. Hor. Od. III. 16. 14. subruit aemulos reges muneribus. Munera navium saevos illaqueant duces.

18) Apost. Cent. VII. 44. Macar. *ἐπὶ τῶν ἀδολέσχων καὶ φλυάρων.* Disputaverunt de hac re O. Mueller in Commentatione de tripodibus in Boettigeri Amalthea Vol. I. p. 155. Welcker ad Philostr. Imag. II. 35. Aristid. *ὑπὲρ τῶν τεττ.* p. 309. *ἐπειδὰν δὲ κακῶς τινας εἰπεῖν δέῃ καὶ διαβαλεῖν, τῷ Δωδωναίῳ μὲν οὐκ ἂν εἰκάσαις αὐτοὺς χαλκείῳ.* Callim. Fr. CCCVI. *τὸν ἐν Δωδῶνι λελεγμένον οὔνεκα χαλκὸν ἤγειρον.*

Διὼς [19] *ἀγαθὴ, ἅρπαξ δὲ κακὴ, θανάτοιο δότειρα.*
Ὅς μὲν γάρ κεν ἀνὴρ ἐθέλων, ὅς γε κἂν μέγα δώῃ,
Χαίρει τῷ δώρῳ καὶ τέρπεται ὃν κατὰ θυμόν·
Ὅς δέ κεν αὐτὸς ἕληται ἀναιδείῃφι πιθήσας,
Καί τε σμικρὸν ἐὸν τόγ' ἐπάχνωσεν [20] *φίλον ἦτορ.*

ΑΠΟΦΘΕΓΜΑΤΑ.

Δημήτριος [1] *Φανοστράτου Φαληρεὺς* [2], *ἀκούσας ὅτι τὰς εἰκόνας αὐτοῦ κατέστρεψαν Ἀθηναῖοι, ἀλλ' οὐ τὴν ἀρετὴν, ἔφη, δι' ἣν ἐκείνας ἀνέστησαν.*

Ὁ αὐτὸς ἔλεγε [3], *τὰς ὀφρῦς μὴ μικρὸν εἶναι μέρος, ὅλῳ γὰρ ἐπισκοτῆσαι δύνασθαι τῷ βίῳ.*

Ὁ αὐτὸς οὐ μόνον τὸν πλοῦτον ἔφη τυφλὸν, ἀλλὰ καὶ τὴν ὁδηγοῦσαν τύχην.

Ὁ αὐτὸς ἔφη, ὅσον ἐν πολέμῳ δύνασθαι σίδηρον, τοσοῦτον ἐν πολιτείαις ἰσχύειν δῶρον.

Ὁ αὐτὸς ἰδών ποτε νεανίσκον ἄσωτον, ἰδοὺ, ἔφη, τετράγωνος Ἑρμῆς ἔχων σύριγα, κοιλίαν, αἰδοῖον, πώγωνα.

Ὁ αὐτὸς εἶπε [4] *τοὺς φίλους ἐπὶ μὲν τὰ ἀγαθὰ παρακαλουμένους ἀπιέναι, ἐπὶ δὲ τὰς συμφορὰς αὐτομάτους.*

Δημητρίου Φαληρέως
τῶν ἑπτὰ σοφῶν ἀποφθέγματα [5].

Μέτρον ἄριστον. Πατέρα δεῖ αἰδεῖσθαι. Εὖ τὸ σῶμα ἔχειν καὶ τὴν ψυχήν. Φιλήκουον καὶ μὴ πολύκουον. Πολυμαθῆ ἢ ἀμαθῆ. Γλῶσσαν εὔφημον κεκτῆσθαι ἀρετῆς οἰκείαν. Ἀδικίαν μισεῖν· εὐσέβειαν φυλάττειν· πολίταις τὰ βέλτιστα συμβουλεύειν. Γλώττης κρατεῖν.

19) Stob. T. 10. 16. *Ἡσιόδου ἔργων.* Apogr. Dresd. *δώτειρα.*

20) Apogr. Dresd. *τόγε πάχνωσεν.*

1) Diog. Laërt. V. 82. Ibidem sequentia apophthegmata, excepto penultimo, leguntur.

2) *Φαλληρεὺς* Mosc. et Laur.

3) Laur. *τὰς ὀφρῦς ἔλεγε.*

4) Impress. *ἔφη.*

5) Desunt haec in Mosc. et in Impr. Recepi ex Laur.

Βίᾳ μηδὲν πράττειν. Τέκνα παιδεύειν. Ἔχθρας διαλύειν. Τὸν τοῦ δήμου ἐχθρὸν πολέμιον νομίζειν. Γυναικὶ μὴ μάχεσθαι, μηδὲ ἄγαν φρονεῖν, ἀλλοτρίων παρόντων, τὸ μὲν γὰρ ἐστι χέρειον· τὸ δὲ μανίαν δύναται παρέχειν. Οἰκέτας μεθύοντας μὴ κολάζειν, εἰ δὲ μὴ, δόξεις καὶ αὐτὸς μεθύειν. Γαμεῖν ἐκ τῶν ὁμοίων, ἐὰν γὰρ ἐκ τῶν κρειττόνων, δεσπότας, οὐ συγγενεῖς κτήσῃ. Μὴ ἐπιμαίνεσθαι τῷ σκώπτοντι, ἀπεχθὴς γὰρ ἔσῃ τοῖς σκωπτομένοις. Εὐπορούντα μὴ ὑπερήφανον εἶναι, ἀπορούντα μὴ ταπεινοῦσθαι.

Ὁ αὐτὸς τῶν τετυφλωμένων ἀνδρῶν ἔφη τὸ μὲν ὕψος δεῖν περιαιρεῖν, τὸ δὲ φρόνημα καταλιπεῖν.

Ὁ αὐτὸς εἶπε τοὺς ἀστείους τῶν νέων ἐν μὲν ταῖς οἰκίαις τοὺς γονεῖς δεῖ αἰδεῖσθαι, ἐν δὲ τῇ ὁδῷ τοὺς ἀπαντῶντας, ἐν δὲ ταῖς ἐρημίαις ἑαυτούς.

Ὁ αὐτὸς τὸν μὴ δυνάμενον γενναίως φέρειν ἀτυχίαν, μηδὲ εὐτυχίαν ἔφη δύνασθαι.

* Δημήτριος, Φανοστράτου Φαληρεὺς Πτολεμαίῳ τῷ βασιλεῖ παρήνει τὰ περὶ βασιλείας καὶ ἡγεμονίας βιβλία κτᾶσθαι καὶ ἀναγινώσκειν, ἃ γὰρ οἱ φίλοι τοῖς βασιλεῦσιν οὐ θαῤῥοῦσι παραινεῖν, ταῦτα τοῖς βιβλίοις γέγραπται.

Δημοσθένους.

Δημοσθένης ὁ ῥήτωρ ἔφη πόλεως εἶναι ψυχὴν τοὺς νόμους· ὥσπερ γὰρ σῶμα στερηθὲν ψυχῆς πίπτει, οὕτω καὶ πόλις μὴ ὄντων νόμων καταλύεται.

* Ὁ αὐτὸς ἔφη, δεῖ τοὺς νοῦν ἔχοντας τῶν δυναστευόντων μὴ διὰ τὰς ἀρχὰς, ἀλλὰ διὰ τὰς ἀρετὰς θαυμάζεσθαι, ἵνα τῆς τύχης μεταπεσούσης τῶν αὐτῶν ἐγκωμίων ἀξιῶνται.

* Ὁ αὐτὸς εἶπε, πάντων ἐστὶ δυσχερέστατον τὸ πολλοῖς ἀρέσκειν.

Ὁ αὐτὸς ἐν συμποσίῳ πρὸς τὸν λαλοῦντα πολλὰ, εἰ τοσαῦτα, ἔφη, ἐφρόνεις, οὐκ ἂν τοσαῦτα ἐλάλεις.

Ὁ αὐτὸς ἐρωτηθεὶς διατί μίαν γλῶσσαν ἔχομεν, ὦτα δὲ δύο, εἶπεν, ὅτι διπλάσιον δεῖ ἀκούειν τοῦ λέγειν.

Ὁ αὐτὸς ἐρωτηθεὶς, τί ἄνθρωπος ἔχει ὅμοιον θεῷ, ἔφη, τὸ εὐεργετεῖν καὶ ἀληθεύειν.

Ὁ αὐτὸς [6] λοιδορουμένου τινὸς αὐτὸν, οὐ συγκαταβαίνω, εἶπεν, εἰς ἀγῶνα, ἐν ᾧ ὁ ἡττώμενος τοῦ νικῶντός ἐστι κρείττων.

Ὁ αὐτὸς ἔφη τὸν κόλακα τοῦτο διαφέρειν τοῦ κόρακος, ὅτι ὁ μὲν ζῶντας, ὁ δὲ νεκροὺς ἐσθίει.

Ὁ αὐτὸς θεασάμενός τινα ἐκφερόμενον φιλάργυρον ἔφη, οὗτος βίον ἀβίωτον βιώσας, ἑτέροις βίον κατέλιπεν.

* Ὁ αὐτὸς ἐρωτηθεὶς, τί ἐστι ῥητορικὴ, εἶπεν, ὑπόκρισις [7], δυσχεραίνων, ὅτι διὰ ταύτην τῶν χειρόνων ἥττων ἐφαίνετο, ἦν γὰρ τραυλὸς τὴν γλῶτταν ἐκ φύσεως· τὸ δὲ πνεῦμα ἀτονώτερον, ἐξ ὧν ἀμφοτέρων συνέβαινε φαυλοτάτην αὐτὸν τὴν ὑπόκρισιν παρεχόμενον.

* Ὁ αὐτὸς θεασάμενός τινα δημαγωγὸν ἀφυῆ μέγα βοῶντα ἔφη· ἀλλ᾽ οὐ τὸ μέγα εὖ ἐστι, τὸ δὲ εὖ μέγα.

Ὁ αὐτὸς εἶπε, βασιλεὺς καὶ τύραννος ἅπας ἐχθρὸν ἐλευθερίᾳ καὶ νόμοις ἐναντίον.

* Ὁ αὐτὸς πρὸς τὸν Πυθέα σκώπτοντα αὐτὸν καὶ τοὺς λόγους αὐτοῦ λύχνων ἀπόζειν λέγοντα, ἀστείως ἅμα καὶ πικρῶς, οἶδα, εἶπεν, ὅτι σε λιπῶ, λύχνον καίων· διεβέβλητο γὰρ ὁ Πυθέας, ὡς λωποδυτῶν νύκτωρ.

* Ἐζήλωσε δὲ μάλιστα τῶν πρὸ αὐτοῦ τὸν συγγραφέα Θουκυδίδην, καὶ τὰ πλεῖστα ἐκ τῶν ἐκείνου λόγων εἰς τὸ πολιτικώτερον μετέφρασε, καὶ οὕτω λέγεται αὐτὸν ἐκμεμαθηκέναι, ὥστε φέρεσθαι τὸ τοιοῦτον περὶ αὐτοῦ· ὅτι ποτὲ καείσης τῆς βιβλιοθήκης ἐν Ἀθήναις, καὶ συγ-

6) Stob. T. 19. 4. 7) Cfr. Theon. Prog. c. V. p. 214. ed. nostr.

καεισῶν τῶν ἱστοριῶν Θουκυδίδου, αὐτὸν μόνον ἀπομιμονεῦσαι πασῶν καὶ οὕτω μεταγραφῆναι ποιῆσαι.

* Μειδίας ἐχθρὸς ὢν αὐτῷ παλαιὸς κονδύλῳ αὐτὸν ὕβρισεν ἐστεφανωμένον ἐν τῷ θεάτρῳ, καὶ ὁ δῆμος ὀργισθεὶς κατεχειροτόνησε τοῦ Μειδίου· λαβὼν δὲ παρὰ τοῦ Μειδίου τρεῖς δραχμὰς καθυφείκατο τὴν παρ' αὐτοῦ δίκην· καὶ Δημοτέλη δὲ τὸν ἀνεψιὸν γραψάμενος εἰς Ἄρειον πάγον τραύματος, ἀργύριον λαβὼν ἐπέσχεν· ὅθεν καὶ Αἰσχίνης ὀνειδίζων αὐτὸν λέγει· ὁ τὴν κεφαλὴν πρόσοδον κεκτημένος, ὅτι ἀπὸ τῆς κεφαλῆς ἐπορίζετο· ἔγημε δὲ τὴν τοῦ Χαβρίου γυναῖκα, Κτησίππου δὲ θυγατέρα, μετὰ θάνατον τοῦ στρατηγοῦ Χαβρίου.

Ὁ αὐτὸς [7]* τὴν μὲν ῥίζαν τῆς παιδείας ἔφη εἶναι πικρὰν, τοὺς δὲ καρποὺς γλυκεῖς.

Ὁ αὐτός τινος αὐτῷ λέγοντος, ὅτι τοῦ ἀγροῦ ἀμελεῖς, ἑαυτῷ δὲ σχολάζεις, τούτου γὰρ, ἔφη, ἐπιμελοῦμαι, δι' ὃν τὸν ἀγρὸν ἐκτησάμην.

Ὁ αὐτὸς ὀνειδιζόμενος, ὅτι πονηροῖς συνδιατρίβει, ἐκεῖνος, ἔφη, ἀριστός ἐστιν ἰατρὸς, ὃς τοὺς ὑπὸ πάντων ἀπεγνωσμένους ἀναλαμβάνει.

Ὁ αὐτὸς [8] ἔφη, δεῖ τὸν εὖ φρονοῦντα τὸν λογισμὸν ἀεὶ τῶν ἐπιθυμιῶν κρείττω πειρᾶσθαι ποιεῖν.

Ὁ αὐτὸς ἔφη, δεῖ τοὺς ὀρθῶς πολέμῳ χρωμένους οὐκ ἀκολουθεῖν τοῖς πράγμασιν, ἀλλὰ αὐτοὺς ἔμπροσθεν εἶναι τῶν πραγμάτων.

Δημάδους.

Δημάδης τοὺς Ἀθηναίους εἴκαζεν αὐλοῖς, ὧν εἴ τις ἀφέλοι τὴν γλῶτταν, τὸ λοιπὸν οὐδέν ἐστιν.

Ὁ αὐτὸς ἐρωτηθεὶς [9], τίς αὐτοῦ διδάσκαλος γεγονὼς εἴη, τὸ τῶν Ἀθηναίων, ἔφη, βῆμα, ἐμφαίνων, ὅτι ἐ

7 *) Isocrati tribuit Libanius Progymnasm. Chria III. init. Hermogen. Progymn. c. 5.

8) Hoc et sq. nec in Mosc. nec in impr. exstat.

9) Stob. T. 29. 91.

διὰ πραγμάτων ἐμπειρία κρείττων πάσης σοφιστικῆς διαβασκαλίας ἐστίν.

Ὁ αὐτὸς εἶπε [10], τὴν αἰδῶ τοῦ κάλλους ἀκρόπολιν εἶναι.

Ὁ αὐτὸς ἐρωτηθεὶς, πῶς ἄν τις γένηται πλούσιος, εἶπεν, ἐὰν τῶν ἐπιθυμιῶν ἔσται πένης.

Δ η μ ώ ν α κ τ ο ς.

Δημώναξ τοὺς τῶν σωμάτων ἐπιμελουμένους, ἑαυτῶν δὲ ἀμελοῦντας ὠνείδιζεν, ὡς τῶν μὲν οἴκων ἐπιμελουμένους, τῶν δὲ ἐν οἴκῳ ἀμελοῦντας.

Ὁ αὐτός ἔλεγεν ἐλάσσω κακὰ πάσχουσιν οἱ ἄνθρωποι ὑπὸ τῶν ἐχθρῶν ἢ ὑπὸ τῶν φίλων· τοὺς μὲν γὰρ ἐχθροὺς δεδιότες φυλάσσονται, τοῖς δὲ φίλοις ἀνεψγμένοι εἰσὶ καὶ γίνονται σφαλεροὶ καὶ εὐεπιβούλευτοι [11].

Ὁ αὐτὸς εἶπεν, οἱ ἀπαίδευτοι καθάπερ οἱ ἁλιευόμενοι ἰχθύες ἑλκόμενοι σιγῶσιν.

Ὁ αὐτὸς τῶν ἄλλων ἐξεταζόντων, εἰ ὁ κόσμος ἔμψυχος, καὶ αὖθις, εἰ σφαιροειδὴς, ὑμεῖς, εἶπε περὶ τοῦ κόσμου πολυπραγμονεῖτε, περὶ δὲ τῆς αὐτῶν ἀκοσμίας οὐ φροντίζετε.

Ὁ αὐτός τινος σοφιστοῦ αἰτιωμένου αὐτὸν καὶ φήσαντος, διατί με κακῶς λέγεις, ὅτι μὴ καταφρονεῖς, ἔφη, τῶν κακῶς λεγόντων.

Δ η μ ο κ ρ ί τ ο υ.

Δημόκριτος [12], Ἡγησιστράτου, Ἀβδηρίτης ἐρωτηθεὶς, πῶς ἄν τις γένηται πλούσιος, ἐὰν τῶν ἐπιθυμιῶν ἔσται πένης, φησίν.

Δημοκρίτου πρεσβεύοντός ποτε ὑπὲρ Ἀθηναίων πρὸς Φίλιππον καὶ [13] παῤῥησίᾳ διαλεγομένου, ὁ Φίλιππος,

10) Stob. T. 74. 56.

11) Mosc. ἐπιβούλευτοι. Laur. et impr. εὐεπιβούλευτοι.

12) Idem paullo ante Demadi tributum est. Ceterum abest a Mosc. et ab Impr.

13) Καὶ ex Laur. recepi. Mosc. om.

οὐ φοβῇ, μὴ τὴν κεφαλήν σου, ἔφη, προστάξω ἀφαιρεθῆναι, οὔ φησιν· ἐὰν γὰρ σύ μου ταύτην ἀφέλῃς, ἡ πατρίς μοι αὐτὴν ἀθάνατον ἀναθήσει.

Ὁ αὐτὸς τὸν φθόνον εἶπεν ἕλκος εἶναι τῆς ἀληθείας.

* Ὁ αὐτὸς ἔλεγεν, αὐξανομένου τοῦ σώματος, συναυξάνονται φρένες, γηράσκοντος δὲ συγγηράσκουσι καὶ εἰς τὰ δέοντα πάντα ἀμβλύνονται.

* Ὁ αὐτὸς ἔλεγε, κόσμος ὀλιγομυθίη γυναικὶ, καλὸν δὲ καὶ κόσμου λιτότης.

Ὁ αὐτὸς, προειπών τινα τῶν μελλόντων εὐδοκίμησε καὶ ἐνθέου δόξης παρὰ τοῖς πλείστοις ἠξιώθη· νόμου δὲ ὄντος, τὸν ἀναλώσαντα τὴν πατρῴαν οὐσίαν μὴ ἀξιοῦσθαι ταφῆς ἐν πατρίδι φησὶν Ἀντισθένης, συνέντα μὴ ὑπεύθυνος γενηθείη πρός τινων φθονούντων καὶ συκοφαντούντων ἀναγνῶναι αὐτοῖς τὸν μέγαν διάκοσμον, ὃς ἁπάντων τῶν συγγραμμάτων προέχει· καὶ πεντακοσίοις ταλάντοις τιμηθῆναι, μὴ μόνον ἀλλὰ καὶ χαλκαῖς εἴκοσι· καὶ τελευτήσαντα αὐτὸν δημοσίᾳ ταφῆναι βιώσαντα ὑπὲρ τὰ ἑκατὸν ἔτη. — Δημήτριος δὲ ὁ Φαληρεὺς τοὺς συγγενεῖς αὐτοῦ φησιν ἀναγνῶναι τὸν μέγαν διάκοσμον, ὃν μόνον ἑκατὸν ταλάντων τιμηθῆναι· ταῦτα δὲ καὶ Ἱππόβοτός φησιν. Ἀριστόξενος δ' ἐν τοῖς ἱστορικοῖς ὑπομνήμασί, φησι, Πλάτωνα θελῆσαι συμφλέξαι τὰ Δημοκρίτου ὑπομνήματα ὁπόσα ἠδυνήθη γε ἀγαγεῖν· Ἀμεκλᾶν δὲ καὶ Κλεινίαν τοὺς Πυθαγορικοὺς κωλύσαι αὐτὸν, ὡς οὐδὲν ὄφελος· παρὰ πολλοῖς γὰρ εἶναι τὰ βιβλία.

Ὁ αὐτὸς [14], ὡς Ἀθηνόδωρός φησιν, ἐν ὀγδόῃ περὶ πάντων, ἐλθόντος Ἱπποκράτους πρὸς αὐτὸν καὶ κελεύσαντος κομισθῆναι γάλα, θεασάμενος τὸ γάλα, εἶπεν, αἰγὸς πρωτοτόκου [15] καὶ μελαίνης.

14) Diog. Laërt. IX. Segm. 42. 15) Impress. πρωτοτόκοιο.

Ὁ αὐτὸς [16] κόρης ἀκολουθούσης τῷ Ἱπποκράτει, τῇ μὲν πρώτῃ ἡμέρᾳ ἠσπάσατο οὕτω, χαῖρε κόρη· τῇ δὲ ἐχομένῃ, χαῖρε γύναι· καὶ ἦν ἡ κόρη τῆς νυκτὸς διεφθαρμένη, ὅθεν τὴν ἀκρίβειαν αὐτοῦ ὁ Ἱπποκράτης ἐθαύμασεν.

Τελευτῶν [17] δὲ μέλλοντος τὴν ἀδελφὴν αὐτοῦ φησιν Ἕρμιππος λελυπῆσθαι, ὅτι ἐν τῇ τῶν θεσμοφόρων ἑορτῇ μέλλοι [18] τεθνήξεσθαι καὶ τῇ θεῷ τὸ καθῆκον αὐτῇ οὐ ποιήσειν· τὸν δὲ θαρρεῖν εἰπεῖν, καί κελεῦσαί, φησι, θερμοὺς προσφέρειν ἄρτους αὐτῷ ὁσημέραι· τούτους δὴ ταῖς ῥισὶ προσφέρων διεκαρτέρησεν εἰς τὴν τρίτην [19] ἑαυτὸν, ἐπειδὴ δὲ παρῆλθον αἱ ἡμέραι, τρεῖς γὰρ ἦσαν, ἀλυπότατος [20] τὸν βίον προήκατο, βιοὺς ἐννέα πρὸς τοῖς ἑκατὸν ἔτεσιν, ὥς φησιν Ἵππαρχος.

Ὁ αὐτὸς εἶπεν, αἰτίῃ οὐδὲν ἴσμεν [21], ἐν βυθῷ γὰρ ἡ ἀλήθεια.

Ὁ αὐτὸς ἔφη ψυχὴν σώματος ἀναγκαιότερον ἰᾶσθαι, τοῦ γὰρ κακῶς ζῆν τὸ τεθνάναι κρεῖσσον.

Ὁ αὐτὸς ἔφη, θεῷ ὅμοιον ἔχει ἄνθρωπος τὸ εὖ ποιεῖν, ὅταν τὸ εὖ ποιεῖν μὴ καπηλεύηται, καὶ τὸ εὐεργετεῖν καὶ ἀληθεύειν.

Ὁ αὐτὸς εἶπε, στάσις ἐμφύλιος εἰς ἑκάτερα καλὸν, καὶ γὰρ νικέουσι. καὶ ἡσσωμένοις ὁμοίη φθορά.

Ὁ αὐτὸς εἶπεν, οἱ ἀληθινοὶ φίλοι καὶ τὰς φιλίας ἡδίους [22] καὶ τὰς συμφορὰς ἐλαφροτέρας ποιοῦσιν· ὧν μὲν συναπολαύοντες, ὧν δὲ μεταλαμβάνοντες.

Ὁ αὐτὸς ἔφη [23], ὡς ὁ γαμβροῦ μὲν ἐπιτυχὼν εὗρεν υἱὸν, ὁ δὲ ἀποτυχὼν ἀπώλεσε καὶ θυγατέρα.

16) Diog. segm. 42.

17) Laur. *αὐτοῦ τελευτᾷν μέλλοντος*. Segm. 45. De ceteris nihil apud Diogenem.

18) Impress. *μέλλει*.

19) Impress. *εἰς τρίτην*.

20) Impr. *ἀλυπώτατον*. Laur. *ἀλυπότατον*. Mosc. *ἀλυπώτατος*.

21) Laur. *οἶδμεν*.

22) Codd. *ἰδίας*, scripsi *ἡδίους*, ut Joseph. bell. Jud. VII. 4. 1. *αἴσθησιν ἡδεῖαν*. Parr. 1425. 1425. 1426. 1427. 1428. *ἰδίαν*.

23) Stob. T. 71. 15.

Ὁ αὐτὸς ἔλεγε βούλεσθαι μᾶλλον μίαν εὑρεῖν αἰτιολογίαν, ἢ τῶν Περσῶν οἱ βασιλείαν γενέσθαι.

Ὁ αὐτὸς νοσήσας καὶ ληθάργῳ περιπεσὼν, ὡς ἀνένηψεν, οὐδέν με, ἔφη, ἐξαπατήσει ἡ φιλοζωΐα καὶ ἐξήγαγεν ἑαυτὸν τοῦ βίου.

Ὁ αὐτὸς ἔλεγε διζημένοισι τἀγαθὰ μόλις παραγίνεται· τὰ δὲ κακὰ καὶ μὴ διζημένοισι.

Ὁ αὐτὸς ἐρωτηθεὶς, τί ἐστιν ἔρως, ἔφη, πάθος ψυχὴν κολάζον.

Δημοκρίτῳ [24] τῷ Ἀβδηρίτῃ τάδε δοκεῖ· ἀρχὰς εἶναι τῶν ὅλων ἄτομον καὶ κενὸν, τὰ δὲ ἄλλα πάντα νενομίσθαι δοξάζεσθαι· ἀπείρους τε εἶναι κόσμους καὶ γεννητοὺς καὶ φθαρτούς· μηδὲν δὲ ἐκ τοῦ μὴ ὄντος γίγνεσθαι, μηδὲ εἰς τὸ μὴ ὂν φθείρεσθαι. καὶ τὰς ἀτόμους ἀπείρους εἶναι κατὰ μέγεθος καὶ πλῆθος· φέρεσθαι δὲ ἐν τῷ ὅλῳ δινουμένας καὶ οὕτω πάντα τὰ συγκρίνοντα γεννᾶν, πῦρ, ὕδωρ, ἀέρα, γῆν· εἶναι γὰρ καὶ ταῦτα ἐξ ἀτόμων τινῶν συστήματα, ἄπερ εἶναι ἀπαθῆ καὶ ἀναλλοίωτα διὰ τὴν στερότητα, τόν τε ἥλιον καὶ τὴν σελήνην ἐκ τοιούτων λείων καὶ περιφερῶν ὄγκων συγκεκρίσθαι, καὶ τὴν ψυχὴν ὁμοίως, ἣ καὶ νοῦν ταὐτὸν εἶναι λέγει, ὁρᾶν δὲ ἡμᾶς κατ᾽ εἰδώλων ἐμπτώσεις, πάντα τε κατ᾽ ἀνάγκην γίγνεσθαι, τῆς δίνης αἰτίας οὔσης τῆς γενέσεως πάντων, ἣν ἀνάγκην καλεῖ· τέλος δ᾽ εἶναι τὴν εὐθυμίαν, οὐ τὴν αὐτὴν οὖσαν τῇ ἡδονῇ, ὡς ἔνιοι παρακούοντες ἐξεδέξαντο, ἀλλὰ καθ᾽ ἣν γαληνῶς καὶ εὐσταθῶς ἡ ψυχὴ διάγει, ὑπὸ μηδενὸς ταραττομένη φόβου ἢ δυσδαιμονίας, ἢ ἄλλου τινὸς πάθους, φύσιν δὲ εἶναι τὸ κενὸν καὶ τὰ ἄτομα.

Εἰ ἔμψυχος ὁ κόσμος.

Δημόκριτος καὶ Ἐπίκουρος καὶ ὅσοι τὰ ἄτομα εἰσηγοῦνται καὶ τὸ κενὸν οὔτ᾽ ἔμψυχον, οὔτε προνοίᾳ διοι-

24) Exstat hoc in Laur. et in impr.

κεῖσθαι, φύσει δέ τινι ἀλόγῳ· Ἀριστοτέλης δὲ οὔτ' ἔμψυχον ὅλον δι' ὅλων [1], οὔτε λογικὸν, οὔτε νοερὸν, οὔτε προνοίᾳ διοικούμενον· τὰ μὲν γὰρ οὐράνια τούτων πάντων κοινωνεῖ· σφαίρας γὰρ περιέχειν ἐμψύχους καὶ ζωτικὰς [2], τὰ δὲ περίγεια μηδενὸς αὐτῶν· τῆς δὲ εὐταξίας κατὰ τὸ συμβεβηκὸς οὐ προηγουμένως μετέχειν.

Δημοκράτους. [3]

Δημοκράτης ἀναβαίνων εἰς τὴν ἀκρόπολιν ἐν γήρᾳ καὶ πνευστιῶν, ποιεῖν, ἔφη, ὅπερ καὶ σύμπασα Ἀθηναίων πόλις, πνεῖν μὲν γὰρ μέγα, ἰσχύειν δὲ μικρόν.

Δίωνος.

Δίων ὁ Ῥωμαῖος καταγελάστους εἶναι ἔλεγε τοὺς σπουδάζοντας περὶ τὸν πλοῦτον, ὃν ἡ τύχη μὲν παρέχει, ἀνελευθερία δὲ φυλάττει, χρηστότης δὲ ἀφαιρεῖ.

Ὁ αὐτὸς ἔφη, πῶς οὐ δεινὸν τοῖς μὲν θεοῖς ἐνοχλεῖν, αὐτοὺς δὲ μὴ βούλεσθαι πράττειν, ἅγε ἐφ' ἡμῖν εἶναι δοκεῖ τοῖς θεοῖς.

Ὁ αὐτὸς ἔφη· αἱ μὲν ἡδοναὶ τοὺς ἀεὶ συνόντας τά τε ἄλλα λυμαίνονται καὶ ταχὺ ποιοῦσιν ἀδυνάτους πρὸς αὐτὰς, οἱ δὲ πόνοι, τά τε ἄλλα ὠφελοῦντες ἀεὶ, μᾶλλον παρέχουσι δυναμένους πονεῖν.

Ὁ αὐτὸς [4] εἶπε, τὸ πλεῖστον ἔοικε τοῦ ἀνθρωπίνου πρὸς μὲν τὸ ἀνθιστάμενον καὶ παρὰ τὸ συμφέρον φιλονεικεῖν, τοῖς δ' ὑπείκουσι καὶ παρὰ δύναμιν ἀνθυπουργεῖν.

Ὁ αὐτὸς ἔφη, πολλῷ κρεῖττόν ἐστι κατορθώσαντάς τι ζηλοτυπηθῆναι, ἢ πταίσαντα ἐλεηθῆναι.

1) Julian. Or. in Solem Regem p. 139. B. τί δέ; οὐχὶ καὶ ὁ σύμπας κόσμος ἔν ἐστι ζῷον. ὅλον δι' ὅλης ψυχῆς καὶ νοῦ τείνον. ubi Wyttenb. Epist. crit. legit ὅλον δι' ὅλου. De re ipsa vide autores, ab eodem laudatos.

2) Mosc. ζωτικούς.

3) Stob. T. 22. 43.

4) Mosc. om. Recepi ex Laur. et impr.

Ὁ αὐτὸς εἶπε, δεῖ τοὺς κειμένους νόμους ἰσχυρῶς φυλάττειν, καὶ μηδένα αὐτῶν μεταβάλλειν, τὰ γὰρ ἐν ταὐτῷ μένοντα, κἂν χείρω ᾖ, συμφορώτερα [5] τῶν ἀεὶ καινοτομημένων, κἂν βελτίω εἶναι δοκῇ [6], ἐστίν.

Ὁ αὐτὸς ἔφη, μηδέποτε μάτην τὰ χρήματα σπούδαζε ἀναλίσκειν, ἐξ ὧν οὐδεμία προσγίνεται εὔκλεια· πλοῦτος γὰρ ἀκριβὴς [7] οὐχ οὕτως ἐκ τοῦ πολλὰ λαμβάνειν, ὡς ἐκ τοῦ μὴ πολλὰ ἀναλίσκειν ἀθροίζεται.

Ὁ αὐτὸς ἔλεγε, πονηρίαν μὲν ἀρχομένην κωλῦσαι τάχ᾽ ἄν [8] τις κολάζων δυνηθείη, ἐγκαταγεγηρακυῖαν δὲ καὶ γεγενημένων [9] τῶν εἰθισμένων τιμωριῶν ἀδύνατον εἶναι ἔλεγεν.

* Ὁ αὐτὸς ἔφη, ἀδύνατόν ἐστι, τἀναντία τινὰ τοῖς ὀρθῶς ἔχουσι πράττοντα ἀγαθοῦ τινος ἀπ᾽ αὐτῶν ἀπολαῦσαι [10].

Διοδώρου [11].

Διόδωρος ὁ Σικελιώτης φησὶ τὸν Γέλην [12] τὸ μὲν εἶδος εὐτελῆ παντελῶς, τὸ τὲ ἦθος θαυμαστόν· ἀποσταλέντος αὐτοῦ τοίνυν πρὸς Κεντοριπίνους κατὰ πρεσβείαν, ἰδόντες οὗτοι αὐτὸν καταδεέστερον τῆς αὐτοῦ δόξης καὶ φήμης ἐγέλασαν, ὁ δὲ ὑπολαβὼν εἶπε, μὴ θαυμάζειν· ἐν ἤθει γὰρ ἦν τοῖς Ἀκραγαντίνοις πρὸς τὰς ἐπιδόξους πό-

5) Codd. et impr. *συμφερώτερα.*

6) In Cod. *δοκεῖ*, supra scripto *η*. Matth.

7) Ἀκριβὴς πλοῦτος, quod nos dicimus: solid, gründlich. Cfr. Julian. Or. I. p. 25. B. *ἀκριβοῦς γαλήνης κατεχούσης τὴν θάλατταν.* Lucian. Navig. c. 9. *ἔτι καὶ νυκτὸς οὔσης καὶ ζόφου ἀκριβοῦς.* Dial. M. XV. 2. *λευκός τε γὰρ ἦν ἀκριβῶς.* Herc. 1. *τυλιός ἀκριβῶς.* Heliod. II. 21. *ἡ κόμη πρὸς τὸ ἱερώτερον κατῃτο καὶ ἀκριβῶς ἦν λευκή.*

8) Apogr. Dresd. *κωλύσα τάχα τις.*

9) Impr. *γεγενημένην.*

10) Sequitur in impr., quod in provv. sub *γρῦ τοῦ Δίωνος* legitur.

11) In impressis idem sub nomine *Γέλου* ad litteram *γ* refertur. Laur. manu recentiori titulum inscriptum habet: *Διοδώρου Σικελιώτου.*

12) Mosc. *Γέλλην.*

λεις ἀποστέλλειν τοὺς τῷ κάλλει διαπρεπεῖς, πρὸς δὲ τὰς ταπεινὰς καὶ λίαν εὐτελεῖς ὁμοίους.

Διογένους.

Διογένης Ἰκεσίου Σινωπεὺς, ἐρωτηθεὶς ὑπό τινος, διατί τὸ χρυσίον χλωρόν ἐστιν, ἔφη, ὅτι πολλοὺς ἐπιβούλους ἔχει.

* Ὁ αὐτὸς ἐρωτηθεὶς, τί κακὸν ἐν βίῳ, ἔφη, γυνὴ εὐειδής.

Ὁ αὐτὸς ἰδὼν τοὺς Ἀναξιμένους οἰκέτας πολλὰ σκεύη παραφέροντας ἤρετο, τίνος ταῦτα· τῶν δὲ εἰπόντων Ἀναξιμένους, οὐκ αἰδεῖταί φησι ταῦτα ἔχων, αὐτὸς ἑαυτὸν μὴ ἔχων.

Ὁ αὐτὸς ἐρωτηθεὶς, τί τῶν θηρίων κάκιστα δάκνει, ἔφη, τῶν μὲν ἀγρίων συκοφάντης, τῶν δὲ ἡμέρων κόλαξ.

Ὁ αὐτὸς κοινολογουμένας γυναῖκας θεασάμενος ἔφη, ὡσπὶς παρ᾽ ἐχίδνης φάρμακον δανείζεται.

Ὁ αὐτὸς ἐρομένου τινὸς αὐτὸν, τί νομίζεις τὸ γῆρας; ἀπεκρίνατο, τοῦ ζῆν χειμῶνα.

Ὁ αὐτὸς ἰδὼν γραῦν καλλωπιζομένην, εἶπεν, εἰ μὲν πρὸς τοὺς ζῶντας πεπλάνησαι, εἰ δὲ πρὸς τοὺς νεκροὺς μὴ βράδυνε.

Ὁ αὐτὸς [13] ἡμέρας ποτὲ λύχνον ἅψας περιήει· πυνθανομένων δέ τινων, πρὸς τί τοῦτο, ἔλεγεν ἄνθρωπον ζητεῖν.

Ὁ αὐτὸς ἔλεγε δεινὸν, εἰ οἱ μὲν ἀθληταὶ καὶ οἱ κιθαρῳδοὶ γαστρὸς καὶ ἡδονῶν κρατοῦσιν· οἱ μὲν τῆς φωνῆς χάριν, οἱ δὲ τοῦ σώματος· σωφροσύνης δὲ ἕνεκεν οὐδεὶς τούτων καταφρονήσει.

Ὁ αὐτὸς [14] ἕνα τῶν ἀγεννεστέρων παθῶν ζηλωτὴν

13) Diog. Laërt. VI. segm. 41.

14) Clem. Al. Paedag. III. 3. p. 261. 29. Laur. om.

καθαρισμὸς ἀνεκδίκητος, ὁσίων ἀνοσιώσεων, ἀλλὰ
τῶν ἐν τῷ βίῳ ἁμαρτημάτων. Ἐν τούτοις ἐστὶν
ὁ μυστικὸς λόγος τῶν περὶ τὸν ἀνδρόγυνον ἐθῶν.

Τὸ γοῦν ἐν γαστρὶ κύημα ἀποκτείνει τοῦ
μὴ γεννηθῆναι ἕνεκα, ἢ ἐκβαλὸν ἐπιβουλεύει
ἀφανίσαι τὸ σπαρὲν ἐν γαστρὶ ἔμβρυον, ἐπὶ
τοῦτο ἐπιτηδεύουσα ἡ γυνὴ ἐπιβουλὴν ἐπὶ τῷ
ἀνδρογύνῳ, ἐπὶ τῷ ἑαυτῆς ἀνδρογύνῳ· τοῦτο
γὰρ ἐν τῷ ἀνδρογύνῳ ἐστὶν ἡ γυνὴ ἐν τῷ
ἀνδρὶ καὶ ὁ ἀνὴρ ἐν τῇ γυναικί· ἐν τούτοις
γὰρ ἐστὶν ἡ τοῦ ἀνδρογύνου φύσις. Ἐν τούτοις

παιδαγωγικῶς ἐπιπλήττων, ὁπηνίκα ἐπιπράσκετο, ἀνδρείως σφόδρα, ἦκε, εἶπεν, ὦ μειράκιον, ἄνδρα ὄνησαι σαυτῷ· ἀμφιβόλῳ λόγῳ τὸ πορνικὸν ἐκείνου σωφρονίζων.

Ὁ αὐτὸς [15] γενόμενος Ἀθήνησιν Ἀντισθένει παρέβαλε, τοῦ δὲ διωθουμένου διὰ τὸ μηδένα προσίεσθαι, ἐξεβιάζετο τῇ προσεδρίᾳ· καί ποτε τὴν βακτηρίαν προτεινομένου αὐτῷ, τὴν κεφαλὴν ὑποσχών, παῖε, εἶπεν, οὐ γὰρ εὑρήσεις οὕτω σκληρὸν ξύλον, ᾧ με ἀπείρξεις, ἕως ἂν τι φαίνῃ λέγων· τοὐντεῦθεν διήκουσεν αὐτοῦ, καὶ ἅτε φυγὰς ὢν ὥρμησεν ἐπὶ τὸν εὐτελῆ [16] βίον.

Ὁ αὐτὸς [17] πατῶν στρώματα Πλάτωνος κεκληκότος φίλοις παρὰ Διονυσίου, ἔφη, πατῶ τὴν Πλάτωνος κενοσπουδίαν [18]· πρὸς ὃν ὁ Πλάτων, ὅσον, ὦ Διόγενες, τοῦ τύφου φαίνεις, δοκῶν μὴ τετυφῶσθαι· οἱ δὲ τὸν Διογένην εἰπεῖν· πατῶ τὸν Πλάτωνος τύφον· τὸν δὲ φάναι, ἑτέρῳ γε τύφῳ, Διόγενες.

Ὁ αὐτὸς [19] ᾔτησε Πλάτωνά ποτε ἰσχάδας δέκα· ὁ δὲ κεράμινον ὅλον ἐξέπεμψεν αὐτῷ, καὶ ὃς, σύ, φησι, κἂν ἐρωτηθῇς, δύο καὶ δύο πόσα ἐστὶν, εἴκοσι ἀποκρίνῃ· οὕτως οὔτε πρὸς τὰ αἰτούμενα δίδως, οὔτε πρὸς τὰ ἐρωτώμενα ἀποκρίνῃ· ἐσκωψε δὴ οὖν αὐτὸν, ὡς ἀπεραντολόγον.

Ὁ αὐτὸς [20] ἐρωτηθεὶς, ποῦ τῆς Ἑλλάδος ἴδοι ἀγαθοὺς ἄνδρας, ἄνδρας μὲν, εἶπεν, οὐδαμοῦ, παῖδας δ' ἐν Λακεδαίμονι.

Σπουδαιολογουμένου ποτὲ, ἐπεὶ οὐδεὶς προσῄει, ἐπέβαλε τερετίζειν· ἀθροισθέντων δὲ ὠνείδισεν, ὡς ἐπὶ μὲν

15) Diog. Laërt. VI. segm. 21.

16) Impress. ἀτελῆ.

17) Segm. 26.

18) Mosc. καινοποδίαν.

19) Segm. 26. Stob. T. 56. 21. Διογένης ᾔτησέ ποτε Πλάτωνα τῶν ἐκ τοῦ κήπου ἰσχάδας τρεῖς· ὡς δ' ἐκεῖνος μέδιμνον ἀπέστειλεν, οὕτως, ἔφη, καὶ ἀποκρίνῃ ἐρωτηθεὶς μυρία. (Sive ex Jacobsii emendatione, Lect. Stob. p. 72. ἐν ἐρωτηθεὶς μυρία.)

20) Segm. 27. hoc et sq. continetur.

τοὺς φλιγάφους ἀφικνουμένων σπουδαίως, ἐπὶ δὲ τὰ σπουδαῖα βραδυνόντων ὀλιγώρως.

Ὁ αὐτὸς [21] τοὺς γραμματικοὺς ἐθαύμαζε τὰ μὲν τοῦ Ὀδυσσέως κακὰ ἀναζητοῦντας, τὰ δὲ ἴδια ἀγνοοῦντας, καὶ μὴν καὶ τοὺς μουσικοὺς τὰς μὲν ἐν τῇ λύρᾳ χορδὰς ἁρμόττεσθαι, ἀνάρμοστα δὲ ἔχειν τῆς ψυχῆς τὰ ἤθη· καὶ τοὺς μαθηματικοὺς ἀποβλέπειν μὲν πρὸς τὸν ἥλιον καὶ τὴν σελήνην, τὰ δὲ ἐν ποσὶ πράγματα παροραῖν, καὶ τοὺς ῥήτορας τὰ δίκαια μὲν ἐσπουδακέναι λέγειν, πράττειν δὲ μηδαμῶς, καὶ τοὺς φιλαργύρους ψέγειν μὲν τὸ ἀργύριον, ὑπεραγαπᾶν δέ· ἤγατο δὲ καὶ τῶν δούλων, οἳ λαβροφαγοῦντας ὁρῶντες τοὺς δεσπότας μηδὲν ἁρπάζοιεν τῶν ἐσθιομένων.

Ὁ αὐτὸς [22], ὥς φησι Μένιππος, ἁλοὺς καὶ πωλούμενος, ἠρωτήθη, τί οἶδε ποιεῖν· ἀπεκρίνατο ἀνδρῶν ἄρχειν· καὶ πρὸς τὸν κήρυκα, κήρυσσε, ἔφη, εἴ τις θέλει δεσπότην αὐτῷ πρίασθαι.

Ὁ αὐτὸς [23] ἔλεγε τῷ Ξενιάδῃ, τῷ πριαμένῳ αὐτὸν, δεῖν πείθεσθαι αὐτῷ, εἰ καὶ δοῦλος εἴη· καὶ γὰρ ἰατρὸς ἢ κυβερνήτης, εἰ δοῦλος εἴη, πεισθῆναι ἂν αὐτῷ.

Ὁ αὐτὸς [24], ὡς Εὔβουλός φησιν, ἐν τῷ ἐπιγραφομένῳ Διογένους πράσεις, οὕτως ἦγε τοὺς παῖδας τοῦ Ξενιάδου, μετὰ τὰ λοιπὰ μαθήματα, ἱππεύειν, τοξεύειν, σφενδονᾶν, ὀκοντίζειν· ἔπειτα ἐν τῇ παλαίστρᾳ οὐκ ἐπέτρεπε τῷ παιδοτρίβῃ ἀθλητικῶς ἄγειν, ἀλλ' αὐτῷ ἐρυθήματος χάριν καὶ εὐεξίας· κατεῖχον δ' οἱ παῖδες πολλὰ ποιητῶν καὶ συγγραφέων, καὶ τῶν αὐτοῦ Διογένους, πᾶσάν τε ἔφοδον σύντομον πρὸς τὸ εὐμνημόνευτον ἐπῆσκει· ἐν οἴκῳ τε ἐδίδασκε διακονεῖσθαι, λιτῇ τροφῇ χρωμένους καὶ ὕδωρ πίνοντας, ἐν χρῷ κουρίας· ἀκαλλωπίστους τε

21) Recepi ex Laur. et impr. — Segm. 27. 28.
22) Segm. 29.
23) Segm. 30. Laur. ξενιάδῃ, γε superscripto.
24) Hoc et sq. recepi ex

εἰργάζετο καὶ ἀχίτωνας καὶ ἀνυποδήτους καὶ σιωπηλοὺς, καὶ καθ' ἑαυτοὺς βλέποντάς ἐν ταῖς ὁδοῖς, ἐξῆγε δ' αὐτοὺς καὶ ἐπὶ κυνηγέσια· οἱ δὲ καὶ αὐτοῦ Διογένους ἐπιμέλειαν ἐποιοῦντο, καὶ πρὸς τοὺς γονέας αἰτητικῶς εἶχον. Ὁ δ' αὐτὸς Εὔβουλος παρὰ τῷ Ξενιάδῃ καὶ γηράσαι αὐτὸν καὶ θανόντα ταφῆναι πρὸς τῶν υἱῶν αὐτοῦ· ἔνθα καὶ πυνθανομένου τοῦ Ξενιάδου, πῶς αὐτὸν θάψειεν, ἔφη, ἐπὶ πρόσωπον· τοῦ δ' ἐρομένου, διατί, ὅτι μετ' ὀλίγον, εἶπε, μέλλει τὰ κάτω ἀναστρέφεσθαι· τοῦτο δὲ, διὰ τὸ ἐπικρατεῖν ἤδη τοὺς Μακεδόνας, ἢ ἐκ ταπεινῶν ὑψηλοὶς γενέσθαι.

Ὁ αὐτὸς εἰσάγοντός τινος αὐτὸν εἰς οἶκον πολυτελῆ καὶ κωλύοντος πτύσαι, ἐπειδὴ ἐχρέμψατο, εἰς τὴν ὄψιν αὐτοῦ ἔπτυσεν, εἰπὼν, χείρονα τόπον μὴ εὑρηκέναι. οἱ δὲ τοῦτο Ἀριστίππου φασίν.

Ὁ αὐτὸς [25] φωνήσας ποτέ, ἰὼ ἄνθρωποι, συνελθόντων καθίκετο τῇ βακτηρίᾳ, εἰπὼν, ἀνθρώπους ἐκάλεσα, οὐ καθάρματα.

Φησὶ Κάτων [26] ἐν τῷ πρώτῳ τῶν χρειῶν, εἰπεῖν τὸν Ἀλέξανδρον, ὡς, εἴπερ Ἀλέξανδρος μὴ ἐγεγόνει, ἐθελῆσαι ἂν Διογένης γενέσθαι.

Διογένης [27] ἀναπήρους ἔλεγεν οὐ τοὺς κωφοὺς καὶ τυφλοὺς, ἀλλὰ τοὺς μὴ ἔχοντας πεῖραν.

Ὁ αὐτὸς ἔλεγεν, ἑαυτὸν κύνα εἶναι τῶν ἐπαινουμένων, ἀλλὰ μηδένα τολμᾷν τῶν ἐπαινούντων συνιέναι ἐπὶ τὴν θήραν.

Laur. et impr. — Segm. 30 — 32.

25) Segm. 32.

26) Segm. 32.

27) Hoc et sq. ex Laur. et impr. recepi. (Segm. 33.) Legitur in his ἀναπείρους et πεῖραν. Diog. Laërt. et ex hoc Cod. Farn. I. E. 48. ἀναπήρους et πήραν, unde in epist. crit. p. 20. not. legendum censui: ἀναπήρους et πεῖραν. Sed de pera Cynicorum cogitandum esse, monuit O. Mueller in ephemerid. Goetting. a. 1851. p. 1140.

Ὁ αὐτὸς [28] Πλάτωνος περὶ ἰδεῶν διαλεγομένου καὶ ὀνομάζοντος τραπεζότητα καὶ κυαθότητα, εἶπεν, ἐγὼ, ὦ Πλάτων, τράπεζαν μὲν καὶ κύαθον ὁρῶ, τραπεζότητα δὲ ἢ κυαθότητα οὐδαμῶς· καὶ ὃς, κατὰ λόγον, ἔφη, οἷς μὲν γὰρ τράπεζα καὶ κύαθος θεωρεῖται, ὀφθαλμοὺς ἔχεις, ᾧ δὲ κυαθότης [29] καὶ τραπεζότης βλέπεται, νοῦν οὐκ ἔχεις.

Ὁ αὐτὸς [30] μειράκιον ἰδὼν ἐρυθριῶν, θάῤῥει, ἔφη, τοιοῦτόν ἐστιν ἀρετῆς τὸ χρῶμα.

Ὁ αὐτὸς [31] πρὸς τὸν συμβουλεύοντα, τὸν ἀποδράντα αὐτοῦ δοῦλον ζητεῖν, γελοῖον, ἔφη, εἰ Μάνης μὲν χωρὶς Διογένους ζῇ, Διογένης δὲ χωρὶς Μάνου οὐ δύναται.

Ὁ αὐτὸς [32] ὀνειδιζόμενός ποτε ἐπὶ τῷ παραχαράξαι τὸ νόμισμα, ἔφη, ἦν ποτε χρόνος ἐκεῖνος, ὅτε ἤμην ἐγὼ τοιοῦτος, ὁποῖος σὺ νῦν, ὁποῖος δὲ ἐγὼ νῦν, σὺ οὐδέποτε.

Κρατεροῦ ἀξιοῦντος πρὸς αὐτὸν ἀπιέναι, ἀλλὰ βούλομαι, ἔφη, ἐν Ἀθήναις ἄλα λείχειν, ἢ παρὰ Κρατεροῦ τῆς πολυτελοῦς τραπέζης ἀπολαύειν.

Ἀναξιμένει τῷ ῥήτορι παχεῖ ὄντι προσελθὼν, ἐπίδος καὶ ἡμῖν, ἔφη, τοῖς πτωχοῖς τῆς γαστρὸς, καὶ γὰρ αὐτὸς κουφισθήσῃ [33], καὶ ἡμᾶς ὠφελήσεις.

Διαλεγομένου [34] δὲ αὐτοῦ ποτε τάριχος προτείνας προσέσπασε τοὺς ἀκροατάς· ἀγανακτοῦντος δὲ τὴν Ἀναξιμένους, ἔφη, διάλεξιν, ὀβολοῦ τάριχος διαλέλυκε.

Θεασάμενος μειράκιον φιλοσοφοῦν, εὖ γε, εἶπεν, ὅτι τοὺς τοῦ σώματος ἐραστὰς ἐπὶ τὸ τῆς ψυχῆς κάλλος μετάγεις.

Θαυμάζοντός [35] τινος τὰ ἐν Σαμοθράκῃ ἀναθήματα

28) Segm. 55.
29) Mosc. et impr. κύαθος.
30) Segm. 54. Laur. ἰδών ποτε μειράκιον. Idem effatum iisdem fore verbis Catoni tribuit Arsenius.
31) Segm. 55.
32) Deest in Mosc. et in impr. — Laur. ἐπὶ τὸ παραχ.
33) Mosc. et impr. κουφισθείσῃ.
34) Segm. 57.
35) Segm. 58.

οὐ φοβῇ, μὴ τὴν κεφαλήν σου, ἔφη, προστάξω ἀφαιρεθῆναι, οὔ φησιν· ἐὰν γὰρ σύ μου ταύτην ἀφέλῃς, ἡ πατρίς μοι αὐτὴν ἀθάνατον ἀναθήσει.

Ὁ αὐτὸς τὸν φθόνον εἶπεν ἕλκος εἶναι τῆς ἀληθείας.

* Ὁ αὐτὸς ἔλεγεν, αὐξανομένου τοῦ σώματος, συναυξάνονται φρένες, γηράσκοντος δὲ συγγηράσκουσι καὶ εἰς τὰ δέοντα πάντα ἀμβλύνονται.

* Ὁ αὐτὸς ἔλεγε, κόσμος ὀλιγομυθίη γυναικὶ, καλὸν δὲ καὶ κόσμου λιτότης.

Ὁ αὐτὸς, προειπών τινα τῶν μελλόντων εὐδοκίμησε καὶ ἐνθέου δόξης παρὰ τοῖς πλείστοις ἠξιώθη· νόμου δὲ ὄντος, τὸν ἀναλώσαντα τὴν πατρῴαν οὐσίαν μὴ ἀξιοῦσθαι ταφῆς ἐν πατρίδι φησὶν Ἀντισθένης, συνέντα μὴ ὑπεύθυνος γενηθείη πρός τινων φθονούντων καὶ συκοφαντούντων ἀναγνῶναι αὐτοῖς τὸν μέγαν διάκοσμον, ὃς ἁπάντων τῶν συγγραμμάτων προέχει· καὶ πεντακοσίοις ταλάντοις τιμηθῆναι, μὴ μόνον ἀλλὰ καὶ χαλκαῖς εἴκοσι· καὶ τελευτήσαντα αὐτὸν δημοσίᾳ ταφῆναι βιώσαντα ὑπὲρ τὰ ἑκατὸν ἔτη. — Δημήτριος δὲ ὁ Φαληρεὺς τοὺς συγγενεῖς αὐτοῦ φησιν ἀναγνῶναι τὸν μέγαν διάκοσμον, ὃν μόνον ἑκατὸν ταλάντων τιμηθῆναι· ταῦτα δὲ καὶ Ἱππόβοτός φησιν. Ἀριστόξενος δ' ἐν τοῖς ἱστορικοῖς ὑπομνήμασί, φησι, Πλάτωνα θελῆσαι συμφλέξαι τὰ Δημοκρίτου ὑπομνήματα ὁπόσα ἠδυνήθη γε ἀγαγεῖν· Ἀμεκλᾶν δὲ καὶ Κλεινίαν τοὺς Πυθαγορικοὺς κωλύσαι αὐτὸν, ὡς οὐδὲν ὄφελος· παρὰ πολλοῖς γὰρ εἶναι τὰ βιβλία.

Ὁ αὐτὸς [14], ὡς Ἀθηνόδωρός φησιν, ἐν ὀγδόῃ περὶ πάντων, ἐλθόντος Ἱπποκράτους πρὸς αὐτὸν καὶ κελεύσαντος κομισθῆναι γάλα, θεασάμενος τὸ γάλα, εἶπεν, αἰγὸς πρωτοτόκου [15] καὶ μελαίνης.

14) Diog. Laërt. IX. Segm. 42. 15) Impress. πρωτοτόκοιο.

Ὁ αὐτὸς [16] κόρης ἀκολουθούσης τῷ Ἱπποκράτει, τῇ μὲν πρώτῃ ἡμέρᾳ ἠσπάσατο οὕτω, χαῖρε κόρη· τῇ δὲ ἐχομένῃ, χαῖρε γύναι· καὶ ἦν ἡ κόρη τῆς νυκτὸς διεφθαρμένη, ὅθεν τὴν ἀκρίβειαν αὐτοῦ ὁ Ἱπποκράτης ἐθαύμασεν.

Τελευτῶν [17] δὲ μέλλοντος τὴν ἀδελφὴν αὐτοῦ φησιν Ἕρμιππος λελυπῆσθαι, ὅτι ἐν τῇ τῶν θεσμοφόρων ἑορτῇ μέλλοι [18] τεθνήξεσθαι καὶ τῇ θεῷ τὸ καθῆκον αὐτῇ οὐ ποιήσειν· τὸν δὲ θαρρεῖν εἰπεῖν, καί κελεῦσαί, φησι, θερμοὺς προσφέρειν ἄρτους αὐτῷ ὀσημέραι· τούτους δὴ ταῖς ῥισὶ προσφέρων διεκαρτέρησεν εἰς τὴν τρίτην [19] ἑαυτὸν, ἐπειδὴ δὲ παρῆλθον αἱ ἡμέραι, τρεῖς γὰρ ἦσαν, ἀλυπότατος [20] τὸν βίον προήκατο, βιοὺς ἐνέα πρὸς τοῖς ἑκατὸν ἔτεσιν, ὥς φησιν Ἵππαρχος.

Ὁ αὐτὸς εἶπεν, αἰτίῃ οὐδὲν ἴσμεν [21], ἐν βυθῷ γὰρ ἡ ἀλήθεια.

Ὁ αὐτὸς ἔφη ψυχὴν σώματος ἀναγκαιότερον ἰᾶσθαι, τοῦ γὰρ κακῶς ζῆν τὸ τεθνάναι κρεῖσσον.

Ὁ αὐτὸς ἔφη, θεῷ ὅμοιον ἔχει ἄνθρωπος τὸ εὖ ποιεῖν, ὅταν τὸ εὖ ποιεῖν μὴ καπηλεύηται, καὶ τὸ εὐεργετεῖν καὶ ἀληθεύειν.

Ὁ αὐτὸς εἶπε, στάσις ἐμφύλιος εἰς ἑκάτερα καλὸν, καὶ γὰρ νικέουσι καὶ ἡσσωμένοις ὁμοίη φθορά.

Ὁ αὐτὸς εἶπεν, οἱ ἀληθινοὶ φίλοι καὶ τὰς φιλίας ἡδίους [22] καὶ τὰς συμφορὰς ἐλαφροτέρας ποιοῦσιν· ὧν μὲν συναπολαύοντες, ὧν δὲ μεταλαμβάνοντες.

Ὁ αὐτὸς ἔφη [23], ὡς ὁ γαμβροῦ μὲν ἐπιτυχὼν εὗρεν υἱὸν, ὁ δὲ ἀποτυχὼν ἀπώλεσε καὶ θυγατέρα.

16) Diog. segm. 42.

17) Laur. αὐτοῦ τελευτῶν μέλλοντος. Segm. 43. De ceteris nihil apud Diogenem.

18) Impress. μέλλει.

19) Impress. εἰς τρίτην.

20) Impr. ἀλυπώτατον. Laur. ἀλυπότατον. Mosc. ἀλυπώτατος.

21) Laur. οἶδμεν.

22) Codd. ἰδίας, scripsi ἡδίους, ut Joseph. bell. Jud. VII. 4. 1. αἴσθησιν ἡδεῖαν. Parr. 1425. 1425. 1426. 1427. 1428. ἰδίαν.

23) Stob. T. 71. 15.

Ὁ αὐτὸς ἔλεγε βούλεσθαι μᾶλλον μίαν εὑρεῖν αἰτιολογίαν, ἢ τῶν Περσῶν οἱ βασιλείαν γενέσθαι.

Ὁ αὐτὸς νοσήσας καὶ ληθάργῳ περιπεσὼν, ὡς ἀνένηψεν, οὐδέν με, ἔφη, ἐξαπατήσει ἡ φιλοζωΐα καὶ ἐξήγαγεν ἑαυτὸν τοῦ βίου.

Ὁ αὐτὸς ἔλεγε διζημένοισι τἀγαθὰ μόλις παραγίνεται· τὰ δὲ κακὰ καὶ μὴ διζημένοισι.

Ὁ αὐτὸς ἐρωτηθεὶς, τί ἐστιν ἔρως, ἔφη, πάθος ψυχὴν κολάζον.

Δημοκρίτῳ [24] τῷ Ἀβδηρίτῃ τάδε δοκεῖ· ἀρχὰς εἶναι τῶν ὅλων ἄτομον καὶ κενὸν, τὰ δὲ ἄλλα πάντα νενομίσθαι δοξάζεσθαι· ἀπείρους τε εἶναι κόσμους καὶ γεννητοὺς καὶ φθαρτούς· μηδὲν δὲ ἐκ τοῦ μὴ ὄντος γίγνεσθαι, μηδὲ εἰς τὸ μὴ ὂν φθείρεσθαι. καὶ τὰς ἀτόμους ἀπείρους εἶναι κατὰ μέγεθος καὶ πλῆθος· φέρεσθαι δὲ ἐν τῷ ὅλῳ δινουμένας καὶ οὕτω πάντα τὰ συγκρίνοντα γεννᾶν, πῦρ, ὕδωρ, ἀέρα, γῆν· εἶναι γὰρ καὶ ταῦτα ἐξ ἀτόμων τινῶν συστήματα, ἅπερ εἶναι ἀπαθῆ καὶ ἀναλλοίωτα διὰ τὴν στερρότητα, τόν τε ἥλιον καὶ τὴν σελήνην ἐκ τοιούτων λείων καὶ περιφερῶν ὄγκων συγκεκρίσθαι, καὶ τὴν ψυχὴν ὁμοίως, ἣ καὶ νοῦν ταὐτὸν εἶναι λέγει, ὁρᾶν δὲ ἡμᾶς κατ᾽ εἰδώλων ἐμπτώσεις, πάντα τε κατ᾽ ἀνάγκην γίγνεσθαι, τῆς δίνης αἰτίας οὔσης τῆς γενέσεως πάντων, ἣν ἀνάγκην καλεῖ· τέλος δ᾽ εἶναι τὴν εὐθυμίαν, οὐ τὴν αὐτὴν οὖσαν τῇ ἡδονῇ, ὡς ἔνιοι παρακούοντες ἐξεδέξαντο, ἀλλὰ καθ᾽ ἣν γαληνῶς καὶ εὐσταθῶς ἡ ψυχὴ διάγει, ὑπὸ μηδενὸς ταραττομένη φόβου ἢ δυσθαιμονίας, ἢ ἄλλου τινὸς πάθους, φύσιν δὲ εἶναι τὸ κενὸν καὶ τὰ ἄτομα.

Εἰ ἔμψυχος ὁ κόσμος.

Δημόκριτος καὶ Ἐπίκουρος καὶ ὅσοι τὰ ἄτομα εἰσηγοῦνται καὶ τὸ κενὸν οὔτ᾽ ἔμψυχον, οὔτε προνοίᾳ διοι-

24) Exstat hoc in Laur. et in impr.

κεῖσθαι, φύσει δέ τινι ἀλόγῳ· Ἀριστοτέλης δὲ οὔτ' ἔμψυχον ὅλον δι' ὅλων [1], οὔτε λογικὸν, οὔτε νοερὸν, οὔτε προνοίᾳ διοικούμενον· τὰ μὲν γὰρ οὐράνια τούτων πάντων κοινωνεῖ· σφαίρας γὰρ περιέχειν ἐμψύχους καὶ ζωτικὰς [2], τὰ δὲ περίγεια μηδενὸς αὐτῶν· τῆς δὲ εὐταξίας κατὰ τὸ συμβεβηκὸς οὐ προηγουμένως μετέχειν.

Δημοκράτους. [3]

Δημοκράτης ἀναβαίνων εἰς τὴν ἀκρόπολιν ἐν γήρᾳ καὶ πνευστιῶν, ποιεῖν, ἔφη, ὅπερ καὶ σύμπασα Ἀθηναίων πόλις, πνεῖν μὲν γὰρ μέγα, ἰσχύειν δὲ μικρόν.

Δίωνος.

Δίων ὁ Ῥωμαῖος καταγελάστους εἶναι ἔλεγε τοὺς σπουδάζοντας περὶ τὸν πλοῦτον, ὃν ἡ τύχη μὲν παρέχει, ἀνελευθερία δὲ φυλάττει, χρηστότης δὲ ἀφαιρεῖ.

Ὁ αὐτὸς ἔφη, πῶς οὐ δεινὸν τοῖς μὲν θεοῖς ἐνοχλεῖν, αὐτοὺς δὲ μὴ βούλεσθαι πράττειν, ἅγε ἐφ' ἡμῖν εἶναι δοκεῖ τοῖς θεοῖς.

Ὁ αὐτὸς ἔφη· αἱ μὲν ἡδοναὶ τοὺς ἀεὶ συνόντας τά τε ἄλλα λυμαίνονται καὶ ταχὺ ποιοῦσιν ἀδυνάτους πρὸς αὐτὰς, οἱ δὲ πόνοι, τά τε ἄλλα ὠφελοῦντες ἀεὶ, μᾶλλον παρέχουσι δυναμένους πονεῖν.

Ὁ αὐτὸς [4] εἶπε, τὸ πλεῖστον ἔοικε τοῦ ἀνθρωπίνου πρὸς μὲν τὸ ἀνθιστάμενον καὶ παρὰ τὸ συμφέρον φιλονεικεῖν, τοῖς δ' ὑπείκουσι καὶ παρὰ δύναμιν ἀνθυπουργεῖν.

Ὁ αὐτὸς ἔφη, πολλῷ κρεῖττόν ἐστι κατορθώσαντάς τι ζηλοτυπηθῆναι, ἢ πταίσαντα ἐλεηθῆναι.

1) Julian. Or. in Solem Regem p. 139. B. *τί δέ; οὐχὶ καὶ ὁ σύμπας κόσμος ἔν ἐστι ζῷον, ὅλον δι' ὅλης ψυχῆς καὶ νοῦ πάρεσι.* ubi Wyttenb. Epist. crit. legit *ὅλον δι' ὅλου*. De re ipsa vide autores, ab eodem laudatos.

2) Mosc. *ζωτικούς*.

3) Stob. T. 22. 43.

4) Mosc. om. Recepi ex Laur. et impr.

Ὁ αὐτὸς εἶπε, δεῖ τοὺς κειμένους νόμους ἰσχυρῶς φυλάττειν, καὶ μηδένα αὐτῶν μεταβάλλειν, τὰ γὰρ ἐν ταὐτῷ μένοντα, κἂν χείρω ᾖ, συμφορώτερα [5] τῶν ἀεὶ καινοτομημένων, κἂν βελτίω εἶναι δοκῇ [6], ἐστίν.

Ὁ αὐτὸς ἔφη, μηδέποτε μάτην τὰ χρήματα σπούδαζε ἀναλίσκειν, ἐξ ὧν οὐδεμία προσγίνεται εὔκλεια· πλοῦτος γὰρ ἀκριβὴς [7] οὐχ οὕτως ἐκ τοῦ πολλὰ λαμβάνειν, ὡς ἐκ τοῦ μὴ πολλὰ ἀναλίσκειν ἀθροίζεται.

Ὁ αὐτὸς ἔλεγε, πονηρίαν μὲν ἀρχομένην κωλῦσαι τάχ' ἄν [8] τις κολάζων δυνηθείη, ἐγκαταγεγηρακυῖαν δὲ καὶ γεγενημένων [9] τῶν εἰθισμένων τιμωριῶν ἀδύνατον εἶναι ἔλεγεν.

* Ὁ αὐτὸς ἔφη, ἀδύνατόν ἐστι, τἀναντία τινὰ τοῖς ὀρθῶς ἔχουσι πράττοντα ἀγαθοῦ τινος ἀπ' αὐτῶν ἀπολαῦσαι [10].

Διοδώρου [11].

Διόδωρος ὁ Σικελιώτης φησὶ τὸν Γέλην [12] τὸ μὲν εἶδος εὐτελῆ παντελῶς, τὸ τὲ ἦθος θαυμαστόν· ἀποσταλέντος αὐτοῦ τοίνυν πρὸς Κεντοριπίνους κατὰ πρεσβείαν, ἰδόντες οὗτοι αὐτὸν καταδεέστερον τῆς αὐτοῦ δόξης καὶ φήμης ἐγέλασαν, ὁ δὲ ὑπολαβὼν εἶπε, μὴ θαυμάζειν· ἐν ἤθει γὰρ ἦν τοῖς Ἀκραγαντίνοις πρὸς τὰς ἐπιδόξους πό-

5) Codd. et impr. *συμφερώτερα.*

6) In Cod. *δοκεῖ*, supra scripto *η*. Matth.

7) *Ἀκριβὴς πλοῦτος*, quod nos dicimus: solid, gründlich. Cfr. Julian. Or. I. p. 25. B. *ἀκριβοῦς γαλήνης κατεχούσης τὴν θάλατταν.* Lucian. Navig. c. 9. *ἔτι καὶ νυκτὸς οὔσης καὶ ζόφου ἀκριβοῦς.* Dial. M. XV. 2. *λευκός τε γὰρ ἦν ἀκριβῶς.* Herc. 1. *πολιὸς ἀκριβῶς.* Heliod. II. 21. *ἡ κόμη πρὸς τὸ ἱερώτερον καθεῖτο καὶ ἀκριβῶς ἦν λευκή.*

8) Apogr. Dresd. *κωλύσα τάχα τις.*

9) Impr. *γεγενημένην.*

10) Sequitur in impr., quod in provv. sub *γρῦ τοῦ Δίωνος* legitur.

11) In impressis idem sub nomine *Γέλου* ad litteram *γ* refertur. Laur. manu recentiori titulum inscriptum habet: *Διοδώρου Σικελιώτου.*

12) Mosc. *Γέλλην.*

λεις ἀποστέλλειν τοὺς τῷ κάλλει διαπρεπεῖς, πρὸς δὲ τὰς ταπεινὰς καὶ λίαν εὐτελεῖς ὁμοίους.

Διογένους.

Διογένης Ἰκεσίου Σινωπεὺς, ἐρωτηθεὶς ὑπό τινος, διατί τὸ χρυσίον χλωρόν ἐστιν, ἔφη, ὅτι πολλοὺς ἐπιβούλους ἔχει.

* Ὁ αὐτὸς ἐρωτηθεὶς, τί κακὸν ἐν βίῳ, ἔφη, γυνὴ εὐειδής.

Ὁ αὐτὸς ἰδὼν τοὺς Ἀναξιμένους οἰκέτας πολλὰ σκεύη παραφέροντας ἤρετο, τίνος ταῦτα· τῶν δὲ εἰπόντων Ἀναξιμένους, οὐκ αἰδεῖταί φησι ταῦτα ἔχων, αὐτὸς ἑαυτὸν μὴ ἔχων.

Ὁ αὐτὸς ἐρωτηθεὶς, τί τῶν θηρίων κάκιστα δάκνει, ἔφη, τῶν μὲν ἀγρίων συκοφάντης, τῶν δὲ ἡμέρων κόλαξ.

Ὁ αὐτὸς κοινολογουμένας γυναῖκας θεασάμενος ἔφη, ἀσπὶς παρ᾽ ἐχίδνης φάρμακον δανείζεται.

Ὁ αὐτὸς ἐρομένου τινὸς αὐτὸν, τί νομίζεις τὸ γῆρας; ἀπεκρίνατο, τοῦ ζῆν χειμῶνα.

Ὁ αὐτὸς ἰδὼν γραῦν καλλωπιζομένην, εἶπεν, εἰ μὲν πρὸς τοὺς ζῶντας πεπλάνησαι, εἰ δὲ πρὸς τοὺς νεκροὺς μὴ βράδυνε.

Ὁ αὐτὸς [13] ἡμέρας ποτὲ λύχνον ἅψας περιῄει· πυνθανομένων δέ τινων, πρὸς τί τοῦτο, ἔλεγεν ἄνθρωπον ζητεῖν.

Ὁ αὐτὸς ἔλεγε δεινὸν, εἰ οἱ μὲν ἀθληταὶ καὶ οἱ κιθαρῳδοὶ γαστρὸς καὶ ἡδονῶν κρατοῦσιν· οἱ μὲν τῆς φωνῆς χάριν, οἱ δὲ τοῦ σώματος· σωφροσύνης δὲ ἕνεκεν οὐδεὶς τούτων καταφρονήσει.

Ὁ αὐτὸς [14] ἕνα τῶν ἀγεννεστέρων παθῶν ζηλωτὴν

13) Diog. Laërt. VI. segm. 41.

14) Clem. Al. Paedag. III. 3. p. 261. 29. Laur. om.

παιδαγωγικῶς ἐπιπλήττων, ὁπηνίκα ἐπιπράσκετο, ἀνδρείως σφόδρα, ἦκε, εἶπεν, ὦ μειράκιον, ἄνδρα ὄνησαι σαυτῷ· ἀμφιβόλῳ λόγῳ τὸ πορνικὸν ἐκείνου σωφρονίζων.

Ὁ αὐτὸς [15] γενόμενος Ἀθήνησιν Ἀντισθένει παρέβαλε, τοῦ δὲ διωθουμένου διὰ τὸ μηδένα προσίεσθαι, ἐξεβιάζετο τῇ προσεδρίᾳ· καί ποτε τὴν βακτηρίαν προτεινομένου αὐτῷ, τὴν κεφαλὴν ὑποσχών, παῖε, εἶπεν, οὐ γὰρ εὑρήσεις οὕτω σκληρὸν ξύλον, ᾧ με ἀπείρξεις, ἕως ἂν τι φαίνῃ λέγων· τοὐντεῦθεν διήκουσεν αὐτοῦ, καὶ ἅτε φυγὰς ὢν ὥρμησεν ἐπὶ τὸν εὐτελῆ [16] βίον.

Ὁ αὐτὸς [17] παιῶν σιρώματα Πλάτωνος κεκληκότος φίλοις παρὰ Διονυσίου, ἔφη, πατῶ τὴν Πλάτωνος κενοσπουδίαν [18]· πρὸς ὃν ὁ Πλάτων, ὅσον, ὦ Διόγενες, τοῦ τύφου φαίνεις, δοκῶν μὴ τετυφῶσθαι· οἱ δὲ τὸν Διογένην εἰπεῖν· πατῶ τὸν Πλάτωνος τύφον· τὸν δὲ φάναι, ἑτέρῳ γε τύφῳ, Διόγενες.

Ὁ αὐτὸς [19] ᾔτησε Πλάτωνά ποτε ἰσχάδας δέκα· ὁ δὲ κεράμιον ὅλον ἐξέπεμψεν αὐτῷ, καὶ ὃς, σύ, φησι, κἂν ἐρωτηθῇς, δύο καὶ δύο πόσα ἐστὶν, εἴκοσι ἀποκρίνῃ· οὕτως οὔτε πρὸς τὰ αἰτούμενα δίδως, οὔτε πρὸς τὰ ἐρωτώμενα ἀποκρίνῃ· ἔσκωψε δὴ οὖν αὐτὸν, ὡς ἀπεραντολόγον.

Ὁ αὐτὸς [20] ἐρωτηθεὶς, ποῦ τῆς Ἑλλάδος ἴδοι ἀγαθοὺς ἄνδρας, ἄνδρας μὲν, εἶπεν, οὐδαμοῦ, παῖδας δ' ἐν Λακεδαίμονι.

Σπουδαιολογουμένου ποτὲ, ἐπεὶ οὐδεὶς προσῄει, ἐπέβαλε τερετίζειν· ἀθροισθέντων δὲ ὠνείδισεν, ὡς ἐπὶ μὲν

15) Diog. Laërt. VI. segm. 21.

16) Impress. ἀτελῆ.

17) Segm. 26.

18) Mosc. καινοποδίαν.

19) Segm. 26. Stob. T. 56. 21. Διογένης ᾔτησέ ποτε Πλάτωνα τῶν ἐκ τοῦ κήπου ἰσχάδας τρεῖς· ὡς δ' ἐκεῖνος μέδιμνον ἀπέστειλεν, οὕτως, ἔφη, καὶ ἀποκρίνῃ ἐρωτηθεὶς μυρία. (Sive ex Jacobsii emendatione, Lect. Stob. p. 72. ἔν ἐρωτηθεὶς μυρία.)

20) Segm. 27. hoc et sq. continetur.

τοὺς φληνάφους ἀφικνουμένων σπουδαίως, ἐπὶ δὲ τὰ σπουδαῖα βραδυνόντων ὀλιγώρως.

Ὁ αὐτὸς [21] τοὺς γραμματικοὺς ἐθαύμαζε τὰ μὲν τοῦ Ὀδυσσέως κακὰ ἀναζητοῦντας, τὰ δὲ ἴδια ἀγνοοῦντας, καὶ μὴν καὶ τοὺς μουσικοὺς τὰς μὲν ἐν τῇ λύρᾳ χορδὰς ἁρμόττεσθαι, ἀνάρμοστα δὲ ἔχειν τῆς ψυχῆς τὰ ἤθη· καὶ τοὺς μαθηματικοὺς ἀποβλέπειν μὲν πρὸς τὸν ἥλιον καὶ τὴν σελήνην, τὰ δὲ ἐν ποσὶ πράγματα παροραν, καὶ τοὺς ῥήτορας τὰ δίκαια μὲν ἐσπουδακέναι λέγειν, πράττειν δὲ μηδαμῶς, καὶ τοὺς φιλαργύρους ψέγειν μὲν τὸ ἀργύριον, ὑπεραγαπᾶν δέ· ἤγατο δὲ καὶ τῶν δούλων, οἳ λαβροφαγοῦντας ὁρῶντες τοὺς δεσπότας μηδὲν ἁρπάζοιεν τῶν ἐσθιομένων.

Ὁ αὐτὸς [22], ὥς φησι Μένιππος, ἁλοὺς καὶ πωλούμενος, ἠρωτήθη, τί οἶδε ποιεῖν· ἀπεκρίνατο ἀνδρῶν ἄρχειν· καὶ πρὸς τὸν κήρυκα, κήρυσσε, ἔφη, εἴ τις θέλει δεσπότην αὐτῷ πρίασθαι.

Ὁ αὐτὸς [23] ἔλεγε τῷ Ξενιάδῃ, τῷ πριαμένῳ αὐτὸν, δεῖν πείθεσθαι αὐτῷ, εἰ καὶ δοῦλος εἴη· καὶ γὰρ ἰατρὸς ἢ κυβερνήτης, εἰ δοῦλος εἴη, πεισθῆναι ἂν αὐτῷ.

Ὁ αὐτὸς [24], ὡς Εὔβουλός φησιν, ἐν τῷ ἐπιγραφομένῳ Διογένους πράσεις, οὕτως ἦγε τοὺς παῖδας τοῦ Ξενιάδου, μετὰ τὰ λοιπὰ μαθήματα, ἱππεύειν, τοξεύειν, σφενδονᾶν, ἀκοντίζειν· ἔπειτα ἐν τῇ παλαίστρᾳ οὐκ ἐπέτρεπε τῷ παιδοτρίβῃ ἀθλητικῶς ἄγειν, ἀλλ' αὐτῷ ἐρυθήματος χάριν καὶ εὐεξίας· κατεῖχον δ' οἱ παῖδες πολλὰ ποιητῶν καὶ συγγραφέων, καὶ τῶν αὐτοῦ Διογένους, πᾶσάν τε ἔφοδον σύντομον πρὸς τὸ εὐμνημόνευτον ἐπήσκει· ἐν οἴκῳ τε ἐδίδασκε διακονεῖσθαι, λιτῇ τροφῇ χρωμένους καὶ ὕδωρ πίνοντας, ἐν χρῷ κούριας· ἀκαλλωπίστους τε

21) Recepi ex Laur. et impr. — Segm. 27. 28.
22) Segm. 29.
23) Segm. 30. Laur. ξλεξενιάδη, γε superscripto.
24) Hoc et sq. recepi ex

εἰργάζετο καὶ ἀχίτωνας καὶ ἀνυποδήτους καὶ σιωπηλοὺς, καὶ καθ' ἑαυτοὺς βλέποντας ἐν ταῖς ὁδοῖς, ἐξῆγε δ' αὐτοὺς καὶ ἐπὶ κυνηγέσια· οἱ δὲ καὶ αὐτοῦ Διογένους ἐπιμέλειαν ἐποιοῦντο, καὶ πρὸς τοὺς γονέας αἰτητικῶς εἶχον. Ὁ δ' αὐτὸς Εὔβουλος παρὰ τῷ Ξενιάδῃ καὶ γηράσαι αὐτὸν καὶ θανόντα ταφῆναι πρὸς τῶν υἱῶν αὐτοῦ· ἔνθα καὶ πυνθανομένου τοῦ Ξενιάδου, πῶς αὐτὸν θάψειεν, ἔφη, ἐπὶ πρόσωπον· τοῦ δ' ἐρομένου, διατί, ὅτι μέτ' ὀλίγον, εἶπε, μέλλει τὰ κάτω ἀναστρέφεσθαι· τοῦτο δὲ, διὰ τὸ ἐπικρατεῖν ἤδη τοὺς Μακεδόνας, ἢ ἐκ ταπεινῶν ὑψηλοὺς γενέσθαι.

Ὁ αὐτὸς εἰσάγοντός τινος αὐτὸν εἰς οἶκον πολυτελῆ καὶ κωλύοντος πτύσαι, ἐπειδὴ ἐχρέμψατο, εἰς τὴν ὄψιν αὐτοῦ ἔπτυσεν, εἰπὼν, χείρονα τόπον μὴ εὑρηκέναι. οἱ δὲ τοῦτο Ἀριστίππου φασίν.

Ὁ αὐτὸς [25] φωνήσας ποτέ, ἰὼ ἄνθρωποι, συνελθόντων καθίκετο τῇ βακτηρίᾳ, εἰπὼν, ἀνθρώπους ἐκάλεσα, οὐ καθάρματα.

Φησὶ Κάτων [26] ἐν τῷ πρώτῳ τῶν χρειῶν, εἰπεῖν τὸν Ἀλέξανδρον, ὡς, εἴπερ Ἀλέξανδρος μὴ ἐγεγόνει, ἐθελῆσαι ἂν Διογένης γενέσθαι.

Διογένης [27] ἀναπήρους ἔλεγεν οὐ τοὺς κωφοὺς καὶ τυφλοὺς, ἀλλὰ τοὺς μὴ ἔχοντας πεῖραν.

Ὁ αὐτὸς ἔλεγεν, ἑαυτὸν κύνα εἶναι τῶν ἐπαινουμένων, ἀλλὰ μηδένα τολμᾷν τῶν ἐπαινούντων συνιέναι ἐπὶ τὴν θήραν.

Laur. et impr. — Segm. 30 — 32.

25) Segm. 32.

26) Segm. 32.

27) Hoc et sq. ex Laur. et impr. recepi. (Segm. 33.) Legitur in his ἀναπείρους et πεῖραν. Diog. Laërt. et ex hoc Cod. Farn. I. E. 48. ἀναπήρους et πήραν, unde in epist. crit. p. 20. not. legendum censui: ἀναπήρους et πεῖραν. Sed de pera Cynicorum cogitandum esse, monuit O. Mueller in ephemerid. Goetting. a. 1831. p. 1140.

Ὁ αὐτὸς [28] Πλάτωνος περὶ ἰδεῶν διαλεγομένου καὶ ὀνομάζοντος τραπεζότητα καὶ κυαθότητα, εἶπεν, ἐγὼ, ὦ Πλάτων, τράπεζαν μὲν καὶ κύαθον ὁρῶ, τραπεζότητα δὲ ἢ κυαθότητα οὐδαμῶς· καὶ ὃς, κατὰ λόγον, ἔφη, οἷς μὲν γὰρ τράπεζα καὶ κύαθος θεωρεῖται, ὀφθαλμοὺς ἔχεις, ᾧ δὲ κυαθότης [29] καὶ τραπεζότης βλέπεται, νοῦν οὐκ ἔχεις.

Ὁ αὐτὸς [30] μειράκιον ἰδὼν ἐρυθριῶν, θαῤῥεῖς, ἔφη, τοιοῦτόν ἐστιν ἀρετῆς τὸ χρῶμα.

Ὁ αὐτὸς [31] πρὸς τὸν συμβουλεύοντα, τὸν ἀποδράντα αὐτοῦ δοῦλον ζητεῖν, γελοῖον, ἔφη, εἰ Μάνης μὲν χωρὶς Διογένους ζῇ, Διογένης δὲ χωρὶς Μάνου οὐ δύναται.

Ὁ αὐτὸς [32] ὀνειδιζόμενός ποτε ἐπὶ τῷ παραχαράξαι τὸ νόμισμα, ἔφη, ἦν ποτε χρόνος ἐκεῖνος, ὅτε ἦμην ἐγὼ τοιοῦτος, οἷος σὺ νῦν, οἷος δὲ ἐγὼ νῦν, σὺ οὐδέποτε.

Κρατεροῦ ἀξιοῦντος πρὸς αὐτὸν ἀπιέναι, ἀλλὰ βούλομαι, ἔφη, ἐν Ἀθήναις ἄλα λείχειν, ἢ παρὰ Κρατεροῦ τῆς πολυτελοῦς τραπέζης ἀπολαύειν.

Ἀναξιμένει τῷ ῥήτορι παχεῖ ὄντι προσελθὼν, ἐπίδος καὶ ἡμῖν, ἔφη, τοῖς πτωχοῖς τῆς γαστρὸς, καὶ γὰρ αὐτὸς κουφισθήσῃ [33], καὶ ἡμᾶς ὠφελήσεις.

Διαλεγομένου [34] δὲ αὐτοῦ ποτε τάριχος προτείνας προσέσπασε τοὺς ἀκροατάς· ἀγανακτοῦντος δὲ τὴν Ἀναξιμένους, ἔφη, διάλεξιν, ὀβολοῦ τάριχος διαλέλυκε.

Θεασάμενος μειράκιον φιλοσοφοῦν, εὖ γε, εἶπεν, ὅτι τοὺς τοῦ σώματος ἐραστὰς ἐπὶ τὸ τῆς ψυχῆς κάλλος μετάγεις.

Θαυμάζοντός [35] τινος τὰ ἐν Σαμοθράκῃ ἀναθήματα

28) Segm. 53.
29) Mosc. et impr. κύαθος.
30) Segm. 54. Laur. ἰδών ποτε μειράκιον. Idem effatum iisdem fore verbis Catoni tribuit Arsenius.
31) Segm. 55.
32) Deest in Mosc. et in impr. — Laur. ἐπὶ τὸ παραχ.
33) Mosc. et impr. κουφισθείσῃ.
34) Segm. 57.
35) Segm. 58.

ἔφη, πολλῷ ἂν εἴη πλείω, εἰ καὶ οἱ μὴ σωθέντες ἀνετίθεσαν.

Ὁ αὐτὸς [36] ἐπανήρχετο ἐκ Λακεδαίμονος εἰς Ἀθήνας· πρὸς οὖν τὸν πυθόμενον ποῦ καὶ πόθεν, ἐκ τῆς ἀνδρωνίτιδος, εἶπεν, πρὸς τὴν γυναικωνῖτιν.

Ὁ αὐτὸς ἐρωτηθεὶς, τί ποιῶν κύων καλεῖται, ἔφη, τοὺς μὲν μὴ διδόντας ὑλακτῶν, τοὺς δὲ πονηροὺς δάκνων, τοὺς διδόντας σαίνων.

Ἀλεξάνδρου [37] ποτὲ ἐπιστάντος αὐτῷ καὶ εἰπόντος, ἐγώ εἰμι Ἀλέξανδρος, ὁ μέγας βασιλεύς, κἀγώ, ἔφη, Διογένης ὁ κύων.

Ἀριστῶντι [38] ἐν ἀγορᾷ οἱ περιεστῶτες συνεχῶς ἔλεγον, κύων· ὁ δὲ ὑμεῖς, εἶπεν, ἐστὲ κύνες, οἵ με ἀριστῶντα περιεστήκατε.

Ἐρωτηθεὶς [39], πόθεν εἴη, κοσμοπολίτης, εἶπε.

Πρὸς τὸν ὀνειδίζοντα, ὡς εἰς τόπους ἀκαθάρτους εἰσήει, καὶ γὰρ ὁ ἥλιος πρὸς τοὺς ἀποπάτους, ἀλλ' οὐ μιαίνεται.

Ὁ αὐτὸς [40] ἰδὼν εὐπρεπῆ νεανίσκον ἀπρεπῶς λαλοῦντα, οὐκ αἰσχύνου, ἔφη, ἐξ ἐλεφαντίνου κολεοῦ μολυβδίνην ἕλκων μάχαιραν.

Ὀνειδιζόμενος [41], ὅτι παρὰ Ἀντιπάτρου τριβώνιον ἔλαβεν, οὔ τι ἀπόβλητ' ἐστὶ θεῶν ἐρικυδέα δῶρα.

Ἐρωτηθεὶς, διατί ἀνδράποδα ἐκλήθη, ὅτι, φησὶ, τοὺς πόδας ἀνδρῶν εἶχον, τὴν δὲ ψυχὴν, ὁποῖαν σὺ ὁ ἐξετάζων.

Ὀνειδιζόμενος [42], ὅτι αὐτὰς αἰτεῖ, Πλάτωνος μὴ αἰτοῦντος, κἀκεῖνος, εἶπεν, αἰτεῖ, ἀλλ'

Ἄγχι σχὼν [43] κεφαλὴν, ἵνα μὴ πευθοίαθ' οἱ ἄλλοι.

36) Segm. 59.
37) Segm. 60.
38) Segm. 61. Impr. ἀριστῶντι.
39) Segm. 63.
40) Segm. 65. Hoc et sqq. apophth. Laur. om.
41) Segm. 66.
42) Segm. 67.
43) Codd. et impress. ἀγχ' ἴσχων.

Ὁ αὐτὸς ἐρωτηθεὶς, εἰ κακὸς ὁ θάνατος, πῶς, εἶπε, κακὸς, οὗ παρόντος οὐκ αἰσθανόμεθα.

Πρὸς Ἀλέξανδρον ἐπιστάντα καὶ εἰπόντα, οὐ φοβῇ με, τί γὰρ, εἶπεν, ἢ ἀγαθὸν ἢ κακόν; τοῦ δ' εἰπόντος ἀγαθὸν, τίς οὖν, εἶπε, τὸ ἀγαθὸν φοβεῖται;

Ὁ αὐτὸς εἶπε, τὴν παιδείαν τοῖς μὲν νέοις σωφροσύνην, τοῖς δὲ πρεσβυτέροις παραμυθίαν, τοῖς δὲ πένησι πλοῦτον, τοῖς δὲ πλουσίοις κόσμον εἶναι.

Πρὸς Διδύμωνα [44] τὸν μοιχόν, ἰατρεύοντά ποτε κόρης ὀφθαλμὸν, ὅρα, φησὶ, μὴ τὸν ὀφθαλμὸν τῆς παρθένου θεραπεύων τὴν κόρην φθείρῃς.

Χειρουργῶν [45] τε ἐν τῷ μέσῳ συνεχὲς, εἴθε ἦν, ἔλεγε, καὶ τὴν κοιλίαν παρατριψάμενον τοῦ λιμοῦ παύσασθαι.

* Ὁ αὐτὸς ἀποτριβόμενος τὸ αἰδοῖον ἐν τῷ φανερῷ, ἔλεγε πρὸς τοὺς παρόντας, εἴτε καὶ τὸν λιμὸν οὕτως ἀποτρίψασθαι τῆς γαστρὸς ἠδυνάμην.

* Ὁ αὐτὸς παιδὸς ὀψοφαγοῦντος τῷ παιδαγωγῷ κόνδυλον ἔδωκεν, ὀρθῶς οὐ τοῦ μὴ μανθάνοντος ἀλλὰ τοῦ μὴ διδάξαντος τὸ ἁμάρτημα ποιήσας.

* Διογένης ἀκούσας Σοφοκλέους περὶ μυστηρίων, ὡς

Τριόλβιοι κεῖνοι, οἳ τάδε δερχθέντες τέλη
Μόλωσ' ἐν Ἅιδου, τοῖσδε γὰρ μόνοις ἐκεῖ
Ζῆν ἐστι, τοῖς δ' ἄλλοισι πάντα ἐκτόπως κακά·

τί λέγεις, ἔφη, κρείττονα μοῖραν ἕξει Πατακίων ὁ κλέπτης, ἢ Ἐπαμινώνδας, ὅτι μεμύηται.

Ὁ αὐτὸς [46] εὐγενείας καὶ δόξας καὶ τοιαῦτα πάντα διέπαιζε· προκοσμήματα κακίας εἶναι λέγων· μόνην δὲ ὀρθὴν πολιτείαν εἶναι τὴν ἐν [47] κόσμῳ· ἔλεγε δὲ καὶ κοινὰς εἶναι δεῖν τὰς γυναῖκας, γάμον μηδὲ ὀνομάζων, ἀλλὰ

44) Segm. 68.
45) Abest a Mosc. et ab impr.
46) Segm. 72. Laur. pro ὁ αὐτὸς habet Διογένης.
47) Impr. ἐν τῷ κόσμῳ.

τὸν πείσαντα τῇ πεισάσῃ συνεῖναι, κοινοὺς δὲ διὰ τοῦτο καὶ τοὺς υἱέας.

Ὁ αὐτὸς [48] πλέων εἰς Αἴγιναν καὶ πειραταῖς ἁλοὺς, ὧν ἦρχε Σκίρπαλος [49], εἰς Κρήτην ἀπαχθεὶς ἐπιπράσκετο, καὶ τοῦ κήρυκος ἐρωτῶντος, τί ὀΐδε ποιεῖν, ἔφη· ἀνθρώπων ἄρχειν· ὅτε καὶ δείξας τινὰ Κορίνθιον εὐπάρυφον, τὸν Ξενιάδην, ἔφη, τούτῳ με πώλει· οὗτος δεσπότου χρῄζει. Ὠνεῖται δὴ αὐτὸν Ξενιάδης καὶ ἀπαγαγὼν εἰς Κόρινθον ἐπέστησε τοῖς ἑαυτοῦ παιδίοις, καὶ πᾶσαν ἐνεχείρισε τὴν οἰκίαν· ὁ δὲ οὕτω πρὸς αὐτὸν ἐν πᾶσι διετέθη [50], ὥστε ἐκεῖνος περιϊὼν, ἀγαθὸς, ἔλεγε, δαίμων εἰς τὴν οἰκίαν μου εἰσελήλυθε. Φησὶ δὲ Κλεομένης ἐν τῷ ἐπιγραφομένῳ παιδαγωγικῷ, τοὺς γνωρίμους λυτρώσασθαι αὐτὸν θελῆσαι· τὸν δὲ εὐήθεις αὐτοὺς εἰπεῖν· οὐδὲ γὰρ τοὺς λέοντας δούλους εἶναι τῶν τρεφόντων, ἀλλὰ τοὺς τρέφοντας τῶν λεόντων, δούλου γὰρ τὸ φοβεῖσθαι, τὰ δὲ θηρία φοβερὰ τοῖς ἀνθρώποις εἶναι.

Ὁ αὐτὸς [51] εἶπε, οἱ μὲν κίνες τοὺς ἐχθροὺς δάκνουσιν, ἐγὼ δὲ τοὺς φίλους, ἵνα σώσω.

Ὁ αὐτὸς [52] πρὸς τοὺς εἰπόντας, γέρων εἶ καὶ λοιπὸν ἄνες, τί δὲ, ἔφη, εἰ δολιχὸν ἔτρεχον, πρὸς τῷ τέλει [53] ἔδει με ἀνιέναι, καὶ μὴ μᾶλλον ἐπιτεῖναι.

Ὁ αὐτὸς [54] Δημοσθένην ποτὲ τὸν ῥήτορα ἐν πανδοχείῳ ἀριστῶντα κατέλαβε· τοῦ δὲ ὑποχωροῦντος, τοσούτῳ μᾶλλον, ἔφη, ἔσῃ ἐν τῷ πανδοχείῳ.

Ὁ αὐτὸς [55] τῷ πριαμένῳ αὐτὸν Ξενιάδῃ ἔλεγεν, ἄγε, ὅπως τὸ προσταττόμενον ποιήσῃς· τοῦ δὲ εἰπόντος, ἄνυ ποταμῶν χωροῦσι πηγαὶ, εἰ δὲ ἰατρὸν, ἔφη, ἐρίω νοσῶν,

48) Segm. 74.
49) Codd. et impr. Κίρπαλος.
50) Apud Diog. Laërt. legitur: οὕτως αὐτὸν ἐν πασι διετίθει.
51) Stob. T. 13. 27. Laur. om.
52) Segm. 34.
53) Impr. πρὸς τὸ τέλος.
54) Segm. 34.
55) Recepi ex Laur. et impr. — Segm. 36.

οὐκ ἂν αὐτῷ ἐπείθου, ἀλλ᾽ εἶπες ἄν, ὡς ἄνω ποταμῶν χωροῦσι πηγαί.

Ὁ αὐτὸς [56] σαπέρδην δοὺς τῷ βουλομένῳ παρ᾽ αὐτῷ φιλοσοφεῖν, ἐποίησεν αὐτόν οἱ ἀκολουθεῖν· ὡς δ᾽ ὑπ᾽ αἰδοῦς ῥίψας ἀπῆλθε, μετὰ χρόνον ὑπαντήσας αὐτῷ καὶ γελάσας, ἔφη, τὴν σὴν καὶ ἐμὴν φιλίαν σαπέρδης διέλυσεν.

Διοκλῆς δὲ οὕτως ἀναγράφει· εἰπόντος αὐτῷ τινος, ἐπίταττε ἡμῖν, Διόγενες, ἀπαγαγὼν αὐτὸν, ἡμιοβόλου τυρὸν ἐδίδου φέρειν· ἀρνησαμένου δὲ, τὴν σὴν, ἔφη, καὶ ἐμὴν, φιλίαν ἡμιοβόλου τυρίου διαλέλυκεν.

Ὁ αὐτὸς [57] θεασάμενός ποτε παιδίον, ταῖς χερσὶ πῖνον, ἐξέῤῥιψε τῆς πήρας τὴν κοτύλην, εἰπὼν, παιδίον με νενίκηκεν εὐτελείᾳ· ἐξέβαλε δὲ καὶ τὸ τρυβλίον ὁμοίως, παιδίον θεασάμενος, ἐπειδὴ κατέαξε τὸ σκεῦος, τῷ κοίλῳ τοῦ ψωμίου τὴν φακῆν ὑποδεχόμενον.

Διογένης [58] συνελογίζετο καὶ οὕτως· τῶν θεῶν ἐστι τὰ πάντα, φίλοι δὲ οἱ σοφοὶ τοῖς θεοῖς, κοινὰ δὲ τὰ τῶν φίλων, πάντα ἄρα ἐστὶ τῶν σοφῶν.

Ὁ αὐτὸς [59] Πλάτωνος ὁρισαμένου, ἄνθρωπός ἐστι ζῶον δίπουν, ἄπτερον, καὶ εὐδοκιμοῦντος, τίλας ἀλεκτρυόνα, ἐπήνεγκεν αὐτοῦ εἰς τὴν σχολὴν, καὶ εἶπεν, οὗτός ἐστιν ὁ Πλάτωνος ἄνθρωπος· ὅθεν τῷ ὅρῳ προσετέθη τὸ πλατυώνυχον.

Ὁ αὐτὸς [60] πρὸς τὸν πυθόμενον, ποίαν ὥραν δεῖ ἀριστᾶν, εἰ μὲν πλούσιος, εἶπεν, ὅταν θέλῃ, εἰ δὲ πένης, ὅταν ἔχῃ.

56) Segm. 36.

57) Segm. 37. Idem legitur inter apophth. Cod. Vat. CLI. *Διογένης θεασάμενος μειράκιον, ἀρυόμενον χερσὶ κοίλαις ἀπὸ τοῦ παραῤῥέοντος ὕδατος καὶ πῖνον, ἐπέῤῥιψεν αὐτίκα καὶ τὴν, ἐξ ἧς εἰώθει πίνειν; κύλικα, βελτίους καὶ χρησιμωτέρους τὰς χεῖρας φήσας ἑαυτὸν εἰληφέναι παρὰ τῆς φύσεως.*

58) Segm. 57. Laur. *ὁ αὐτὸς συνελ.*

59) Segm. 40.

60) Segm. 40.

Ἡλιουμένῳ [61] ποτὲ Ἀλέξανδρος ἐπιστὰς φησιν, αἴτησόν με, ὃ θέλεις, καὶ ὃς, ἀποσκότησόν μου φησίν.

Ὁ αὐτὸς [62] πρὸς τὸν λέγοντα περὶ τῶν μετεώρων, ποσταῖος, ἔφη, πάρει ἀπ᾽ οὐρανοῦ;

Ὁ αὐτὸς [63] εὐνούχου πονηροῦ [64] ἐπιγράψαντος ἐπὶ τὴν οἰκίαν, μηδὲν εἰσίτω κακὸν, ὁ οὖν κύριος, ἔφη, τῖς οἰκίας ποῦ εἰσελεύσεται;

Ὁ αὐτὸς [65] πρὸς τοὺς ἑρπύσαντας ἐπὶ τὴν τράπεζαν μῦς, ἰδού, φησι, καὶ Διογένης παρασίτους τρέφει.

Ὁ αὐτὸς [66] Ὀλυμπιάσι τοῦ κήρυκος ἀνειπόντος, νικᾷ Διώξιππος ἄνδρας· οὗτος δὴ, ἔφη, ἀνδράποδα, ἄνδρας δ᾽ ἐγώ.

Ἠγαπᾶτο δὲ καὶ πρὸς Ἀθηναίων, μειρακίου γὰρ τὸν πῖθον αὐτῷ συντρίψαντος, τῷ μὲν πληγὰς ἔδωκαν, ἐκείνῳ δὲ ἄλλον παρέσχον.

Ὁ αὐτὸς [67], ὥς φησι Διονύσιος ὁ Στωϊκὸς, μετὰ τὴν Χαιρώνειαν [68] συλληφθεὶς ἀπήχθη πρὸς Φίλιππον, καὶ ἐρωτηθεὶς, τίς εἴη, ἀπεκρίθη, κατάσκοπος τῆς σῆς ἀπληστίας, ὅθεν θαυμασθεὶς ἀφείθη.

Ὁ αὐτὸς [69] Ἀλεξάνδρου ποτὲ πέμψαντος ἐπιστολὴν πρὸς Ἀντίπατρον εἰς Ἀθήνας διά τινος Ἀθλία παρὼν

61) Segm. 58.

62) Segm. 59.

63) Segm. 59. Clem. Strom. VII. p. 843. 19. ἀστείως πάνυ ὁ Διογένης, ἐπὶ οἰκίᾳ μοχθηροῦ τινος εὑρὼν ἐπιγεγραμμένον, ὁ Καλλίνικος Ἡρακλῆς ἐνθάδε κατοικεῖ, μηδὲν εἰσίτω κακὸν etc. Cfr. segm. 50.

64) Laur. μοχθηροῦ.

65) Segm. 40. Cfr. Eustath. Opusc. p. 313. l. 30. Διογένης μὲν οὖν εὐτυχῶς ἔχειν ἐδόκει, μύας ὁρῶν (κακὸν τιθασσὸν) τὴν τράπεζαν ὑποτρέχοντας. Ἔφκει γάρ περισίτους (scr. παρασίτ.) τινὰς ὁρᾶν ὑπ᾽ αὐτῷ οἷα τρυφῶντι λιχνευομένους καὶ ἀγειρομένους, καὶ τῆς εὐδαιμονίας συναπολαύοντας.

66) Segm. 43.

67) Segm. 43.

68) Μετὰ τὴν Χαιρώνειαν pro μετὰ τὴν ἐν Χαιρωνείᾳ μάχην. Cfr. de hac brachylogiâ epistolam nostram crit. p. 26. Codd. et impr. praebent Χερώνειαν et in fine ἀφήθη.

69) Hoc et duo sqq. ex Laur. et impr. recepi. — Segm. 44. 45.

ἔφη· Ἀθλίας παρ' ἀθλίου — δι' ἀθλίου — πρὸς ἄθλιον.

Ὁ αὐτὸς πρὸς τὸν ὑπὸ τοῦ οἰκέτου ὑποδούμενον οὔπω, εἰπεῖν, μακάριος εἶ, ἂν μή σε καὶ ἀπομύξῃ· τοῦτο δ' ἔσται σοι, πηρωθέντι τὰς χεῖρας.

Ὁ αὐτὸς θεασάμενός ποτε τοὺς ἱερομνήμονας τῶν ταμίων τινα, φιάλην ὑφῃρημένον, ἄγοντας, ἔφη, οἱ μεγάλοι κλέπται τὸν μικρὸν ἄγουσιν.

Ὁ αὐτὸς [70] θεασάμενός ποτε μειράκιον λίθους βάλλον ἐπὶ σταυρὸν, εὖ γε, εἶπε, τεύξῃ γὰρ τοῦ σκοποῦ.

Πρὸς τὰ περιστάντα μειράκια καὶ εἰπόντα, βλέπωμεν, μὴ δάκῃ ἡμᾶς, θαῤῥεῖτε, ἔφη, παιδία, κύων τεντλία οὐκ ἐσθίει.

Διογένει [71] ἐν δείπνῳ προσερῥίπτουν τινὲς ὀστάρια, ὡς κυνὶ, καὶ ὃς ἀπαλλαττόμενος προσούρησεν αὐτοῖς [72] ὡς κύων.

Ὁ αὐτὸς [73] τὸν πλούσιον καὶ ἀμαθῆ πρόβατον εἶναι χρυσόμαλλον ἔλεγεν.

Ἡγησίου [74] παρακαλοῦντος χρῆσαί τι αὐτῷ τῶν συγγραμμάτων, μάταιος, ἔφη, τυγχάνεις, ὦ Ἡγησία, ὃς ἰσχάδας μὲν γραπτὰς οὐχ αἱρῇ, ἀλλὰ τὰς ἀληθινὰς, ἄσκησιν δὲ παριδὼν τὴν ἀληθινὴν ἐπὶ τὴν γεγραμμένην ὁρμᾷς.

Πρὸς [75] τὸν ὀνειδίσαντα αὐτῷ τὴν φυγὴν, ἀλλὰ τούτου ἕνεκεν, εἶπεν, ὦ κακόδαιμον ἐφιλοσόφησα.

Ἰδών ποτε Ὀλυμπιονίκην πρόβατα νέμοντα, ταχέως εἶπεν, ὦ βέλτιστε, μετέβης ἀπὸ τῶν Ὀλυμπίων ἐπὶ τὰ Νέμεα.

Ἥιτει [76] ποτε ἀνδριάντα, ἐρωτηθεὶς δὲ, διὰ τί τοῦτο ποιεῖ, μελετῶ, εἶπεν, ἀποτυγχάνειν.

70) Segm. 45. continetur hoc et sq.
71) Segm. 46.
72) Cod. et impr. αὐτούς.
73) Hoc et sq. ex Laur. et impr. recepi.
74) Impr. Ἡγησηβούλου. Laur. Ἡγησίου.
75) Laur. et impr. πρός τε τὸν ὄν.
76) Segm. 49.

Αἰτῶν [77] τινα, καὶ γὰρ τοῦτο πρῶτον ἐποίησε διὰ τὴν ἀπορίαν, ἔφη, εἰ μὲν καὶ ἄλλῳ δέδωκας, δὸς κἀμοί, εἰ δὲ μηδενὶ, ἀπ᾽ ἐμοῦ ἄρξαι.

Τὴν [78] φιλαργυρίαν εἶπε μητρόπολιν πάντων τῶν κακῶν.

Τοὺς [79] ἄνδρας ἀγαθοὺς εἰκόνας θεῶν εἶναι.

Τὸν ἔρωτα σχολαζόντων ἀσχολίαν.

Ἰδών [80] γυναῖκα ἐν φορείῳ, οὐ κατὰ τό θηρίον, ἔφη, ἡ γαλεάγρα.

Ἰδών [81] ποτε γυναῖκας ἀπ᾽ ἐλαίας ἀπηγχονισμένας [82], εἴθε γὰρ, ἔφη, πάντα τὰ δένδρα τοιοῦτον καρπὸν ἤνεγκεν.

Ὁ αὐτὸς [83] ἐρωτηθεὶς, τί ἡ γῆ βαρύτερον βαστάζει, ἔφη, ἄνθρωπον ἀπαίδευτον.

Ὁ αὐτὸς [84] ἐρωτηθεὶς ὑπό τινος, διὰ τίνα αἰτίαν ἄνθρωποι τοῖς μὲν προσαιτοῦσι διδόασι, τοῖς δέ φιλοσοφοῦσιν οὐ πάνυ τι, εἶπεν· ὅτι χωλοὶ μὲν καὶ τυφλοὶ ἴσως ἐλπίζουσι γενέσθαι, φιλόσοφοι δὲ οὔ.

Ὁ αὐτὸς λοιδορούμενος ὑπό τινος φαλακροῦ, ἔφη, σὲ μὲν οὐχ ὑβρίζω, τὰς δὲ τρίχας σοῦ ἐπαινῶ, ὅτι κακὸν κρανίον ἐξέφυγον.

Ὁ αὐτὸς προδότου τινὸς κακῶς αὐτὸν λέγοντος, ἔφη, χαίρω ἐχθρός σου γενόμενος, σὺ γὰρ οὐ τοὺς ἐχθροὺς, ἀλλὰ τοὺς φίλους κακῶς ποιεῖς.

Ὁ αὐτὸς [85] τὴν πενίαν αὐτοδίδακτον ἔφη εἶναι ἐπικούρημα πρὸς φιλοσοφίαν, ἃ γὰρ ἐκείνην πείθειν τοῖς λόγοις πειρᾶσθαι, ταῦτ᾽ ἐν ἔργοις τὴν πενίαν ἀναγκάζειν.

Ὁ αὐτὸς ὀνειδίσαντος αὐτῷ τινος πενίαν, ἔφη, διὰ μὲν πενίαν οὐδένα πώποτε στρεβλούμενον εἶδον, διὰ δὲ κακίαν πολλούς.

77) Ex Laur. et impr. recepi.
78) Segm. 50.
79) Segm. 51.
80) Ex Laur. et impr. recepi.
81) Segm. 52.
82) Impr. ἀπηγχονημένας.
83) Hoc et duo sqq. ex Laur. et impr. recepi.
84) Segm. 56.
85) Hoc et sq. ex Laur. et impr. recepi.

Ὁ αὐτὸς [86] εἰπόντος τινὸς, χαλεπόν ἐστι τὸ ζῆν, οὐκ, εἶπεν, ἀλλὰ τὸ κακῶς ζῆν.

Ὁ αὐτὸς [87] ἄσωτον ᾔτει μνᾶν, τοῦ δὲ εἰπόντος, διατί τοὺς ἄλλους τριόβολα, ἐμὲ δὲ μνᾶν ζητεῖς, ἔφη, παρὰ μὲν τῶν ἄλλων ἐλπίζω πάλιν, παρὰ σοῦ δὲ οὐκέτι.

Ὁ αὐτὸς ἐρωτηθεὶς, ποῖα εἴη θηρία χαλεπώτερα, εἶπεν, ἐν μὲν τοῖς ὄρεσιν ἄρκτοι καὶ λέοντες, ἐν δὲ ταῖς πόλεσι τελῶναι καὶ συκοφάνται.

Ὁ αὐτὸς [88] ἔλεγε, μήτε ἐν πόλει πλουσίᾳ, μήτε ἐν οἰκίᾳ ἀρετὴν οἰκεῖν δύνασθαι.

Ὁ αὐτὸς [89] εἶπε τὸν πλοῦτον [90] τύχης ἔμετον εἶναι.

Ὁ αὐτὸς [91] ἰδὼν μειράκιον ἐκστατικὸν καὶ παραφρονοῦν, νεανίσκε, ἔφη, ὁ πατήρ σε μεθύων ἔσπειρε.

Ὁ αὐτὸς ὀδυρομένου τινος, ἐπειδὴ ἐπὶ ξένης ἔμελλε τελευτᾶν, εἶπε, τί ὀδύνῃ, ὦ μάταιε, πανταχόθεν γὰρ ὁδὸς ἡ αὐτὴ εἰς Ἅιδου.

Ὁ αὐτὸς τῶν ἀνθρώπων ἐνίους ἔφη τὰ δέοντα λέγοντας ἑαυτῶν οὐκ ἀκούειν, ὥσπερ καὶ τὰς λύρας καλὸν φθεγγομένας οὐκ αἰσθάνεσθαι.

Ὁ αὐτὸς τὰς εὐμόρφους τῶν ἑταιρῶν βασιλίσσας ἐκάλει, πολλοὺς γὰρ πράττειν, ἃ ἄν προστάττωσιν.

Ὁ αὐτὸς [92] Ἀττικοῦ τινος ἐγκαλοῦντος αὐτῷ, διατί Λακεδαιμονίους μᾶλλον ἐπαινῶν παρ' ἐκείνοις οὐ διατρίβει· οὐδὲ γὰρ ἰατρὸς, εἶπεν, ὑγείας ὢν ποιητικὸς, ἐν τοῖς ὑγιαίνουσι τὴν διατριβὴν ποιεῖται.

Ὁ αὐτὸς ἐρωτηθεὶς, πῶς ἄν τις πολιτεύηται ἐπὶ ἐξουσίᾳ, ἔφη, καθάπερ ἐν [93] πυρί· μήτε λίαν ἐγγὺς εἶναι, ἵνα μὴ κατακαῇ, μήτε πόρρω, ἵνα μὴ ῥιγώσῃ.

86) Segm. 55. Stob. T. 121. 26.
87) Hoc et sq. ex Laur. et impr. recepi.
88) Stob. T. 93. 35.
89) Stob. T. 65. 15.
90) Laur. πλούσιον.
91) Hoc et duo sqq. ex Laur. et impr. recepi. Sumtum ex Plut. de educ. c. 3.
92) Recepi ex Laur. et impr.
93) Ἐν Codd. om.

* *Ἐν συμποσίῳ πολλοῦ αὐτῷ οἴνου διδομένου, τοῦτον ἐξέχεεν· ἐπεὶ δέ τινες αὐτὸν ἐμέμφοντο, ἐὰν γὰρ αὐτὸν, ἔφη, ἐκπίω, οὐ μόνον αὐτὸς ἀπόλλυται, ἀλλὰ καὶ προσαπόλλυσιν.*

Ἔλεγεν ὁ Διογένης [94], *ὅτι, ἂν μὲν κύνες αὐτὸν σπαράξωσιν, Ὑρκανία ἔσται ἡ ταφὴ· ἂν δὲ γύπες, ἀπτέον· ἂν δὲ μηδεὶς προσέλθῃ, ὁ χρόνος καλλίων τῇ ταφῇ διὰ τῶν πολυτελεστάτων, ἡλίου καὶ ὄμβρου.*

94) Laur. et impr. *ὁ αὐτὸς ἔλεγεν.* Addimus alia quaedam Diogenis apophthegmata ex Cod. Vat. CLI. *Διογένης ἔφασκεν, ἡδονὴν ἀληθινὴν εἶναι τὸ τὴν ψυχὴν ἐν ἡσυχίᾳ καὶ ἱλαρότητι ἔχειν· ἄνευ δὲ τούτου οὐδὲ τὰ Μίδου οὐδὲ τὰ Κροίσου χρήματα ὠφέλιμα εἶναι· ἐὰν δέ τις ὑπὲρ μεγάλου ἢ ὑπὲρ μικροῦ λυπῆται, οὐκ εὐδαίμων ἀλλὰ κακοδαίμων ἐστίν. — Διογένης ἐρωτηθεὶς ὑπὸ Ἀριστίππου, τί αὐτῷ περιεγένετο ἐκ φιλοσοφίας, εἶπε, τὸ πλουτεῖν, μηδὲ ὀβολὸν ἔχοντι. — Διογένης πρὸς τὸν λοιδορούμενον αὐτῷ, ἀλλ' οὔτ' ἐμοὶ, ἔφη, πιστεύσει τις, εὐφημοῦντί σε, οὔτε σοι ἐμὲ βλασφημοῦντι.* — In Cod. Vat. DCCXI. Fol. 82. b. continentur:

Λόγοι Διογένους πρὸς τὸν βασιλέα Ἀλέξανδρον.

Οὐκ οἶσθα, ὅτι διττή ἐστι παιδεία, ἡ μέν τις δαιμόνιος, ἡ δὲ ἀνθρωπίνη· ἡ μὲν οὖν θεία μεγάλη καὶ ἰσχυρὰ καὶ ῥᾳδία, ἡ δὲ ἀνθρωπίνη μικρὰ, καὶ ἀσθενὴς, καὶ πολλοὺς ἔχουσα κινδύνους καὶ ἀπάτην οὐκ ὀλίγην. Ὅμως δὲ ἀναγκαία προσγενέσθαι ἐκείνῃ, εἰ ὀρθῶς γίγνοιτο, καὶ καλοῦσιν οἱ πολλοὶ ταύτην μὲν παιδείαν, καθάπερ οἶμαι παιδία, (Cod. *παιδεία*) *καὶ νομίζουσι τὸν πλεῖστα γράμματα εἰδότα Περσικά τε καὶ Ἑλληνικὰ, καὶ τὰ Σύρων καὶ τῶν Φοινίκων καὶ πλείστοις ἐντυγχάνοντα βιβλίοις, τοῦτον σοφώτατον καὶ μάλιστα πεπαιδευμένον. Πάλιν δὲ, ὅταν ἐντύχωσι τῶν τοιούτων τισὶ μοχθηροῖς καὶ δειλοῖς καὶ φιλαργύροις, ὀλίγου ἄξιόν φασι τὸ πρᾶγμα καὶ τὸν ἄνθρωπον· τὴν δὲ ἑτέραν ἐνίοτε μὲν παιδείαν, ἐνίοτε δὲ ἀνδρίαν καὶ μεγαλοφροσύνην· καὶ οὕτω δὴ δίχα παιδείας ἐκάλουν οἱ πρότερον, τοὺς δὲ τῆς ἀγαθῆς παιδείας ἐπιτυγχάνοντας καὶ τοὺς τὰς ψυχὰς ἀνδρείους πεπαιδευμένους, ὡς Ἡρακλέα ἐκεῖνον. Οὐκοῦν ὅστις ἂν ἐκείνην τὴν παιδείαν ἔχῃ καλῶς πεφυκὼς, ῥᾳδίως καὶ ταύτης γίνεται μέτοχος, ὀλίγα ἀκούσας, καὶ ὀλιγάκις αὐτὰ τὰ μέγιστα καὶ κυριώτατα, καὶ μεμύηται καὶ φυλάττει ἐν τῇ ψυχῇ, καὶ οὐδεὶς ἂν αὐτὸν ἔτι τούτων ἀφέλοιτο οὔτε καιρὸς, οὔτε ἄνθρωπος, οὔτε σοφιστής· ἀλλ' οὐδ' ἂν πυρί τις ἐγκαῦσαι βουλόμενος· ἀλλὰ κἂν ἐμπρήσῃ τις τὸν ἄνθρωπον, ὥσπερ τὸν Ἡρακλέα φασὶν αὐτὸν ἐμπρῆσαι, μένειν αὐτῷ τὰ δόγματα ἐν τῇ ψυχῇ, καθάπερ, οἶμαι, τῶν κατακαιομένων νεκρῶν τοὺς ὀδόντας φασὶ διαμένειν, τοῦ ἄλλου σώματος δαπανηθέντος ὑπὸ*

Τίς ἡ αἰτία τοῦ τὸν κόσμον ἐγκλιθῆναι [1].

Διογένης, Ἀναξαγόρας μετὰ τὸ συστῆναι τὸν κόσμον καὶ τὰ ζῶα ἐκ τῆς γῆς ἐξαγαγεῖν, ἐγκλιθῆναί πως τὸν κόσμον ἐκ τοῦ αὐτομάτου εἰς τὸ μεσημβρινὸν αὐτοῦ μέρος, ἴσως ὑπὸ προνοίας, ἵνα τὰ μὲν ἀοίκητα γένηται, τὰ δὲ οἰκητὰ μέρη τοῦ κόσμου, κατὰ ἐκπύρωσιν καὶ εὐκρασίαν καὶ ψύξιν. Ἐμπεδοκλῆς τοῦ ἀέρος εἴξαντος τῇ τοῦ ἡλίου ὁρμῇ ἐπικλιθῆναι τὰς ἄρκτους, καὶ τὰ βόρεια ὑψωθῆναι, τὰ δὲ νότια ταπεινωθῆναι, καθὰ καὶ τὸν ὅλον κόσμον.

Διοκλέους.

Διοκλῆς, ὁ τοῖς Συρακουσίοις τοὺς νόμους γράψας, πρὸς τοῖς ἄλλοις καὶ τοῦτο ἔγραψεν, ἐάν τις ὅπλον ἔχων εἰς τὴν ἀγορὰν παραγένηται, θάνατον εἶναι πρόστιμον, οὔτε ἀγνοίᾳ δοὺς, οὔτε ἄλλῃ τινὶ περιστάσει συγγνώμην· προσαγγελθέντων δὲ πολεμίων ἐπὶ τῆς χώρας ἐξεπορεύετο ξίφος ἔχων· αἰφνιδίου δὲ στάσεως καὶ ταραχῆς κατὰ τὴν ἀγορὰν γενομένης, ἀγνοήσας μετὰ τοῦ ξίφους παρῆν εἰς τὴν ἀγοράν· τῶν δὲ ἰδιωτῶν τινος κατα-

τοῦ πυρὸς, οὐ γὰρ μαθεῖν, ἀλλ' ὑπομνησθῆναι δεῖται μόνον. Ἔπειτα εὐθὺς οἰδέ τε καὶ ἐγνώρισεν, ὡς ἂν ἐξ ἀρχῆς τὰ δόγματα ἔχων ταῦτα ἐν τῇ αὐτοῦ διανοίᾳ. Προσέτι δὲ, ἐὰν μὲν ἀνδρὶ περιπέσῃ, ὥσπερ ὁδὸν ἐπισταμένῳ, ῥᾳδίως ἐκεῖνος ἐπέδειξεν αὐτῷ· καὶ μαθὼν εὐθὺς ἄπεισιν· ἐὰν δὲ ἀγνοοῦντι καὶ ἀλαζόνι σοφιστῇ, κατατρίψῃ περιάγων αὐτὸν, ὁτὲ μὲν πρὸς ἀνατολὰς, ὁτὲ δὲ πρὸς δύσιν, ὁτὲ δὲ πρὸς μεσημβρίαν ἥκων, οὐδὲν αὐτὸς εἰδὼς, ἀλλὰ εἰκάζων, καὶ πολὺ πρότερον αὐτὸς ὑπὸ τοιούτων ἀλαζόνων πεπλανημένος, ὥσπερ αἱ ἀμαθεῖς καὶ ἀκόλαστοι κύνες, ἐν τῇ θήρᾳ μηδὲν ξυνιεῖσαι, μηδὲ γνωρίσασαι τὸ ἴχνος, ἐξαπατῶσιν ἄλλας τῇ φωνῇ καὶ τῷ σχήματι, ὡς εἰδυῖαί τε καὶ ὁρῶσαι, καὶ πολλαὶ συνέπονται ταύταις, αἱ ἀφρονέσταται σχεδὸν ταῖς μάτην φθεγγομέναις· τούτων δ' αἱ μὲν ἄφθογγοι σιωπῶσαι, μόνον αὗται ἐξαπατῶνται· αἱ δὲ προπετέσταται καὶ ἀνοητόταται μιμούμεναι τὰς πρώτας, θορυβοῦσι καὶ μιμοῦνται ἄλλας ἐξαπατᾶν· τοιοῦτον εὕροις ἂν καὶ περὶ τοὺς καλουμένους σοφιστάς.

1) Exstat in Laur. solo.

νοήσαντος καὶ εἰπόντος, ὅτι τοὺς ἰδίους αὐτὸς καταλύεις νόμους, ἀνεβόησε, μὰ Δία οὔμενουν, ἀλλὰ καὶ κυρίους ποιήσω· σπασάμενος τὸ ξίφος ἑαυτὸν ἀπέκτεινεν.

Διονυσίου.

Διονυσίου τοῦ Συρακουσίων δυνάστου πέμψαντος εἰς Ὀλυμπίαν καὶ Δελφοὺς ἀγάλματα ἐκ χρυσοῦ καὶ ἐλέφαντος δεδημιουργημένα περιτυχὼν ταῖς κομιζούσαις αὐτὰ ναυσὶν ὁ Ἰφικράτης καὶ κρατήσας αὐτῶν διεπέμψατο πρὸς τὸν δῆμον, ἐπερωτῶν τί χρὴ πράττειν. Οἱ δ' Ἀθηναῖοι προσέταξαν αὐτῷ, μὴ τὰ τῶν θεῶν ἐξετάζειν, ἀλλὰ σκοπεῖν, ὅπως τοὺς στρατιώτας διατρέψῃ. Ἰφικράτης οὖν ὑπακούσας ἐλαφυροπώλησε τὸν τῶν θεῶν κόσμον τῷ δόγματι τῆς πατρίδος· ὁ δὲ τύραννος ὀργισθεὶς τοῖς Ἀθηναίοις ἔγραψε πρὸς αὐτοὺς ἐπιστολὴν τοιαύτην·

Διονύσιος Ἀθηναίων τῇ βουλῇ καὶ τῷ δήμῳ· εὖ μὲν πράττειν οὐκ ἐπιτήδειόν ἐστι γράφειν, ἐπεὶ τοὺς θεοὺς κατὰ γῆν καὶ κατὰ θάλατταν ἱεροσυλεῖτε, καὶ τὰ ἀγάλματα τὰ εἰς ἀνάθεσιν ὑφ' ἡμῖν τοῖς θεοῖς ἀπεσταλμένα παρελόμενοι κατεκόψατε, καὶ περὶ τοὺς μεγίστους τῶν θεῶν ἠσεβήκατε, περὶ τὸν Ἀπόλλωνα τὸν ἐν Δελφοῖς καὶ τὸν Δία τὸν Ὀλύμπιον.

Ὁ αὐτὸς [2] ἐκπεσὼν τῆς ἀρχῆς, εἴ τις αὐτὸν ἠνία ἐν Κορίνθῳ διατρίβοντα, ἔλεγεν, ὡς μακάριοι οἱ ἐκ παίδων δυστυχεῖς.

* Ὁ αὐτὸς ἔλεγε, πολλοὺς τρέφειν σοφιστὰς, οὐ θαυμάζων ἐκείνους, ἀλλὰ δι' ἐκείνων θαυμάζεσθαι βουλόμενος.

* Πολυξένου δὲ τοῦ διαλεκτικοῦ φήσαντος αὐτὸν ἐξελέγχειν, ἀμέλει τοῖς λόγοις εἶπεν, ἐγὼ δέ σε τοῖς ἔργοις ἐλέγχω, τὰ γὰρ σεαυτοῦ καταλιπὼν ἐμὲ καὶ τὰ ἐμὰ θεραπεύεις.

2) Stob. T. 3. 13.

* Ὁ αὐτὸς[3] ἐκπεσὼν τῆς ἀρχῆς πρὸς μὲν τὸν εἰπόντα, τί σε ὁ Πλάτων καὶ φιλοσοφία ὠφέλησε, τὸ τηλικαύτην, ἔφη, τύχης μεταβολὴν ῥᾳδίως ὑπομένειν.

* Διονύσιος ὁ πρεσβύτερος κληρουμένων κατὰ γράμμα τῶν δημηγορούντων, ὡς ἔλαχε τὸ μ, πρὸς τὸν εἰπόντα, μωρologεῖς, Διονύσιε, μοναρχήσομεν, εἶπε· καὶ δημηγορήσας εὐθὺς ᾑρέθη στρατηγὸς ὑπὸ τῶν Συρακουσίων.

* Ὁ αὐτὸς τὸν υἱὸν αἰσθόμενος, ᾧ τὴν ἀρχὴν ἀπολιπεῖν ἔμελλεν, ἀνδρὸς ἐλευθερίου διαφθείροντα γύναιον, ἠρώτησε μετ᾽ ὀργῆς, τί τοιοῦτον αὐτῷ σύνοιδεν· εἰπόντος δὲ τοῦ νεανίσκου, σὺ γὰρ οὐκ εἶχες πατέρα τύραννον, οὐδὲ σὺ εἶπεν, υἱὸν ἕξεις, ἐὰν μὴ παίσῃ ταῦτα ποιῶν.

* Ὁ αὐτὸς τῆς μητρὸς αὐτοῦ παρήλικος μὲν οὔσης, δοθῆναι δὲ ἀνδρὶ βουλομένης, ἔφη, τοὺς μὲν τῆς πόλεως βιάσασθαι νόμους δύνασθαι, τοὺς δὲ τῆς φύσεως μὴ δύνασθαι.

* Ὁ αὐτὸς πικρῶς τοὺς ἄλλους κακούργους κολάζων ἐφείδετο τῶν λωποδυτῶν, ὅπως παύσωνται οἱ Συρακούσιοι τοῦ δειπνεῖν καὶ καὶ μεθύσκεσθαι μετ᾽ ἀλλήλων.

* Ὁ αὐτὸς ξένου τινος ἰδίᾳ φράσειν φάσκοντος αὐτῷ, καὶ διδάξειν, ὅπως προϊδῇ τοὺς ἐπιβουλεύοντας, ἐκέλευσεν εἰπεῖν· ἐπεὶ δὲ προσελθὼν, δὸς, εἶπέ, μοι τάλαντον, ἵνα δόξῃς ἀκηκοέναι τὰ σημεῖα τῶν ἐπιβουλευόντων, ἔθωκε προσποιούμενος ἀκηκοέναι, καὶ ἐθαύμαζε τὴν μέθοδον τοῦ ἀνθρώπου.

* Ὁ αὐτὸς πρὸς τὸν πυθόμενον, εἰ σχολάζοι, μηδέποτε εἶπεν, ἐμοὶ τοῦτο συμβαίη.

* Ὁ αὐτὸς ἀκούσας, δύο νεανίσκους πολλὰ βλάσφημα περὶ αὐτοῦ καὶ τῆς τυραννίδος εἰρηκέναι, ἀμφοτέρους ἐκάλεσεν ἐπὶ δεῖπνον· ὁρῶν δὲ τὸν μὲν παροινοῦντα, καὶ λῃροῦντα πολλὰ, τὸν δὲ σπανίως καὶ μετ᾽ εὐλαβείας ταῖς πόσεσι χρώμενον, ἐκεῖνον μὲν ἀπέλυσεν, ὡς φύσει παρ-

3) Plut. Timol. c. 15.

οινήσαντα, καὶ διὰ μέθην κακολογήσαντα· τοῦτον δὲ ἀνεῖλεν ὡς δύσνουν, καὶ πολέμιον ἐκ προαιρέσεως.

* Ὁ αὐτὸς αἰτιωμένων τινῶν, ὅτι τιμᾷ καὶ προάγεται πονηρὸν ἄνθρωπον καὶ δυσχεραινόμενον ὑπὸ τῶν πολιτῶν, ἀλλὰ καὶ βούλομαι, εἶπεν, εἶναι τὸν ἐμοῦ μᾶλλον μισούμενον.

* Ὁ αὐτὸς ἀκούσας τινὰ τῶν πολιτῶν χρυσίον ἔχειν οἴκοι κατορωρυγμένον, ἐκέλευσεν ἀνενεγκεῖν πρὸς αὐτόν· ἐπεὶ δὲ παρακλέψας ὀλίγον ὁ ἄνθρωπος καὶ μεταστὰς εἰς ἑτέραν πόλιν ἐωνήσατο χωρίον, μεταπεμψάμενος αὐτὸν ἐκέλευσε πᾶν ἀπολαβεῖν κεχρημένον τῷ πλούτῳ καὶ μηκέτι ποιοῦντα τὸ χρήσιμον ἄχρηστον.

ΙΣΤΟΡΙΑΙ [4].

Δαψολίβυες ὅταν συναχθῶσι, πάντες ἅμα γαμοῦσιν ἐν μιᾷ ἡμέρᾳ κατὰ δύσιν Πλειάδος· καὶ μετὰ τὴν ἑστίασιν χωρὶς τῶν γυναικῶν κατακειμένων, κατασβέσαντες τὸν λύχνον εἰσέρχονται, καὶ ὁ τυχὼν, ἣν ἂν τύχῃ, λαμβάνει.

Ἐκ τῶν Πλουτάρχου ἱστοριῶν.

Δαρεῖος ὁ τῶν Περσῶν βασιλεὺς μετὰ τριάκοντα μυριάδων ἐν Μαραθῶνι ἐστρατοπεδεύσατο· Ἀθηναῖοι δὲ χιλίους [5], στρατηγοὺς αὐτοῖς δόντες, Πολύζηλον, Καλλίμαχον, Κυναίγειρον, Μιλτιάδην. Συμβληθείσης δὲ τῆς παρατάξεως Πολύζηλος μὲν ὑπὲρ ἄνθρωπον φαντασίαν θεασάμενος τὴν ὅρασιν ἀπέβαλε, καὶ τυφλὸς ὢν ἀνεῖλε τεσσαράκοντα καὶ ὀκτώ· Καλλίμαχος [6] δὲ πολλοῖς περιπεπαρμένος δόρασι καὶ νεκρὸς ἐστάθη. Κυναίγειρος δὲ

4) Exstant hae histor. in Laur. Prima in Mosc. inter sententias *περὶ νόμων καὶ ἐθῶν* exstat.

5) Vitium latet in Cod. — Mox Cod. *Κυντέγειρον*, et paullo post *Κυνέγειρος*. Vide quae notavimus ad Nicol. Soph. Ethop. 7.

6) Cfr. adnotationem ad Hermog. Progymn. c. 7.

Περσικὴν ἀγομένην ναῦν κατέχων ἐχειροκοπήθη· ὅθεν καὶ εἰς αὐτοὺς ὑπὸ Παντελίου τοιαῦτα γεγράφθαι λέγεται.

Ὠκεανοῦ καμάτοιο, καὶ ἀπρήκτου πολέμοιο,
Ἡμετέρῳ βασιλῆι τί λέξομεν ἀντιάσαντες;
Ὦ βασιλεῦ, τί μ᾽ ἔπεμπες ἐπ᾽ ἀθανάτους πολεμιστὰς;
Βάλλομεν, οὐ πίπτουσι· τιτρώσκομεν, οὐ φοβέονται.
Μοῦνος ἀνὴρ σύλησεν ὅλον στρατόν· ἐν δ᾽ ἄρα μέσσῳ
Αἱματόεις ἕστηκε σιδηρείαις ὑπὸ ῥίζαις,
Κοὐκ ἐθέλει πεσέειν, τάχα δ᾽ ἔρχεται ἔνδοθι νηῶν,
Λῦε κυβερνῆτα, νέκυος προφύγωμεν ἀπειλάς.

Ἱστορία περὶ Δευκαλίωνος.

Δευκαλίων μὲν τὸν ἐπ᾽ αὐτοῦ γενόμενον κατακλυσμὸν, παραγενόμενος εἰς τὴν Ἤπειρον, ἐμαντεύετο ἐν τῇ δρυΐ. Πελειάδος δὲ χρησμὸν αὐτῷ δούσης κατοικίζει τὸν τόπον, συναθροίσας τοὺς παραλειφθέντας ἀπὸ τοῦ κατακλυσμοῦ· καὶ ἀπὸ Διὸς καὶ Δωδώνης, μιᾶς ὠκεανίδων, Δωδώνην τὴν χώραν προσηγόρευσεν, ὡς ἱστορεῖ Θρασύβουλος.

Περὶ τοῦ κατακλυσμοῦ καὶ τῶν λάων.

Βασιλεύων δὲ ὁ Δευκαλίων οὗτος τῶν περὶ τὴν Φθίαν τόπων λαμβάνει πρὸς γάμον Πύῤῥαν τὴν Ἐπιμηθέως [7] καὶ Πανδώρας, ἣν ἔπλασαν οἱ θεοὶ πρώτην γυναῖκα· ἐπειδὴ οὖν ἠθέλησεν ὁ Ζεὺς τὸ χαλκοῦν γένος ἀπολέσαι, ἔχων υἱὸν ὁ Προμηθεὺς τὸν Δευκαλίωνα, συνεβούλευσεν αὐτῷ ποιῆσαι λάρνακα, καὶ ἐνθέσθαι σὺν αὐτῷ καὶ πρὸς τροφὴν ἐπιτήδεια· ἡ δὲ λάρναξ ξυλίνη. Ἐπεὶ δὲ καὶ τὴν σύνευνον Πύῤῥαν αὐτῷ εἶχεν ὁ Δευκαλίων, ἀδιάφθαρτος ἔμεινε, τοῦ Διὸς κατακλύσαντος πᾶσαν τὴν Πελοπόννησον [8]. Τῆς δὲ λάρνακος ἀγαγούσης

7) Cod. *Πύραν τὴν Ἐπιμυθέως.* 8) Cod. *Πελοπόνησον.*

αὐτὸν εἰς τὸ ὄρος τοῦ Παρνασοῦ, πέπαυτο ὁ ἐκ τοῦ Διὸς ὑετὸς, ἐφ᾽ ᾧ ὄρει ἔθυσε τῷ Διΐ, καὶ ᾐτήσατο μὴ μόνον εἶναι τῇ γῇ· τοῦ Διὸς [9] διὰ τῆς πρὸς αὐτὸν ἀποστολῆς, τοῦ Ἑρμοῦ ἀπαγγείλαντος, λέγεται δοῦναι αὐτῷ ὅ, τι καὶ βούλοιτο· ὅθεν ὁ Ζεὺς ἐπέταξε τῷ αἰτήσαντι λίθους λαβεῖν, καὶ ῥίπτειν ὑπὲρ κεφαλῆς, καὶ οὕτω τοὺς λίθους αὐτοὺς εἰς ἀνδρώαν φύσιν μεταμείβεσθαι· τὸν αὐτὸν δὲ τρόπον ὁ Ζεὺς καὶ τῇ συνεύνῳ τοῦ Δευκαλίωνος πράττειν ἐπέταξε, καὶ τοὺς βαλλομένους αὐτῇ λίθους εἰς γυναῖκας ἀμείβεσθαι· καὶ δὴ τὸ κέλευσμα εἰς ἔργον τετέλεστο.

Δάκτυλός ἐστι ποῦς συγκείμενος ἐκ μακρᾶς — καὶ δύο βραχειῶν νυ, οἷον ἥλιος· ἐκλήθη δὲ δάκτυλος, ἀπὸ μεταφορᾶς τῶν ἁρμογῶν, τουτέστιν ἀπὸ τῶν ἁρμονιῶν τοῦ δακτύλου· συγκειμένου ἐκ μείζονος ἁρμογῆς καὶ ἐλαττόνων δύο, οὗ ἐναντίος ὁ ἀνάπαιστος, συγκείμενος ἐκ δύο βραχειῶν νυ καὶ μακρᾶς — οἷον ἡγεμών.

Ἀρχὴ τοῦ ε̄ στοιχείου.

Τὸ ε̄ μετὰ τοῦ ᾱ.

Ἑαυτὸν οὐ [1] τρέφων κύνας τρέφεις· ἐπὶ τῶν ἀπορούντων μὲν, ἑτέρους δὲ τρέφειν ἐπαγγελλομένων.

Ἐὰν χρόνιος ἡ ἀπουσία γένηται, καὶ τῆς φιλίας δοκεῖ ἡ ἀπουσία λήθην ποιεῖν· Ἀριστοτέλης ἐν τοῖς ἠθικοῖς.

Ἐὰν μείνῃς ἀόργητος, ἥσχυνας τὸν ὑβρίσαντα· Θεολόγου.

9) Malim: ὁ δὲ Ζεύς.

1) Apost. Cent. VII. 45. — Macar. sub hoc litt. nihil habet praeter: ἐὰν μὴ πάθῃς. οὐ μὴ μάθῃς· παροιμία ἐπὶ ἁλιεὺς πλήγεις νοῦν φύσει.

Ἐὰν ἴδῃς πονηρὸν εἰς ὕψος αἰρόμενον,
Λαμπρῷ τε πλούτῳ καὶ τύχῃ γαυρούμενον,
Ὀφρῦν τε μείζω τῆς τύχης καθηρκότα,
Τούτῳ τάχιον τὴν μεταβολὴν προσδόκα·
Ἐπαίρεται γὰρ μεῖζον, ἵνα καὶ μεῖζον πέσῃ. Φιλιστίωνος.

Τὸ ε̄ μετὰ τοῦ γ̄.

Ἐγένετο [2] καὶ Μάνδρωνι συκίνη ναῦς· λέγεται ἐπὶ τῶν παρ᾽ ἀξίαν εὐτυχησάντων· ὁ γὰρ Μάνδρων παρὰ Ἀθηναίοις ναύαρχος ᾑρέθη, ἀνάξιος ὢν τῆς ἀρχῆς· ἡ δὲ συκίνη ναῦς τὸ εὐτελὲς δηλοῖ.

Ἐγκαθεζόμενοι [3] τρίποδι Μουσῶν· ἐπὶ τῶν λόγους ἀσκούντων.

Ἐγγαστρίμυθος [4] καὶ Πύθων σὺ τυγχάνεις· ἐπὶ τῶν τερατολόγων καὶ θαυματοποιῶν· Σοφοκλῆς στερνόμαντιν τὸν τοιοῦτόν φησι. Πλάτων ὁ φιλόσοφος Εὐρυκλέα ἀπὸ Εὐρυκλέος τοιούτου μάντεως. Ἀριστοφάνης σφηξὶ [5], μιμησάμενος τὴν Εὐρυκλέους μαντείαν καὶ διάνοιαν· Φιλόχορος δ᾽ ἐν τῇ τρίτῃ περὶ μαντικῆς καὶ γυναῖκας ἐγγαστριμύθους καλεῖ [6].

Ἐγγύην [7] φεύγειν δὲ, Θαλῆς Μιλήσιος ᾔδα.

Ἐγὼ σκόροδα σοὶ λέγω, σὺ δὲ κρόμυ᾽ ἀποκρίνῃ.

Ἐγὼ δὲ [8] καὶ σὺ ταὐτὸν ἕλκομεν ζυγόν· ἐπὶ τῶν ὅμοια καὶ παραπλήσια πασχόντων.

Ἐγὼ [9] γὰρ οὐδ᾽ ἂν ὀρνίθων γάλα ἀντὶ τοῦ βίου λάβοιμ᾽ ἄν, οὗ με νῦν ἀποστερεῖς.

2) Apost. Cent. VII. 46. Macar. ἐπὶ τῶν παρ᾽ ἐλπίδα καὶ ἀναξίως εὐπραγησάντων. Apogr. Dresd. bis συκήνη. De voce σύκινος vide infra sub prov. συκίνη ἐπικουρία.

3) Apost. Cent. VII. 47.

4) Apost. Cent. VII. 48.

5) Apogr. Dresd. σφιγξί. Idem paullo post Φιλόχωρος.

6) Καλεῖ omisit apogr. Dresd.

7) Apost. Cent. VII. 50. Macar. ἐγγύα, πάρα δ᾽ ἄτα, ἐπὶ τῶν ῥᾳδίως ἐγγυωμένων καὶ κακῶς ἀπαλλαττόντων. Cfr. Boiss. ad Anecd. T. I. p. 138.

8) Apost. Cent. VII. 48.

9) Aristoph. Vesp. 508. Macar. addit: ἐγὼ ποιήσω πάντα κατὰ Νικόστρατον· ἐπὶ

Τὸ ε μετὰ τοῦ δ. [9]

Ἐδίδαξά [10] σε κυβιστᾶν καὶ σὺ βυθίσαι με ζητεῖς· ἐπὶ τῶν κακὰ ἀντὶ ἀγαθῶν ἀποδιδόντων.

Ὃ ἔδησεν ἡ φύσις, τοῦτο φύσις λύει, καὶ ὃ ἔδησεν ἡ ψυχὴ, τοῦτο αὐτὴ λύει· ἔδησε δὲ φύσις μὲν σῶμα ἐν ψυχῇ, ψυχὴ δ' ἑαυτὴν ἐν σώματι· φύσις μὲν ἄρα λύει σῶμα ἐκ ψυχῆς, ψυχὴ δ' ἑαυτὴν λύει ἀπὸ σώματος. Πορφυρίου.

Τὸ ε μετὰ τοῦ ϑ.

Ἔθος ἄρχεται μὲν ἀπὸ μικρῶν, ἐπιμελούμενον δὲ τὴν ἰσχὺν μείζω λαμβάνει.

Τὸ ε μετὰ τοῦ ι.

Εἰ [11] καὶ λύκου ἐμνήσθης· ἐπὶ τῶν, ὧν ἂν μνησθῇ τις, καὶ εὐθὺς παραγινομένων.

Εἰ [12] μὴ δύναιο βοῦν, ἔλαυνε ὄνον· ἐπὶ τῶν μὴ πραττόντων ἃ κατὰ δύναμιν ἔχουσιν, ἀλλὰ τὰ ὑπὲρ αὐτούς.

Εἰς [13] τὴν λῆψιν τῶν ἀγγέλων καὶ ὁ Μάρδαρις ἄγγελος· δημώδης καὶ σαφής· ἔοικε τῇ, τὴν γραῦν εἰς τἀκρωτήριον ἀϋτάνοφρυν καλοῦσιν.

Εἰς [14] ἀσθενοῦντας ἀσθενῶν ἐλήλυθας· ἐπὶ τῶν ὅμοια καὶ παραπλήσια πασχόντων.

Εἰς [15] οὐχ ὁσίην τρυμαλιὴν τὸ κέντρον ὠθεῖς· ἐπὶ τῶν ἀνόσια ποιούντων· τοῦ γὰρ Φιλαδέλφου γήμαντος τὴν ἀδελφὴν Ἀρσινόην, ὁ Σωτάδης εἶπε ταυτί.

τῶν ὀρθῶς πάντα ποιούντων, ἦν γὰρ ὁ Νικόστρατος ὑποκριτὴς τραγικὸς ἄριστος.

10) Apost. Cent. VII. 51.

11) Apost. Cent. VII. 52.

12) Apost. Cent. VII. 55.

13) Apost. Cent. VII. 56. Apogr. Dresd. λεῖψιν, de monstro ἀϋτάνοφρυν expellendo cum Pantinio consentio, de vera voce restituenda despero.

14) Apost. Cent. VII. 54.

15) Apost. Cent. VII. 55. Cfr. Athen. XIV. p. 620. et 621.

Εἷς [16] *ἀνὴρ σὺ πάνϑ' ὁρᾷ.*

Εἷς [17] *ϑεὸς καὶ πολλοὶ φίλοι.*

Εἷς [18] *ἀνὴρ, οὐδεὶς ἀνήρ.*

Εἷς [19] *οἰωνὸς ἄριστος ἀμύνεσϑαι περὶ πάτρης.*

Εἰς [20] *ὕδωρ γράφεις τὸν ἔρωτα· ἐπὶ τῶν ἀφανιζόντων τινὰ χρηστά.*

Εἰς [21] *οὐρανὸν πτύεις· ἐπὶ τῶν καϑ' ἑαυτῶν τι πραττόντων ἢ ἐπὶ τῶν ὑβριζόντων εἰς ἐξαίρετα· ἔστι δὲ ὁμοία τῇ, πρὸς κέντρα λακτίζειν.*

Εἵλωτων ἀτιμότερος [22]*· παρὰ Λακεδαιμονίων οἱ νόϑοι καὶ οἱ ἐξ αἰχμαλώτων δοῦλοι γενόμενοι εἵλωτες ἐκαλοῦντο, ἀπὸ τοῦ Ἕλους· Ἕλος δὲ πόλις ἐν Πελοποννήσῳ* [23]*.*

Εἰρήνη [24] *ἀργίαν οὐ τρέφει· οἱονεὶ τὸν ἀργὸν καὶ μὴ ἔχοντα πόϑεν ζῆσαι· ἢ ἀπὸ ταραχῶν, ἢ γὰρ εἰρήνη στρατιώτην οὐ τρέφει.*

Εἰς [25] *ἀρχαίας φάτνας· ἐπὶ τῶν ἀπολαύσεώς τινος ἐκπεσόντων, εἶτα πάλιν ἐπὶ τὴν ἀρχαίαν ἐλϑόντων δίαιταν.*

Εἰ [26] *μετρήσεις τὴν σαυτοῦ σκιὰν, οὐκ ἂν εὕροις αὐτὴν μείζονα γεγενημένην, ἢ πρὶν νικᾷν· ἐπὶ τῶν ἡττημένων* [27] *καὶ αὖϑις ἐπαπειλούντων· Φιλίππου γὰρ μετὰ τὴν ἐν Χαιρωνείᾳ μάχην σκληροτέραν ἐπιστολὴν τῷ Ἀρχιδάμῳ γράψαντος, ἀντέγραψε τὸ παροιμιῶδες τοῦτο λόγιον.*

Plut. de educat. c. 14., ubi Wyttenb.

16) Apost. Cent. VII. 57.

17) Apost. Cent. VII. 66.

18) Macar. *εἷς ἀνὴρ, οὐδεὶς ἀνὴρ, παρόσον ὑπὸ ἑνὸς οὐδὲν κατορθοῦται.*

19) Il. *μ.* 243.

20) Apost. Cent. VII. 58.

21) Apost. Cent. VII. 59.

22) Apost. Cent. VII. 62.

23) Mosc. *Πελοπονήσῳ.*

24) Apost. Cent. VII. 61.

25) Apost. Cent. VII. 63.

26) Apost. Cent. VII. 64. Plut. Lac. Apophth. Vol. VIII. p. 201. Hutt.

27) Mosc. *ἡττωμένων.*

Εἰς [28] *θεῶν ὧτα ἦλθεν· ἐπὶ τῶν οὐ λανθανόντων, ἐφ' οἷς ἔπραξαν.*

Εἷς θεὸς καὶ πολλοὶ φίλοι· παρόσον ἀγαθοὶ φίλοι καὶ ἔτι γε μᾶλλον, εἰ πολλοί εἰσι δύνανται βοηθῆσαι τῷ δεομένῳ ἴσα καὶ τῷ θεῷ.

Εἰς [29] *κόλπον πτύω· τοῦτο ἐν ἴσῳ τῷ μεγαλοῤῥημονῷ εὐλαβούμενος· ἐπὶ τῶν μεγαλαύχων ἢ βασκαινόντων.*

Εἰς κόρακας [30]*· εἰς σκότος, εἰς ὄλεθρον, εἰς ἀνηλίους πύλας.*

Εἰς Κυνόσαργες [31]*· εἴρηται ἐπὶ τῶν ὕβρει καὶ ἀραῖς χρωμένων* [32]*· ἔστι δὲ τόπος ἐν τῇ Ἀττικῇ, ἐν ᾧ τοὺς παῖδας ἔταττον· ὠνόμασται δὲ οὕτως ἀπὸ κυνὸς ἀργοῦ, τουτέστι λευκοῦ ἢ ταχέος.*

Εἰς λατομίας [33]*· Φιλόξενος ὁ διθυραμβοποιὸς οὐκ ἀνεχόμενος τῶν Δυονυσίου τυράννου ποιημάτων, ὡς φαύλων, ποτὲ πέμψαντος αὐτὸν εἰς λατομίας τοῦ Διονυσίου, τὸ δὲ ὕστερον αὐτὸς ἑκὼν ἐξανέστη· τοῦ δὲ ἐπερομένου τὴν αἰτίαν, εἰπεῖν, ὡς κρεῖττον εἶναι τὴν ἐκεῖ διατριβὴν, ἢ τῶν αὐτοῦ μαθημάτων* [34] *ἀνέχεσθαι.*

28) Apost. Cent. VII. 65.

29) Apost. Cent. VII. 67. Theocrit. Id. VI. 16. *ὡς μὴ βασκανθῶ δὲ τρὶς εἰς ἐμὸν ἔπτυσα κόλπον.* Lucian. Navig. c. 15. *ὑπερμαζᾷς γε, ὦ Ἀδείμαντε, καὶ εἰς τὸν κόλπον οὐ πτύεις.* Disputarunt de hoc more Casaubon. ad Theophr. Char. 16. Blomf. ad Aesch. Prom. 1106. Interpr. ad Aristaen. ep. 1. p. 243. ed. Boisson.

30) Apost. Cent. VII. 68. addit: *εἰς ἀνηλίους πύλας*, quod Arsenius in proximo proverbio post *εἰς κυνόσαργες* inseruit, ubi delere non dubitavi.

31) Apost. Cent. VII. 69.

32) Apost. *ἐπὶ ὕβρει καὶ ἀραῖς.* Mosc. *ἐπὶ τῶν ὕβρει καὶ ἀραῖς*, itaque quum *ἐπὶ* in his plerumque cum genitivo construatur, malui articulum, tanquam veteris lectionis vestigium retinere, et *χρωμένων* ex conjectura addere, quam delere.

33) Apost. Cent. VII. 70.

34) *Ἀνέχεσθαι* cum genitivo et cum accusativo construi constat. Julian. Misopog. p. 344. *πῶς ἀνέξῃ τὰ Περσῶν βέλη.* p. 349. B. *πόλει, τὸν αὐχμὸν τῶν τριχῶν οὐκ ἀνεχομένῃ.* Ep. 24. p. 392. *τὴν μονὴν οὐκ ἀνέχεται.* Ep. 65. p. 453. D. *ἔνδειαν καὶ*

Εἰς [35] *Μασσαλίαν πλεύσειας· ἐπὶ τῶν ϑηλυτέρως καὶ μαλακῶς ζώντων· καὶ ποικίλαις στολαῖς χρωμένων καὶ μύροις.*

Εἰς μελίττας ἐκώμασας [36]*· ἐπὶ τῶν παρὰ δόξαν κακουμένων ἀϑρόως.*

Εἰς [37] *τὴν Αὐγέου κόπρον ἐμπέπτωκας· ἤγουν ἐβορβορώϑης.*

Εἰς λιμένα [38]*· ἀπὸ τῶν ἐν λιμένι ἑρεσσόντων, ἐξω δὲ ῥᾳϑυμούντων.*

Εἰς πάγας λύκος [39]*, εἰς ἠκονημένας μαχαίρας αἴξ· ἐπὶ τῶν εἰς κίνδυνον προῦπτον ἡκόντων.*

Εἰς οὐρανὸν τοξεύεις [40]*· ἐπὶ τῶν ἀδυνάτων καὶ διὰ κενῆς πονούντων.*

Εἰς πῦρ ξαίνεις [41]*· ἐπὶ τῶν καϑ' ἑαυτῶν τι πραττόντων ἢ μάτην πονούντων.*

Εἶς μυρίους ὄρνιϑας ἀετὸς σοβεῖ,
Λαῶν δὲ δειλῶν πλῆϑος εὖ τραφεὶς ἀνήρ. Σωσιϑέου ἡ γνώμη.

Εἰς [42] *τέφραν γράφειν· ἐπὶ τῶν ἀδυνάτων.*

λιμὸν ἀνεχ. Cum genit. Misop. p. 345. C. ἀνέχου αὐτῶν μισούντων. p. 346. C. τίς ἀνέξεται τοσαυτάκις εἰς ἱερὰ φοιτῶντος Καίσαρος. Cfr. p. 357. A. ep. 24. p. 392. D. Diversos autem, quos verbum regit, casus, in eadem sententia conjungi, nequaquam rarum. Aristoph. Ran. 680. ὃς Αἰγαίου πρῶνας ἢ γλαυκᾶς μέδεις ἁλὸς ἐν βένϑεσιν. Eurip. Suppl. 98. τίνων γόων ἤκουσα καὶ στέρνων κτύπον. Vide Brunk. ad Aeschyl. Theb. 189. Lobek ad Soph. Aj. p. 331.

35) Apost. Cent. VII. 71. Mosc. Μασαλίαν.

36) Apost. Cent. VII. 72. rem fusius exponit. — Mosc. εἰς μελίτταις.

37) Abest ab Apost.

38) Apost. Cent. VII. 76. Plene dicitur: Ἀττικὸς εἰς λιμένα. Vide supra p. 82.

39) Apost. Cent. VII. 77. male ἠκονισμένας. Macar. εἰς πάγας ὁ λύκος· ἐπὶ τῶν εἰς κίνδυνον προῦπτον ἡκόντων.

40) Apost. Cent. VII. 74. Macar. εἰς οὐρανὸν τοξεύει· ἐπὶ τῶν διὰ κενῆς πονούντων.

41) Apost. Cent. VII. 75. Macar. ἐπὶ τῶν μάτην κακοπαϑούντων. Aristid. ὑπὲρ τῶν τεττ. p. 230. ἐλεληϑεὶς δὲ ἄρα σαυτὸν ἁπάσαις ταῖς παροιμίαις ἐνεχόμενος, εἰς πῦρ ξαίνων καὶ λίϑον ἕψων καὶ σπείρων τὰς πέτρας.

42) Apost. Cent. VII. 78.

Εἰς [43] *τὸ δέον ἀπώλεσα· Περικλῆς δῶρα δοὺς τοῖς πολεμίοις τοῖς περὶ Κλεανδρίαν, ἵνα μὴ δηώσωσι τὴν χώραν, δεκαπέντε τάλαντα, ἀνήνεγκε τὸ ἀνάλωμα τοῖς Ἀθηναίοις· οὕτω πως ὑπογράψας, εἰς τὸ δέον ἀπώλεσα.*

Εἰς [44] *Ἄρειον πάγον ἐκρίθη· ἐπὶ τῶν ἄγαν δικαίων τυχόντων δικαστῶν· δικαστήριον ἦν Ἀθήναις· ἦσαν δὲ Ἀθήνησι δύο βουλαί· ἡ μὲν τῶν πεντηκοσίων καθ' ἕκαστον ἐνιαυτὸν κληρουμένη βουλεύειν· ἡ δὲ εἰς μίαν τῶν Ἀρεοπαγιτῶν· ἐδίκαζε δὲ τὰ φονικὰ, καὶ τὰ ἄλλα πολιτικὰ ἐδίωκε* [45] *σεμνῶς· ἐκλήθη δὲ Ἄρειος πάγος, ἤτοι ὅτι ἐν πάγῳ ἐστὶ καὶ ἐν ὕψει τὸ δικαστήριον· Ἄρειος δὲ ἐπεὶ τὰ φονικὰ δικάζει, ὁ δὲ Ἄρης ἐπὶ* [46] *τῶν φόνων, ἢ ὅτι ἔπηξε τὸ δόρυ ἐκεῖ, ἐν τῇ πρὸς Ποσειδῶνα ὑπὲρ Ἁλιρρόθιου δίκῃ, ὅτι ἀπέκτεινεν αὐτόν.*

Εἰ [47] *τυρὸν εἶχον, οὐκ ἂν ἐδεόμην ὄψου· ἐπὶ τῶν ὀλίγοις ἀρκουμένων καὶ ἐγκρατῶν.*

Εἰ [48] *μὴ σὺ λέγεις, ἀπὸ δέρματος φαίνῃ· ὅτι τοὺς ψευδομένους αἱ πράξεις ἐλέγχουσιν.*

Εἰς [49] *τετρημένον πίθον ἀντλεῖς· τάσσεται ἐπὶ τῶν εἰς κενὸν πονούντων· καὶ γὰρ μυθεύουσιν ἐν Ἅιδου τοὺς ἀσεβεῖς εἰς πίθον τετρημένον ἀντλεῖν· πάσχουσι δὲ περὶ τοῦτον αἱ τῶν Ἀμύντου ψυχαὶ καὶ κόραι δὲ ἠπεθαναὶ, αἳ καὶ Δαναΐδες καλοῦνται, ἀντλοῦσαι ὕδωρ εἰς τὸν πίθον.*

43) Apost. Cent. VII. 79. Macar. *εἰς τὸ δέον ἀπώλεσε· λείπει, ὡς Περικλῆς· ἐκεῖνος γὰρ ἐν λογισμῷ κατεχρῆτο τῇ εἰς τὸ δέον προφάσει.*

44) Apost. Cent. VII. 80.

45) Mosc. *διώκει.*

46) Mosc. *ἐστί.*

47) Apost. Cent. VII. 81.

48) Apost. Cent. VII. 82.

49) Apost. Cent. VII. 84. Mosc. *τετρημμένην π. ἀνθλεῖς.* Macar. *εἰς τὸν τετρημένον πίθον· ἐπὶ τῶν μάτην ἀναλισκόντων.* Cfr. Philetaerum comicum apud Athenaeum p. 635. F.

Ὦ Ζεῦ καλόν γ' ἐστιν ἀποθανεῖν αὐλούμενον·
Τούτοις γὰρ ἐν Ἅιδου μόνοις ἐξουσία
Ἀφροδισιάζειν ἐστίν· οἱ δὲ τοὺς τρόπους

Εἰς τὴν ἀμίδα [50] *ἀπουρεῖν· ἐπὶ τῶν εἰς τοὺς ἀξίους ὑβριζόντων.*

Εἰς ὕδωρ γράφειν [51]*· ἐπὶ τῶν ἀχρήστων καὶ ὧν οὐκ ἔστι φροντὶς καὶ ἀπίστων.*

Εἰς [52] *Σκῶλον μήτ' αὐτὸς ἰέναι, μήτ' ἄλλῳ ἕπεσθαι· παραινετική· τραχεῖα γὰρ ἡ Σκῶλος καὶ δύσβατος.*

Εἰς [53] *Τροφωνίου μεμάντευται· ἐπὶ τῶν σκυθρωπῶν καὶ ἀγελάστων· οἱ γὰρ καταβαίνοντες εἰς Τροφωνίου λέγονται τὸν ἑξῆς χρόνον ἀγέλαστοι εἶναι· ὁ δὲ Τροφώνιος ἔχων τὴν κεφαλὴν τοῦ ἀδελφοῦ αὐτοῦ Ἀγαμήδους καὶ διωκόμενος ὑπὸ τοῦ Αὐγαίου, εὐξάμενος εἰς χάσμα ἐνέπεσεν, οὗ δὲ καὶ μαντεῖόν ἐστιν.*

Εἰς [54] *πάγας ὁ λύκος· ἐπὶ τῶν ἁρπαζόντων μὲν, κατασχόντων δέ.*

Εἰς [55] *κυνὸς πυγὴν ὁρᾷ καὶ τριῶν ἀλωπέκων· ἐπὶ τῶν ὀφθαλμιώντων.*

Εἰ [56] *θέρους ὥραις ηὔλεις, χειμῶνος ὀρχοῦ· ἐπὶ τῶν παρὰ καιρὸν πραττόντων τὰ ἑαυτῶν.*

Εἰς [57] *Τροιζῆνα βαδίζεις· ἐπὶ τῶν ἐχόντων σπάνιν γενείων· πώγων γάρ ἐστι λιμὴν Τροιζήνιος· οἷς σκώπτοντες οὖν τοὺς κακογενείους ἔλεγον, βάδιζε εἰς Τροιζῆνα.*

Ῥυπαροὺς ἔχοντες μουσικῆς ἀπειρίᾳ
Εἰς τὸν πίθον φέρουσι τὸν τετρημένον.

Νίκανδρος· Αἰγίνεον Εὐρύβατον πανουργότατον· οὗ μνημονεύει Ἀριστοτέλης ἐν πρώτῃ περὶ δικαιοσύνης· Δοῦρις ἐν τετάρτῳ περὶ [20] *Ἀγαθοκλέα, ἀπὸ τοῦ Ὀδυσσέως ἑταίρου· λέγεται δὲ τὸν Εὐρύβατον κλέπτην ὄντα, εἰρχθέντα καὶ παραφυλαττόμενον, ἐπειδὴ συμπίνοντες εἷλον αὐτὸν οἱ φυλάττοντες ἐκέλευσεν ἐπιδείξασθαι τὴν ἐπὶ τοὺς τοίχους ἀναῤῥίχησιν, καὶ* [21] *μὲν πρῶτον διωθεῖσθαι· δεομένων δὲ, ὡς οὐ βουλόμενον, ἐπεὶ μόλις ἀνέπεισαν, περιθέμενος τοὺς σπόγγους, καὶ τὰς ἐγκεντρίδας, ἀναδραμεῖν εἰς τοὺς τοίχους· ἀναβλέποντες δὲ ἐκεῖνοι καὶ θαυμάζοντες τὰς τέχνας λαβεῖν αὐτὸν τὸν ὄροφον καὶ ὑπερβαλόντα, πρὶν ἐκεῖνοι κύκλῳ περιέλθωσι, διὰ τοῦ τέγους καταπατῆσαι.*

Plat. Soph. p. 252. c. *ἀλλὰ τὸ λεγόμενον οἴκοθεν τὸν πολέμιον καὶ ἐναντιωσόμενον ἔχοντες ἐντὸς ὑποφθεγγόμενον ὥσπερ τὸν ἄτοπον Εὐρυκλέα περιφέροντες ἀεὶ πορεύονται.* ubi Heind. Aristid. Or. IV. p. 50. *ἀκριβέστερον Εὐρυκλέους τἄνδοθεν καταλαμβάνων.*

14) Laurent. hoc et sq. inter apophthegmata retulit.

15) Codd. *Μεσήνιος.*

16) Apost. Cent. IX. 55. Theon. Progymn. c. VII. *καὶ εἴ που τις Εὐρυβάτου ψόγος.* ubi vide notam.

17) Apogr. Dresd. *Εὔφορος.*

18) Mosc. *ἦσαν οἵδε χαλκῆες.*

19) *Τε* omittit Mosc.

20) Mosc. *παρά.*

21) *Καὶ* Mosc. om. — Macar. addit: *Εὐριπίδειος ὅρκος· ἴσως τὰ κατὰ χινὸς καὶ κυνός. — Εὖ πρᾶττε, τὸ φίλων δ'*

Τὸ ε̄ μετὰ τοῦ φ̄.

Ἔφυγον [1] κακὸν, εὗρον ἄμεινον· ἐπὶ τῶν μεταβολὴν κρείττονα οἰωνιζομένων· ὅτε τὴν ἀγρίαν καὶ παλαιὰν δίαιταν ἔφυγον, εὗρον δὲ τὴν ἥμερον τροφὴν, τοῦτο ἔλεγον· τὸ γὰρ ἐκ τῶν δρυῶν καὶ ἀκανθῶν πέμμα κακόν. Νόμος ἦν Ἀθήνησιν, ἀμφιθαλῆ παῖδα ἐστεμμένον ἀκάνθαις μετὰ δρυΐνων καρπῶν λίκνον [2] βαστάζοντα ἄρτων πλέων, τοῦτο λέγειν, αἰνισσόμενον τὴν ἐπὶ τὸ κρεῖττον μεταβολήν.

Ἐφέσια γράμματα [3]· ἐπῳδαί τινες ἦσαν, ἅπερ οἱ φωνοῦντες ἐνίκων ἐν παντί· ταὐτὸν τῇ· δαφνίνην φορῶ βακτηρίαν· ὁ δὲ Διογενιανὸς, λέγεταί, φησιν ἐπὶ τῶν ἀνεπίγνωστα λεγόντων· παρόσον ὑπὸ τοῖς ποσὶ τῆς Ἐφεσίας Ἀρτέμιδος τὰ γεγραμμένα ἀσύνετα.

Ἐφόδιον [4] τῆς ἀσιτίας τὴν ἀπεψίαν ἔχουσι· Πλουτάρχου ἐκ τῶν ὑγιεινῶν ἀποφθεγμάτων, ἐπὶ τῶν φειδωλῶν.

Ἐφ' ὕδωρ [5]· ἐν ταῖς δίκαις ὁ ἐπιμεληθόμενός τινος ἐλάλει πρὸς ὕδωρ.

Ἐφ' ἑνὶ παιδὶ σαλεύει [6]· ἤτοι ἔχει τὰς ἐλπίδας τοῦ γένους· λέγεται καὶ ἐπὶ πλοίων· ὡς Λίων ἐν Ῥωμαϊ-

οὐδὲν, εἰ σὺ δυστυχῇς· τοῦτο Εὐριπίδου ἐστὶ Φοινισσῶν.

1) Apost. Cent. IX. 37.

2) Mosc. λείκνον — ἄρτων πλέον.

3) Apost. Cent. IX. 39. Macar. ἐπὶ τῶν ἀσύνετα λεγόντων. Cfr. Clem. Strom. I. 15. p. 360. 20. εἰς οὓς (sc. δακτύλους Ἰδαίους) ἥτε τῶν Ἐφεσίων λεγομένων γραμμάτων, καὶ ἡ τῶν κατὰ μουσικὴν εὑρεσις ῥυθμῶν ἀναφέρεται. Qualia sint, idem refert V. 9. p. 672. 15. — — σημαίνειν δὲ Λοχιον μὲν τὸ σκότος, μὴ γὰρ ἔχειν τοῦτο σκιάς· φῶς δὲ Κατόχιον, ἐπεὶ καταυγάζει τὴν σκιάν. Λίξ τέ ἐστιν ἡ γῆ κατὰ ἀρχαίαν ἐπωνυμίαν· καὶ Τετρὰς ὁ ἐνιαυτὸς, διὰ τὰς ὥρας, κ. τ. λ. Cfr. Wyttenb. ad Plut. de sent. prof. in virt. p. 85. B.

4) Apost. Cent. IX. 38. Pro ἀσιτίας apud Plut. p. 125. E. legitur ἀπληστίας.

5) Apost. Cent. IX. 40.

6) Apost. Cent. IX. 42. Cfr. Epist. Hippocrat. Vol. III. p. 845. ed. Kuhn. καὶ τοῦτο ἐλάχιστον τῶν μελλόντων ῥηθήσε-

μῷ καὶ δίψει τήκεται, ὁρῶν μὲν, ἀφ᾽ ὧν δεῖ φαγεῖν καὶ πιεῖν, μὴ δυνάμενος δὲ διὰ τὴν ἐπηρμένην πέτραν.

Ἐπὶ [6] δυοῖν ὁρμεῖ· δηλονότι ἀγκύραιν· λέγεται ἐπὶ τῶν ἀστεμφῶς ἐχόντων.

Ἐπ᾽ [7] ἄκρᾳ γλώττῃ τὸ φιλεῖν ἔχεις· ἐπὶ τῶν λόγῳ μὲν, ἔργῳ δὲ οὐ φιλούντων ἀλλήλους.

Ἐπὶ [8] κεφαλὴν ὠσθέντα· ἐπὶ τῶν κακῶς πασχόντων, μᾶλλον δ᾽ ἐπ᾽ ὀλέθρου· δεινὸν γὰρ τὸ κατὰ κεφαλῆς ὠσθέντα πληγῆναι.

Ἐπαύλια [9] δῶρα φέρων ἥκεις· ἐπὶ τῶν πολλὰ δωρουμένων· ἐπαύλια δὲ καλεῖται τὰ μετὰ τὴν ἐχομένην ἡμέραν τῶν γάμων παρὰ τοῦ τῆς νύμφης πατρὸς δῶρα φερόμενα τῷ νυμφίῳ καὶ τῇ νύμφῃ ἐν πομπῆς σχήματι· παῖς γὰρ ἡγεῖται χλανίδα λευκὴν ἔχων καὶ λαμπάδα καιομένην· ἔπειτα μετὰ τοῦτον κανηφόρος, εἶθ᾽ αἱ λοιπαὶ ἀκολουθοῦσιν ἑφεξῆς, φέρουσαι χρυσία, λεκανίδας, σμήγματα, φορεῖα, κιένας, κοίτας, ἀλαβάστρους, σανδάλια, μυράλιθρα, ἐνίοτε δὲ καὶ τὴν προῖκα ἅμα τῶν νυμφίων φέρουσιν.

Ἐπιφυλλίδες [10] ταῦτ᾽ ἐστι καὶ σιωμύλματα,
Χελιδόνων μουσεῖα, λωβητὰ τέχνης.

Ἐπὶ τῶν εἰρωνευομένων ἐπὶ μικροῖς.

Ἐπὶ [11] τοῖς ὅπλοις ἀχχίζεται· ἐπὶ τῶν ἐπαιρομένων ταῖς ἥβρεσι καὶ τοῖς ἀχχισμοῖς· ἀπὸ Ἀχχοῦς τινος Σαμίας μοιχᾶς οὔσης.

6) Apost. Cent. VIII. 72.

7) Apost. Cent. VIII. 74.

8) Apost. Cent. VIII. 75.

9) Apost. Cent. VIII. 76. Mosc. φέρειν.

10) Apost. Cent. VIII. 77. Ex Aristoph. Ran. 92. ad Χελιδόνων μουσεῖα cfr. Philostr. Jun. III. ὁ δὲ τῶν ἀηδόνων χορὸς, καὶ τὰ τῶν ἄλλων ὀρνέων μουσεῖα κ. τ. λ. ubi Jacobs p. 595. Eustath. Opusc. p. 321. l. 3. ἀλλ᾽ ἐπίπεμψον ἡμῖν ἑτέραν χελιδόνα καὶ αὖθις ἄλλην· καὶ ποίησον ἡμῖν τὸν οἰκίσκον — οὐ λέγω χελιδόνων μουσεῖα (μαινοίμην γὰρ ἄν) ἀλλὰ μουσείων ἄντικρυς, καὶ ἀηδόνων λόχμην, ἢ νῆσον Σειρήνων, ἢ καταγώγιον ὀρφανικόν.

11) Apost. Cent. VIII. 78.

Wie wollen wir „Gesangen" und die übrigen ge-
brauchen? Wollen wir „Gefangene"
Wir wollen „Gefangene" und die übrigen gebrauchen.
Wollen wir „Gefangene" oder „Gefangene"
Wir wollen „Gefangene" und „Gefangene" gebrauchen.
Wollen wir „Gefangene" oder „Gefangene"
Wir wollen „Gefangene" und „Gefangene" gebrauchen.

Auf der Wiese spielen Kinder.
Wessen Kinder spielen dort?
Dort spielen Kinder des Gärtners.
Wessen Kinder sind es?
Es sind Kinder des Gärtners.

Wessen Kinder sind es? Es sind Kinder des Gärtners.

Wir sprechen von Gefangenen.
Wir sprechen von Gefangenen.
Wir sprechen von Gefangenen.
Wir sprechen von Gefangenen.

Wir sprechen von Gefangenen. Ich sehe Gefangene.
Wir sprechen von Gefangenen. Ich sehe Gefangene.

Kennen Sie diesen Gefangenen?
Ich kenne diesen Gefangenen.

Τὸ ε̄ μετὰ τοῦ ρ̄.

Ἔρις [1] ἔριν τίκτουσα προσμνᾶται λόγον· ἐπὶ τῶν ἀδολεσχούντων, ἤτοι ἐπὶ φιλοσοφίᾳ ἐριζόντων.

Ἐργίνου πολιαί· ἐπὶ τῶν προπολίων· οὗτος ἦν παῖς Κλυμένους, εἷς τῶν Ἀργοναυτῶν· Ὑψιπύλης δὲ τῆς θυγατρὸς Θόαντος βασιλέως Λημνίων ἐπιτάφιον ἀγῶνα τοῦ πατρὸς προτεθεικυίας, Ἐργῖνος νέος μὲν ὢν τῇ ἡλικίᾳ, προπόλιος δὲ, παρῆλθεν ἀγωνισόμενος, καὶ ἐγελᾶτο ὑπὸ τῶν Λημνιάδων γυναικῶν διὰ τὰς πολιάς· κάλλιστα οὖν τὸν ἀγῶνα διενεγκὼν καὶ τοὺς συνάθλους νικήσας Βορεάδας Ζῆθον καὶ Κάλαϊν, εἰς ὑπερβολὴν ἐθαυμάσθη· περὶ οὗ καὶ ὁ Πίνδαρος εἶπε, διάπειρά τοι βροτῶν ἔλεγχος.

Ἑρμώνιος χάρις [2]· ἐπὶ τῶν κατὰ χάριν ἐκεῖνα διδόντων, ὧν ἀσμένως ἀπαλλάττονται· Ἕρμων γὰρ ἐκβαλλόμενος ὑπὸ τῶν Ἀθηναίων ἧς ἦρχε νήσου, ἦν δὲ αὕτη Λῆμνος, καὶ πρότερον αὐτὴν ἐκλείπειν βουλόμενος

sub hac littera habet: Ἐπαίνων σκιαί· ἐπὶ τῶν μάτην ἐπαινουμένων. — Ἐπὶ τἀλλότρια Παυσανίας· ἐπὶ τῶν ἁρπαζόντων βίᾳ τὰ ἀλλότρια καὶ ληϊζομένων. — Ἐπισκύθισον· Ἐπὶ τῶν ἀκράτῳ χρωμένων· οἱ γὰρ Σκύθαι ἀκρατοπόται. (Cod. ἐπὶ σκύθισον· cfr. Herod. VI. 84. Κλεομένεα δὲ λέγουσι, ἡκόντων τῶν Σκυθέων ἐπὶ ταῦτα ὑμιλέειν σφι μεζόνως· ὁμιλέοντα δὲ μᾶλλον τοῦ ἱκνευμένου, μαθεῖν τὴν ἀκρητοποσίην παρ' αὐτέων· ἐκ τούτου δὲ μανῆναί μιν νομίζουσι Σπαρτιῆται· ἐκ τε τοῦ, ὡς αὐτοὶ λέγουσι, ἐπεὰν ζωρότερον βούλωνται πιέειν, ἐπισκύθισον λέγουσι.) Ἐπ' αὐτὸν ἥκεις τὸν βατῆρα τῆς θύρας· ἤτοι ἐπὶ τὴν ἀρχὴν, ἢ ἐπὶ τὴν ἀλήθειαν. — Ἐπὶ ξιπὸς πλεῖν· ἐπὶ τῶν εἰς κίνδυνον ἑαυτοὺς ἐμβεβληκότων. — Ἐπὶ τέγει λήϊον· ἐπὶ τῶν ἀνωφελῶν. — Ἐπιδαύριος ἵππος καὶ Ἐρετριακὸς κύων· ἐπὶ τῶν ἀξίων ἐπαίνου. — Ἔπεσθε μητρὶ χοῖρος· ἐπὶ τῶν κολακευτικῶς τισιν ἑπομένων τροφῆς ἕνεκα. — Ἐπὶ ξυροῦ ἕστηκε τὸ πρᾶγμα· ἐπὶ τῶν ἔσχατα κινδυνευόντων.

1) Apost. Cent IX. 14. Pseudo-Phocyl. 73. πειθὼ μὲν γὰρ ὄνειαρ, ἔρις δ' ἔριν ἀντιφυτεύει.

2) Apost. Cent. IX. 15. Macar. ἐπὶ τῶν κατὰ χάριν ἐκεῖνα διδόναι δοκούντων, ὧν ἀσμένως ἀπαλλάττονται. Macar. praeter

διὰ τὴν τῶν Περσῶν ἔφοδον, εἶπε πρὸς τὸν Ἀλκιβιάδην, ὡς χαρίζομαι τοῖς Ἀθηναίοις τὴν χώραν.

Ἔρρ' ἀπ' [3] ἐμοῖο,
Βωκόλος ὢν μ' ἐθέλεις κύσαι τάλαν, οὐ μεμάθηκα
Ἀγροίκως φιλέειν, ἀλλ' ἀστικὰ χείλεα θλίβειν·
Μὴ τύ γε μευ κύσῃς τὸ καλὸν στόμα, μηδ' ἐν ὀνείροις.

Τὸ ε μετὰ τοῦ σ.

Ἐς κόρακας [1]· Βοιωτοῖς ὁ θεὸς ἔχρησεν, ὅπου ἂν λευκοὶ κόρακες φανῶσιν, ἐκεῖ κατοικεῖν· περὶ δὲ τὸν Παγασητικὸν κόλπον ὑπὸ παίδων ἀκάκων γυψωθέντας κόρακας, ὕστερον δὲ Αἰολεῖς ἐκβαλόντες αὐτοὺς, τοὺς φυγαδευομένους εἰς αὐτὸ ἔπεμπον. Οἱ δὲ, ὡς τοῦ ζώου ἀναιδοῦς καὶ δυσοιωνιστικοῦ ὄντος. Ἀριστοτέλης δέ φησι, λοιμοῦ κατασχόντος καὶ κοράκων πολλῶν γενομένων τοὺς ἀνθρώπους θηρεύοντας αὐτοὺς καὶ παρακαθαίροντας, ἐᾶν ζῶντας καὶ ἐπιλέγειν τῷ λοιμῷ, φεῦγ' ἐς κόρακας· ὁ δὲ Αἴσωπος μυθικῶς, κολοιὸν μέγαν νομίσαντα τοῖς κόραξιν ὅμοιον εἶναι πρὸς αὐτοὺς πορευθῆναι· ἡττον, ἑαυτὸν ἤλειφεν. — Ἔργα νέων, βουλαὶ δὲ μέσων, πορδαὶ δὲ γερόντων· τὸ δὲ λέγειν εὐχαὶ γερόντων κρεῖττον καὶ εὐφημότερον. — Ἐρρέτω φίλος σὺν ἐχθρῷ· ἐπὶ τῶν δι' ἐχθρὸν καὶ φίλους βλαπτόντων. — Ἐρρίφθω κύβος. ἐπὶ τῶν διακινδυνευόντων. — Ἔργον ὄνον ἀποτρίψει κνώμενον· ἐπὶ τῶν ἀπάγειν τινὰς βουλομένων ἀφ' ὧν φιλοῦσιν ἔργων. — Ἐρεβίνθινος ζωμός· ἐπὶ τῶν εὐτελῶν καὶ μηδενὸς ἀξίων. — Ἐρετρικὸς κατάλογος· ἐπὶ τῶν σφόδρα πλουσίων.

hoc unum omnia diversa offert: Ἐρρέτω μέλαινα ὑπώρα, παντὶ γὰρ χαρίζεται· ἐπὶ τῶν ῥᾳδίως τυγχανόντων καὶ ἀποσκορακιζόντων αὐτὺ τὸ ῥᾳδίως τυγχάνειν· κυρίως ἐπὶ μάχλων γυναικῶν. — Ἔρρει τὰ καλὰ, Μίνδαρος ἀπέσσυα· ἐπὶ τῶν κακόν τι γεγονὸς βουλομένων συντόμως δηλῶσαι. — Ἑρμῆν μήτ' ἀλείψῃς, μήτ' ἀπαλείψῃς· ἐπὶ τῶν διὰ προσποιητῆς χάριτος ἀφαιρουμένων τι μᾶλλον ἢ διδόντων· ἐν βαλανείῳ γάρ τινι Ἑρμῆς ἦν ἱδρυμένος, ὃν οἱ πολλοὶ τῶν λουομένων ἤλειφον, πένης δέ τις, προφάσει τοῦ ἀλείφειν ἐκεῖνον,

3) Theocr. Id. XX. 2.

1) Apost. Cent. IX. 16.

τηθέντα δὲ πάλιν εἰς τοὺς κολοιοὺς ὑποστρέψαι· τοὺς δὲ ἀγαναχτήσαντας παίειν αὐτὸν, λέγοντας, φεῦγ᾽ ἐς κόρακας· Ἀριστείδης δὲ ἀποδίδωσι διὰ τὸ ἐν τραχέσι [2] τόποις καὶ κρημνώδεσι νεοσσοποιεῖσθαι λέγειν ἡμᾶς, φεῦγ᾽ ἐς κόρακας, ἤγουν εἰς σκότος, εἰς ὄλεθρον.

Ἔστι [3] καὶ σιγῆς ἀκίνδυνον γέρας.

Ἐσκιμαλίχθαι [4] σε χρή· ἐπὶ τῶν ἀξίων ὕβρεως· σκιμαλίσαι δὲ λέγεται, ὅταν βουλόμενοι ἐνυβρίσαι τινὰ τὸν μέσον δάκτυλον ἐντείναντες καὶ τοὺς λοιποὺς συνάγοντες ἐνδείξωσιν αὐτῷ, κυρίως δὲ λέγεται τὸ τὸν δάκτυλον εἰς τὸν πρωκτὸν τοῦ ὀρνέου βαλεῖν.

Ἔσο [5] καὶ λέων ὅπη χρὴ, καὶ πίθηκος ἐν μέρει· ἐπὶ τοῦ πρὸς τὰ πράγματα μεταβαλλομένου καλῶς.

Ἑστίᾳ [6] θύειν· οἱ γὰρ Ἑστίᾳ θύοντες οὐδὲν ἐξέφερον τῆς θυσίας· ὁμοία τῇ· αὐτῷ κανῷ κατέφαγες πάντα.

Ἔσχατα [7] ἐσχάτων κακὰ διαπέπρακται· ὁμοία ἐστὶ τῇ δεινότερα Δεινίου, καὶ κύντερα Κύντωνος [8]· ἐπὶ τῶν ἄκρως κακῶν.

2) Mosc. *ἐντρεχέσι.*

3) Apost. Cent. IX. 17. Athenodoro tribuit hanc sententiam Stob. T. 33. 5. Simonidi Schol. Aristidis ad Or. *ὑπὲρ τῶν τεττ.* p. 143. Sopater *ζητήσεις.* p. 377. ed. Ald. *οὕτως ἀκίνδυνον γέρας παλαιὸς λόγος κηρύττει τὴν σιωπήν.* Notum est Horatianum illud: est et fideli tuta silentio merces. Cfr. Potter ad Clem. Al. Paedagog. II. 7. p. 205. Wyttenb. Animadv. ad Julian. Or. I. p. 5. B. Lobek ad Aglaoph. I. p. 67.

4) Apost. Cent. IX. 18.

5) Apost. Cent. IX. 19. Consentit Macar.

6) Apost. Cent. IX. 21.

7) Apost. Cent. IX. 22. Aristid. *ὑπὲρ τῶν τεσσ.* p. 196. *ἔσχατα ἐσχάτων πράττοντας, καὶ πρῶτα καὶ τελευταῖα κινδυνεύοντας.*

8) Simili modo Julian. ad Heraclium Cynicum Or. VII. init. *ἔμελλον δὲ ἐκεῖνο πρὸς ἐμαυτὸν εἰπεῖν.*

Τέτλαθι δὴ κραδίη, καὶ κύντερον ἄλλο ποτ᾽ ἔτλης·
(Od. V. 18.)
ἀνάσχου κυνὸς ληροῦντος ὀλίγον ἡμέρας μόριον.

Ἔσχατος [9] Μυσῶν πλεῖν· Ἕλλησι λοιμῷ κρατουμένοις ὁ θεὸς ἔχρησεν ἐπὶ τὸν ἔσχατον Μυσῶν πλεῖν, οἱ δὲ τὸ μὲν πρῶτον ἠπόρουν· αὖθις δὲ τὴν Αἰολίδα παρὰ τοῖς ἐσχάτοις τῆς Μυσίας εὗρον· ἔνιοι τὴν παροιμίαν χρησμὸν λέγουσι Τηλέφῳ μαντευομένῳ γεγονέναι περὶ [10] γονέων, ἐπὶ τίνας τόπους ἐλθὼν εὕροι τοὺς γονέας· τὸν δὲ θεὸν προστάξαι, πλεῖν ἐπὶ τὸν ἔσχατον Μυσῶν· ἀφικόμενον δὲ εἰς Τευθρανίαν [11], νέμεσθαι γὰρ ταῦτα τὰ χωρία τοὺς Μυσοὺς, ἐπιτυχεῖν τῇ μητρὶ αὐτοῦ· τάσσεται δὲ ἡ παροιμία ἐπὶ τῶν δυσχερῇ ἐπιτασσομένων.

Ἔστω δέ σοι καὶ αἰσχρὸν εἰπεῖν τὸ αἰσχρόν.

Ἔστω ταμίας, τὰ δ' ἄλλ' εἰ βούλει κύων· ἐπὶ τῶν παρ' ἀξίαν εὐημερούντων, καὶ μάλιστα εὐνούχων.

Τὸ ε μετὰ τοῦ τ.

Ἑτερόγναθος εἶ [1]· ἐπὶ τῶν ἐπ' ἀπληστίᾳ ἀμφοτέραις ταῖς γνάθοις ἐσθιόντων· οἱ δὲ ἐπὶ τῶν ἀπειθῶν ἵππων.

9) Apost. Cent. IX. 22. Apogr. Dresd. verba ab *Ἕλλησι — πλεῖν* omisit. Cfr. Plat. Theaet. p. 209. B. *αὕτη οὖν ἡ διάνοια ἔσθ' ὅ τι μᾶλλον ποιήσει με Θεαίτητον ἢ Θεόδωρον διανοεῖσθαι, ἢ, τὸ λεγόμενον, Μυσῶν τὸν ἔσχατον.*

10) Apogr. Dresd. *παρά.*

11) Mosc. *τε θρακίαν.*

1) Apost. Cent. IX. 24. Hesych. *σκληρόστομος, ἀπειθὴς ἐπὶ τῶν ἵππων*, respiciens sine dubio ad Xen. Equ. I. 9. Altera interpretatio, *ἀμφοτέραις γνάθοις ἐσθίων* minus recta videtur. Quamvis enim *Γνάθων* frequens parasitorum nomen sit apud Alciphronem (Lucian. Tim. c. 45. *Γναθωνίδης ὁ κόλαξ*), et ab hac parte nihil obstet huic explicationi, tamen analogiae aliorum compositorum cum *ἕτερος*, ut *ἑτερόφθαλμος*, Plut. Lucull. c. 12. de Educ. c. 14. *χιτὼν ἑτερομάσχαλος* opp. *ἀμφιμάσχαλος* (cfr. Millingen Vases gr. p. 11.) suadet interpretari: *ἑτέρᾳ τῇ γνάθῳ ἐσθίων.*

Ἑτερομόλιος δίκη [2] *εἰς ἣν οἱ ἀντίδικοι οὐκ εἰσῆλθον.*

Ἕτρεχέ τις [3] *μὴ βρεχθείη καὶ εἰς βόθρον ἀπεπνίγη· ἐπὶ τῶν μικρὰ φευγόντων κακὰ καὶ περιπιπτόντων μείζοσι.*

Ἐς χοιρίδιόν μοι νῦν δάνεισον τρεῖς δραχμὰς,
Δεῖ γὰρ μυηθῆναί με, πρὶν τεθνηκέναι·

Ἀριστοφάνους. Οἱ μυούμενοι γὰρ εἰώθεσαν χοῖρον θυσιάζειν.

Τὸ ε μετὰ τοῦ υ.

Εὐγενέστερος [4] *Κόδρου, τοῦ υἱοῦ Μελάνθου τοῦ Μεσσηνίου, πατρὸς δὲ Μέδοντος καὶ Νηλέως· οὗτος ὁ Κόδρος Δωριέων ἐπιστρατευσάντων Ἀθηναίοις, ἐπεὶ τοὺς ἐκ Πελοποννήσου* [5] *φυγάδας προσεδέξατο, ἐν οἷς καὶ Μέλανθον, χρησμοῦ δὲ αὐτοῖς δοθέντος αἱρήσειν τὴν πόλιν, ἐὰν ἀπόσχωνται τοῦ τῶν πολεμίων βασιλέως, νοήσας τὸν χρησμὸν, ἀναλαβὼν ὑλοτόμου ἐσθῆτα, καὶ ἐντυχὼν τοῖς φύλαξι τῶν Δωριέων, ἕνα ἐξ αὐτῶν ἀνεῖλε· διοργισθέντες δὲ οἱ λοιποὶ συλλαβόντες αὐτὸν ἀνεῖλον, ὡς Εὔδημος.*

Εὐδαίμων γε Κόρινθος, ἐγὼ δ' εἴην Τεγεάτης.

Εὐδαίμων μὲν ὁ μηδενὶ μηδὲν ὀφείλων.

Εἶτα δ' ὁ μὴ γήμας, τὸ τρίτον ὅστις ἅπαις.

Εὐμεταβολώτερος [6] *κοθούρνου· κόθορνος ὑπόδημα ἁρμόζον δεξιῷ τε καὶ εὐωνύμῳ ποδί· ὅθεν καὶ Θηρα-*

2) Apost. Cent. IX. 25.

3) Apost. Cent. IX. 26.

4) Apost. Cent. IX. 27. Macar. *εὐγενέστερος, Κόδρου· ἐπὶ τῶν πάνυ εὐγενῶν.* Lucian. Timon c. 23. *ὀμνύουσιν, ἢ μὴν εὐμορφότερον μὲν Νιρέως εἶναι αὐτὸν, εὐγενέστερον δὲ τοῦ Κέκροπος ἢ Κόδρου.* Dial. Mort. IX. 4. *Κόδρου δὲ εὐγενέστερος, καὶ Νιρέως καλλίων, καὶ Ὀδυσσέως συνετώτερος λεγόμενος εἶναι.*

5) Apogr. Dresd. *εἰς Πελοποννήσου.*

6) Apost. Cent. IX. 29. Macar. *εὐμεταβολώτερος κοθούρνου ἢ εὐρίπου, ἐπὶ τῶν εὐμεταβόλων καὶ εὐμεταθέτων.* Xenoph. Hellen. II. 3, 31. de Theramene *ὅθεν δήπου γὰρ καὶ κόθορνος*

μένην τὸν ἐπὶ τῶν τριάκοντα κόθορνον ἐκάλουν οἱ Ἀθηναῖοι· ἐπὶ τῶν μετατρεπομένων οὖν συνεχῶς ἡ παροιμία.

Εὐδαιμονίας[7] τοῦτ᾽ ἐστὶν, υἱὸς νοῦν ἔχων. Μενάνδρου.

Εὔδοντι[8] κύρτος αἱρεῖ· ἐπὶ τῶν εὐτυχούντων· συμβαίνει γὰρ κοιμωμένων τῶν ἁλιέων τὸν κύρτον αἱρεῖν ἰχθύας.

Εὐήθει[9] δάκτυλον μὴ δείξῃς, ἵνα μὴ καὶ τὴν παλάμην σου καταπίῃ· ὅτι οὐ χρὴ θάρρος διδόναι τοῖς ἀνοήτοις.

Εὔχου[10] τῷ πλησίον ἔχειν, ἐπὶ πλέον δὲ τῇ χύτρᾳ· παρόσον τὸ οἴκοι ἔχειν βέλτιον τοῦ παρὰ τοῦ γείτονος δέχεσθαι.

Εὐγενὴς[11] ἐκ βαλαντίου· ἐπὶ τῶν διὰ πλοῦτον εὐγενῶν εἶναι δοκούντων.

Εὕρηκα[12] ὃ οὐκ ἐζήτουν· ἐπὶ τῶν οἷς οὐκ ἤθελον περιπεσόντων.

Εὐτέλεια σωφροσύνης ἔκγονος.

Εὐρυκλῆς[13] πᾶς ἐγγαστρίμυθος· ἀπὸ Εὐρυκλέους τοιούτου τινὸς μάντεως πολυλόγου.

ἐπικαλεῖται (καὶ γὰρ ὁ κόθορνος ἁρμόττειν μὲν τοῖς ποσὶν ἀμφοτέροις δοκεῖ ἀποβλέπει δ᾽ ἐπ᾽ ἀμφότερον. Coll. §. 47. Plut. Nic. c. 2. διὰ τὸ μὴ μόνιμον ἀλλὰ καὶ ἐπαμφοτερίζον ἀεὶ τῇ προαιρέσει τῆς πολιτείας ἐπεκλήθη κόθορνος. Lucian. Pseudol. c. 16. καὶ ὁ μὲν Κόθορνόν τινα εἶπεν, εἰκάσας αὐτοῦ τὸν βίον, ἀμφίβολον ὄντα, τοῖς τοιούτοις ὑποδήμασιν. Cfr. Aristoph. Ran. 538. τὸ δὲ μεταστρέφεσθαι πρὸς τὸ μαλθακώτερον δεξιοῦ πρὸς ἀνδρός ἐστι καὶ φύσει Θηραμένους, ubi Interpr. Doxopater in homiliis in Aphthonii progymnasmata: ὅστις μὲν γὰρ οἰδε τὸ συμβουλεύειν, μὴ μέντοιγε καὶ τὸ δικάζεσθαι καὶ τὸ παρηγορίζειν, οὕτως ῥήτωρ ἐστὶν, ὥσπερ καὶ Θηραμένης· ὁ καὶ κόθορνος ἐπονομασθεὶς, ἤτοι ἀπὸ τοῦ ἐπιτηδείως ἔχειν πρὸς τὸ προτρέπειν καὶ ἀποτρέπειν τῆς τοιαύτης τυχὼν προσηγορίας, ἢ διὰ τὸ πρὸς ἀλήθειαν καὶ ψεῦδος ἑτοιμότατος εἶναι ἀπὸ μεταφορᾶς τοῦ ὑποδήματος τοῦ ἀμφοτέροις ἁρμόζοντος τοῖς ποσίν· οὗτος γὰρ ὁ Θηραμένης συμβουλεύειν μόνον εἰδὼς ῥήτωρ καὶ αὐτὸς ἦκουεν.

7) Stob. T. 77. 4.

8) Apost. Cent. IX. 50.

9) Apost. Cent. IX. 51.

10) Apost. Cent. IX. 32.

11) Apost. Cent. IX. 36.

12) Apost. Cent. IX. 54. Mosc. οὐκ om.

13) Apost. Cent. IX. 55.

Εὔανδρος [14] *εὗρε κνημῖδα καὶ ἀσπίδα.*

Εὐρύδαμος ὁ Μεσσήνιος [15] *εὗρε θώρακα πολεμικόν.*

Εὐρύβατος [16], *ἤτοι πονηρός· ἀπὸ τοῦ πεμφθέντος ὑπὸ Κροίσου ἐπὶ ξενολογίαν μετὰ χρημάτων, ὡς φησιν Ἔφορος* [17], *εἶτα μεταβαλλομένου πρὸς Κῦρον· ἦν δὲ Ἐφέσιος· οἱ δὲ τὸν Κέρκωπα τὸν ἕτερον· Διότιμος Ἡρακλέους ἐν Ἄθλοις·*

Κέρκωπές τοι πολλὰ κατὰ τριόδους πατέοντες
Βοιωτῶν σίνοντο· γένος δ' ἔσαν οἵδε χαλῆες [18]
Ὦλος τ' Εὐρύβατός τε [19] *δύο βαρυδαίμονε ἄνδρε.*

Νίκανδρος· Αἰγίνεον Εὐρύβατον πανουργότατον· οὗ μνημονεύει Ἀριστοτέλης ἐν πρώτῃ περὶ δικαιοσύνης· Δοῦρις ἐν τετάρτῳ περὶ [20] *Ἀγαθοκλέα, ἀπὸ τοῦ Ὀδυσσέως ἑταίρου· λέγεται δὲ τὸν Εὐρύβατον κλέπτην ὄντα, εἱρχθέντα καὶ παραφυλαττόμενον, ἐπειδὴ συμπίνοντες εἷλον αὐτὸν οἱ φυλάττοντες ἐκέλευσεν ἐπιδείξασθαι τὴν ἐπὶ τοὺς τοίχους ἀναρρίχησιν, καὶ* [21] *μὲν πρῶτον διωθεῖσθαι· δεομένων δὲ, ὡς οὐ βουλόμενον, ἐπεὶ μόλις ἀνέπεισαν, περιθέμενος τοὺς σπόγγους, καὶ τὰς ἐγκεντρίδας, ἀναδραμεῖν εἰς τοὺς τοίχους· ἀναβλέποντες δὲ ἐκεῖνοι καὶ θαυμάζοντες τὰς τέχνας λαβεῖν αὐτὸν τὸν ὄροφον καὶ ὑπερβαλόντα, πρὶν ἐκεῖνοι κύκλῳ περιέλθωσι, διὰ τοῦ τέγους καταπατῆσαι.*

Plat. Soph. p. 252. c. *ἀλλὰ τὸ λεγόμενον οἴκοθεν τὸν πολέμιον καὶ ἐναντιωσόμενον ἔχοντες ἐντὸς ὑποφθεγγόμενον ὥσπερ τὸν ἄτοπον Εὐρυκλέα περιφέροντες ἀεὶ πορεύονται.* ubi Heind. Aristid. Or. IV. p. 30. *ἀκριβέστερον Εὐρυκλέους τἄνδοθεν καταλαμβάνων.*

14) Laurent. hoc et sq. inter apophthegmata retulit.

15) Codd. *Μεσήνιος.*

16) Apost. Cent. IX. 55. Theon. Progymn. c. VII. *καὶ εἴ που τις Εὐρυβάτου ψόγος.* ubi vide notam.

17) Apogr. Dresd. *Εὔφορος.*

18) Mosc. *ἦσαν οἵδε χαλκῆες.*

19) *Τε* omittit Mosc.

20) Mosc. *παρά.*

21) *Καὶ* Mosc. om. — Macar. addit: *Εὐριπίδειος ὅρκος· ἴσως τὰ κατὰ χινὸς καὶ κυνός. — Εὖ πρᾶττε, τὸ φίλων δ'*

Τὸ ε̄ μετὰ τοῦ φ̄.

Ἔφυγον [1] κακὸν, εὗρον ἄμεινον· ἐπὶ τῶν μεταβολὴν κρείττονα οἰωνιζομένων· ὅτε τὴν ἀγρίαν καὶ παλαιὰν δίαιταν ἔφυγον, εὗρον δὲ τὴν ἥμερον τροφὴν, τοῦτο ἔλεγον· τὸ γὰρ ἐκ τῶν δρυῶν καὶ ἀκανθῶν πέμμα κακόν. Νόμος ἦν Ἀθήνησιν, ἀμφιθαλῆ παῖδα ἐστεμμένον ἀκάνθαις μετὰ δρυΐνων καρπῶν λίκνον [2] βαστάζοντα ἄρτων πλέων, τοῦτο λέγειν, αἰνισσόμενον τὴν ἐπὶ τὸ κρεῖττον μεταβολήν.

Ἐφέσια γράμματα [3]· ἐπῳδαί τινες ἦσαν, ἅπερ οἱ φωνοῦντες ἐνίκων ἐν παντί· ταὐτὸν τῇ· δαφνίνην φορῶ βακτηρίαν· ὁ δὲ Διογενιανὸς, λέγεταί, φησιν ἐπὶ τῶν ἀνεπίγνωστα λεγόντων· παρόσον ὑπὸ τοῖς ποσὶ τῆς Ἐφεσίας Ἀρτέμιδος τὰ γεγραμμένα ἀσύνετα.

Ἐφόδιον [4] τῆς ἀσιτίας τὴν ἀπεψίαν ἔχουσι· Πλουτάρχου ἐκ τῶν ὑγιεινῶν ἀποφθεγμάτων, ἐπὶ τῶν φειδωλῶν.

Ἐφ' ὕδωρ [5]· ἐν ταῖς δίκαις ὁ ἐπιμεληθόμενός τινος ἐλάλει πρὸς ὕδωρ.

Ἐφ' ἑνὶ παιδὶ σαλεύει [6]· ἤτοι ἔχει τὰς ἐλπίδας τοῦ γένους· λέγεται καὶ ἐπὶ πλοίων· ὡς Δίων ἐν Ῥωμαϊ-

οὐδὲν, εἰ σὺ δυστυχῆς· τοῦτο Εὐριπίδου ἐστὶ Φοινισσῶν.

1) Apost. Cent. IX. 37.

2) Mosc. λείκνον — ἄρτων πλέον.

3) Apost. Cent. IX. 39. Macar. ἐπὶ τῶν ἀσύνετα λεγόντων. Cfr. Clem. Strom. I. 15. p. 360. 20. εἰς οὓς (sc. δακτύλους Ἰδαίους) ἥτε τῶν Ἐφεσίων λεγομένων γραμμάτων, καὶ ἡ τῶν κατὰ μουσικὴν εὑρεοις ῥυθμῶν ἀναφέρεται. Qualia sint, idem refert V. 9. p. 672. 15. — — σημαίνειν δὲ Δάκτιον μὲν τὸ σκότος, μὴ γὰρ ἔχειν τοῦτο σκιάς· φῶς δὲ Κατάδκιον, ἐπεὶ καταυγάζει τὴν σκιάν. Δίξ τέ ἐστιν ἡ γῆ κατὰ ἀρχαίαν ἐπωνυμίαν· καὶ Τετρὰς ὁ ἐνιαυτὸς, διὰ τὰς ὥρας, κ. τ. λ. Cfr. Wyttenb. ad Plut. de sent. prof. in virt. p. 85. B.

4) Apost. Cent. IX. 38. Pro ἀσιτίας apud Plut. p. 125. E. legitur ἀπληστίας.

5) Apost. Cent. IX. 40.

6) Apost. Cent. IX. 42. Cfr. Epist. Hippocrat. Vol. III. p. 845. ed. Kuhn. καὶ τοῦτο ἐλάχιστον τῶν μελλόντων ῥηθήσε-

κυῖς· ὀλίγα μὲν γὰρ καὶ τὰ κουφότατα τῶν πλοίων πρὸς τῇ γῇ ὥρμει· τὰ δὲ διὴ πλείω καὶ μείζω μετέωρα διὰ τὰ τενάγη ἐπεσάλευεν.

Ἐφημέρου ζωή [7]· ἐπὶ τῶν ὠκυμόρων ἢ καὶ αὐθημερὸν θνησκόντων· ἔστι ζῶα ἐφήμερα οὕτω καλούμενα, λαβόντα τὸ ὄνομα ἐκ τοῦ μέτρου τοῦ κατὰ τὸν βίον· τίκτεται γὰρ ἐν τῷ οἴνῳ, καὶ ἀνοιχθέντος τοῦ σκεύους τά δε ἐξέπτη καὶ εἶδε τὸ φῶς καὶ τέθνηκεν· οὐκοῦν παρελθεῖν μὲν αὐτοῖς εἰς τὸν βίον ἔδωκεν ἡ φύσις, τῶν δὲ ἐν αὐτῷ κακῶν ἐρύσατο τὴν ταχίστην, μήτε τῶν ἰδίων συμφορῶν ᾐσθημένοις, μήτε μήν τινος τῶν ἀλλοτρίων μάρτυσι γεγενημένοις [8]· ἔστι καὶ ἄλλο ζῶον μονήμερον λεγόμενον περὶ τὸν Ὕπανιν ποταμὸν, τικτόμενον μὲν ἅμα τῷ κνέφᾳ, ἀποθνῆσκον δὲ ἐπὶ δυσμὰς ἡλίου τρεπομένου, ὡς Ἀριστοτέλης [9] φησί.

σθαι· προείλετο γὰρ μᾶλλον ὁ πατὴρ ἐν ἐμοὶ τῷ υἱεῖ καὶ ἐν γῇ ὀθνείᾳ σαλεύειν, καὶ κατὰ θάλασσαν, καὶ κατὰ κινδύνους, καὶ κατὰ ἀῤῥωστίας. Heliod. I. 19. πρὸς δευτέρους ἀπεκλίνετο γάμους, ἐπὶ μόνῳ μοι παιδὶ σαλεύειν ἐπιμεμφόμενος. I. 13. πάντα τὸν βίον ἐπὶ τούτῳ τὸν ἐμὸν ἐσάλευον. II. 33. καὶ ἔστι νῦν ἡ παῖς ἐνταῦθα σὺν ἐμοὶ, καὶ οὔνομα τοὐμὸν ὀνομαζομένη· σαλεύω γὰρ ἐπ᾽ αὐτῇ τὸν βίον.

7) Apost. Cent. IX. 41.

8) Apost. habet: ᾐσθημένα, μήτε μήν τινος τῶν ἀλλοτρίων μάρτυσι γεγενημένα· unde elucet, Apostolium dativos ᾐσθημένοις, γεγενημένοις verbo ἐρύσατο accommodasse, sed cum in μάρτυσι haesisset, hoc intactum reliquisse. Censeo igitur, autorem, quasi scripsisset: παρελθεῖν μὲν αὐτοῖς εἰς τὸν βίον ἔδωκεν ἡ φύσις, τῶν δὲ ἐν αὐτῷ (ita scripsi pro αὐτοῖς, quod Apost. et Arsen. habent) κακῶν ἐκλύεσθαι τὴν ταχίστην, continuasse orationem, μήτε — ᾐσθημένοις etc. Constructionem interdum, alia διὰ μέσου posita, suspendi constat. Eurip. Jon. 700. νῦν δ᾽ ἡ μὲν ἔῤῥει συμφοραῖς, ὁ δ᾽ εὐτυχεῖ. πολιὸν εἰσπεσοῦσα γῆρας. Cfr. Lobek ad Soph. Aj. p. 294. Eodem modo locum Achillis Tatii V. 11. a Fr. Jacobsio in suspicionem vocatum: Σώστρατός μοι Λευκίππην ἐκδίδωσι καί μοι γάμος ἐκ μέσου πολέμου πέμπεται, μετρήσας ἀκριβῶς τὰς ἡμέρας defendi posse puto. Coll. ibid. VII. 16. fine.

9) Arist. Hist. Animal. V. 19. Cfr. Plut. Consolat. ad Apollon. p. 111. C. ἐπεὶ καὶ τῶν ζώων ἐκείνων, ἅπερ ἱστοροῦσι περὶ τὸν πόντον γινόμενα, τὴν ζωὴν ἔχειν ἡμερησίαν etc., ubi videndus Wyttenb.

Ἐφ᾽ [10] *ἑαυτῆς τὰ κέρατα· ἐπὶ τῶν ἐπιβουλὰς ἐκ τῶν οἰκείων ὑφισταμένων· αἶγα γάρ φησι τοξευθεῖσαν καὶ ἰδοῦσαν τὸ τόξον τοῦτο εἰπεῖν.*

Τὸ ε̄ μετὰ τοῦ χ̄.

Ἔχει [1] *καὶ ἡ μυῖα σπλῆνα· ἔχει καὶ χολὴν ὁ μύρμηξ· ἐπὶ τῶν εὐκαταφρονήτων.*

Ἔχῖνος [2] *τὸν τόκον ἀναβάλλει· λέγεται ἐφ᾽ ὧν τὸ ἀναβάλλεσθαι πρὸς χεῖρον γίνεται· καὶ γὰρ οἱ χερσαῖοι ἐχῖνοι δοκοῦσι κεντούμενοι ἀνέχειν τὸν τόκον· εἶθ᾽ ὕστερον ὑπὸ τραχυτέρων τῶν ἐμβρύων κάκιον ἀπαλλάσσειν ἐν τῷ τόκῳ. — Ὁ χερσαῖος ἐχῖνος, ὅταν ἁλίσκεται, παραχρῆμα ἐνούρησε τῷ δέρματι, καὶ ἀχρεῖον ἀπέφηνεν αὐτό· δοκεῖ δὲ εἰς πολλὰ ἐπιτήδειον. — Ὁ χερσαῖος ἐχῖνος μέλλων ἁλίσκεσθαι ἑαυτὸν συνειλήσας ἄληπτον ἐργάζεται· εἶτα μέντοι καὶ πιέζει τὸ πνεῦμα καὶ ἀκίνητος ἀτρεμεῖ καὶ τὸν τεθνεῶτα ὑποκρίνεται.*

Ἐχθροῖς ἀπιστῶν οὔποτ᾽ ἂν πάθοις βλάβην.

Ἔχομεν [3] *σύμμαχον θεὸν Ἥφαιστον· ἐπὶ τῶν ἐλπιζόντων πυρὶ νικῆσαι τοὺς πολεμίους.*

Ἔχομεν [4] *κύνα τῷ πτωκὶ βοηθοῦντα· ἐπὶ τῶν τοῖς οἰκείοις θαῤῥούντων· ὑπ᾽ ἐκείνων δὲ ἐπιβουλευομένων.*

10) Apost. Cent. IX. 43.

1) Apost. Cent. IX. 48.

2) Apost. Cent. IX. 44. pluribus interpositis cetera, quae de erinaceo afferuntur, in unum jungit. — De terrestri echino vide Ael. H. A. IV. 17. et VI. 45. Macar. *ἐχῖνος τὸν τόκον ἀναβάλλεται· ἐπὶ τῶν διὰ τὸ ἀναβάλλεσθαι κακῶς ἀπαλλαττόντων· οἱ γὰρ ἐχῖνοι δοκοῦσι κεντούμενοι ἀνέχειν τὸν τόκον, εἶθ᾽ ὕστερον παχυτέρων γινομένων τῶν ἀκανθῶν ἀπὸ τοῦ ἐμβρύου χεῖρον ἀπαλλάττειν ἐν τῷ τόκῳ.* Praecedit apud eundem: *Ἐχῖνος ἐν χειμῶνι· ἐπὶ τῶν παρ᾽ ὥραν φαινομένων ἢ πραττομένων.*

3) Apost. Cent. IX. 46.

4) Apost. Cent. IX. 47. *πτωχῷ*, sed *πτωκὶ* in edito se reperisse testatur Pantinus.

Ἔχειν [5] τε πειρῶ, τοῦτο γὰρ τοῦτ᾽ εὐγενὲς,
Καὶ τοὺς γάμους δίδωσι τοὺς πρώτους ἔχειν.
Ἐν τῷ πένεσθαι δ᾽ ἐστὶν ἥ τ᾽ ἀδοξία,
Κἂν ᾖ σοφός τις, ἥ τ᾽ ἀτιμία βίου. Εὐριπίδου.

Ἔχεις [6] μὲν ἀλγεῖν᾽, οἶδα, πειρᾶσθαι δὲ χρὴ,
Ὡς ῥᾷστα τἀναγκαῖα τοῦ βίου φέρειν. Τοῦ αὐτοῦ.

Ἐχρῆν [7] μὲν ἡμᾶς σύλλογον ποιουμένους
Τὸν ζῶντα θρηνεῖν, εἰς ὅσ᾽ ἔρχεται κακά·
Τὸν δ᾽ αὖ θανόντα καὶ πόνων πεπαυμένον
Χαίροντας εὐφημοῦντας ἐκπέμπειν δόμων. Σο-
φοκλέους.
Ἐχθρὸς γάρ μοι κεῖνος ὁμῶς Ἀΐδαο πύλῃσιν,
Ὅς χ᾽ ἕτερον μὲν κεύθῃ ἐνὶ [8] φρεσὶν, ἄλλο δὲ εἴ-
πῃ. Ὁμήρου.

Εὐσεβίου [9].

Ἐχθρὸς ταλῃθῆ εἰπὼν τοῦ πρὸς χάριν φίλου ἐστὶ παντὸς αἱρετώτερος.

Τὸ ε̄ μετὰ τοῦ ψ̄.

Ἔψεσθαί [10] σοι πειρᾷ λίθον· ἐπὶ τῶν ἀδυνάτοις ἐπιχειρούντων.

5) Stob. T. 91. 22. ex Euripidis Erechtheo.

6) Stob. T. 108. 21. *Σοφοκλῆς Θυέστῃ.*

7) Stob. T. 120. 22. Cfr. Wyttenb. ad Plut. de aud. poët. p. 36. F.

8) Mosc. *Ὡς χ᾽ ἕτερον μὲν κεύθει ἐν φρ.* — Ex Il. *O.* 251.

9) Stob. T. 13. 45. *τοῦ προσποιουμένου φίλου πρὸς χάριν εἰπόντος παντὸς αἱρετώτερος.* Macar. addit: *Ἐχθρὸς, κἂν χρηστὰ ποιήσει, κακά ἐστιν. Ἐχίδνης καρδίαν ἐδήδοκεν· ἐπὶ τῶν ὀργίλων καὶ χαλεπῶν. Ἔχεται δ᾽ ὥσπερ πολύπους πέτρας· ἐπὶ τῶν ὀχυροῦ τινος ἐχομένων ἐπὶ σωτηρίᾳ.*

10) Apost. Cent. IX. 49. Mosc. *ἀδυνάτων.* Vide infra sub *λίθον ἕψεις.*

ΑΠΟΦΘΕΓΜΑΤΑ.

Ἐμπεδοκλῆς [1] Μέτωνος ὁ φυσικὸς πρὸς τὸν λέγοντα ὅτι οὐδένα σοφὸν εὑρεῖν δύναμαι κατὰ λόγον, εἶπε, τὸν γὰρ ζητοῦντα σοφὸν αὐτὸν πρότερον εἶναι δεῖ σοφόν.

Ὁ αὐτὸς ἐρωτηθεὶς, διατί σφόδρα ἀγανακτεῖς κακῶς ἀκούων, ἔφη, ὅτι οὐδὲ ἐπαινούμενος ἡσθήσομαι [2], εἰ μὴ κακῶς ἀκούων ἀχθήσομαι.

Ὁ αὐτὸς εἶπεν [3], Ἀκραγαντῖνοι τρυφῶσι μὲν, ὡς αὔριον ἀποθανούμενοι, οἰκίας δὲ κατασκευάζονται, ὡς πάντα τὸν χρόνον βιωσόμενοι.

Ὁ αὐτὸς [4] ἐτησίων ποτὲ σφοδρῶς πνευσάντων, ὡς τοὺς καρποὺς λυμῆναι, κελεύσας ὄνους ἐκδαρῆναι καὶ ἀσκοὺς ποιῆσαι, περὶ τοὺς λόφους καὶ τὰς ἀκρωρείας διέτεινε πρὸς τὸ συλλαβεῖν τὸ πνεῦμα, λήξαντος δὲ κωλυσαμένας ἐκλήθη.

* Ἀνεμοκοῖται δὲ γένος ἐν Κορίνθῳ οἱ ἀνέμους κοιμίζοντες, εἰς ὅπερ δεξιῶς λέγεται διακεῖσθαι καὶ Ἐμπεδοκλῆς, οὗ καὶ ἡ εἰς αὐτὸ τέχνη ἱστόρηται.

* Ἐμπεδοκλῆς καὶ δίκας φησὶ διδόναι τοὺς δαίμονας, ὧν ἐξαμάρτωσι καὶ πλημμελήσωσιν.

Αἰθέριον μὲν γάρ σφε μένος πόντονδε διώκει,
Πόντος δ᾽ ἐς χθονὸς οὖδας ἀπέπτυσε, γαῖα δ᾽ ἐς αὖθις
Ἠελίου ἀκάμαντος, ὁ δ᾽ αἰθέρος ἔμβαλε δίναις.
Ἄλλος δ᾽ ἐξ ἄλλου δέχεται, στυγέουσι δὲ πάντες.

Ἄχρις οὗ κολασθέντες οὕτω καὶ καθαρθέντες αὖθις τὴν κατὰ φύσιν χώραν καὶ τάξιν ἀπολάβωσιν.

Ἐμπεδοκλεῖ [5] τῷ Μέτωνος τάδε δοκεῖ· στοιχεῖα μὲν

1) Laur. Ἐμπεδοκλέους Μέτωνος τοῦ φυσικοῦ, τοῦ Ἀκραγαντίνου. Inc. Ἐμπεδοκλῆς ἐρωτηθεὶς, διατί σφόδρα etc.

2) Laur. et impress. αἰσθήσομαι.

3) Diog. Laërt. VIII. segm. 65.

4) Diog. Laërt. VIII. segm. 60.

5) Segm. 76. — τῷ Μέτωνος.

τηθέντα δὲ πάλιν εἰς τοὺς κολοιοὺς ὑποστρέψαι· τοὺς δὲ ἀγαναχτήσαντας παίειν αὐτὸν, λέγοντας, φεῦγ' ἐς κόρακας· Ἀριστείδης δὲ ἀποδίδωσι διὰ τὸ ἐν τραχέσι [2] τόποις καὶ κρημνώδεσι νεοσσοποιεῖσθαι λέγειν ἡμᾶς, φεῦγ' ἐς κόρακας, ἤγουν εἰς σκότος, εἰς ὄλεθρον.

Ἔστι [3] καὶ σιγῆς ἀκίνδυνον γέρας.

Ἐσκιμαλίχθαι [4] σε χρή· ἐπὶ τῶν ἀξίων ὕβρεως· σκιμαλίσαι δὲ λέγεται, ὅταν βουλόμενοι ἐνυβρίσαι τινὰ τὸν μέσον δάκτυλον ἐντείναντες καὶ τοὺς λοιποὺς συνάγοντες ἐνδείξωσιν αὐτῷ, κυρίως δὲ λέγεται τὸ τὸν δάκτυλον εἰς τὸν πρωκτὸν τοῦ ὀρνέου βαλεῖν.

Ἔσο [5] καὶ λέων ὅπη χρὴ, καὶ πίθηκος ἐν μέρει· ἐπὶ τοῦ πρὸς τὰ πράγματα μεταβαλλομένου καλῶς.

Ἑστίᾳ [6] θύειν· οἱ γὰρ Ἑστίᾳ θύοντες οὐδὲν ἐξέφερον τῆς θυσίας· ὁμοία τῇ· αὐτῷ κανῷ κατέφαγες πάντα.

Ἔσχατα [7] ἐσχάτων κακὰ διαπέπρακται· ὁμοία ἐστὶ τῇ δεινότερα Δεινίου, καὶ κύντερα Κύντωνος [8]· ἐπὶ τῶν ἄκρως κακῶν.

2) Mosc. *ἐντρεχέσι.*

3) Apost. Cent. IX. 17. Athenodoro tribuit hanc sententiam Stob. T. 33. 5. Simonidi Schol. Aristidis ad Or. *ὑπὲρ τῶν τεττ.* p. 143. Sopater *ζητήσεις.* p. 377. ed. Ald. *οὕτως ἀκίνδυνον γέρας παλαιὸς λόγος κηρύττει τὴν σιωπήν.* Notum est Horatianum illud: est et fideli tuta silentio merces. Cfr. Potter ad Clem. Al. Paedagog. II. 7. p. 203. Wyttenb. Animadv. ad Julian. Or. I. p. 5. B. Lobek ad Aglaoph. I. p. 67.

4) Apost. Cent. IX. 18.

5) Apost. Cent. IX. 19. Consentit Macar.

6) Apost. Cent. IX. 21.

7) Apost. Cent. IX. 22. Aristid. *ὑπὲρ τῶν τεσσ.* p. 196. *ἔσχατα ἐσχάτων πράττοντας, καὶ πρῶτα καὶ τελευταῖα κινδυνεύοντας.*

8) Simili modo Julian. ad Heraclium Cynicum Or. VII. init. *ἔμελλον δὲ ἐκεῖνο πρὸς ἐμαυτὸν εἰπεῖν.*

Τέτλαθι δὴ κραδίη, καὶ κύντερον ἄλλο ποτ' ἔτλης·
(Od. V. 18.)
ἀνάσχου κυνὸς ληροῦντος ὀλίγον ἡμέρας μόριον.

"Εσχατος [9] Μυσῶν πλεῖν· "Ελλησι λοιμῷ κρατουμένοις ὁ θεὸς ἔχρησεν ἐπὶ τὸν ἔσχατον Μυσῶν πλεῖν, οἱ δὲ τὸ μὲν πρῶτον ἠπόρουν· αὖθις δὲ τὴν Αἰολίδα παρὰ τοῖς ἐσχάτοις τῆς Μυσίας εὗρον· ἔνιοι τὴν παροιμίαν χρησμὸν λέγουσι Τηλέφῳ μαντευομένῳ γεγονέναι περὶ [10] γονέων, ἐπὶ τίνας τόπους ἐλθὼν εὕροι τοὺς γονέας· τὸν δὲ θεὸν προστάξαι, πλεῖν ἐπὶ τὸν ἔσχατον Μυσῶν· ἀφικόμενον δὲ εἰς Τευθρανίαν [11], νέμεσθαι γὰρ ταῦτα τὰ χωρία τοὺς Μυσοὺς, ἐπιτυχεῖν τῇ μητρὶ αὐτοῦ· τάσσεται δὲ ἡ παροιμία ἐπὶ τῶν δυσχερῆ ἐπιτασσομένων.

"Εστω δέ σοι καὶ αἰσχρὸν εἰπεῖν τὸ αἰσχρόν.

"Εστω ταμίας, τὰ δ' ἄλλ' εἰ βούλει κύων· ἐπὶ τῶν παρ' ἀξίαν εὐημερούντων, καὶ μάλιστα εὐνούχων.

Τὸ ε μετὰ τοῦ τ.

Ἑτερόγναθος εἶ [1]· ἐπὶ τῶν ἐπ' ἀπληστίᾳ ἀμφοτέραις ταῖς γνάθοις ἐσθιόντων· οἱ δὲ ἐπὶ τῶν ἀπειθῶν ἵππων.

9) Apost. Cent. IX. 22. Apogr. Dresd. verba ab *Ἕλλησι — πλεῖν* omisit. Cfr. Plat. Theaet. p. 209. B. *αὕτη οὖν ἡ διάνοια ἔσθ' ὅ τι μᾶλλον ποιήσει με Θεαίτητον ἢ Θεόδωρον διανοεῖσθαι, ἢ, τὸ λεγόμενον, Μυσῶν τὸν ἔσχατον.*

10) Apogr. Dresd. *παρά.*

11) Mosc. *τε θρακίαν.*

1) Apost. Cent. IX. 24. Hesych. *σκληρόστομος, ἀπειθὴς ἐπὶ τῶν ἵππων*, respiciens sine dubio ad Xen. Equ. I. 9. Altera interpretatio, *ἀμφοτέραις γνάθοις ἐσθίων* minus recta videtur. Quamvis enim *Γνάθων* frequens parasitorum nomen sit apud Alciphronem (Lucian. Tim. c. 45. *Γναθωνίδης ὁ κόλαξ*), et ab hac parte nihil obstet huic explicationi, tamen analogiae aliorum compositorum cum *ἕτερος*, ut *ἑτερόφθαλμος*, Plut. Lucull. c. 12. de Educ. c. 14. *χιτὼν ἑτερομάσχαλος* opp. *ἀμφιμάσχαλος* (cfr. Millingen Vases gr. p. 11.) suadet interpretari: *ἑτέρᾳ τῇ γνάθῳ ἐσθίων.*

Ἑτερομόλιος δίκη [2] *εἰς ἣν οἱ ἀντίδικοι οὐκ εἰσῆλθον.*

Ἕτρεχέ τις [3] *μὴ βρεχθείη καὶ εἰς βόθρον ἀπεπνίγη· ἐπὶ τῶν μικρὰ φευγόντων κακὰ καὶ περιπιπτόντων μείζοσι.*

Ἐς χοιρίδιόν μοι νῦν δάνεισον τρεῖς δραχμὰς,
Δεῖ γὰρ μυηθῆναί με, πρὶν τεθνηκέναι·
Ἀριστοφάνους. Οἱ μυούμενοι γὰρ εἰώθεσαν χοῖρον θυσιάζειν.

Τὸ ε μετὰ τοῦ υ.

Εὐγενέστερος [4] *Κόδρου, τοῦ υἱοῦ Μελάνθου τοῦ Μεσσηνίου, πατρὸς δὲ Μέδοντος καὶ Νηλέως· οὗτος ὁ Κόδρος Δωριέων ἐπιστρατευσάντων Ἀθηναίοις, ἐπεὶ τοὺς ἐκ Πελοποννήσου* [5] *φυγάδας προσεδέξατο, ἐν οἷς καὶ Μέλανθον, χρησμοῦ δὲ αὐτοῖς δοθέντος αἱρήσειν τὴν πόλιν, ἐὰν ἀπόσχωνται τοῦ τῶν πολεμίων βασιλέως, νοήσας τὸν χρησμὸν, ἀναλαβὼν ὑλοτόμου ἐσθῆτα, καὶ ἐντυχὼν τοῖς φύλαξι τῶν Δωριέων, ἕνα ἐξ αὐτῶν ἀνεῖλε· διοργισθέντες δὲ οἱ λοιποὶ συλλαβόντες αὐτὸν ἀνεῖλον, ὡς Εὔδημος.*

Εὐδαίμων γε Κόρινθος, ἐγὼ δ' εἴην Τεγεάτης.

Εὐδαίμων μὲν ὁ μηδενὶ μηδὲν ὀφείλων.

Εἶτα δ' ὁ μὴ γήμας, τὸ τρίτον ὅστις ἄπαις.

Εὐμεταβολώτερος [6] *κοθούρνου· κόθορνος ὑπόδημα ἁρμόζον δεξιῷ τε καὶ εὐωνύμῳ ποδί· ὅθεν καὶ Θηρα-*

2) Apost. Cent. IX. 25.
3) Apost. Cent. IX. 26.
4) Apost. Cent. IX. 27. Macar. *εὐγενέστερος, Κόδρου· ἐπὶ τῶν πάνυ εὐγενῶν.* Lucian. Timon c. 23. *ὀμνύουσιν, ἢ μὴν εὐμορφότερον μὲν Νιρέως εἶναι αὐτὸν, εὐγενέστερον δὲ τοῦ Κέκροπος ἢ Κόδρου.* Dial. Mort. IX. 4. *Κόδρου δὲ εὐγενέστερος, καὶ Νιρέως καλλίων, καὶ Ὀδυσσέως συνετώτερος λεγόμενος εἶναι.*
5) Apogr. Dresd. *εἰς Πελοποννήσου.*
6) Apost. Cent. IX. 29. Macar. *εὐμεταβολώτερος κοθούρνου ἢ εὐρίπου, ἐπὶ τῶν εὐμεταβόλων καὶ εὐμεταθέτων.* Xenoph. Hellen. II. 3, 31. de Theramene *ὅθεν δήπου γὰρ καὶ κόθορνος*

μένην τὸν ἐπὶ τῶν τριάκοντα κόθορνον ἐκάλουν οἱ Ἀθηναῖοι· ἐπὶ τῶν μεταστρεπομένων οὖν συνεχῶς ἡ παροιμία.

Εὐδαιμονίας[7] τοῦτ' ἐστὶν, υἱὸς νοῦν ἔχων. Μενάνδρου.

Εὔδοντι[8] κύρτος αἱρεῖ· ἐπὶ τῶν εὐτυχούντων· συμβαίνει γὰρ κοιμωμένων τῶν ἁλιέων τὸν κύρτον αἱρεῖν ἰχθύας.

Εὐήθει[9] δάκτυλον μὴ δείξῃς, ἵνα μὴ καὶ τὴν παλάμην σου καταπίῃ· ὅτι οὐ χρὴ θάρρος διδόναι τοῖς ἀνοήτοις.

Εὔχου[10] τῷ πλησίον ἔχειν, ἐπὶ πλέον δὲ τῇ χύτρᾳ· παρόσον τὸ οἴκοι ἔχειν βέλτιον τοῦ παρὰ τοῦ γείτονος δέχεσθαι.

Εὐγενὴς[11] ἐκ βαλαντίου· ἐπὶ τῶν διὰ πλοῦτον εὐγενῶν εἶναι δοκούντων.

Εὕρηκα[12] ὃ οὐκ ἐζήτουν· ἐπὶ τῶν οἷς οὐκ ἤθελον περιπεσόντων.

Εὐτέλεια σωφροσύνης ἔκγονος.

Εὐρυκλῆς[13] πᾶς ἐγγαστρίμυθος· ἀπὸ Εὐρυκλέους τοιούτου τινὸς μάντεως πολυλόγου.

ἐπικαλεῖται (καὶ γὰρ ὁ κόθορνος ἁρμόττειν μὲν τοῖς ποσὶν ἀμφοτέροις δοκεῖ ἀποβλέπει δ' ἐπ' ἀμφότερον. **Coll. §. 47. Plut. Nic. c. 2.** *διὰ τὸ μὴ μόνιμον ἀλλὰ καὶ ἐπαμφοτερίζον ἀεὶ τῇ προαιρέσει τῆς πολιτείας ἐπεκλήθη κόθορνος.* **Lucian. Pseudol. c. 16.** *καὶ ὁ μὲν Κόθορνόν τινα εἶπεν, εἰκάσας αὐτοῦ τὸν βίον, ἀμφίβολον ὄντα, τοῖς τοιούτοις ὑποδήμασιν.* **Cfr. Aristoph. Ran. 538.** *τὸ δὲ μεταστρέφεσθαι πρὸς τὸ μαλθακώτερον δεξιοῦ πρὸς ἀνδρός ἐστι καὶ φύσει Θηραμένους,* **ubi Interpr. Doxopater in homiliis in Aphthonii progymnasmata:** *ὅστις μὲν γὰρ οἶδε τὸ συμβουλεύειν, μὴ μέντοιγε καὶ τὸ δικάζεσθαι καὶ τὸ παρηγορίζειν, οὕτως ῥήτωρ ἐστὶν, ὥσπερ καὶ Θηραμένης· ὁ καὶ κόθορνος ἐπονομασθεὶς, ἤτοι ἀπὸ τοῦ ἐπιτηδείως ἔχειν πρὸς τὸ προτρέπειν καὶ ἀποτρέπειν τῆς τοιαύτης τυχὼν προσηγορίας, ἢ διὰ τὸ πρὸς ἀλήθειαν καὶ ψεῦδος ἑτοιμότατος εἶναι ἀπὸ μεταφορᾶς τοῦ ὑποδήματος τοῦ ἀμφοτέροις ἁρμόζοντος τοῖς ποσίν· οὗτος γὰρ ὁ Θηραμένης συμβουλεύειν μόνον εἰδὼς ῥήτωρ καὶ αὐτὸς ἦκουεν.*

7) **Stob. T. 77. 4.**

8) **Apost. Cent. IX. 30.**

9) **Apost. Cent. IX. 31.**

10) **Apost. Cent. IX. 32.**

11) **Apost. Cent. IX. 36.**

12) **Apost. Cent. IX. 34. Mosc.** *οὐκ* **om.**

13) **Apost. Cent. IX. 35.**

Εὔανδρος [14] *εὗρε κνημῖδα καὶ ἀσπίδα.*

Εὐρύδαμος ὁ Μεσσήνιος [15] *εὗρε θώρακα πολεμικόν.*

Εὐρύβατος [16], *ἤτοι πονηρός· ἀπὸ τοῦ πεμφθέντος ὑπὸ Κροίσου ἐπὶ ξενολογίαν μετὰ χρημάτων, ὡς φησιν Ἔφορος* [17], *εἶτα μεταβαλλομένου πρὸς Κῦρον· ἦν δὲ Ἐφέσιος· οἱ δὲ τὸν Κέρκωπα τὸν ἕτερον· Διότιμος Ἡρακλέους ἐν ἄθλοις·*

Κέρκωπές τοι πολλὰ κατὰ τριόδους πατέοντες
Βοιωτῶν σίνοντο· γένος δ' ἔσαν οἵδε χαλῆες [18]
Ὦλος τ' Εὐρύβατός τε [19] *δύο βαρυδαίμονε ἄνδρε.*

Νίκανδρος· Αἰγίνεον Εὐρύβατον πανουργότατον· οὗ μνημονεύει Ἀριστοτέλης ἐν πρώτῃ περὶ δικαιοσύνης· Δοῦρις ἐν τετάρτῳ περὶ [20] *Ἀγαθοκλέα, ἀπὸ τοῦ Ὀδυσσέως ἑταίρου· λέγεται δὲ τὸν Εὐρύβατον κλέπτην ὄντα, εἰρχθέντα καὶ παραφυλαττόμενον, ἐπειδὴ συμπίνοντες εἷλον αὐτὸν οἱ φυλάττοντες ἐκέλευσεν ἐπιδείξασθαι τὴν ἐπὶ τοὺς τοίχους ἀναρρίχησιν, καὶ* [21] *μὲν πρῶτον διωθεῖσθαι· δεομένων δὲ, ὡς οὐ βουλόμενον, ἐπεὶ μόλις ἀνέπεισαν, περιθέμενος τοὺς σπόγγους, καὶ τὰς ἐγκεντρίδας, ἀναδραμεῖν εἰς τοὺς τοίχους· ἀναβλέποντες δὲ ἐκεῖνοι καὶ θαυμάζοντες τὰς τέχνας λαβεῖν αὐτὸν τὸν ὄροφον καὶ ὑπερβαλόντα, πρὶν ἐκεῖνοι κύκλῳ περιέλθωσι, διὰ τοῦ τέγους καταπατῆσαι.*

Plat. Soph. p. 252. c. *ἀλλὰ τὸ λεγόμενον οἴκοθεν τὸν πολέμιον καὶ ἐναντιωσόμενον ἔχοντες ἐντὸς ὑποφθεγγόμενον ὥσπερ τὸν ἄτοπον Εὐρυκλέα περιφέροντες ἀεὶ πορεύονται.* ubi Heind. Aristid. Or. IV. p. 30. *ἀκριβέστερον Εὐρυκλέους τἄνδοθεν καταλαμβάνων.*

14) Laurent. hoc et sq. inter apophthegmata retulit.

15) Codd. *Μεσήνιος.*

16) Apost. Cent. IX. 55. Theon. Progymn. c. VII. *καὶ εἴ που τις Εὐρυβάτου ψόγος.* ubi vide notam.

17) Apogr. Dresd. *Εὔφορος.*

18) Mosc. *ἦσαν οἵδε χαλκῆες.*

19) *Τε* omittit Mosc.

20) Mosc. *παρά.*

21) *Καὶ* Mosc. om. — Macar. addit: *Εὐριπίδειος ὅρκος· ἴσως τὰ κατὰ χινὸς καὶ κυνός. — Εὖ πρᾶττε, τὸ φίλων δ'*

Τὸ ε̄ μετὰ τοῦ φ̄.

Ἔφυγον [1] κακὸν, εὗρον ἄμεινον· ἐπὶ τῶν μεταβολὴν κρείττονα οἰωνιζομένων· ὅτε τὴν ἀγρίαν καὶ παλαιὰν δίαιταν ἔφυγον, εὗρον δὲ τὴν ἥμερον τροφήν, τοῦτο ἔλεγον· τὸ γὰρ ἐκ τῶν δρυῶν καὶ ἀκανθῶν πέμμα κακόν. Νόμος ἦν Ἀθήνησιν, ἀμφιθαλῆ παῖδα ἑστεμμένον ἀκάνθαις μετὰ δρυΐνων καρπῶν λίκνον [2] βαστάζοντα ἄρτων πλέων, τοῦτο λέγειν, αἰνισσόμενον τὴν ἐπὶ τὸ κρεῖττον μεταβολήν.

Ἐφέσια γράμματα [3]· ἐπῳδαί τινες ἦσαν, ἅπερ οἱ φωνοῦντες ἐνίκων ἐν παντί· ταὐτὸν τῇ· δαφνίνην φορῶ βακτηρίαν· ὁ δὲ Διογενιανὸς, λέγεταί, φησιν ἐπὶ τῶν ἀνεπίγνωστα λεγόντων· παρόσον ὑπὸ τοῖς ποσὶ τῆς Ἐφεσίας Ἀρτέμιδος τὰ γεγραμμένα ἀσύνετα.

Ἐφόδιον [4] τῆς ἀσιτίας τὴν ἀπεψίαν ἔχουσι· Πλουτάρχου ἐκ τῶν ὑγιεινῶν ἀποφθεγμάτων, ἐπὶ τῶν φειδωλῶν.

Ἐφ' ὕδωρ [5]· ἐν ταῖς δίκαις ὁ ἐπιμεληθόμενός τινος ἐλάλει πρὸς ὕδωρ.

Ἐφ' ἑνὶ παιδὶ σαλεύει [6]· ἤτοι ἔχει τὰς ἐλπίδας τοῦ γένους· λέγεται καὶ ἐπὶ πλοίων· ὡς Δίων ἐν Ῥωμαϊ-

οὐδὲν, εἰ σὺ δυστυχῇς· τοῦτο Εὐριπίδου ἐστὶ Φοινισσῶν.

1) Apost. Cent. IX. 37.

2) Mosc. λείκνον — ἄρτων πλέον.

3) Apost. Cent. IX. 39. Macar. ἐπὶ τῶν ἀσύνετα λεγόντων. Cfr. Clem. Strom. I. 15. p. 360. 20. εἰς οὓς (sc. δακτύλους Ἰδαίους) ἥτε τῶν Ἐφεσίων λεγομένων γραμμάτων, καὶ ἡ τῶν κατὰ μουσικὴν εὑρεσις ῥυθμῶν ἀναφέρεται. Qualia sint, idem refert V. 9. p. 672. 15. — — σημαίνειν δὲ Δοκιον μὲν τὸ σκότος, μὴ γὰρ ἔχειν τοῦτο σκιάς· φῶς δὲ Κατάσκιον, ἐπεὶ καταυγάζει τὴν σκιάν. Λίξ τέ ἐστιν ἡ γῆ κατὰ ἀρχαίαν ἐπωνυμίαν· καὶ Τετρὰς ὁ ἐνιαυτὸς, διὰ τὰς ὥρας, κ. τ. λ. Cfr. Wyttenb. ad Plut. de sent. prof. in virt. p. 85. B.

4) Apost. Cent. IX. 38. Pro ἀσιτίας apud Plut. p. 125. E. legitur ἀπληστίας.

5) Apost. Cent. IX. 40.

6) Apost. Cent. IX. 42. Cfr. Epist. Hippocrat. Vol. III. p. 845. ed. Kuhn. καὶ τοῦτο ἐλάχιστον τῶν μελλόντων ῥηθήσε-

κοῖς· ὀλίγα μὲν γὰρ καὶ τὰ κουφότατα τῶν πλοίων πρὸς τῇ γῇ ὥρμει· τὰ δὲ δὴ πλείω καὶ μείζω μετέωρα διὰ τὰ τενάγη ἐπεσάλευεν.

Ἐφημέρου ζωή [7]· ἐπὶ τῶν ὠκυμόρων ἢ καὶ αὐθημερὸν θνησκόντων· ἔστι ζῶα ἐφήμερα οὕτω καλούμενα, λαβόντα τὸ ὄνομα ἐκ τοῦ μέτρου τοῦ κατὰ τὸν βίον· τίκτεται γὰρ ἐν τῷ οἴνῳ, καὶ ἀνοιχθέντος τοῦ σκεύους τά δε ἐξέπτη καὶ εἶδε τὸ φῶς καὶ τέθνηκεν· οὐκοῦν παρελθεῖν μὲν αὐτοῖς εἰς τὸν βίον ἔδωκεν ἡ φύσις, τῶν δὲ ἐν αὐτῷ κακῶν ἐρύσατο τὴν ταχίστην, μήτε τῶν ἰδίων συμφορῶν ἠσθημένοις, μήτε μήν τινος τῶν ἀλλοτρίων μάρτυσι γεγενημένοις [8]· ἔστι καὶ ἄλλο ζῶον μονήμερον λεγόμενον περὶ τὸν Ὕπανιν ποταμὸν, τικτόμενον μὲν ἅμα τῷ κνέφᾳ, ἀποθνῆσκον δὲ ἐπὶ δυσμὰς ἡλίου τρεπομένου, ὡς Ἀριστοτέλης [9] φησί.

αθαι· προείλετο γὰρ μᾶλλον ὁ πατὴρ ἐν ἐμοὶ τῷ υἱεῖ καὶ ἐν γῇ ὀθνείᾳ σαλεύειν, καὶ κατὰ θάλασσαν, καὶ κατὰ κινδύνους, καὶ κατὰ ἀῤῥωστίας. Heliod. I. 19. πρὸς δευτέρους ἀπεκλίνετο γάμους, ἐπὶ μόνῳ μοι παιδὶ σαλεύειν ἐπιμεμφόμενος. I. 13. πάντα τὸν βίον ἐπὶ τούτῳ τὸν ἐμὸν ἐσάλευον. II. 33. καὶ ἔστι νῦν ἡ παῖς ἐνταῦθα σὺν ἐμοὶ, καὶ οὔνομα τοὐμὸν ὀνομαζομένη· σαλεύω γὰρ ἐπ' αὐτῇ τὸν βίον.

7) Apost. Cent. IX. 41.

8) Apost. habet: ἠσθημένα, μήτε μήν τινος τῶν ἀλλοτρίων μάρτυσι γεγενημένα· unde elucet, Apostolium dativos ἠσθημένοις, γεγενημένοις verbo ἐρύσατο accommodasse, sed cum in μάρτυσι haesisset, hoc intactum reliquisse. Censeo igitur, autorem, quasi scripsisset: παρελθεῖν μὲν αὐτοῖς εἰς τὸν βίον ἔδωκεν ἡ φύσις, τῶν δὲ ἐν αὐτῷ (ita scripsi pro αὐτοῖς, quod Apost. et Arsen. habent) κακῶν ἐκλύεσθαι τὴν ταχίστην, continuasse orationem, μήτε — ἠσθημένοις etc. Constructionem interdum, alia διὰ μέσου posita, suspendi constat. Eurip. Jon. 700. νῦν δ' ἡ μὲν ἔῤῥει συμφοραῖς, ὁ δ' εὐτυχεῖ, πολιὸν εἰσπεσοῦσα γῆρας. Cfr. Lobek ad Soph. Aj. p. 294. Eodem modo locum Achillis Tatii V. 11. a Fr. Jacobsio in suspicionem vocatum: Σώστρατός μοι Λευκίππην ἐκδίδωσι καί μοι γάμος ἐκ μέσου πολέμου πέμπεται, μετρήσας ἀκριβῶς τὰς ἡμέρας defendi posse puto. Coll. ibid. VII. 16. fine.

9) Arist. Hist. Animal. V. 19. Cfr. Plut. Consolat. ad Apollon. p. 111. C. ἐπεὶ καὶ τῶν ζώων ἐκείνων, ἅπερ ἱστοροῦσι περὶ τὸν πόντον γινόμενα, τὴν ζωὴν ἔχειν ἡμερησίαν etc., ubi videndus Wyttenb.

Ἐφ᾽ [10] ἑαυτῆς τὰ κέρατα· ἐπὶ τῶν ἐπιβουλὰς ἐκ τῶν οἰκείων ὑφισταμένων· αἶγα γάρ φησι τοξευθεῖσαν καὶ ἰδοῦσαν τὸ τόξον τοῦτο εἰπεῖν.

Τὸ ε̄ μετὰ τοῦ χ̄.

Ἔχει [1] καὶ ἡ μυῖα σπλῆνα· ἔχει καὶ χολὴν ὁ μύρμηξ· ἐπὶ τῶν εὐκαταφρονήτων.

Ἐχῖνος [2] τὸν τόκον ἀναβάλλει· λέγεται ἐφ᾽ ὧν τὸ ἀναβάλλεσθαι πρὸς χεῖρον γίνεται· καὶ γὰρ οἱ χερσαῖοι ἐχῖνοι δοκοῦσι κεντούμενοι ἀνέχειν τὸν τόκον· εἶθ᾽ ὕστερον ὑπὸ τραχυτέρων τῶν ἐμβρύων κάκιον ἀπαλλάσσειν ἐν τῷ τόκῳ. — Ὁ χερσαῖος ἐχῖνος, ὅταν ἁλίσκεται, παραχρῆμα ἐνούρησε τῷ δέρματι, καὶ ἀχρεῖον ἀπέφηνεν αὐτό· δοκεῖ δὲ εἰς πολλὰ ἐπιτήδειον. — Ὁ χερσαῖος ἐχῖνος μέλλων ἁλίσκεσθαι ἑαυτὸν συνειλήσας ἄληπτον ἐργάζεται· εἶτα μέντοι καὶ πιέζει τὸ πνεῦμα καὶ ἀκίνητος ἀτρεμεῖ καὶ τὸν τεθνεῶτα ὑποκρίνεται.

Ἐχθροῖς ἀπιστῶν οὔποτ᾽ ἂν πάθοις βλάβην.

Ἔχομεν [3] σύμμαχον θεὸν Ἥφαιστον· ἐπὶ τῶν ἐλπιζόντων πυρὶ νικῆσαι τοὺς πολεμίους.

Ἔχομεν [4] κύνα τῷ πτωκὶ βοηθοῦντα· ἐπὶ τῶν τοῖς οἰκείοις θαῤῥούντων· ὑπ᾽ ἐκείνων δὲ ἐπιβουλευομένων.

10) Apost. Cent. IX. 45.

1) Apost. Cent. IX. 48.

2) Apost. Cent. IX. 44. pluribus interpositis cetera, quae de erinaceo afferuntur, in unum jungit. — De terrestri echino vide Ael. H. A. IV. 17. et VI. 45. Macar. ἐχῖνος τὸν τόκον ἀναβάλλεται· ἐπὶ τῶν διὰ τὸ ἀναβάλλεσθαι κακῶς ἀπαλλαττόντων· οἱ γὰρ ἐχῖνοι δοκοῦσι κεντούμενοι ἀνέχειν τὸν τόκον, εἶθ᾽ ὕστερον παχυτέρων γινομένων τῶν ἀκανθῶν ἀπὸ τοῦ ἐμβρύου χεῖρον ἀπαλλάττειν ἐν τῷ τόκῳ. Praecedit apud eundem: Ἐχῖνος ἐν χειμῶνι· ἐπὶ τῶν παρ᾽ ὥραν φαινομένων ἢ πραττομένων.

3) Apost. Cent. IX. 46.

4) Apost. Cent. IX. 47. πτωχῷ, sed πτωκὶ in edito se reperisse testatur Pantinus.

Ἔχειν [5] τε πειρῶ, τοῦτο γὰρ τοῦτ᾽ εὐγενὲς,
Καὶ τοὺς γάμους δίδωσι τοὺς πρώτους ἔχειν.
Ἐν τῷ πένεσθαι δ᾽ ἐστὶν ἥ τ᾽ ἀδοξία,
Κἂν ᾖ σοφός τις, ἥ τ᾽ ἀτιμία βίου. Εὐριπίδου.

Ἔχεις [6] μὲν ἀλγεῖν᾽, οἶδα, πειρᾶσθαι δὲ χρὴ,
Ὡς ῥᾷστα τἀναγκαῖα τοῦ βίου φέρειν. Τοῦ αὐτοῦ.

Ἐχρῆν [7] μὲν ἡμᾶς σύλλογον ποιουμένους
Τὸν ζῶντα θρηνεῖν, εἰς ὅσ᾽ ἔρχεται κακά·
Τὸν δ᾽ αὖ θανόντα καὶ πόνων πεπαυμένον
Χαίροντας εὐφημοῦντας ἐκπέμπειν δόμων. Σοφοκλέους.
Ἐχθρὸς γάρ μοι κεῖνος ὁμῶς Ἀΐδαο πύλῃσιν,
Ὅς χ᾽ ἕτερον μὲν κεύθῃ ἐνὶ [8] φρεσὶν, ἄλλο δὲ εἴπῃ. Ὁμήρου.

Εὐσεβίου [9].

Ἐχθρὸς ταλῃθῆ· εἰπὼν τοῦ πρὸς χάριν φίλου ἐσὶ παντὸς αἱρετώτερος.

Τὸ ε̄ μετὰ τοῦ ψ̄.

Ἔψεσθαί [10] σοι πειρᾷ λίθον· ἐπὶ τῶν ἀδυνάτοις ἐπιχειρούντων.

5) Stob. T. 91. 22. ex Euripidis Erechtheo.

6) Stob. T. 108. 21. *Σοφοκλῆς Θυέστῃ.*

7) Stob. T. 120. 22. Cfr. Wyttenb. ad Plut. de aud. poët. p. 36. F.

8) Mosc. *Ὡς χ᾽ ἕτερον μὲν κεύθει ἐν φρ.* — Ex Il. *O.* 251.

9) Stob. T. 15. 45. *τοῦ προσποιευμένου φίλου πρὸς χάριν εἰπόντος παντὸς αἱρετώτερος.* Macar. addit: *Ἐχθρὸς, κἂν χρηστὰ ποιήσει, κακά ἐστιν. Ἐχίδνης καρδίαν ἐδήδοκεν· ἐπὶ τῶν ὀργίλων καὶ χαλεπῶν. Ἔχεται δ᾽ ὥσπερ πολύπους πέτρας· ἐπὶ τῶν ὀχυροῦ τινος ἐχομένων ἐπὶ σωτηρίᾳ.*

10) Apost. Cent. IX. 49. Mosc. *ἀδυνάτων.* Vide infra sub *λίθον ἔψεις.*

ΑΠΟΦΘΕΓΜΑΤΑ.

Ἐμπεδοκλῆς [1] Μέτωνος ὁ φυσικὸς πρὸς τὸν λέγοντα ὅτι οὐδένα σοφὸν εὑρεῖν δύναμαι κατὰ λόγον, εἶπε, τὸν γὰρ ζητοῦντα σοφὸν αὐτὸν πρότερον εἶναι δεῖ σοφόν.

Ὁ αὐτὸς ἐρωτηθεὶς, διατί σφόδρα ἀγανακτεῖς κακῶς ἀκούων, ἔφη, ὅτι οὐδὲ ἐπαινούμενος ἡσθήσομαι [2], εἰ μὴ κακῶς ἀκούων ἀχθήσομαι.

Ὁ αὐτὸς εἶπεν [3], Ἀκραγαντῖνοι τρυφῶσι μὲν, ὡς αὔριον ἀποθανούμενοι, οἰκίας δὲ κατασκευάζονται, ὡς πάντα τὸν χρόνον βιωσόμενοι.

Ὁ αὐτὸς [4] ἐτησίων ποτὲ σφοδρῶς πνευσάντων, ὡς τοὺς καρποὺς λυμῆναι, κελεύσας ὄνους ἐκδαρῆναι καὶ ἀσκοὺς ποιῆσαι, περὶ τοὺς λόφους καὶ τὰς ἀκρωρείας διέτεινε πρὸς τὸ συλλαβεῖν τὸ πνεῦμα, λήξαντος δὲ κωλυσαμένας ἐκλήθη.

* Ἀνεμοκοῖται δὲ γένος ἐν Κορίνθῳ οἱ ἀνέμους κοιμίζοντες, εἰς ὅπερ δεξιῶς λέγεται διακεῖσθαι καὶ Ἐμπεδοκλῆς, οὗ καὶ ἡ εἰς αὐτὸ τέχνη ἱστόρηται.

* Ἐμπεδοκλῆς καὶ δίκας φησὶ διδόναι τοὺς δαίμονας, ὧν ἐξαμάρτωσι καὶ πλημμελήσωσιν.

Αἰθέριον μὲν γάρ σφε μένος πόντονδε διώκει,
Πόντος δ᾽ ἐς χθονὸς οὖδας ἀπέπτυσε, γαῖα δ᾽ ἐς αὖθις
Ἠελίου ἀκάμαντος, ὁ δ᾽ αἰθέρος ἔμβαλε δίναις.
Ἄλλος δ᾽ ἐξ ἄλλου δέχεται, στυγέουσι δὲ πάντες.

Ἄχρις οὗ κολασθέντες οὕτω καὶ καθαρθέντες αὖθις ἰὴν κατὰ φύσιν χώραν καὶ τάξιν ἀπολάβωσιν.

Ἐμπεδοκλεῖ [5] τῷ Μέτωνος τάδε δοκεῖ· στοιχεῖα μὲν

1) Laur. Ἐμπεδοκλέους Μέτωνος τοῦ φυσικοῦ, τοῦ Ἀκραγαντίνου. Inc. Ἐμπεδοκλῆς ἐρωτηθεὶς, διατί σφόδρα etc.

2) Laur. et impress. αἰσθήσομαι.

3) Diog. Laërt. VIII. segm. 63.

4) Diog. Laërt. VIII. segm. 60.

5) Segm. 76. — τῷ Μέτωνος.

εἶναι τέτταρα, πῦρ, ὕδωρ, γῆν καὶ ἀέρα, φιλίαν δὲ, ᾗ συγκρίνεται, καὶ νεῖκος, ᾧ διακρίνεται· φησὶ δ' οὕτω·

Ζεὺς ἀργὴς, Ἥρη τε φερέσβιος, ἠδ' Ἀϊδωνεὺς,
Νῆστις θ', ἣ δακρύοις ἐπιπικροῖ ὄμμα [6] βρότειον.

Δία μὲν τὸ πῦρ λέγων, Ἥρην δὲ τὴν γῆν, Ἀϊδωνέα δὲ τὸν ἀέρα, νῆστιν δὲ τὸ ὕδωρ, καὶ ταῦτά, φησιν, ἀλλαττόμενα διαμπερὲς οὐδαμοῦ λήγει, ὡς ἀϊδίου [7] τῆς τοιαύτης διακοσμήσεως οὔσης· ἐπιφέρει γοῦν·

Ἄλλοτε μὲν φιλότητι συνερχόμεν' [8] εἰς ἓν ἅπαντα,
Ἄλλοτε δ' αὖ δίχ' ἕκαστα φορεύμενα νείκεος ἔχθει.

Περὶ [9] τῶν ἀποστημάτων τῆς σελήνης ἐκ τῶν Πλουτάρχου.

Ἐμπεδοκλῆς Ἀκραγαντῖνος Μέτωνος διπλάσιον ἀπέχειν τὴν σελήνην ἀπὸ τοῦ ἡλίου, ἤπερ ἀπὸ τῆς γῆς· οἱ ἀπὸ τῶν μαθηματικῶν ὀκτωκαιδεκαπλάσιον. Ἐρατοσθένης τὸν ἥλιον ἀπέχειν ἀπὸ τῆς γῆς σταδίους μυριάδων τετρακοσίων καὶ ὀκτάκις μυρίων· τὴν δὲ σελήνην ἀπέχειν τῆς γῆς μυριάδας ἑβδομήκοντα ὀκτὼ σταδίων.

Ἐπικούρου [10].

Ἐπίκουρος μάλιστα τῆς ἀληθείας προτιμήσας τὴν ἡδονὴν, πρόληψιν εἶναι διανοίας τὴν πίστιν ὑπολαμβάνει· πρόληψιν δὲ ἀποδίδωσιν ἐπιβολὴν ἐπί τι ἐναργές, καὶ ἐπὶ τὴν ἐναργῆ τοῦ πράγματος ἐπίνοιαν· μὴ δύνα-

Laur. om. pro *φιλίαν*, uterque Cod. *φιλία*.

6) Mosc. et impr. *νῆστις δακρυόεσσά τ' ἐπικρούνωμα βρότειον*. Laur. *νῆστις κρυόεσσα κ. τ. λ.*, ut Mosc.

7) Mosc. *ἀΐδου*.

8) Impress. et Mosc. *συνερχόμεν'*. Laur. *συνεσχόμεν'*.

9) Recepi ex Laur.

10) Haec non leguntur apud Diogenem Laërtium.

νασθαι δὲ μηδένα μήτε ζητῆσαι, μήτε ἀποροῆσαι, μηδὲ μὴν [11] δοξάσαι, ἀλλ᾽ οὐδὲ ἐλέγξαι χωρὶς προλήψεως.

Ὁ αὐτὸς τὸ πρῶτον οἰκεῖον ἔλεγεν εἶναι τὴν ἡδονήν· ἕνεκα γὰρ τῆς ἡδονῆς παρελθοῦσά, φησιν, ἡ ἀρετὴ ἡδονὴν ἐποίησε.

Ἐπικτήτου.

Ἐπίκτητος εἶπεν, οἱ μὲν κόρακες τῶν τετελευτηκότων τοὺς ὀφθαλμοὺς λυμαίνονται, ὅταν οὐδὲν αὐτῶν ἐστι χρεία· οἱ δὲ κόλακες τῶν ζώντων τὰς ψυχὰς διαφθείρουσι, καὶ τὰ ταύτης ὄμματα τυφλώττουσιν.

Ὁ αὐτὸς [12] εἶπεν, ἐπὶ μηδενὶ ἑπαρθῇς ἀλλοτρίῳ προτερήματι· εἰ ὁ ἵππος ἔλεγεν ἐπαιρόμενος, ὅτι καλός εἰμι, ἀνεκτὸν ἦν· σὺ δὲ ὅταν λέγῃς, ὅτι ἵππον καλὸν ἔχω, ἴσως ὅτι ἐφ᾽ ἵππῳ ἀγαθῷ μέγα φρονεῖς· τί οὖν ἐστι σόν; χρῆσις φαντασιῶν, ὡς ὅταν κατὰ φύσιν ἔχῃς, τότε ἐπάρθητι, τότε γὰρ ἐπὶ τῷ σῷ προτερήματι ἐπαρθήσῃ.

Ὁ αὐτὸς ἔφη, προῖκα μηδὲν γίνεσθαι.

Ὁ αὐτὸς ἔφη ζητῶν τὴν ἀλήθειαν οὐ ζητήσεις τὸ ἐκ παντὸς τρόπου νικᾶν, καὶ εὑρὼν τὴν ἀλήθειαν ἕξεις τὸ μὴ νικᾶσθαι.

* Ὁ αὐτὸς εἶπεν, ὥσπερ οἱ ἐπὶ τῶν λιμένων πυρσοὶ δι᾽ ὀλίγων φρυγάνων πολλὴν ἀνάψαντες φλόγα ταῖς ἁλωμέναις ἀνὰ τὸ πέλαγος ναυσὶν ἱκανὴν ἐργάζονται βοήθειαν, οὕτω καὶ ἀνὴρ λαμπρὸς ἐν πόλει χειμαζομένῃ, αὐτὸς ὀλίγοις ἀρκούμενος, μεγάλα τοῖς πολίταις εὐεργετεῖ.

Εὐκλείδου [13].

Εὐκλείδης ὁ Μεγαρεὺς ἓν τὸ ἀγαθὸν ἀποφαίνεται πολλοῖς ὀνόμασι καλούμενον· ὁτὲ μὲν γὰρ φρόνησιν, ὁτὲ

11) Mosc. μή.
12) Recepi ex Laur. et impr.
13) Diog. Laërt. II. segm. 106. In impressis hoc nomen non exstat.

δὲ θεὸν, ἄλλοτε νοῦν καὶ τὰ λοιπά· τὰ δ' ἀντικείμενα τῷ ἀγαθῷ ἀνῄρει, μὴ εἶναι φάσκων· ταῖς τε ἀποδείξεσιν ἐνίστατο, οὐ κατὰ λήμματα, ἀλλὰ κατ' ἐπιφορὰν καὶ τὸν διὰ παραβολῆς λόγον ἀνῄρει, λέγων [14], ἤτοι ἐξ ὁμοίων αὐτὸν ἢ ἐξ ἀνομοίων συνίστασθαι· καὶ εἰ μὲν ἐξ ὁμοίων, περὶ αὐτὰ δεῖν μᾶλλον, ἢ οἷς [15] ὅμοιά ἐστιν, ἀναστρέφεσθαι· εἰ δὲ ἐξ ἀνομοίων, παρέλκειν τὴν παράθεσιν· διὰ ταῦτα δὲ καὶ περὶ αὐτοῦ ταῦτά φησι Τίμων· προσπαρατρώγων καὶ τοὺς λοιποὺς Σωκρατικούς·

Ἀλλ' οὔ μοι τούτων φλεδόνων μέλει, οὐδὲ γὰρ ἄλλου
Οὐδενὸς, οὐ Φαίδωνος, ὅστις γε μέν, οὐδ' [16] ἐριδάντεω
Εὐκλείδου Μεγαρεῦσιν, ὃς ἔμβαλε λύσσαν ἐρισμοῦ.

Ἐπαμινώνδου [17].

Ἐπαμινώνδας ὁ Θηβαῖος, ὁ πάντων τῶν ἐκεῖσε στρατηγῶν ἐπισημότερος, εἰς ἐκκλησίαν κληθεὶς παρῃτήσατο προελθεῖν κατ' ἐκείνην τὴν ἡμέραν, ἐπειδὴ τὸ ἱμάτιον αὐτοῦ πλινόμενον ἔτυχε καὶ ἕτερον περιθέσθαι οὐκ εἶχεν.

* Ὁ αὐτὸς ἔλεγε, τὸν ἐν πολέμῳ θάνατον εἶναι κάλλιστον.

* Ὁ αὐτὸς οὕτως ἦν εὐτελὴς περὶ τὴν δίαιταν, ὥστε κληθεὶς ἐπὶ δεῖπνον ὑπὸ γείτονος, εὑρὼν πεμμάτων καὶ ὄψων παρασκευὴν, ἀπῆλθεν εὐθὺς εἰπὼν, ἐγώ σε θύειν ᾠόμην, οὐχ ὑβρίζειν.

* Ὁ αὐτὸς ἄνθρωπον φαῦλον ἐξημαρτηκότα τι τῶν μετρίων τοῦ μὲν Πελοπίδου παρακαλοῦντος οὐκ ἀφῆκεν, εἰπὼν, ὅτι τοιαῦτα πρέπει λαμβάνειν ἑταιριδίοις, ἀλλὰ μὴ στρατηγοῖς.

14) Ἀνῄρει, λέγω omisit Mosc. et Laur.
15) Codd. εἰς.
16) Codd. ὅστις γε τοῦδ' ἐριδάντεω, tum ὃς ἔμβαλλε, utrque ὁρισμοῦ.
17) Laur. hoc nomen non habet.

* Ὁ αὐτὸς προσάγων τοῖς πολεμίοις βροντῆς γενομένης καὶ τῶν περὶ αὐτὸν πυνθανομένων, τί σημαίνειν οἴεται τὸν θεὸν, ἐμβεβροντῆσθαι τοὺς πολεμίους εἶπεν, ὅτι τοιούτων χωρίων ἐγγὺς ὄντων, ἐν τοιούτοις στρατοπεδεύουσιν.

* Ὁ αὐτὸς εἰώθει φαίνεσθαι τὸν ἄλλον χρόνον ἀλλειμμένος τὸ σῶμα, καὶ φαιδρὸς τῷ προσώπῳ, μετὰ δὲ τὸ νικῆσαι τοὺς Λακεδαιμονίους ἐν Λεύκτροις τῇ ὑστεραίᾳ προῆλθεν αὐχμηρὸς καὶ ταπεινὸς, τῶν δὲ φίλων ἐρωτώντων, μή τι λυπηρὸν αὐτῷ συμπέπτωκεν, οὐδὲν, εἶπεν, ἀλλ᾽ ἐχθὲς ἡσθόμην ἐμαυτοῦ μεῖζον ἢ καλῶς ἔχει φρονήσαντος, διὸ σήμερον κολάζω τὴν ἀμετρίαν τῆς χαρᾶς.

* Ὁ αὐτὸς πρὸς τοὺς Σπαρτιάτας, πολλὰ καὶ μεγάλα τῶν Θηβαίων κατηγορήσαντας, οὗτοι μέν τοι, εἶπεν, ὑμᾶς βραχυλογοῦντας ἔπαυσαν.

* Ὁ αὐτὸς ἐρωτηθεὶς, πότερον ἑαυτὸν ἡγεῖται βελτίονα στρατηγὸν, ἢ Χαβρίαν, ἢ Ἰφικράτην, δύσκριτον, εἶπεν, ἕως ζῶμεν.

* Ἰάσονος τοῦ Θεσσαλῶν μονάρχου συμμάχου μὲν εἰς Θήβας παραγενομένου, δισχιλίους δὲ χρυσοῦς τῷ Ἐπαμινώνδᾳ πέμψαντος, ἰσχυρῶς πενομένῳ, τὸ μὲν χρυσίον οὐκ ἔλαβε, τὸν δὲ Ἰάσονα θεασάμενος ἀδίκων ἔφη, χειρῶν ἄρχεις, αὐτὸς δὲ πεντήκοντα δραχμὰς δανεισάμενος παρά τινος τῶν πολιτῶν ἐφόδιον τῆς στρατιᾶς, ἐνέβαλεν εἰς Πελοπόννησον.

Ὁ αὐτὸς ἡρωϊκῶς ἐν τῇ πρὸς Λακεδαιμονίους μάχῃ ἀγωνισάμενος καιρίαν ἔλαβε πληγὴν εἰς τὸν θώρακα· κλασθέντος δὲ τοῦ δόρατος, καὶ τοῦ σιδήρου καταλειφθέντος ἐν τῷ σώματι παραχρῆμα ἔπεσε, καταχυθεὶς ὑπὸ τῆς πληγῆς· περὶ δὲ τοῦ σώματος ἐμπεσούσης φιλοτιμίας καὶ πολλῶν ἐξ ἀμφοτέρων ἀναιρεθέντων μόγις οἱ Θηβαῖοι τῇ ῥώμῃ τῶν σωμάτων προέχοντες κατεπόνησαν τοὺς Λακεδαιμονίους· ἐπὶ μὲν χρόνον τινὰ περὶ τῆς τῶν νεκρῶν ἀναιρέσεως οὐδέτεροι διεπρεσβεύσαντο, ἵνα

μὴ δύξωσιν ἐκχωρεῖν τοῦ πρωτείου· μετὰ δὲ ταῦτα τῶν Λακεδαιμονίων πρώτων ἐπικηρυκευσαμένων περὶ τῆς τῶν νεκρῶν ἀναιρέσεως, ἀμφότεροι τοὺς ἰδίους ἔθαψαν· Ἐπαμινώνδας δὲ ἔτι ζῶν εἰς τὴν παρεμβολὴν ἀπηνέχθη, καὶ τῶν συγκληθέντων ἰατρῶν ἀποφηναμένων, ὅτι πάντως, ὅταν ἐκ τοῦ θώρακος ἐξενεχθῇ τὸ δόρυ, συμβήσεται καὶ τὸν θάνατον ἐπακολουθῆσαι, εὐψυχοτάτην τοῦ βίου καταστροφὴν ἐποιήσατο, πρῶτον μὲν γὰρ τὸν ὑπασπιστὴν ἐπιπροσκαλεσάμενος ἐπηρώτησεν, εἰ διασέσωκε τὴν ἀσπίδα· τοῦ δὲ φήσαντος καὶ θέντος αὐτὴν πρὸ τῆς ὁράσεως, πάλιν ἐπηρώτησε, πότερον νενικήκασιν· ἀποφαινομένου δὲ τοῦ παιδὸς, ὅτι Βοιωτοὶ νενικήκασιν, ὥρα, φησίν, ἐστι τελευτᾶν· καὶ προσέταξεν ἐκσπάσαι τὸ δόρυ· ἀναβοησάντων δὲ τῶν παρόντων φίλων καί τινος εἰπόντος, ὅτι τελευτᾷς ἄτεκνος, Ἐπαμινώνδα, καὶ δακρύσαντος, μὰ Δία μέν, φησίν, ἀλλὰ καταλείπω θυγατέρας, τήν τε ἐν Λεύκτροις νίκην καὶ τὴν ἐν Μαντινείᾳ, καὶ τοῦ δόρατος ἐξαιρεθέντος ἄνευ πάσης ταραχῆς ἐξέπνευσεν.

Ὁ αὐτὸς ἐρωτηθείς, διατί τῶν πολιτῶν συμποσιαζόντων καὶ εὐθυμούντων ἐν ταῖς ἑορταῖς αὐτὸς μόνος σχολάζει, καὶ ἐν ἐκείναις ἔν τε τῷ καθαίρειν τὰ ὅπλα καὶ ἐν ταῖς ἄλλαις πολιτικαῖς χρείαις, εἶπεν, ἐγὼ μὲν νήφω καὶ ἀγρυπνῶ, ὅπως ἐξῇ τοῖς ἄλλοις μεθύειν καὶ καθεύδειν.

Ὁ αὐτὸς [18] ἐρωτηθεὶς, τί ὀνεῖθ' ὁ μὴ γήμας, τὸ μὴ ὀνεῖν, εἶπεν, ὑπὲρ τῆς πατρίδος ἀποθνήσκειν.

* Ἐρατοσθένους [19].

Ἐρατοσθένης παίζων πρὸς τὸν μῦθον καὶ τὸ ἀπίθανον τῆς Ὀδυσσέως πλάνης, τότε ἂν εὑρεῖν τινα ἔλεγε,

18) Stob. T. 68. 36.

19) In impressis subjunctum est Ἐρατοσθένους ἐγκώμιον εἰς τὸν ἔρωτα. Ἔρως σκυλεύσας καὶ διαρπάσας ἅμα etc. quod inter sententias περὶ Ἀφροδίτης inseruit Violetum.

ποῦ πεπλάνηται Ὀδυσσεὺς, ὅταν εὕρηται τὸν σκυτέα τὸν συῤῥάψαντα τὸν τῶν ἀνέμων ἀσκόν.

Ὁ αὐτὸς ἔφη τῆς ἡλικίας τὸ μὲν ἀκμάζον ἔαρ εἶναι, τὸ δὲ κατὰ ἀκμὴν θέρος καὶ φθινόπωρον, χειμῶνα δὲ τὸ γῆρας.

Ἐπιμενίδης [20]

Ἀγησάρχου, Κρὴς ἐκ Κνωσσοῦ, πεμφθεὶς ποτε ὑπὸ πατρὸς πρὸς ἀγρὸν ἐπὶ πρόβατον, τῆς ὁδοῦ κατὰ μεσημβρίας ἐκκλίνας, ἐπ᾽ ἄντρῳ τινὶ κατεκοιμήθη ἑπτὰ καὶ πεντήκοντα ἔτη· διαναστὰς δὲ μετὰ ταῦτα ἐζήτει τὸ πρόβατον, νομίζων ἐπ᾽ ὀλίγον κεκοιμῆσθαι· ὡς δὲ οὐχ εὕρισκε, παρεγένετο εἰς τὸν ἀγρὸν, καὶ μετεσκευασμένα πάντα καταλαβὼν καὶ παρ᾽ ἑτέρων τὴν κτῆσιν, ἦκεν εἰς ἄστυ διαπορούμενος. κἀκεῖ δὲ εἰς τὴν ἑαυτοῦ εἰσιὼν οἰκίαν, περιέτυχε τοῖς πυνθανομένοις, τίς εἴη, ἕως τὸν νεώτερον ἀδελφὸν εὑρὼν, τότε ἤδη γηραιὸν ὄντα, πᾶσαν ἔμαθε παρ᾽ ἐκείνου τὴν ἀλήθειαν· γνωσθεὶς δὲ παρὰ τοῖς Ἕλλησι, θεοφιλέστατος εἶναι ὑπελήφθη τότε· καὶ Ἀθηναίοις τότε λοιμῷ κατεχομένοις ἔχρησεν ἡ Πυθία καθῆραι τὴν πόλιν· οἱ δὲ πέμπουσι ναῦν τε καὶ Νικίαν τὸν Νικηράτου εἰς Κρήτην, καλοῦντες τὸν Ἐπιμενίδην, καὶ ὃς ἐλθὼν ὀλυμπιάδι μς ἐκάθηρεν αὐτῶν τὴν πόλιν, καὶ ἔπαυσε τὸν λοιμὸν τοῦτον τὸν τρόπον· λαβὼν πρόβατα, μέλανά τε καὶ λευκὰ, ἤγαγε πρὸς τὸν Ἄρειον πάγον, κἀκεῖθεν εἴασεν ἰέναι, οἷ βούλοιτο, προστάξας τοῖς ἀκολούθοις, ἔνθα ἂν κατακλίνῃ αὐτῶν ἕκαστον, θύειν τῷ προσήκοντι θεῷ, καὶ οἵτω λῆξαι τὸ κακόν· ὅθεν Ἀθηναῖοι τάλαντον ἐψηφισαν δοῦναι αὐτῷ, καὶ ναῦν τὴν ἐς Κρήτην ἀπάξουσαν αὐτόν· ὁ δὲ τὸ μὲν ἀργύριον οὐ προσήκατο, φιλίαν δὲ καὶ συμμαχίαν ἐποιήσατο Κνωσίων καὶ

20) Hoc et sqq. usque ad finem hujus litterae ex Laur. recepi.

Ἀθηναίων, καὶ ἐπανελθὼν ἐπ᾽ οἶκου, μετ᾽ οὐ πολὺ μετήλλαξεν.

Εὐμενὴς

ὁ βασιλεὺς ἔλεγε τοῖς ἀδελφοῖς διὰ παντὸς, ἐὰν μὲν ὡς βασιλεῖ προσφέρησθε, ὡς ἀδελφοῖς ὑμῖν χρήσομαι· ἐὰν δὲ ὡς ἀδελφῷ, ἐγὼ ὑμῖν ὡς βασιλεύς.

Εὐτυχῶν μέτριος ἴσθι, ἀτυχῶν δὲ φρόνιμος.

ΙΣΤΟΡΙΑΙ.

Ἱστορία Ἕκτορος.

Ἕκτωρ ὁ Πριάμου μετὰ τὴν Ἰλίου πόρθησιν καὶ μετὰ θάνατον τὴν ἀπὸ τῶν θεῶν ηὐτύχησε τιμήν· οἱ γὰρ ἐν Βοιωτίᾳ Θηβαῖοι πιεζόμενοι κακοῖς ἐμαντεύοντο περὶ ἀπαλλαγῆς· χρησμὸς δὲ αὐτοῖς ἐδόθη, παύσασθαι τὰ δεινὰ, ἐὰν ἐξ Ὀφρυνίου τῆς Τρωάδος τὰ Ἕκτορος ὀστᾶ διακομισθῶσιν εἰς τὸν παρ᾽ αὐτοῖς καλούμενον τόπον, Διὸς γονάς· οἱ δὲ τοῦτο ποιήσαντες, καὶ τῶν κακῶν ἀπαλλαγέντες, διὰ τιμῆς ἔσχον Ἕκτορα, κατά τε τοὺς ἐπιόντας καιροὺς ἐπικαλοῦνται τὴν ἐπιφάνειαν αὐτοῦ. Ἡ ἱστορία παρὰ Ἀριστάρχῳ.

Περὶ Ἑκαμήδης.

Ἑκαμήδη, γυνή τις οὖσα, τῷ Μαχάονι καὶ τῷ Νέστορι κατεσκεύαζε ποτὸν ἐκ διαφόρων εἰδῶν, ἵαμα [21] τῆς δίψης τούτων, ὃ κυκειῶ ἐκάλεσεν Ὅμηρος· οἶμαι ἀπὸ τοῦ κυκᾶσθαι τὰ εἴδη τῇ τέχνῃ καὶ ἀναμίγνυσθαι· ταύτην δὲ ὁ Νέστωρ ἔλαβεν ἀπὸ τῆς Τενέδου τῆς νήσου. ὅτε καὶ Ἀχιλλεὺς τὴν θυγατέρα τοῦ Ἀρσινόου ἔλαβεν.

21) Cod. ια. Scripsi ἵαμα.

Ἱστορία περὶ Ἑλλάδος καὶ Ἑλλήνων.

Ἕλλας, πόλις Θεσσαλίας, ἧς οἱ πολῖται πρῶτοι εἶχον τοῦτο, τὸ καλεῖσθαι Ἕλληνας· ἀπὸ γὰρ Ἕλληνος τοῦ Δευκαλίωνος καὶ Πύρρας πάντες Ἕλληνες οἱ τῆς Εὐρώπης ἐκλήθησαν, ὀνόματι κοινῷ, ὥς φησιν ὁ Θουκυδίδης ἐν τῇ πρώτῃ· πρὸ δὲ αὐτοῦ μόνοι οὗτοι Ἕλληνες ἐκαλοῦντο· οἱ δὲ ἄλλοι κατὰ ἔθνη ἕκαστος· ὥς που καὶ ὁ ποιητὴς ἐν τῷ καταλόγῳ λέγει· Μυρμιδόνες δ' ἐκαλοῦντο καὶ Ἕλληνες καὶ Ἀχαιοί.

Περὶ Αἰνείου.

Ἐξ Ἀγχίσου καὶ Ἀφροδίτης Αἰνείας, ἐξ Αἰνείου Ἀσκάνιος· ἀπὸ Κρεούσης τῆς θυγατρὸς Πριάμου καὶ Ἀμούλιος καὶ Νεμέτωρ· οὗτος δ' ἦν παλαίτερος Ἀμουλίου, οὗ παντελῶς βουλόμενος τὸ γένος ἀφανίσαι, τὸν μὲν υἱὸν προαναιρεῖ, τὴν δὲ θυγατέρα ἱέρειαν πεποίηκε ναοῦ τοῦ τῆς Ἑστίας.

Περὶ Ἐπειῶν καὶ Ἠλείων.

Ἐπειοὶ οἱ Ἠλεῖοι, ἀπὸ Ἐπειοῦ βασιλέως· οὗτος Ποσειδῶνος καὶ Εὐρυπύλης τῆς Ἐνδυμίωνος παῖς· Ἠλεῖος ὁ κτίσας Ἦλιδα· Ἠλείου δὲ Ἄλεξις καὶ Ἐπειὸς, ἀφ' οὗ Ἐπειοὶ, ὥς φησιν Ἀριστοτέλης ἐν τῷ πέπλῳ.

Περὶ Ἑρμοῦ καὶ Ἀπόλλωνος.

Ἑρμῆς ὁ Διὸς καὶ Μαίας τῆς Ἄτλαντος εὗρε λύραν, καὶ Ἀπόλλωνος βόας κλέψας εὑρέθη ὑπὸ τοῦ θεοῦ διὰ τῆς μαντικῆς· ἀπειλουμένου δὲ τοῦ Ἀπόλλωνος, ἔκλεψεν αὐτοῦ καὶ τὰ ἐπὶ τῶν ὤμων τόξα· μειδιάσας δὲ ὁ θεὸς, ἔδωκεν αὐτῷ τὴν μαντικὴν ῥάβδον, ἀφ' οὗ καὶ χρυσόῤῥαπις [22] ὁ Ἑρμῆς προσηγορεύθη· ἔλαβέ τε παρ' αὐτοῦ

22) Cod. χρυσόραπις.

ιὴν λύραν, ὅθεν καὶ χρυσάορ ὠνομάσθη, ἀπὸ τοῦ τῆς κιθάρας ἀορτῆρος.

Ἀρχὴ τοῦ ζ στοιχείου.

Τὸ ζ μετὰ τοῦ α.

Ζαλεύκου [1] *νόμος· ἐπὶ τῶν ἀποτόμων· Ζάλευκος γὰρ Λοκρῶν νομοθέτης ὠμότατος, ὅμοιον τῷ· Τενέδιος πέλεκυς.*

Ζαράτας [2] *ὁ τοῦ Πυθαγόρου διδάσκαλος τὴν δυάδα ἔλεγε μητέρα, τὸ δὲ ἓν πατέρα· διὸ καὶ βελτίονας εἶναι τῶν ἀριθμῶν, ὅσοι τῇ μονάδι προσεοίκασιν.*

Τὸ ζ μετὰ τοῦ ε.

Ζεὺς [3] *ἀετὸν εἵλετο· ἐπὶ τῶν λυσιτελῆ καὶ καλὰ ἐκλεγομένων· λέγεται γὰρ κατὰ τὴν τοῦ Διὸς γέννησιν τὸν ἀετὸν γεννηθῆναι, ἐν δὲ τῇ πρὸς Γίγαντας μάχῃ παραπτῆναι· διόπερ ἐν τῇ διανεμήσει τῶν πτηνῶν Ζεὺς ἀετὸν εἵλετο· ᾧ καὶ προστάσσει* [4]*, καὶ ἀγγέλῳ χρῆται πρὸς ἐκείνους, οὓς ἐπιφανείας ἀξιοῖ.*

Ζεὺς [5] *κατεῖδε χρόνιος εἰς τὰς διφθέρας· ὅτι οὐκ ἀπρονόητος· τὸν γὰρ Δία φασὶν εἰς διφθέρας τὰ πραττόμενα τοῖς ἀνθρώποις γράφειν· λέγεται ἐπὶ τῶν βραδέως τιμωρουμένων.*

Ζεὺς [6] *κύκνος, ταῦρος, σάτυρος, χρυσὸς δι' ἔρωτα*
Λήδης, Εὐρώπης, Ἀντιόπης, Δανάης.

1) Apost. Cent. IX. 50. Macar. *Ζαλ. νόμος· ἐπὶ τῶν ἀποτόμων· Ζάλευκος γὰρ Λοκροῖς ὠμότερον ἐνομοθέτησεν.*

2) Idem in Laur. et impr. inter apophthegmata relatum est.

3) Apost. Cent. IX. 51.

4) Apogr. Dresd. *προσάσσει.*

5) Apost. Cent. IX. 55.

6) Anthol. Graec. T. III. p. 161. Cfr. Clem. Protrept. G. 2. p. 31. *νῦν δὲ ἤδη μοι δοκοῦσι*

Ζεῦγος [7] *Κροβύλου· λέγεται ἐπὶ πόρνων· οὗτος γὰρ δύο ἔχειν κατηγορεῖτο πορνοβοσκὸς ὢν ἑταίρας· ἄλλοι δὲ ἐπὶ τῶν ὑπερβαλλούσῃ πονηρίᾳ χρωμένων.*

Ζεῦ [8] *πάντων ἀρχὰ πάντων ἀγήτωρ*
Ζεῦ σοὶ πέμπω ταύταν ὕμνων ἀρχάν.

Τὸ $\overline{\zeta}$ *μετὰ τοῦ* $\overline{\eta}$.

Ζεῖ [9] *χύτρα, ζεῖ φιλία· ἐπὶ τῶν δείπνῳ συνιόντων εἰς φιλίαν.*

Ζήνωνος [10] *ἐγκρατέστερος· οὗτος γὰρ ἀκριβῆ δίαιταν εἶχε καὶ λιτὴν, ὥστε καὶ εἰς παροιμίαν χωρῆσαι· ἑβδομήκοντα γὰρ πρὸς τοῖς ἓξ βίους ἔτη κατέστρεψε τὸν βίον ἄνοσος καὶ ὑγιὴς διατελέσας.*

Ζητῶν [11] *ὄψον θοιμάτιον* [12] *ἀπώλεσα· ἐπὶ τῶν ἀτυχεστάτων.*

καὶ οἱ μῦθοι ὑμῖν γεγηρακέναι· δράκων ὁ Ζεὺς οὐκέτι, οὐ κύκνος ἐστὶν, οὐκ ἀετὸς, οὐκ ἄνθρωπος ἐρωτικὸς etc. Isocr. Hel. Encom. 59. *Ἀμφιτρύωνι μὲν γὰρ εἰκασθεὶς ὡς Ἀλκμήνην ἦλθε, χρυσὸς δὲ ῥυεὶς Δανάῃ συνεγένετο, κύκνος δὲ γενόμενος, εἰς τοὺς Νεμέσεως κόλπους κατέφυγε, τούτῳ δὲ πάλιν ὁμοιωθεὶς Λήδαν ἐνύμφευσεν.* Cfr. Sever. Ethop. VIII. Lucian. Dial. D. V. *ἐπὶ τὴν γῆν κάτει μοιχεύσων, χρυσίον ἢ σάτυρος ἢ ταῦρος γενόμενος.* Prometh. c. 17. *οἱ μεμφόμενοι τὴν ἀνθρωποποιΐαν, καὶ μάλιστα τὰς γυναῖκας, ὅμως ἐρᾶτε αὐτῶν, καὶ οὐ διαλείπετε κατιόντες, ἄρτι μὲν ταῦροι, ἄρτι δὲ σάτυροι καὶ κύκνοι γενόμενοι.* Jup. Trag. c. 2. *εἰκὸς γοῦν ἦτοι Δανάην τινὰ, ἢ Σεμέλην, ἢ Εὐρώπην αὖθις εὑρόντα σε ἀνιᾶσθαι ὑπὸ τοῦ ἔρωτος, εἶτα βουλεύεσθαι ταῦρον, ἢ σάτυρον, ἢ χρυσὸν γενόμενον ῥυῆναι διὰ τοῦ ὀρόφου εἰς τὸν κόλπον τῆς ἀγαπωμένης.*

7) Apost. Cent. IX. 52.

8) Clem. Strom. VI. p. 784. 20. Cfr. Plut. de def. Orac. c. 49. *Ζεὺς ἀρχὴ, Ζεὺς μέσα, Διὸς δ' ἐκ πάντα πέλονται.*

9) Apost. Cent. IX. 54. Macar. *ζεῖ χύτρα, ζεῖ φιλία· ἐπὶ τῶν ἀπὸ δείπνου συναρτώντων φιλίαν.* Mosc. bis ζῇ.

10) Apost. Cent. IX. 55. Vide Diog. Laërt. VII. segm. 27. qui Philemonis versus refert:

Φιλοσοφίαν καινὴν γὰρ οὗτος φιλοσοφεῖ,
Πεινῆν διδάσκει, καὶ μαθητὰς λαμβάνει.

11) Apost. Cent. IX. 56.

12) *Θυμάτιον*, quae est egregia Hermanni emendatio ad Ari-

Ζητεῖς [13] *τὸν οὐ παρόντα· ὁ Ἡρακλῆς συμπλέων τοῖς Ἀργοναύταις περί τινα κρήνην ἀποστέλλει τὸν Ὕλαν ὑδρεύσοντα* [14]*· Νηρηΐδες δὲ τὸν νεανίσκον λαβοῦσαι τοῖς ὕδασιν ἀπεθέωσαν. Ἡρακλῆς δὲ μηκέτι τοῦ μειρακίου ὑποστρέφοντος πᾶσαν ὕλην καὶ κρήνην περιτρέχων τὸν οὐ παρόντα ζητῶν κατεφαίνετο, περὶ οὗ φησι καὶ Θεόκριτος* [15].

Κὤχεθ' Ὕλας ὁ ξανθὸς ὕδας ἐπιδόρπιον οἴσων.

Ζῆλος γυναικὸς πάντα πυρπολεῖ δόμον.

Ζηλωτὴν οὐδὲν καλὸν ἐξ αἰσχροῦ φυόμενον.

Ζητεῖν [16] *δεῖ καὶ ἄνδρα καὶ τέκνα καὶ φίλους τοὺς κατὰ τὴν ἀπαλλαγὴν τοῦ βίου παραμένοντας. Πυθαγόρου.*

Ζῆν [17] *κρεῖττόν ἐστιν ἐπὶ στιβάδος κατακείμενον καὶ θαρρεῖν, ἢ ταράττεσθαι χρυσῆν ἔχοντα κλίνην. Τοῦ αὐτοῦ.*

Ζηλωτὸν [18] *ἴσως ὁ πλοῦτος, τίμιον μέντοι καὶ θαυμαστὸν ἡ δικαιοσύνη. Λυκούργου.*

Ζῆθι ὦ ἄνθρωπε, μὴ μόνον, ἵνα φάγῃς καὶ πίῃς, ἀλλ' ἵνα τὸ ζῆν πρὸς τὸ εὖ ζῆν καταχρήσῃ. Ζήνωνος.

Τὸ $\overline{\zeta}$ *μετὰ τοῦ* $\overline{\upsilon}$.

Ζυγὸν [1] *μὴ ὑπερβαίνειν.*

stoph. Nub. 180. nostro quoque loco scribendum videtur.

13) Apost. Cent. IX. 57. Aristoph. Plut. 1127. *ποθεῖς τὸν οὐ παρόντα καὶ μάτην καλεῖς.*

14) Apost. *ὑδρεύσασθαι*, apogr. Dresd. *ὑδρεύσαντα.* Scripsi *ὑδρεύσοντα.* Aoristi et futuri participia saepe commutantur. Cfr. Coray ad Heliod. p. 13.

15) Id. XIII. 36.

16) Stob. T. 1. 21.

17) Stob. T. 5. 28. Bianti tribuit.

18) Stob. T. 9. 50.

1) Apost. Cent. IX. 61. Inter symbola Pythagorica refert Diog. Laërt. VIII. 17. ita explicans segm. 18. *τὸ δὲ ζυγὸν μὴ ὑπερβαίνειν, τουτέστι τὸ ἴσον καὶ δίκαιον μὴ ὑπερβαίνειν.* Clem. Strom. II. 18. p. 470. 8. *ἐντεῦθεν ζυγὸν μὴ ὑπερβαίνειν Πυθαγόρας παραινεῖ*, ubi Potter.

Τὸ ζ̄ μετὰ τοῦ ω̄.

Ζωὴ πίθου [2]· *ἐπὶ τῶν μετρίως ζώντων· ἀπὸ Διογένους τοῦ φιλοσόφου, ᾧ πίθος ἡδίστη διατριβή.*

Ζώνη [3] *περίλαβε τὴν γαστέρα· ἐπὶ τῶν εἴτε ἰσχνῶν, εἴτε παχέων· οἱ γὰρ Ἴβηρες, ὅ, τι ἂν αἱ γυναῖκες αὐτῶν ἐξυφάνωσιν καὶ νήσωσιν, ἐν τῷ κοινῷ δεικνύουσι· χειροτονητοὶ δέ τινες ἄνδρες κρίνουσι τὰ ἔργα τῶν γυναικῶν καὶ τὴν πλεῖστα ἐργασαμένην προτιμῶσιν· ἔχουσι δὲ καὶ μέτρον τι ζώνης, ᾗ τὴν γαστέρα ἂν μὴ περιλαβεῖν δυνηθῶσιν, αἰσχρὸν ἡγοῦνται.*

Ζωὸς [4] *γενήσῃ κρομμύου μοῖραν λαβών· ἐπὶ τῶν ἐκ μικρᾶς αἰτίας μεγάλην δόξαν καρπουμένων.*

Ζῶν μὲν ἐπαίνου, ἀποθανὼν δὲ μακαρίζου. Κυψελλ.

Ζωὸν ἀτιμάσαντες ἀποφθίμενον ποθέουσι
Καί ποθ' ὑπερτύμβοιο καὶ ἀπνόου εἰδώλοιο
Ἄστεα νεῖκος ἐπῆλθεν, ἔριν τ' ἐστήσατο λαός.
Δημητρίου ἐπῶν ποιητοῦ.

Ζῶμεν [5] *οὐχ ὡς θέλομεν, ἀλλ' ὡς δυνάμεθα.*

2) Apost. Cent. IX. 59.

3) Apost. Cent. IX. 60. *περίβαλε* et infra Apost. et Codd. *περιβαλεῖν*. Permutatio frequentissima *τοῦ βαλεῖν* et *λαβεῖν*. Paus. II. 36. 5. *Ἀργεῖοι δὲ εἰς ἔδαφος καταβαλόντες τὴν Ἀσίνην*. Cod. Ven. *καταλαβόντες*: ad marg. *καταβαλόντες*. II. 27. 5. *Δηϊφόντης δέ Κερύνην μὲν ὡς κατελάμβανεν, ἀναιρεῖ βαλών*. Cod. Angel. *λαβών*. IV. 8. 2. *συλλαβεῖν μὲν οὐχ οἷά τε ἦν ἀριθμῷ*. Cod. Paris. Bekkeri *συμβαλλεῖν*. VI. 5. 2. *Ἀλέξανδρος γὰρ τὴν πόλιν ὁ Φεραίων τυραννήσας κατέλαβεν ἐν σπονδαῖς*. Cod. Angel. *κατέβαλεν*. Plut. Demetr. p. 297. A. Ald. *καταλαβὼν ὕλην τινα συνηρεφῆ προσέμενε τὴν νύκτα*. Cod. Patav. Vat. et Card. Rodulfi *καταβαλών*. Iidem et Cod. ex bibl. Grimmanorum legunt: *εἰς ὕλην*. Anton. p. 300. B. *διαλαβὼν τὸν Ἰώνιον καὶ τῆς ἠπείρου χωρίον*. Tres Codd. nominati *διαβαλών* Joann. Sicel. Comment. in Hermog. *φασὶ δυσχερὲς, τὸ κατὰ φύσιν ἢ κατὰ τέχνην γινόμενον τέχνῃ περιλαβεῖν*, suprascriptum *βαλεῖν*. Alia vide apud Schaef. ad Julian. Or. I. p. 11. Wyttenb. ad eandem Or. p. 34. B. Coray ad Heliod. II. p. 53.

4) Apost. Cent. IX. 62. Apogr. Dresd. *κρωμμύου*.

5) Apost. Cent. IX. 63. Ma-

Ζωπύρου τάλαντα [6]. *Κρατῖνός φησι Ζώπυρον Πέρσην ὄντα, ὑπὸ φιλοτιμίας χαριζόμενον βασιλεῖ, παστιγῶσαι ἑαυτὸν καὶ τῆς ῥινὸς καὶ τῶν ὤτων ἀποστερήσαντα εἰσελθεῖν εἰς τὴν Βαβυλῶνα καὶ πιστευθέντα διὰ ταύτην τὴν κακουχίαν καταλαβεῖν τὴν πόλιν, καὶ ἐκ μεταφορᾶς εἰπεῖν τάλαντα καὶ ζυγὰ, οἱονεὶ ἔργα καὶ πράξεις.*

Ζωάγρια τίνειν [7]. *τὰ τῆς ζωῆς χαριστήρια ἀποδοῦναι· χαριστήρια τοῦ εἰς τὸ ζῆν ἦχθαι δι' αὐτῆς.*

Τῷ με μάλα χρεὼ,
Πάντα Θέτι καλλιπλοκάμῳ ζωάγρια τίνειν.

ΑΠΟΦΘΕΓΜΑΤΑ.

Ζήνωνος.

Ζήνων [1] *Μνασέου Κιττιεὺς τὰς τῶν διαλεκτικῶν τέχνας εἴκαζε τοῖς δικαίοις μέτροις, οὐ πυρὸν οὐδ' ἄλλο τι τῶν σπανδαίων μετροῦσιν, ἀλλ' ἄχυρα καὶ κόπρια.*

Ὁ αὐτὸς [2] *πρὸς τοὺς ἀπολογουμένους ὑπὲρ τῆς αὐτῶν ἀσωτίας καὶ λέγοντας, ἐκ πολλοῦ περιόντος ἀναλίσκειν, ἔλεγεν, ἤ που καὶ τοῖς μαγείροις συγγνώσεσθε, ἐὰν ἁλμυρὰ λέγωσι πεποιηκέναι τὰ ὄψα, ὅτι πλῆθος ἁλῶν αὐτοῖς ὑπῆρχεν.*

car. *ὡς ἐθέλομεν.* Frequenter permutatur *θέλειν* et *ἐθέλειν.* Cfr. Boisson. ad Philostr. p. 377. Jacobs. ad Achill. Tat. p. 714. Adde Severi Ethop. IV. *ἐπικουφίζειν ἐθέλων τοῦ δυστυχήματος.* Par. *θέλων.* Joseph. Bell. Jud. VII. 5. 2. *οὐκ ἂν ἐθελήσας ἐκ τῆς συμφορᾶς.* Par. 1425. *θελήσας.* Herm. Progymn. c. 3. *καταλῦσαι αὐτὴν θελήσαι.* Med. Parr. 3. *ἐθελήσαι.* Ad rem cfr. Plat. Hipp. maj. p. 301. A. *οὐχ οἷα βούλεταί τις, φασὶν, ἄνθρωπος ἑκάστοτε, παροιμιαζόμενοι, ἀλλ' οἷα δύναται.*

6) Apost. Cent. IX. 58. Mosc. *Κρατῖνος περὶ Φίλιππον Πέρσην ὄντα κ. τ. λ.* Macar. *ἐπὶ τῶν φορτικά τινα διὰ πλοῦτον ὑπομεινάντων.*

7) Callimach. Fragm. CLXII. *τῶν ἔτι σοι δεκάφυια φάτο ζωάγρια τίσειν.*

1) Stob. T. 82. 5. Codd. et impr. *Κητιεύς.*

2) Stob. T. 15. 12.

Ὁ αὐτὸς τοὺς σοφοὺς μόνους ἐλευθέρους ἔφασκεν εἶναι, τοὺς δὲ φαύλους δούλους· εἶναι γὰρ τὴν ἐλευθερίαν ἐξουσίαν αὐτοπραγίας, τὴν δὲ δουλείαν στέρησιν αὐτοπραγίας.

Ὁ αὐτὸς [3] ἔφη, Κράτητα ἀναγινώσκειν ἐν σκοτίῳ καθήμενον τὸν Ἀριστοτέλους προτρεπτικὸν, ὃν ἔγραψε πρὸς Θεμίσωνα τὸν Κοπρίων βαριλέα, λέγων, ὅτι οὐδενὶ πλείω ἀγαθὰ ὑπάρχει πρὸς τὸ φιλοσοφῆσαι, πλοῦτόν τε γὰρ πλεῖστον αὐτὸν ἔχειν, ὥστε δαπανᾷν εἰς ταῦτα, ἔτι δὲ δόξαν ὑπάρχειν αὐτῷ· ἀναγινώσκοντος δὲ αὐτοῦ τὸν σκυτέα ἔφη προσέχειν ἅμα ῥάπτοντα, καὶ τὸν Κράτητα εἰπεῖν· ἐγώ μοι δοκῶ, ὦ Φιλίσκε, γράφειν εἰς σὲ προτρεπτικὸν, πλείω γὰρ ὁρῶ σοι ὑπάρχοντα πρὸς τὸ φιλοσοφῆσαι, ὧν ἔγραψεν Ἀριστοτέλης.

Ὁ αὐτὸς ἐρωτηθεὶς ὑπό τινος τῶν γνωρίμων, πῶς ἂν μηδὲν ἄδικον πράττοιμεν, εἶπεν, ἐὰν διὰ παντὸς ὑπολαμβάνητέ με συμπαρεῖναι ὑμῖν.

Ὁ αὐτὸς [4] ἐρωτηθεὶς, εἰ δύναται λανθάνειν θεοὺς ἄνθρωπος ἀδικῶν, ἀλλ᾽ οὐδὲ διανοούμενος, ἔφη.

Ὁ αὐτὸς [5] περιπεσὼν ναυαγίῳ καὶ τὰ ὄντα ἀπολέσας οὐδὲν ἀγενὲς ἐφθέγξατο, ἀλλ εὖγε, εἶπεν, ὦ τύχη, ὅτι συνέστειλας ἡμᾶς εἰς τὸ τριβώνιον τοῦτο.

Ὁ αὐτὸς [6] εἶπε, ζῆθι, ὦ ἄνθρωπε, μὴ μόνον, ἵνα φάγῃς καὶ πίῃς, ἀλλ᾽ ἵνα τῷ [7] ζῆν πρὸς τὸ εὖ ζῆν καταχρήσῃ.

Ὁ αὐτὸς ἔλεγε, μὴ δεῖν ζητεῖν τοὺς ἀνθρώπους, οἵτινες ἐκ μεγάλης πόλεώς εἰσιν, ἀλλ᾽ εἰ μεγάλης πόλεως ἄξιοι.

3) Recepi ex Laur. et impr.

4) Thaleti tribuit Diog. Laërt. I. segm. 36.

5) Idem iisdem verbis exstat inter apophth. Cod. Vat. CLI. Impr. *Ζήνων τῆς ναυκληρίας αὐτῷ συντριβείσης, πυθόμενος εἶπεν, εὖγε, ὦ τύχη, ποιεῖς, εἰς τὸν τρίβωνα ἡμᾶς συνελαύνουσα.*

6) Exstat in solo Laur.

7) Cod. τό.

Ζήνωνι [8] *Κιττιεῖ τῷ Μνασίου μετ᾽ οὐ πολὺν χρόνον, ἐπειδὴ παρέβαλε Κράτητι, δίδωσιν αὐτῷ Κράτης χύτραν φακῆς διὰ τοῦ κεραμεικοῦ φέρειν· ἐπειδὴ δὲ εἶδεν αὐτὸν ἀδικούμενον καὶ περικαλύπτοντα, παίσας τῇ βακτηρίᾳ κατάγνυσι τὴν χύτραν· φεύγοντος δὲ αὐτοῦ καὶ τῆς φακῆς κατὰ τῶν σκελῶν ῥεούσης, φησὶν ὁ Κράτης, τί φεύγεις, φοινικίδιον, οὐδὲν δεινὸν πέπονθας.*

Ὁ αὐτὸς [9] *Δημοχάρου τοῦ Λάχητος ἀσπασαμένου αὐτὸν, καὶ φάσκοντος λέγειν καὶ γράφειν, ὧν ἂν χρείαν ἔχει πρὸς Ἀντίγονον, ὡς ἐκείνου πάντα παρέξοντος, ἀκούσας οἰκέτ᾽ αὐτῷ συνδιέτριψε. Λέγεται καὶ μετὰ τὴν τελευτὴν τοῦ Ζήνωνος εἰπεῖν τὸν Ἀντίγονον, οἷον εἴη θέατρον ἀπολωλεκώς. Ἐρωτηθεὶς δὲ, διατί θαυμάζει αὐτὸν, ὅτι, ἔφη, πολλῶν καὶ μεγάλων αὐτῷ διδομένων ὑπ᾽ ἐμοῦ, οὐδὲ πώποτε ἐχαυνώθη, οὐδὲ ταπεινὸς ὤφθη.*

Ὁ αὐτὸς [10] *Ἀρίστωνος τοῦ μαθητοῦ πολλὰ διαλεγομένου οὐκ εἰφυῶς, ἕνια δὲ καὶ προπετῶς καὶ θρασέως, ἀδύνατον, εἶπεν, εἰ μή σε ὁ πατὴρ μεθύων ἐγέννησεν, ὅθεν αὐτὸν καὶ λάλον ἐκάλει βραχυλόγος ὤν.*

Ὁ αὐτὸς [11] *μειρακίου τινὸς περιεργότερον παρὰ τὴν ἡλικίαν ἐρωτῶντος ζητήματα, προσήγαγε πρὸς τὸ κάτοπτρον, καὶ ἐκέλευσεν ἐμβλέψαι· ἔπειτ᾽ ἐπηρώτησεν, εἰ δοκεῖ αὐτῷ ἁρμόττοντα εἶναι ὄψει τοιαύτῃ τοιαῦτα ζητήματα.*

Εἰπόντος [12] *δέ τινος, ὅτι μικρὰ αὐτῷ δοκεῖ τὰ λογάρια τῶν φιλοσόφων, λέγεις, εἶπεν, ἀληθῆ· δεῖ μέντοι καὶ τὰς συλλαβὰς αὐτῶν, εἰ δυνατὸν, βραχείας εἶναι.*

Ὁ αὐτὸς [13] *τὸν φάσκοντα, ὡς τὰ πολλὰ αὐτῷ Ἀντι-*

8) Diog. Laërt. I. 5. Hoc et sqq. usque ad *ταπεινὸς ὤφθη* ex Laur. et impr. recepi.

9) Diog. Laërt. VII. 14. 15.

10) Diog. Laërt. VII. 18. Diogeni tribuit Plut. de educ. c. 5. Vide supra apophthegmata Diogenis p. 209.

11) Recepi ex Laur. et impress. — Segm. 19.

12) Segm. 20.

13) Recepi ex Laur. et impr.

σθένης οὐκ ἀρέσκει, ἠρώτησεν, εἴ τινα καὶ καλὰ ἔχειν αὐτῷ δοκεῖ· τοῦ δ᾽ οὐκ εἰδέναι φήσαντος, εἶτ᾽ οὐκ αἰσχύνῃ, ἔφη, εἰ μέν τι κακὸν ἦν εἰρημένον ὑπ᾽ Ἀντισθένους, τοῦτ᾽ ἐκλεγόμενος καὶ μνημονεύων, εἰ δέ τι καλὸν, οὐκ ἐπιβαλλόμενος κατέχειν.

Νεανίσκου [14] πολλὰ λαλοῦντος ἔφη· τὰ ὦτά σου εἰς τὴν γλῶτταν συνεῤῥύηκεν.

Πάντων [15] ἔλεγεν ἀπρεπέστατον εἶναι τὸν τύφον, καὶ μάλιστα ἐπὶ τῶν νέων· δεῖν δὲ ἔλεγε τοὺς νέους πάσῃ κοσμιότητι χρῆσθαι [16], καὶ πορείᾳ, καὶ σχήματι, καὶ περιβολῇ.

Τὸ κάλλος [17] εἶπε τῆς φωνῆς ἄνθος εἶναι· οἱ δὲ τοῦ κάλλους τὴν φωνήν.

Ὁ αὐτὸς [18] ἕλκοντος αὐτὸν Κράτητος τοῦ ἱματίου ὑπὸ Στίλπωνος παριόντα εἶπεν· ὦ Κράτης, λαβὴ φιλοσόφων ἐστὶν ἐπιδέξιος ἢ διὰ τῶν ὤτων· πείσας οὖν ἕλκε τούτων, εἰ δέ με βιάζῃ, τὸ μὲν σῶμα παρά σοι ἔσται, ἡ ψυχὴ δὲ παρὰ Στίλπωνι· οὕτω φησὶν Ἀπολλόδωρος ὁ Τύριος.

Ὁ αὐτὸς [19] ἐρωτηθεὶς, διατί αὐστηρὸς ὢν ἐπὶ τῷ πότῳ διαχεῖται, ἔφη, καὶ οἱ θέρμοι πικροὶ ὄντες γλυκαίνονται.

Ἔλεγέ τε, κρεῖττον εἶναι τοῖς ποσὶν ὀλισθεῖν, ἢ τῇ γλώττῃ.

Ἐρωτηθεὶς [20], τί ἐστι φίλος, εἶπεν, ἄλλος ἐγώ.

Δοῦλον ἐπὶ κλοπῇ, φασιν, ἐμαστίγου, τοῦ δ᾽ εἰπόντος, εἵμαρτό μοι κλέψαι, ἔφη, εἵμαρτο καὶ δαρῆναι.

Πρὸς [21] τὸ φλυαροῦν μειράκιον, διὰ τοῦτο, εἶπε,

Laur. πρὸς τὸν φάσκοντα. — Segm. 19.

14) Segm. 21.

15) Segm. 22. Hoc et duo sqq. ex Laur. et impr. recepi.

16) Χρῆσθαι abest ab impr. In Laur. serius insertum.

17) Segm. 23.

18) Segm. 24.

19) Segm. 26.

20) Hoc et sq. segm. 25.

21) Ibid. Stob. T. 36. 19. Ζήνων πρὸς τὸν πλείω λαλεῖν θέλοντα ἢ ἀκούειν, νεανίσκε, εἰ-

δύο ὦτα ἔχομεν, στόμα δὲ ἕν, ἵνα πλείω μὲν ἀκούωμεν, ἥττω δὲ λέγωμεν.

Ἐν συμποσίῳ κατακείμενος σιγῇ τὴν αἰτίαν ἠρωτήθη· ἔφη οὖν τῷ ἐγκαλέσαντι, ἀπαγγεῖλαι πρὸς τὸν βασιλέα, ὅτι παρῆν τις σιωπᾶν ἐπιστάμενος.

* Ἄλλως· Ζήνων Ἀντιγόνου πρέσβεις Ἀθήναζε πέμψαντος κληθεὶς ὑπ᾽ αὐτῶν σὺν ἄλλοις φιλοσόφοις ἐπὶ δεῖπνον, κἀκείνων παρὰ πότον σπευδόντων ἐπιδείκνυσθαι τὴν αὐτῶν ἕξιν, αὐτὸς ἐσίγα, τῶν δὲ πρέσβεων ζητούντων, τί ἀπαγγέλωσι περὶ αὐτοῦ πρὸς Ἀντίγονόν, τοῦτ᾽ αὐτὸ, ἔφη, ὃ βλέπετε, δυσκρατέστατον γὰρ ὁ λόγος [22].

Περὶ τοῦ καθήκοντος [23].

Ζήνων Κιττιεὺς πρῶτος ὠνόμασε τὸ καθῆκον, ἀπὸ τοῦ κατά τινος ἥκειν, καὶ ἔτι, ὃ πραχθὲν εὔλογον ἀπολογισμὸν ἔχει· εἶναι δ᾽ αὐτὸ ἐνέργημα ταῖς κατὰ φύσιν παρασκευαῖς ὠκείαις, τῶν γὰρ καθ᾽ ὁρμὴν ἐνεργουμένων τὰ μὲν καθήκοντα εἶναι, τὰ δὲ παρὰ τὸ καθῆκον, καθήκοντα μὲν, ὅσα λόγος ἐρεῖ [24] ποιεῖν, ὡς ἔχει γονεῖς τιμᾶν, ἀδελφοὺς, πατρίδα, συμπεριφέρεσθαι φίλοις, παρὰ τὸ καθῆκον δὲ τἀναντία τούτων, οὔτε δὲ καθήκοντα, οὔτε παρὰ τὸ καθῆκον, ὅσα οὔτε ἐρεῖ λόγος πράττειν οὔτε ἀπαγορεύει, οἷον κάρφος ἀνελέσθαι, γραφεῖον, στλεγγίδα.

* Ὁ αὐτὸς οὐδενὸς ἡμᾶς οὕτω πένεσθαι, ὡς χρόνοι, βραχὺς γὰρ ὄντως ὁ βίος, ἡ δὲ τέχνη μακρὴ, καὶ μᾶλλον ἡ τὰς τῆς ψυχῆς νόσους ἰᾶσθαι δυναμένη.

* Τῶν τις ἐν Ἀκαδημίᾳ νεανίσκων περὶ ἐπιτηδευ-

πεν, ἡ φύσις ἡμῖν γλῶτταν μὲν μίαν, δύο δὲ ὦτα παρέσχεν, ἵνα διπλασίονα, ὧν λέγομεν, ἀκούωμεν.

22) Idem refert Stob. T. 55. 10. Ptolomaei legatos fuisse dicit Laërt. VII. 24.

23) Exstat in Laur. solo. In codem legitur sub littera φ.: φύσις εὐγενὴς, μετρίαν ἄσκησιν προσλαβοῦσα, ῥᾳδίως ἔρχεται πρὸς τελείαν ἀνάληψιν τῆς ἀρετῆς, cum nota: θὲς εἰς τὸ Ζήνων.

24) Malim αἱρεῖ. Cfr. Gata-

μάτων διελέγετο ἀφρόνων· ὁ δὲ Ζήνων, ἐὰν μὴ τὴν γλῶτταν, ἔφη, εἰς νοῦν ἀποβρέξας διαλέγῃ, πολὺ πλείω ἔτι καὶ ἐν τοῖς λόγοις πλημμελήσεις.

* Ὁ αὐτὸς ἰδών τινα τῶν γνωρίμων ὑπὸ τοῦ ἀγροῦ περισπώμενον, εἶπεν, ἐὰν μὴ σὺ τοῦτον ἀπολέσῃς, οὗτος σὲ ἀπολέσει.

Ζ α λ ε ύ κ ο υ.

Ζάλευκος, ὁ τῶν Λοκρῶν νομοθέτης, τοὺς νόμους τοῖς ἀραχνίοις εἶπεν ὁμοίους εἶναι, καὶ γὰρ εἰς ἐκεῖνα, ἐὰν ἐμπέσῃ μυῖα ἢ κώνωψ, κατέχεται, ἐὰν δὲ σφὴξ ἢ μέλιττα διαῤῥήξασα ἀφίπταται· οὕτω καὶ ἐν τοῖς νόμοις, ἐὰν ἐμπέσῃ πένης, συνέχεται, ἐὰν δὲ πλούσιος ἢ δυνατὸς λέγειν, διαῤῥήξας ἀποτρέχει.

Τ ο ῦ α ὐ τ ο ῦ π ρ ο ο ί μ ι ο ν ν ό μ ω ν.

Τοὺς κατοικοῦντας τὴν πόλιν καὶ τὴν χώραν πάντας πρῶτον πεπεῖσθαι χρὴ καὶ νομίζειν θεοὺς εἶναι, καὶ ἀναβλέποντας εἰς οὐρανὸν, καὶ τὸν κόσμον καὶ τὴν ἐν αὐτοῖς διακόσμησιν καὶ τάξιν, οὐ γὰρ τύχης οὐδ' ἀνθρώπων εἶναι δημιουργήματα· σέβεσθαι δὲ τούτους καὶ τιμᾶν ὡς αἰτίους ὄντας ἁπάντων ἡμῖν ἀγαθῶν τῶν κατὰ λόγον γιγνομένων· ἕκαστον οὖν ἔχειν καὶ παρασκευάζειν δεῖ τὴν αὐτοῦ ψυχὴν πάντων τῶν κακῶν καθαράν, ὡς οὐ τιμᾶται θεὸς ὑπ' ἀνθρώπου φαύλου, οὐδὲ θεραπεύεται δαπάναις, οὐδὲ τραγῳδίαις τῶν ἁλισκομένων, καθάπερ μοχθηρὸς ἄνθρωπος, ἀλλ' ἀρετῇ καὶ προαιρέσει τῶν καλῶν ἔργων καὶ δικαίων· διὸ ἕκαστον εἰς δύναμιν ἀγαθὸν εἶναι καὶ πράξει καὶ προαιρέσει τὸν μέλλοντα ἔσεσθαι θεοφιλῆ, καὶ μὴ φοβεῖσθαι τὰς εἰς χρήματα ζημίας μᾶλλον τῶν εἰς αἰσχύνην τεινόντων, καὶ πολίτην ἀμείνονα ὀνομάζειν τὸν τὴν οὐσίαν προϊέμενον μᾶλλον τοῦ

ker ad M. Anton. II. 5. p. 43. Jacobs Lect. Stob. p. 7. Bremi ad Aeschin. in Ctes. p. 447.

καλοῦ καὶ δικαίου· ὅσοις δὲ μὴ ῥᾴδιον πρὸς ταῦτα τὴν ὁρμὴν πεπεῖσθαι, τὴν δὲ ψυχὴν ἔχουσιν εὐκίνητον πρὸς ἀδικίαν, ὧδ' ἡμῖν παρηγγέλθω πᾶσι τοῖς τοιούτοις πολίταις καὶ πολίτισι καὶ συνοίκοις, μεμνῆσθαι θεῶν, ὡς ὄντων καὶ δίκας ἐπιπεμπόντων τοῖς ἀδίκοις, καὶ τίθεσθαι πρὸ ὀμμάτων τὸν καιρὸν τοῦτον, ἐν ᾧ γίγνεται τὸ τέλος ἑκάστῳ τῆς ἀπαλλαγῆς τοῦ ζῆν· πᾶσι γὰρ ἐμπίπτει μεταμέλεια τοῖς μέλλουσι τελευτᾶν, μεμνημένοις ὧν ἀδικήκασι, καὶ ὁρμὴ τοῦ [25] βούλεσθαι πάντα πεπρᾶχθαι δικαίως αὐτοῖς· διὸ δεῖ ἕκαστον παρ' ἑκάστην πρᾶξιν ἀεὶ συνοικειοῦν τὸν καιρὸν τοῦτον, ὡς δεῖ, παρόντα· οὕτω γὰρ μάλιστα τοῦ καλοῦ καὶ τοῦ δικαίου φροντιεῖν.

Ἀρχὴ τοῦ $\overline{\eta}$ στοιχείου.

Τὸ $\overline{\eta}$ μετὰ τοῦ $\overline{\alpha}$.

Ἡ [1] ἀπὸ Σκυθῶν ῥῆσις· ἐπὶ τῶν ὁμοιάζειν τινὰ

25) Impr. τοῖς.

1) Apost. Cent. IX. 64. Vide Herod. IV. 127. ex quo explicat Macar. sub litt. τ.: τὴν ἀπὸ Σκυθῶν ῥῆσιν· ἐπὶ τῶν ὁμοίων καὶ ὑπερηφάνως ἀποκρινομένων.. Πολεμούντων γάρ ποτε πρὸς ἀλλήλους Περσῶν καὶ Σκυθῶν καὶ τοῦ βασιλέως τῶν Περσῶν πρεσβευσαμένου πρὸς τοὺς Σκύθας περὶ εἰρήνης, οἱ Σκῦθαι ἄλλο μὲν οὐδὲν ἀπεκρίναντο, μῦν δὲ καὶ βάτραχον καὶ βέλος τοῖς ἀπελθοῦσιν ἀποκομίζειν τῷ βασιλεῖ παρέδοσαν, αἰνιττόμενοι διὰ τούτων, ὅτι οὐδὲ ἐὰν ὡς βέλος διὰ τοῦ ἀέρος διαπτῇ, ἢ ὡς μῦς εἰς τὴν γῆν ὑποδύῃ, ἢ ὡς βάτραχος εἰς ὕδατα δύνῃ, διαφεύξεται αὐτούς. Ad Anacharsin refert Arsen. infra: τὴν ἀπὸ Σκυθῶν ῥῆσιν, et Diog. Laërt. I. segm. 101. παρέσχε δὲ καὶ ἀφορμὴν παροιμίας διὰ τὸ παῤῥησιαστὴς εἶναι· τὴν ἀπὸ Σκυθῶν ῥῆσιν. Aristid. ὑπὲρ τῶν τεττ. p. 296. οὐ πώποτ' ἡμῖν οὐδὲν πρὸς ἡδονὴν οὔτ' εἶπας οὔτ' ἐποίησας — ἀλλ' ἁπλῶς οὕτωσὶ τὴν ἀπὸ Σκυθῶν ἡμῖν διαλέγει; Themist. Or. II. p. 31. D. ἀκούετε αὖ πάλιν ῥῆσιν ἑτέραν, οὐ τοῦ ἀπὸ Σκυθῶν, ἀλλὰ τοῦ ἀπὸ Σταγείρων. Lucian. Dial. mer. VIII. τὰ μὲν ἄλλα ἡ ἀπὸ Σκυθῶν ῥῆσις, τὸ δὲ μέμψασθαι Κλεινίου, ἔχει τινὰ ὑπόλοιπον ἐλπίδα.

λεγόντων· τοῦτο γὰρ πρὸς Δαρεῖον τὸν Πέρσην ἀπεκρίναντο οἱ Σκῦθαι [2].

Ἡ ἀφύη [3] πῦρ· ἐπὶ τῶν ταχέως λαμβανόντων· παρόσον ἡ ἀφύη ταχέως ἕψεῖται.

Ἡ ἄμαξα [4] τὸν βοῦν· λείπει τὸ ἕλκει· ἐπὶ τῶν ἀπεστραμμένως τι ποιούντων.

Ἡ αὐτάρκεια καθάπερ ὁδὸς βραχεῖα καὶ ἐπιτερπὴς χάριν μὲν ἔχει μεγάλην, πόνον δὲ μικρόν. Ἐπικτήτου.

Τὸ η μετὰ τοῦ β.

Ἡ [5] βραχυλογία ἐγγύς ἐστι τοῦ σιγᾶν· Λυκούργου τἀπόφθεγμα.

Ἡ [6] βαρὺ φόρημα ἄνθρωπος εὐτυχῶν ἄφρων.

Σωσιάδου ἐκ τῶν ὑποθηκῶν τῶν ζ σοφῶν.

Ἥβῶν ἐγκρατὴς ἴσθι, μέσος δίκαιος, πρεσβύτερος εὔλογος, τελεύτα ἀλύπως.

Θεόγνιδος [7].

Ἥβη καὶ νεότης ἐπικουφίζει νόον ἀνδρὸς,
Πολλῶν δ᾽ ἐξαίρει θυμὸν ἐς ἀμπλακίην.

Ἡ Βοιωτία πρότερον ἐκαλεῖτο Ἀονία, ὑπὸ τῶν κατοικούντων αὐτὴν Ἄονων· μετωνομάσθη δὲ Βοιωτία κατὰ μέν τινας ἀπὸ Βοιωτοῦ τοῦ Ποσειδῶνος καὶ Ἄρνης· καθ᾽ ἑτέρους δὲ ἀπὸ τῆς ἐλαθείσης κατὰ Πυθόχρησιν ὑπὸ Κάδμου βοός.

Τὸ η μετὰ τοῦ γ.

Ἡ γὰρ σιωπὴ τῷ λαλοῦντι σύμμαχος. Σοφοκλέους.

2) Codd. ἀπεκρίναντο οἱ Πέρσαι, εἰ μὴ πατὴρ ἦσθα, ἄδεις ἔχων.

3) Apost. Cent. IX. 65.

4) Apost. Cent. IX. 66. Macar. Ἡ ἄμαξα τὸν βοῦν πολλάκις ἐκφέρει· ἐπὶ τῶν πασχόντων, ἃ πολλάκις αὐτοὶ ἐποίουν. Vide supra: ἄμαξα τὸν βοῦν.

5) Apost. Cent. IX. 69.

6) Stob. T. 4. 16. Αἰσχύλου.

7) Stob. T. 52. 12. — Ma-

Ἡ [8] *γὰρ σπάνις πρόχειρος εἰς τὸ δρᾶν κακά.*

Ἡ [9] *γὰρ τυραννὶς ἀδικίας μήτηρ ἔφυ.*

Ἡγοῦμαι [10] *μεγίστην εἶναι τῶν λειτουργιῶν τὸ τὸν* [11] *καθ' ἡμέραν βίον κόσμιον καὶ σώφρονα παρέχειν. Ἰσαίου ἡ γνώμη.*

Ἐ π ί γ ρ α μ μ α.

Ἡγεμόνεσσι δὲ μισθὸν Ἀθηναῖοι τάγ' ἔδωκαν
Ἀντ' εὐεργεσίης καὶ μεγάλης ἀρετῆς.
Μᾶλλόν τις τάδ' ἰδὼν καὶ ἐπεσσομένων ἐθελήσει
Χαίρων ἀμφὶ ξυνοῖς πράγμασι μόχθον ἔχειν.

Τὸ η μετὰ τοῦ δ.

Ἡδὺ χελώνης [12] *κρέα φαγεῖν ἢ μὴ φαγεῖν· τῆς χελώνης ὀλίγα κρέα βρωθέντα στρόφους ποιεῖ, πολλὰ δὲ καθαίρει· ὅθεν ἡ παροιμία, ἐπὶ τῶν ἀποδύντων μὲν πρᾶγμα, στραγγευομένων* [13] *δέ· φασὶ δὲ αὐτὴν Τερψίωνος εἶναι.*

Ἡδύ [14] *γε φίλου λόγος ἐστὶ τοῖς λυπουμένοις. Μενάνδρου.*

Ἀ λ έ ξ ι δ ο ς [15].

Ἥδη γὰρ ὁ βίος οὑμὸς ἑσπέραν ἄγει.

Ἥδη μάλα πολλ' ἔπαθον καὶ πολλ' ἐμόγησα.
Κύμασι καὶ πολέμῳ μετὰ καὶ τύδε τοῖσι γενέσθω.

car. habet: *Ἡβῶντος ἀνδρὸς οὐ βραδέα δρομήματα· ἐπὶ εὐσθενούντων.*

8) Stob. T. 95. 7.

9) Stob. T. 49. 9. *Διονυσίου τυράννου.*

10) Stob. T. 5. 54. Macar. habet: *Ἡ γλῶττα ἀνέγνω, χὴ δὲ φρὴν οὐ μανθάνει· ἐπὶ τῶν ἀμαθῶν.*

11) *Τὸν* equidem inserui.

12) Apost Cent. IX. 68.

13) Codd. *στρατευομένων.* Apost. *στρογγευομένων.* scripsi *στραγγευομένων.*

14) Stob. T. 115. 11.

15) Stob. T. 116. 19.

Εὐριπίδου [16].

Ἤδη νοσῶδες τοῦτο τοῖς ἀμείνοσιν,
Ὅταν πονηρὸς ἀξίωμ' ἀνὴρ ἔχῃ,
Γλώσσῃ κατασχὼν δῆμον [17], οὐδὲν ὢν τὸ πρίν.

Ἀριστοφάνους εἰρήνης.

Ἥδομαι γὰρ καὶ γέγηθα καὶ πέπορδα καὶ γελῶ μᾶλλον,
Ἢ τὸ γῆρας ἐκδὺς ἐκφυγὼν τὴν ἀσπίδα.

Φιλήμονος [18].

Ἥδιον οὐδέν, οὐδὲ μουσικώτερον
Ἔστ', ἢ δύνασθαι λοιδορούμενον φέρειν.
Ὁ λοιδορῶν γὰρ, ἂν ὁ λοιδορούμενος
Μὴ προσποιῆται, λοιδορεῖται λοιδορῶν [19].
Ἡδονὰς [20] τὰς μετὰ τοὺς πόνους διωκτέον, ἀλλ' οὐχὶ τὰς πρὸ τῶν πόνων. Ἀντισθένους.

Ἡδονῆς [21] γὰρ ὁ μὲν ἐκὼν εἰργόμενος σοφὸς, ὁ δὲ μὴ δεόμενος μακάριος· τὸ δὲ γῆρας ἐς ἀμφότερα ἐπιτήδειον, καὶ γὰρ φρονιμωτέρους τοὺς ἀνθρώπους ἀπεργάζεται, καὶ τῶν ἡδέων ἀμελεστέρους. Φαβωρίνου.

Τὸ η μετὰ τοῦ ε.

Ἡ [1] ἐν δημοκρατίῃ πενίη τῆς παρὰ τοῖς δυνατοῖσι καλεομένης εὐδαιμονίης τοσοῦτόν ἐστιν αἱρετωτέρη, ὁκόσον ἐλευθερίη δουλίης.

16) Stob. T. 106. 4. Ἰκετίδων.
17) Apogr. Dresd. γλώσσης κατάρχων δόμων.
18) Stob. T. 19. 2.
19) Mosc. προσποιεῖται, λοιδορεῖται ὁ λοιδορῶν.
20) Stob. T. 29. 65.
21) Stob. T. 115. 22. Macar. habet: Ἡδὺ τἀπόῤῥητα λιχνεύειν· ἐπὶ τῶν πολυπραγμόνων. — Ἡ δέος ἢ λύπη παῖς πατέρι πάντα χρόνον. — Ἡδὺ περὶ δεῖπνον πατρός· ἐπὶ τῶν μακρότερον γηρώντων πατέρων καὶ χαλεπῶν.
1) Stob. T. 43. 42. Δημοκρίτου.

Ζωπύρου τάλαντα [6]. *Κρατῖνός φησι Ζώπυρον Πέρσην ὄντα, ὑπὸ φιλοτιμίας χαριζόμενον βασιλεῖ, μαστιγῶσαι ἑαυτὸν καὶ τῆς ῥινὸς καὶ τῶν ὤτων ἀποστερήσαντα εἰσελθεῖν εἰς τὴν Βαβυλῶνα καὶ πιστευθέντα διὰ ταύτην τὴν κακουχίαν καταλαβεῖν τὴν πόλιν, καὶ ἐκ μεταφορᾶς εἰπεῖν τάλαντα καὶ ζυγὰ, οἱονεὶ ἔργα καὶ πράξεις.*

Ζωάγρια τίνειν [7]. *τὰ τῆς ζωῆς χαριστήρια ἀποδοῦναι· χαριστήρια τοῦ εἰς τὸ ζῆν ἦχθαι δι' αὐτῆς.*

Τῷ με μάλα χρεὼ,
Πάντα Θέτι καλλιπλοκάμῳ ζωάγρια τίνειν.

ΑΠΟΦΘΕΓΜΑΤΑ.

Ζήνωνος.

Ζήνων [1] *Μνασέου Κιττιεὺς τὰς τῶν διαλεκτικῶν τέχνας εἴκαζε τοῖς δικαίοις μέτροις, οὐ πυρὸν οὐδ' ἄλλο τι τῶν σπανδαίων μετροῦσιν, ἀλλ' ἄχυρα καὶ κόπρια.*

Ὁ αὐτὸς [2] *πρὸς τοὺς ἀπολογουμένους ὑπὲρ τῆς αὐτῶν ἀσωτίας καὶ λέγοντας, ἐκ πολλοῦ περιόντος ἀναλίσκειν, ἔλεγεν, ἤ που καὶ τοῖς μαγείροις συγγνώσεσθε, ἐὰν ἁλμυρὰ λέγωσι πεποιηκέναι τὰ ὄψα, ὅτι πλῆθος ἁλῶν αὐτοῖς ὑπῆρχεν.*

car. *ὡς ἐθέλομεν.* Frequenter permutatur *θέλειν* et *ἐθέλειν.* Cfr. Boisson. ad Philostr. p. 577. Jacobs. ad Achill. Tat. p. 714. Adde Severi Ethop. IV. *ἐπικουφίζειν ἐθέλων τοῦ δυστυχήματος.* Par. *θέλων.* Joseph. Bell. Jud. VII. 5. 2. *οὐκ ἂν ἐθελήσας ἐκ τῆς συμφορᾶς.* Par. 1425. *θελήσας.* Herm. Progymn. c. 3. *καταλῦσαι αὐτὴν θελήσαι.* Med. Parr. 3. *ἐθελήσαι.* Ad rem cfr. Plat. Hipp. maj. p. 301. A. *οὐχ οἷα βούλεταί τις, φασὶν, ἄνθρωπος ἑκάστοτε, παροιμιαζόμενοι, ἀλλ' οἷα δύναται.*

6) Apost. Cent. IX. 58. Mosc. *Κρατῖνος περὶ Φίλιππον Πέρσην ὄντα κ. τ. λ.* Macar. *ἐπὶ τῶν φορτικά τινα διὰ πλοῦτον ὑπομεινάντων.*

7) Callimach. Fragm. CLXII. *τῶν ἔτι σοι δεκάφυια φάτο ζωάγρια τίσειν.*

1) Stob. T. 82. 5. Codd. et impr. *Κητιεύς.*

2) Stob. T. 15. 12.

Ὁ αὐτὸς τοὺς σοφοὺς μόνους ἐλευθέρους ἔφασκεν εἶναι, τοὺς δὲ φαύλους δούλους· εἶναι γὰρ τὴν ἐλευθερίαν ἐξουσίαν αὐτοπραγίας, τὴν δὲ δουλείαν στέρησιν αὐτοπραγίας.

Ὁ αὐτὸς [3] ἔφη, Κράτητα ἀναγινώσκειν ἐν σκοτίῳ καθήμενον τὸν Ἀριστοτέλους προτρεπτικὸν, ὃν ἔγραψε πρὸς Θεμίσωνα τὸν Κοπρίων βασιλέα, λέγων, ὅτι οὐδενὶ πλείω ἀγαθὰ ὑπάρχει πρὸς τὸ φιλοσοφῆσαι, πλοῦτόν τε γὰρ πλεῖστον αὐτὸν ἔχειν, ὥστε δαπανᾷν εἰς ταῦτα, ἔτι δὲ δόξαν ὑπάρχειν αὐτῷ· ἀναγινώσκοντος δὲ αὐτοῦ τὸν σκυτέα ἔφη προσέχειν ἅμα ᾁπτοντα, καὶ τὸν Κράτητα εἰπεῖν· ἐγώ μοι δοκῶ, ὦ Φιλίσκε, γράφειν εἰς σὲ προτρεπτικὸν, πλείω γὰρ ὁρῶ σοι ὑπάρχοντα πρὸς τὸ φιλοσοφῆσαι, ὧν ἔγραψεν Ἀριστοτέλης.

Ὁ αἰτὸς ἐρωτηθεὶς ὑπό τινος τῶν γνωρίμων, πῶς ἂν μηδὲν ἄδικον πράττοιμεν, εἶπεν, ἐὰν διὰ παντὸς ὑπολαμβάνητέ με συμπαρεῖναι ὑμῖν.

Ὁ αὐτὸς [4] ἐρωτηθεὶς, εἰ δύναται λανθάνειν θεοὺς ἄνθρωπος ἀδικῶν, ἀλλ᾽ οὐδὲ διανοούμενος, ἔφη.

Ὁ αὐτὸς [5] περιπεσὼν ναυαγίῳ καὶ τὰ ὄντα ἀπολέσας οὐδὲν ἀγενὲς ἐφθέγξατο, ἀλλ εὖγε, εἶπεν, ὦ τύχη, ὅτι συνέστειλας ἡμᾶς εἰς τὸ τριβώνιον τοῦτο.

Ὁ αὐτὸς [6] εἶπε, ζῆθι, ὦ ἄνθρωπε, μὴ μόνον, ἵνα φάγῃς καὶ πίῃς, ἀλλ᾽ ἵνα τῷ [7] ζῆν πρὸς τὸ εὖ ζῆν καταχρήσῃ.

Ὁ αὐτὸς ἔλεγε, μὴ δεῖν ζητεῖν τοὺς ἀνθρώπους, οἵτινες ἐκ μεγάλης πόλεώς εἰσιν, ἀλλ᾽ εἰ μεγάλης πόλεως ἄξιοι.

3) Recepi ex Laur. et impr.

4) Thaleti tribuit Diog. Laërt. I. segm. 36.

5) Idem iisdem verbis exstat inter apophth. Cod. Vat. CLI. Impr. Ζήνων τῆς ναυκληρίας αὐτῷ συντριβείσης, πυθόμενος εἶπεν, εὖγε, ὦ τύχη, ποιεῖς, εἰς τὸν τρίβωνα ἡμᾶς συνελαύνουσα.

6) Exstat in solo Laur.

7) Cod. τό.

Ζήνωνι [8] *Κιττιεῖ τῷ Μνασίου μετ᾽ οὐ πολὺν χρόνον, ἐπειδὴ παρέβαλε Κράτητι, δίδωσιν αὐτῷ Κράτης χύτραν φακῆς διὰ τοῦ κεραμεικοῦ φέρειν· ἐπειδὴ δὲ εἶδεν αὐτὸν ἀδικούμενον καὶ περικαλύπτοντα, παίσας τῇ βακτηρίᾳ κατάγνυσι τὴν χύτραν· φεύγοντος δὲ αὐτοῦ καὶ τῆς φακῆς κατὰ τῶν σκελῶν ῥεούσης, φησὶν ὁ Κράτης, τί φεύγεις, φοινικίδιον, οὐδὲν δεινὸν πέπονθας.*

Ὁ αὐτὸς [9] *Δημοχάρου τοῦ Λάχητος ἀσπασαμένου αὐτὸν, καὶ φάσκοντος λέγειν καὶ γράφειν, ὧν ἂν χρείαν ἔχει πρὸς Ἀντίγονον, ὡς ἐκείνου πάντα παρέξοντος, ἀκούσας οἰκέτ᾽ αὐτῷ συνδιέτριψε. Λέγεται καὶ μετὰ τὴν τελευτὴν τοῦ Ζήνωνος εἰπεῖν τὸν Ἀντίγονον, οἷον εἴη θέατρον ἀπολωλεκώς. Ἐρωτηθεὶς δὲ, διατί θαυμάζει αὐτὸν, ὅτι, ἔφη, πολλῶν καὶ μεγάλων αὐτῷ διδομένων ὑπ᾽ ἐμοῦ, οὐδὲ πώποτε ἐχαυνώθη, οὐδὲ ταπεινὸς ὤφθη.*

Ὁ αὐτὸς [10] *Ἀρίστωνος τοῦ μαθητοῦ πολλὰ διαλεγομένου οὐκ εἰφυῶς, ἔνια δὲ καὶ προπετῶς καὶ θρασέως, ἀδύνατον, εἶπεν, εἰ μή σε ὁ πατὴρ μεθύων ἐγέννησεν, ὅθεν αὐτὸν καὶ λάλον ἐκάλει βραχυλόγος ὤν.*

Ὁ αὐτὸς [11] *μειρακίου τινὸς περιεργότερον παρὰ τὴν ἡλικίαν ἐρωτῶντος ζητήματα, προσήγαγε πρὸς τὸ κάτοπτρον, καὶ ἐκέλευσεν ἐμβλέψαι· ἔπειτ᾽ ἐπηρώτησεν, εἰ δοκεῖ αὐτῷ ἁρμόττοντα εἶναι ὄψει τοιαύτῃ τοιαῦτα ζητήματα.*

Εἰπόντος [12] *δέ τινος, ὅτι μικρὰ αὐτῷ δοκεῖ τὰ λογάρια τῶν φιλοσόφων, λέγεις, εἶπεν, ἀληθῆ· δεῖ μέντοι καὶ τὰς συλλαβὰς αὐτῶν, εἰ δυνατὸν, βραχείας εἶναι.*

Ὁ αὐτὸς [13] *τὸν φάσκοντα, ὡς τὰ πολλὰ αὐτῷ Ἀντι-*

8) Diog. Laërt. I. 3. Hoc et sqq. usque ad *ταπεινὸς ὤφθη* ex Laur. et impr. recepi.

9) Diog. Laërt. VII. 14. 15.

10) Diog. Laërt. VII. 18. Diogeni tribuit Plut. de educ. c. 3. Vide supra apophthegmata Diogenis p. 209.

11) Recepi ex Laur. et impress. — Segm. 19.

12) Segm. 20.

13) Recepi ex Laur. et impr.

σθένης οὐκ ἀρέσκει, ἠρώτησεν, εἴ τινα καὶ καλὰ ἔχειν αὐτῷ δοκεῖ· τοῦ δ᾽ οὐκ εἰδέναι φήσαντος, εἶτ᾽ οὐκ αἰσχύνῃ, ἔφη, εἰ μέν τι κακὸν ἦν εἰρημένον ὑπ᾽ Ἀντισθένους, τοῦτ᾽ ἐκλεγόμενος καὶ μνημονεύων, εἰ δέ τι καλὸν, οὐκ ἐπιβαλλόμενος κατέχειν.

Νεανίσκου [14] πολλὰ λαλοῦντος ἔφη· τὰ ὦτά σου εἰς τὴν γλῶτταν συνεῤῥύηκεν.

Πάντων [15] ἔλεγεν ἀπρεπέστατον εἶναι τὸν τύφον, καὶ μάλιστα ἐπὶ τῶν νέων· δεῖν δὲ ἔλεγε τοὺς νέους πάσῃ κοσμιότητι χρῆσθαι [16], καὶ πορείᾳ, καὶ σχήματι, καὶ περιβολῇ.

Τὸ κάλλος [17] εἶπε τῆς φωνῆς ἄνθος εἶναι· οἱ δὲ τοῦ κάλλους τὴν φωνήν.

Ὁ αὐτὸς [18] ἕλκοντος αὐτὸν Κράτητος τοῦ ἱματίου ἀπὸ Στίλπωνος παριόντα εἶπεν· ὦ Κράτης, λαβὴ φιλοσόφων ἐστὶν ἐπιδέξιος ἡ διὰ τῶν ὤτων· πείσας οὖν ἕλκε τούτων, εἰ δέ με βιάζῃ, τὸ μὲν σῶμα παρά σοι ἔσται, ἡ ψυχὴ δὲ παρὰ Στίλπωνι· οὕτω φησὶν Ἀπολλόδωρος ὁ Τύριος.

Ὁ αὐτὸς [19] ἐρωτηθεὶς, διατί αὐστηρὸς ὢν ἐπὶ τῷ πότῳ διαχεῖται, ἔφη, καὶ οἱ θέρμοι πικροὶ ὄντες γλυκαίνονται.

Ἔλεγέ τε, κρεῖττον εἶναι τοῖς ποσὶν ὀλισθεῖν, ἢ τῇ γλώττῃ.

Ἐρωτηθεὶς [20], τί ἐστι φίλος, εἶπεν, ἄλλος ἐγώ.

Δοῦλον ἐπὶ κλοπῇ, φασιν, ἐμαστίγου, τοῦ δ᾽ εἰπόντος, εἵμαρτό μοι κλέψαι, ἔφη, εἵμαρτο καὶ δαρῆναι.

Πρὸς [21] τὸ φλυαροῦν μειράκιον, διὰ τοῦτο, εἶπε,

Laur. πρὸς τὸν φάσκοντα. — Segm. 19.

14) Segm. 21.

15) Segm. 22. Hoc et duo sqq. ex Laur. et impr. recepi.

16) Χρῆσθαι abest ab impr. In Laur. serius insertum.

17) Segm. 23.

18) Segm. 24.

19) Segm. 26.

20) Hoc et sq. segm. 25.

21) Ibid. Stob. T. 36. 19. Ζήνων πρὸς τὸν πλείω λαλεῖν θέλοντα ἢ ἀκούειν, νεανίσκε, εἰ-

δύο ὦτα ἔχομεν, στόμα δὲ ἕν, ἵνα πλείω μὲν ἀκούωμεν, ἧττω δὲ λέγωμεν.

Ἐν συμποσίῳ κατακείμενος σιγῇ τὴν αἰτίαν ἠρωτήθη· ἔφη οὖν τῷ ἐγκαλέσαντι, ἀπαγγεῖλαι πρὸς τὸν βασιλέα, ὅτι παρῆν τις σιωπᾶν ἐπιστάμενος.

** Ἄλλως· Ζήνων Ἀντιγόνου πρέσβεις Ἀθήναζε πέμψαντος κληθεὶς ὑπ᾽ αὐτῶν σὺν ἄλλοις φιλοσόφοις ἐπὶ δεῖπνον, κἀκείνων παρὰ πότον σπευδόντων ἐπιδείκνυσθαι τὴν αὐτῶν ἕξιν, αὐτὸς ἐσίγα, τῶν δὲ πρέσβεων ζητούντων, τί ἀπαγγέλωσι περὶ αὐτοῦ πρὸς Ἀντίγονον, τοῦτ᾽ αὐτό, ἔφη, ὃ βλέπετε, δυσκρατέστατον γὰρ ὁ λόγος* [22].

Περὶ τοῦ καθήκοντος [23].

Ζήνων Κιττιεὺς πρῶτος ὠνόμασε τὸ καθῆκον, ἀπὸ τοῦ κατά τινος ἥκειν, καὶ ἔτι, ὃ πραχθὲν εὔλογον ἀπολογισμὸν ἔχει· εἶναι δ᾽ αὐτὸ ἐνέργημα ταῖς κατὰ φύσιν παρασκευαῖς ὠκείαις, τῶν γὰρ καθ᾽ ὁρμὴν ἐνεργουμένων τὰ μὲν καθήκοντα εἶναι, τὰ δὲ παρὰ τὸ καθῆκον, καθήκοντα μὲν, ὅσα λόγος ἐρεῖ [24] *ποιεῖν, ὡς ἔχει γονεῖς τιμᾶν, ἀδελφοὺς, πατρίδα, συμπεριφέρεσθαι φίλοις, παρὰ τὸ καθῆκον δὲ τἀναντία τούτων, οὔτε δὲ καθήκοντα, οὔτε παρὰ τὸ καθῆκον, ὅσα οὔτε ἐρεῖ λόγος πράττειν οὔτε ἀπαγορεύει, οἷον κάρφος ἀνελέσθαι, γραφεῖον, στλεγγίδα.*

** Ὁ αὐτὸς οὐδενὸς ἡμᾶς οὕτω πένεσθαι, ὡς χρύσου, βραχὺς γὰρ ὄντως ὁ βίος, ἡ δὲ τέχνη μακρὴ, καὶ μᾶλλον ἡ τὰς τῆς ψυχῆς νόσους ἰᾶσθαι δυναμένη.*

** Τῶν τις ἐν Ἀκαδημίᾳ νεανίσκων περὶ ἐπιτηδευ-*

πεν, ἡ φύσις ἡμῖν γλῶτταν μὲν μίαν, δύο δὲ ὦτα παρέσχεν, ἵνα διπλασίονα, ὧν λέγομεν, ἀκούωμεν.

22) Idem refert Stob. T. 55. 10. Ptolomaei legatos fuisse dicit Laërt. VII. 24.

23) Exstat in Laur. solo. In codem legitur sub littera φ.: *φύσις εὐγενὴς, μετρίαν ἄσκησιν προσλαβοῦσα, ῥᾳδίως ἔρχεται πρὸς τελείαν ἀνάληψιν τῆς ἀρετῆς*, cum nota: *θὲς εἰς τὸ Ζήνων.*

24) Malim *αἱρεῖ*. Cfr. Gata-

μάτων διελέγετο ἀφρόνων· ὁ δὲ Ζήνων, ἐὰν μὴ τὴν γλῶτταν, ἔφη, εἰς νοῦν ἀποβρέξας διαλέγῃ, πολὺ πλείω ἔτι καὶ ἐν τοῖς λόγοις πλημμελήσεις.

* Ὁ αὐτὸς ἰδών τινα τῶν γνωρίμων ὑπὸ τοῦ ἀγροῦ περισπώμενον, εἶπεν, ἐὰν μὴ σὺ τοῦτον ἀπολέσῃς, οὗτος σὲ ἀπολέσει.

Ζαλεύκου.

Ζάλευκος, ὁ τῶν Λοκρῶν νομοθέτης, τοὺς νόμους τοῖς ἀραχνίοις εἶπεν ὁμοίους εἶναι, καὶ γὰρ εἰς ἐκεῖνα, ἐὰν ἐμπέσῃ μυῖα ἢ κώνωψ, κατέχεται, ἐὰν δὲ σφὴξ ἢ μέλιττα διαῤῥήξασα ἀφίπταται· οὕτω καὶ ἐν τοῖς νόμοις, ἐὰν ἐμπέσῃ πένης, συνέχεται, ἐὰν δὲ πλούσιος ἢ δυνατὸς λέγειν, διαῤῥήξας ἀποτρέχει.

Τοῦ αὐτοῦ προοίμιον νόμων.

Τοὺς κατοικοῦντας τὴν πόλιν καὶ τὴν χώραν πάντας πρῶτον πεπεῖσθαι χρὴ καὶ νομίζειν θεοὺς εἶναι, καὶ ἀναβλέποντας εἰς οὐρανὸν, καὶ τὸν κόσμον καὶ τὴν ἐν αὐτοῖς διακόσμησιν καὶ τάξιν, οὐ γὰρ τύχης οὐδ' ἀνθρώπων εἶναι δημιουργήματα· σέβεσθαι δὲ τούτους καὶ τιμᾷν ὡς αἰτίους ὄντας ἁπάντων ἡμῖν ἀγαθῶν τῶν κατὰ λόγον γιγνομένων· ἕκαστον οὖν ἔχειν καὶ παρασκευάζειν δεῖ τὴν αὑτοῦ ψυχὴν πάντων τῶν κακῶν καθαράν, ὡς οὐ τιμᾶται θεὸς ὑπ' ἀνθρώπου φαύλου, οὐδὲ θεραπεύεται δαπάναις, οὐδὲ τραγῳδίαις τῶν ἁλισκομένων, καθάπερ μοχθηρὸς ἄνθρωπος, ἀλλ' ἀρετῇ καὶ προαιρέσει τῶν καλῶν ἔργων καὶ δικαίων· διὸ ἕκαστον εἰς δύναμιν ἀγαθὸν εἶναι καὶ πράξει καὶ προαιρέσει τὸν μέλλοντα ἔσεσθαι θεοφιλῆ, καὶ μὴ φοβεῖσθαι τὰς εἰς χρήματα ζημίας μᾶλλον τῶν εἰς αἰσχύνην τεινόντων, καὶ πολίτην ἀμείνονα ὀνομάζειν τὸν τὴν οὐσίαν προϊέμενον μᾶλλον τοῦ

ker ad M. Anton. II. 5. p. 43. Jacobs Lect. Stob. p. 7. Bremi ad Aeschin. in Ctes. p. 447.

καλοῦ καὶ δικαίου· ὅσοις δὲ μὴ ῥᾴδιον πρὸς ταῦτα τὴν ὁρμὴν πεπεῖσθαι, τὴν δὲ ψυχὴν ἔχουσιν εὐκίνητον πρὸς ἀδικίαν, ὧδ' ἡμῖν παρηγγέλθω πᾶσι τοῖς τοιούτοις πολίταις καὶ πολίτισι καὶ συνοίκοις, μεμνῆσθαι θεῶν, ὡς ὄντων καὶ δίκας ἐπιπεμπόντων τοῖς ἀδίκοις, καὶ τίθεσθαι πρὸ ὀμμάτων τὸν καιρὸν τοῦτον, ἐν ᾧ γίγνεται τὸ τέλος ἑκάστῳ τῆς ἀπαλλαγῆς τοῦ ζῆν· πᾶσι γὰρ ἐμπίπτει μεταμέλεια τοῖς μέλλουσι τελευτᾷν, μεμνημένοις ὧν ἀδικήκασι, καὶ ὁρμὴ τοῦ [25] βούλεσθαι πάντα πεπρᾶχθαι δικαίως αὐτοῖς· διὸ δεῖ ἕκαστον παρ' ἑκάστην πρᾶξιν ἀεὶ συνοικειοῦν τὸν καιρὸν τοῦτον, ὡς δεῖ, παρόντα· οὕτω γὰρ μάλιστα τοῦ καλοῦ καὶ τοῦ δικαίου φροντιεῖν.

Ἀρχὴ τοῦ $\overline{\eta}$ στοιχείου.

Τὸ $\overline{\eta}$ μετὰ τοῦ $\overline{\alpha}$.

'Η [1] ἀπὸ Σκυθῶν ῥῆσις· ἐπὶ τῶν οἰμώζειν πνὰ

25) Impr. τοῖς.

1) Apost. Cent. IX. 64. Vide Herod. IV. 127. ex quo explicat Macar. sub litt. τ.: τὴν ἀπὸ Σκυθῶν ῥῆσιν· ἐπὶ τῶν οἰμῶν καὶ ὑπερηφάνως ἀποκρινομένων.. Πολεμούντων γάρ ποτε πρὸς ἀλλήλους Περσῶν καὶ Σκυθῶν καὶ τοῦ βασιλέως τῶν Περσῶν πρεσβευσαμένου πρὸς τοὺς Σκύθας περὶ εἰρήνης, οἱ Σκῦθαι ἄλλο μὲν οὐδὲν ἀπεκρίναντο, μῦν δὲ καὶ βάτραχον καὶ βέλος τοῖς ἀπελθοῦσιν ἀποκομίζειν τῷ βασιλεῖ παρέδοσαν, αἰνιττόμενοι διὰ τούτων, ὅτι οὐδὲ ἐὰν ὡς βέλος διὰ τοῦ ἀέρος διαπτῇ, ἢ ὡς μῦς εἰς τὴν γῆν ὑποδύῃ, ἢ ὡς βάτραχος εἰς ὕδατα δύνῃ, διαφεύξεται αὐτούς. Ad Anacharsin refert Arsen. infra: τὴν ἀπὸ Σκυθῶν ῥῆσιν, et Diog. Laërt. I. segm. 101. παρέσχε δὲ καὶ ἄφορμὴν παροιμίας διὰ τὸ παῤῥησιαστὴς εἶναι· τὴν ἀπὸ Σκυθῶν ῥῆσιν. Aristid. ὑπὲρ τῶν τεττ. p. 296. οὐ πάποτ' ἡμῖν οὐδὲν πρὸς ἡδονὴν οὔτ' εἶπας οὔτ' ἐποίησας — ἀλλ' ἁπλῶς οὐτωσὶ τὴν ἀπὸ Σκυθῶν ἡμῖν διαλέγει; Themist. Or. II. p. 51. D. ἀκούετε αὖ πάλιν ῥῆσιν ἑτέραν, οὐ τοῦ ἀπὸ Σκυθῶν, ἀλλὰ τοῦ ἀπὸ Σταγείρων. Lucian. Dial. mer. VIII. τὰ μὲν ἄλλα ἡ ἀπὸ Σκυθῶν ῥῆσις, τὸ δὲ μέμψασο Κλεινίου, ἔχει τινὰ ὑπόλοιπον ἐλπίδα.

λεγόντων· τοῦτο γὰρ πρὸς Δαρεῖον τὸν Πέρσην ἀπεκρίναντο οἱ Σκῦθαι [2].

Ἡ ἀφύη [3] πῦρ· ἐπὶ τῶν ταχέως λαμβανόντων· παρόσον ἡ ἀφύη ταχέως ἕψεῖται.

Ἡ ἅμαξα [4] τὸν βοῦν· λείπει τὸ ἕλκει· ἐπὶ τῶν ἀπεστραμμένως τι ποιούντων.

Ἡ αὐτάρκεια καθάπερ ὁδὸς βραχεῖα καὶ ἐπιτερπὴς χάριν μὲν ἔχει μεγάλην, πόνον δὲ μικρόν. Ἐπικτήτου.

Τὸ η μετὰ τοῦ β.

Ἡ [5] βραχυλογία ἐγγύς ἐστι τοῦ σιγᾶν· Λυκούργου τἀπόφθεγμα.

Ἡ [6] βαρὺ φόρημα ἄνθρωπος εὐτυχῶν ἄφρων.

Σωσιάδου ἐκ τῶν ὑποθηκῶν τῶν ζ σοφῶν.

Ἥβῶν ἐγκρατὴς ἴσθι, μέσος δίκαιος, πρεσβύτερος εὔλογος, τελεύτα ἀλύπως.

Θεόγνιδος [7].

Ἥβη καὶ νεότης ἐπικουφίζει νόον ἀνδρὸς,
Πολλῶν δ' ἐξαίρει θυμὸν ἐς ἀμπλακίην.

Ἡ Βοιωτία πρότερον ἐκαλεῖτο Ἀονία, ὑπὸ τῶν κατοικούντων αὐτὴν Ἀόνων· μετωνομάσθη δὲ Βοιωτία κατὰ μέν τινας ἀπὸ Βοιωτοῦ τοῦ Ποσειδῶνος καὶ Ἄρνης· καθ' ἑτέρους δὲ ἀπὸ τῆς ἐλαθείσης κατὰ Πυθόχρησιν ὑπὸ Κάδμου βοός.

Τό η μετὰ τοῦ γ.

Ἡ γὰρ σιωπὴ τῷ λαλοῦντι σύμμαχος. Σοφοκλέους.

2) Codd. ἀπεκρίναντο οἱ Πέρσαι, εἰ μὴ πατὴρ ἦσθα, ἄδεις ἴχων.

3) Apost. Cent. IX. 65.

4) Apost. Cent. IX. 66. Macar. Ἡ ἅμαξα τὸν βοῦν πολλάκις ἐκφέρει· ἐπὶ τῶν πασχόντων, ἃ πολλάκις αὐτοὶ ἐποίουν. Vide supra: ἅμαξα τὸν βοῦν.

5) Apost. Cent. IX. 69.

6) Stob. T. 4. 16. Αἰσχύλου.

7) Stob. T. 52. 12. — Ma-

Ἡ [8] *γὰρ σπάνις πρόχειρος εἰς τὸ δρᾶν κακά.*

Ἡ [9] *γὰρ τυραννὶς ἀδικίας μήτηρ ἔφυ.*

Ἡγοῦμαι [10] *μεγίστην εἶναι τῶν λειτουργιῶν τὸ τὸν* [11] *καθ' ἡμέραν βίον κόσμιον καὶ σώφρονα παρέχειν. Ἰσαίου ἡ γνώμη.*

Ἐπίγραμμα.

Ἡγεμόνεσσι δὲ μισθὸν Ἀθηναῖοι τάγ' ἔδωκαν
Ἀντ' εὐεργεσίης καὶ μεγάλης ἀρετῆς.
Μᾶλλόν τις τάδ' ἰδὼν καὶ ἐπεσσομένων ἐθελήσει
Χαίρων ἀμφὶ ξυνοῖς πράγμασι μόχθον ἔχειν.

Τὸ η μετὰ τοῦ δ.

Ἡδὺ χελώνης [12] *κρέα φαγεῖν ἢ μὴ φαγεῖν· τῆς χελώνης ὀλίγα κρέα βρωθέντα στρόφους ποιεῖ, πολλὰ δὲ καθαίρει· ὅθεν ἡ παροιμία, ἐπὶ τῶν ἀποδύντων μὲν πρᾶγμα, στραγγευομένων* [13] *δέ· φασὶ δὲ αὐτὴν Τερψίωνος εἶναι.*

Ἡδύ [14] *γε φίλου λόγος ἐστὶ τοῖς λυπουμένοις. Μενάνδρου.*

Ἀλέξιδος [15].

Ἤδη γὰρ ὁ βίος οὑμὸς ἑσπέραν ἄγει.

Ἤδη μάλα πολλ' ἔπαθον καὶ πολλ' ἐμόγησα.
Κύμασι καὶ πολέμῳ μετὰ καὶ τόδε τοῖσι γενέσθω.

car. habet: *Ἥβωντος ἀνδρὸς οὐ βραδέα δρομήματα· ἐπὶ εὐσθενούντων.*

8) Stob. T. 95. 7.

9) Stob. T. 49. 9. *Διονυσίου τυράννου.*

10) Stob. T. 5. 54. Macar. habet: *Ἡ γλῶττα ἀνέγνω, χὴ δὲ φρὴν οὐ μανθάνει· ἐπὶ τῶν ἀμαθῶν.*

11) *Τὸν* equidem inserui.

12) Apost Cent. IX. 68.

13) Codd. *στρατευομένων.* Apost. *στρογγευομένων.* scripsi *στραγγευομένων.*

14) Stob. T. 115. 11.

15) Stob. T. 116. 19.

Εὐριπίδου [16].

Ἤδη νοσοῦδες τοῦτο τοῖς ἀμείνοσιν,
Ὅταν πονηρὸς ἀξίωμ᾽ ἀνὴρ ἔχῃ,
Γλώσσῃ κατασχὼν δῆμον [17], οὐδὲν ὢν τὸ πρίν.

Ἀριστοφάνους εἰρήνης.

Ἥδομαι γὰρ καὶ γέγηθα καὶ πέπορδα καὶ γελῶ μᾶλλον,
Ἢ τὸ γῆρας ἐκδὺς ἐκφυγὼν τὴν ἀσπίδα.

Φιλήμονος [18].

Ἥδιον οὐδέν, οὐδὲ μουσικώτερον
Ἔστ᾽, ἢ δύνασθαι λοιδορούμενον φέρειν.
Ὁ λοιδορῶν γὰρ, ἂν ὁ λοιδορούμενος
Μὴ προσποιῆται, λοιδορεῖται λοιδορῶν [19],
Ἡδονὰς [20] τὰς μετὰ τοὺς πόνους διωκτέον, ἀλλ᾽ οὐχὶ τὰς πρὸ τῶν πόνων. Ἀντισθένους.

Ἡδονῆς [21] γὰρ ὁ μὲν ἐκὼν εἰργόμενος σοφὸς, ὁ δὲ μὴ δεόμενος μακάριος· τὸ δὲ γῆρας ἐς ἀμφότερα ἐπιτήδειον, καὶ γὰρ φρονιμωτέρους τοὺς ἀνθρώπους ἀπεργάζεται, καὶ τῶν ἡδέων ἀμελεστέρους. Φαβωρίνου.

Τὸ η μετὰ τοῦ ε.

Ἡ [1] ἐν δημοκρατίῃ πενίη τῆς παρὰ τοῖς δυνατοῖσι καλεομένης εὐδαιμονίης τοσοῦτόν ἐστιν αἱρετωτέρη, ὁκόσον ἐλευθερίη δουλίης.

16) Stob. T. 106. 4. Ἱκετίδων.
17) Apogr. Dresd. γλώσσης κατάρχων δόμων.
18) Stob. T. 19. 2.
19) Mosc. προσποιεῖται, λοιδορεῖται ὁ λοιδορῶν.
20) Stob. T. 29. 65.
21) Stob. T. 115. 22. Macar. habet: Ἡδὺ τἀπόῤῥητα λιχνεύειν· ἐπὶ τῶν πολυπραγμόνων. — Ἤ δέος ἢ λύπη παῖς πατέρι πάντα χρόνον. — Ἡδὺ περὶ δεῖπνον πατρός· ἐπὶ τῶν μακρότερον γηρώντων πατέρων καὶ χαλεπῶν.
1) Stob. T. 43. 42. Δημοκρίτου.

Ἡ εὔκαιρος χάρις λιμῷ καθάπερ τροφὴ ἁρμόττουσα τὴν ιῆς ψυχῆς ἔνδειαν ἰᾶται. Ἡρακλείτου.

Τὸ η μετὰ τοῦ θ.

Ἦθος φυσικὸν μὴ θετὸν στέργειν φίλει,
Ἢν μὲν γὰρ ἔσχες, τίς ἐπιπλάστου χάρις;
Ἢν δ' αὖ ἁμάρτῃς φύσεως δυσκληρίᾳ,
Ἠνεγκεν οὐδὲν τὸ πεπλασμένον πλέον [2].

Τὸ η μετὰ τοῦ ι.

Ἡ ἰσχὺς τοῦ σώματος μὴ γενέσθω τῆς ψυχῆς ἀσθένεια· ἰσχὺν δὲ ψυχῆς φρόνησιν νόμιζε. Κλειτάρχου.

Τὸ η μετὰ τοῦ κ.

Ἡ κάμηλος [3] *ἐπιθυμήσασα κεράτων καὶ τὰ ὦτα προσαπώλεσεν· ἐπὶ τῶν τὰ ξένα ἐπιθυμούντων καὶ προσαποβαλλόντων τὰ ἴδια.*

Ἡ κακὴ [4] *κρίσις παντὸς κακοῦ αἰτία.*

Ἡ κέρκος [5] *τῇ ἀλώπεκι μαρτυρεῖ· ἐπὶ τῶν δεικνυόντων ἀπὸ μικρᾶς πράξεως τὸ ἦθος· ὡς ἐκ τοῦ κρασπέδου τὸ ὕφασμα, ἐκ τοῦ γεύματος γινώσκεις τὸ ἄριστον, τὸν Αἰθίοπα ἐκ τῆς ὄψεως, ἐκ τῶν ὀνύχων τὸν λέοντα, ἐκ τοῦ καρποῦ τὸ δένδρον.*

2) Macar. habet: *ἦθη φίλων γίνωσκε, μιμήσῃ δὲ μή· ὅτι οὐ δεῖ παντὸς φίλου ἕπεσθαι τῇ γνώμῃ.*

3) Apost. Cent. IX. 70. cfr. Theon. Progymn. c. III. Doxopater in Homil. ad Aphth. Progymn. *καθὸ οὐ πάντοτε διὰ τῶν μύθων συμβουλεύομεν, οὐδὲ τὴν τοῦ συμφέροντος ὑπογράφομεν φύσιν ἢ τὴν ἀλήθειαν, οἷον εἰ διηγούμενοι περὶ τοῦ Κροίσου, ὅπως τῇ τοῦ Κύρου ἐπιθέμενος βασιλείᾳ καὶ τὴν οἰκείαν ἀρχὴν ἀπέβαλε, τούτῳ τῷ μύθῳ χρησόμεθα, ὅτι κάμηλος ἐπιθυμήσασα κεράτων καὶ τὰ ὦτα περιετμήθη· εἶτα ἐπενέγκωμεν τὸ κατὰ Κροῖσον διήγημα, ὅτι καὶ αὐτὸς τὰ ὅμοια πέπονθεν, ἐνταῦθα οὐ τὴν τοῦ συμφέροντος φύσιν ὑπογράφομεν.*

4) Apost. Cent. IX. 72. Stob. T. 46. 73. *Ἰαμβλίχου.*

5) Apost. Cent. IX. 74. Macar. *ἐπὶ τῶν δεικνύντων ἀπὸ μικρῶν πράξεων τὸ αὐτῶν ἦθος.*

Ἡ κύων [6] *ἐν φάτνῃ· πρὸς τοὺς μήτε ἑαυτοῖς χρωμένους, μήτε ἐῶντας· παρόσον ἡ κύων κριθὴν οὐκ ἐσθίει, μένουσα ἐν φάτνῃ· καὶ τὸν ἵππον οὐκ ἐᾷ· ἔδωκε δὲ ἄρα ἡ φύσις ταῖς κυσὶ τραυμάτων ἀντίπαλον πόαν· εἰ δὲ ἕλμινθες αὐτὰς λυποῦσι τοῦ σίτου τὸ καλούμενον λῆμον ἐσθίουσαι ἐκκρίνουσιν αὐτάς· λέγονται δὲ καὶ, ὅταν δέωνται τὴν γαστέρα ἑκατέραν κενῶσαι, πόαν τινὰ ἐσθίειν· καὶ τὸ μέν τι τῆς τροφῆς τὸ ἐπιπολάζον ἀνεμεῖν, τὰ δὲ περιττὰ κάτωθεν ἀποκρίνεσθαι· ἐντεῦθεν καὶ τὸ συρμαΐζειν Αἰγύπτιοι λέγονται μαθεῖν· πέρδικές τε καὶ πελαργοὶ τρωθέντες καὶ φάσται τὴν ὠρίγανον, ὡς λόγος, διατρώγοντες, εἶτα τοῖς τραύμασιν ἐντιθέντες ἀκοῦνται τὸ σῶμα.*

Τὸ $\overline{\eta}$ *μετὰ τοῦ* $\overline{\lambda}$.

Ἡλικίαν σὴν οὐκ ἔχω· ἐπὶ τοῦ καταφρονοῦντός τινος ὡς ἀνοήτου.

Ἥλιξ ἥλικα [7] *τέρπει· παλαιὸς λόγος, ἡ γὰρ ἰσότης τοῦ χρόνου, φησὶν ὁ Πλάτων, ἐπὶ ἴσας ἡδονὰς ἄγουσα δι᾽ ὁμοιότητα φιλίαν παρέχεται.*

Ἡλίῳ [8] *φῶς δανείζεις· ἐπὶ τῶν ἀδυνάτων.*

Ἡλιθιώτερος [9] *Ἀδώνιδος τοῦ Πραξέλλης· ὁμοία τῇ, ἀνοητότερος Αἰβύκου καὶ Κορύκου καὶ Μελιτίδου· Ἄδωνις γάρ τις, Πραξέλλης υἱὸς, ἀποθανὼν καὶ ἐρωτηθεὶς πρὸς τῶν ἐν Ἅιδου, τί κάλλιστον ἄνω κατέλιπεν, ἀπεκρίνατο, ἥλιον, σελήνην, σῦκα καὶ μῆλα· ἔδοξε γοῦν ἠλίθιος ταῦτα ἐξισῶν τῷ ἡλίῳ.*

6) Apost. Cent. IX. 71. ea, quae inde a verbis: *ἔδωκε δὲ ἄρα* sequuntur, non habet. Macar. *ἡ κύων ἐν τῇ φάτνῃ· ἐπὶ τῶν μήτε χρωμένων, μήτε τοὺς ἄλλους ἐώντων.* Idem addit: *Ἡ κύων ἐν τῷ γάμῳ· ἐπὶ τῶν ἢ παρενοχλούντων ἢ ἀνοίκειόν τι πραττόντων. Ἢ καλῶς ζῆν· ἢ τεθνηκέναι.*

7) Apost. Cent. IX. 78. locus Platonis est in Phaedro c. 17. ubi Ast. Macar. interpretationem om.

8) Apost. Cent. IX. 79.

9) Apost. Cent. IX. 81. ea-

Ἦλος [10] *τὸν ἦλον καὶ πάτταλος τὸν πάτταλον ἐξέκρουσεν· ἐπὶ τῶν ἰωμένων δι' ἁμαρτήματος ἁμάρτημα.*

Ἡ λύκου [11] *δεκάς· ὁ Λύκος Ἀθήνησι πρὸς τῷ δικαστηρίῳ· ἥρως μορφὴν ἔχων θηρίου.*

Ἐκ τῶν Σερίνου [12].

Ἡ Λάκαινα πρός τινα Ἰωνικὴν δείξασαν αὐτῇ τὸν κόσμον ἀνταπέδειξε τὰ τέκνα, εἰποῦσα· ὁ δὲ ἐμὸς κόσμος τοιοῦτος.

Τὸ η μετὰ τοῦ μ.

Ἡ μένη πελειάς [1]· *ἐπὶ τῶν ἁπλουστάτων ταττομένη.*

Ἢ μένοντα [2] *ἀποθανεῖν ἢ νικᾷν· ἐπὶ τῶν εὐψύχων.*

Ἡμίονος [3] *καν θήλιος· ἐπὶ τῶν οὐδενὸς ἀξίων.*

Ἡμεῖς [4] *δέκα Ῥόδιοι, δέκα νῆες· ἐπὶ τῶν ἀλαζονευομένων, τοῦτο δὲ* [5] *εἶπεν ἡ Δημήτηρ πρὸς Τριπτόλεμον.*

Ἢ [6] *Μορσίμου τις ᾠδὴν ἐξεγράψατο· ἐπὶ τῶν ἀποβλήτων καὶ διαβεβλημένων.*

dem, mutato paullulum ordine, profert. Macar. *ἠλιθιώτερος Λευκολόφου· οὗτος ἀποδόμενος τὴν οἰκίαν ἀντεποιεῖτο τοῦ φρέατος.*

10) Apost. Cent. IX. 80. Macar. *ἦλον ἦλῳ ἐκκρούει· ὅμοιον τῇ· πάσσαλος πασσάλῳ ἐκκρούεται.* Eustath. Opusc. p. 52. l. 12. *ἐξωθῶν γὰρ οὐχ' ὥσπερ ἦλος ἦλον, τοῦτο δὴ τὸ παροιμιῶδες, ἀλλ' ὥσπερ ἁγιωσύνην ἁμαρτία.*

11) Apost. Cent. IX. 77. pro *δεκὰς* lacuna est in apographo.

12) Stob. T. 14. 11. *ἐκ τῶν Σερήνου Ἀπομνημονευμάτων.* Macar. add. *Ἢ λέγε τι σιγῆς κρεῖττον, ἢ σιγὴν ἔχε.* — *Ἡλιάδων δάκρυα· ἐπὶ τῶν πολλὰ ἐχόντων χρήματα, παρόσον αἱ τοῦ Φαέθοντος ἀδελφαὶ ἀποδενδρωθεῖσαι καὶ δακρύουσαι ἀπέσταζον τὸ ἤλεκτρον. Ἤλιβατον κακόν· ἐπὶ τῶν σφόδρα δεινῶν.*

1) Apost. Cent. IX. 82. rem pluribus exponit. Apogr. Dresd. *ἥμενι πελιάς.*

2) Apost. Cent. IX. 83.

3) Apost. Cent. IX. 84.

4) Apost. Cent. IX. 85.

5) Apogr. Dresd. *τοῦδε.*

6) Apost. Cent. IX. 86. Ex Arist. Ran. 151.

Ἡ Μήδων ἄδικον παύσασ' ὕβριν ἥδε Σόλωνα
Τόνδε τεκνοῖ Σαλαμὶς, θεσμοθέτην ἱερόν.

Τὸ η μετὰ τοῦ ν.

Ἤν [7] *μὴ καθάρῃς καὶ ἁλέσῃς οὐ φάγῃς· ἐπὶ τῶν μὴ σὺν μόχθῳ ποριζομένων τὴν ἀναγκαίαν τροφήν.*

Ἦν [8] *ποτε κἀμοὶ πρώρα καὶ πρύμνη· ἐπὶ τῶν ἐν διαφόροις πράγμασί ποτε εὐτυχούντων.*

Ἤν [9] *ἔλαχες Σπάρταν, ταύτην κόσμει· παραινεῖ γὰρ μὴ τοῖς ὑπὲρ ἀξίαν ἐπιπηδᾶν.*

Ἡ νέμεσις παρὰ πόδας βαίνει.

Ἡ νέμεσις [10] *πῆχυν κατέχω, τίνος οὕνεκα λέξεις;*
Πᾶσιν ἀπαγγέλλω μηδὲν ὑπὲρ τὸ μέτρον.

Ἡ νέμεσις προλέγει τῷ πήχεϊ τῷ τε χαλινῷ,
Μήτ' ἄμετρόν τι ποιεῖν, μήτ' ἀχάλινα λέγειν.

Τὸ η μετὰ τοῦ ο.

Ἡ οὐ πεττεύω· ἐπὶ τῶν κρύπτειν πειρωμένων τὰ οἰκεῖα ἐλαττώματα.

Τὸ η μετὰ τοῦ π.

Ἡ παναγραία [11] *Ἄρτεμις· ἐπὶ τῶν ἀγύρτων καὶ*

7) Apost. Cent. IX. 87. Macar. *ἤν τις ἔμαζε μάζαν, ταύτην καὶ ἐσθιέτω.*

8) Apost. Cent. IX. 88.

9) Apost. Cent. IX. 89.

10) Anthol. Graec. Epigr. adesp. CCLVI. sequens epigr. Nr. CCLV. Utrique epigrammati explicando optime inserviunt artis antiquae monumenta, praecipue statua Musei Pio-Clementini, cujus brachio recta linea dependenti modus innuitur, apud Viscont. Vol. II. T. 13. coll. Winckelm. ad Monumenti ined. Nr. 25. Symbola in secundo epigr. notata conspiciuntur in nummis Smyrnaeorum, vide Eckhel Doctr. Numm. Tom. II. p. 259.

11) Apost. Cent. IX. 91. Macar. *ἡ Περγαία Ἄρτεμις· ἐπὶ τῶν ἀγύρτων, καὶ πλανητῶν.* Idem addit: *Ἡ πεῖρα διδάσκαλος.*

πενήτων· παρόσον καὶ ἡ θεὸς ἀγείρειν καὶ πλανᾶσθαι λέγεται.

Ἡ που χαλεπόν ἐστι τὸ ψευδῆ λέγειν. Μενάνδρου.

Ἡ πατρὶς [12] ὡς ἔοικε, φίλτατον βροτοῖς,
Οὐδ' ὀνομάσαι δυναίμην [13] ἂν ὡς ἔστι φίλον.

Τὸ η μετὰ τοῦ ρ.

Ἡρακλῆς ξενίζεται [14]· ἐπὶ τῶν βραδυνόντων· οἱ γὰρ ὑποδεχόμενοι τὸν Ἡρακλῆν βραδύνουσι, πολυφάγος γὰρ ὁ ἀνήρ.

Ἤρατο [15] μὰν καὶ τῆνος, ἐμὶν δοκεῖ, ὀπτῶ ἀλεύρω.

Ἡράκλειος νόσος [16], ἡ ἱερά· εἰς ταύτην γὰρ περιέπεσεν ὁ Ἡρακλῆς.

Ἡράκλειον ὕμμα· ἐπὶ τοῦ δυνατοῦ καὶ ἰσχυροῦ δεσμοῦ λέγεται.

Ἡρακλῆς καὶ πίθηκος [17]· ἐπὶ τῶν ἀσυμβάτων.

Ἡράκλεια λουτρά [18]· ἐπὶ τῶν δῶρα λαμβανόν-

12) Stob. T. 59. 3. ex Eurip. Phöniss.

13) Mosc. δύναιμ'.

14) Apost. Cent. IX. 92. Passim a veteribus perstringitur Herculis voracitas. Praeter Euripidis Alcest. cfr. Aristoph. Ran. 551. ἑκκαίδεκ' ἄρτους κατέφαγ' ἡμῶν· 553. καὶ Κρέα γε πρὸς τούτοισιν ἀνάβραοτ' εἴκοσιν ἂν' ἡμιωβολιαῖα. ib. Av. 1657. sqq. De Hercule βουφάγῳ vide quae diximus ad Georgii Pachym. Progymn. c. 6. Eodem spectat Anaglyphum Musei Pio-Clement. Tom. V. 14. ubi Herculi in leonina pelle recumbenti puer immensum placentae orbem offert, prope eum sus mactatus jacet.

15) Theocr. Id. XIV. 7.

16) Apost. Cent. IX. 93. Macar. ἐπὶ τῶν μετὰ πολὺν κάματον ἐμπιπτόντων εἰς νόσον· ὁ γὰρ Ἡρακλῆς μετὰ μυρίους καμάτους τῇ ἱερᾷ ἐνέπεσεν.

17) Apost. Cent. IX. 64. Macar. ἐπὶ τῶν ἀνομοίων.

18) Apost. Cent. IX. 95. cfr. Diod. Sic. IV. 23. cum not. Wessel. et intrpp. ad Hesych. Nummos Himerensium, Herculem exhibentes stantem, dextra clavam, sinistra leonis exuvias tenentem, vel caput Herculis leonis pelle tectum, ad thermas in Herculis gratiam excitatas referendos esse docet Eckh. Doctr. Numm. Vol. I. p. 214. Has vero thermas ab aliis (ut Pisandro apud Schol. ad Aristoph. Nub. 1047. quem secutus est Hesych.) Minervae, ab aliis (ut Diodoro l. l.)

των· κατὰ δωρεὰν γὰρ Ἥφαιστος ἀνέδωκε λουτρὰ τῷ Ἡρακλεῖ.

Ἡράκλειος λίθος [19]· *ταύτην ἔνιοι μαγνῆτιν λέγουσιν.*

Ἡράκλειος ψώρα [20]· *ἡ Ἡρακλείων θερμῶν δεομένη.*

Τὸ η μετὰ τοῦ σ.

Ἦσαν [21] *ποτ' ἦσαν ἄλκιμοι Μιλήσιοι· ἐπὶ τῶν ποτε εὐπόρων γεγονότων.*

Ἦσαν [22] *κἀκεῖνοι ταλακάρδιοι οἵ ποτε Μήδων*
Παισὶν ἐπ' Ἠιόνι Στρύμονος ἀμφὶ ῥοὰς,
Λιμόν τ' αἴθωνα κρατερόν τ' ἐπάγοντες Ἄρηα

Nympharum, ab aliis (quos secutus est Apost.) Vulcani munus vocari, a nullo vero autore Neptuno tribui, qui tridentis impulsu, ubicunque luberet, fontes excitare solebat (Schol. ad Eurip. Phön. 145.) neminem offendet, qui meminerit, Ἀθήνην Προύνοιαν praesidii loco Herculi a Jove additam fuisse, Julian. Orat. VII. p. 220. D. (adstat Minerva Herculi infanti, serpentes stringenti in Cameo Florentino Gall. Reale di Firenze Sect. V. Tav. 34. adstat in laboribus Mus. Pio-Clement. Tom. IV. 41. 42. Winckelm. mon. ined. Nr. 64. et 65. potu eum recreat Tischb. Vas. Tom. II. 22.) ad nymphas vero fontium, ad Vulcanum thermarum originem recte referri. Cfr. si lubet Bökh. ad Pind. Ol. XII. 14. Aristid. Or. V. p. 55. *λουτρῶν δὲ τὰ ἥδιστα Ἡράκλεια ἐπωνυμίαν ἔχοντά ἐστι.*

19) Apost. Cent. IX. 96. plura addit. Macar. *πρὸς τοὺς ἑαυτοῖς τι ἐπαγομένους, παρόσον καὶ ἡ λίθος ἐπισπᾶται τὸν σίδηρον.* Lucian. Im. 1. *ἀπάξει γάρ σε ἀναδησαμένη ἔνθα ἂν ἐθέλῃ, ὅπερ καὶ ἡ λίθος ἡ Ἡρακλεία δρᾷ τὸν σίδηρον.*

20) Apost. Cent. IX. 97. *ἡ Ἡρ. θερμῶν δεομένη πρὸς θεραπείαν· τῷ γὰρ Ἡρακλεῖ πολλαχῇ ἀνῆκε θερμὰ λουτρὰ ἡ Ἀθηνᾶ.* Macar. *ἐπὶ τῶν δυσαποτρέπτοις ἐνεχομένων κακοῖς.* Id. addit: *Ἡρινὸς πόκος· ἐπὶ τῶν καθ' ὥραν δρεπομένων.*

21) Apost. Cent. IX. 98. Macar. *ἐπὶ τῶν εὐδοξησάντων.* Infra sub litt. *π.* idem legitur *πάλαι ποτ' ἦσαν* etc. ex Aristoph. Plut. 1003. ubi Schol. — Oraculum esse Caribus datum, cum Pythiam de Milesiis in belli contra Persas societatem recipiendis consulerent, docent Excerpta ex Diod. Sic. ab Majo edita Nr. XLVII. cfr. Wyttenb. ad Plut. Apophth. p. 180. A.

22) Anthol. Gr. T. IV. p. 148. ed. Jacobs.

Πρῶτον δυσμενέων εὗρον ἀμηχανίην.
Ἢ σιγὴν [23] *καίριον ἔχε, ἢ λόγον ὠφέλιμον.*

Τὸ η μετὰ τοῦ τ.

Ἠττήθης [1] *τινὸς ἀλεκτρυόνος· ἐπὶ δούλων ἢ θεραπόντων ἑπομένων τοῖς δεσπόταις.*

Ἢ τὰν [2]*, ἢ ἐπὶ τᾶς· Λάκαινα προσαναδιδοῦσα τῷ παιδὶ τὴν ἀσπίδα τοῦτ᾽ ἔφη τἀπόφθεγμα.*

Ἢ τρὶς [3] *ἓξ ἢ τρεῖς κύβοι· ἐπὶ τῶν κινδυνευόντων· τὸ μὲν τρὶς ἓξ τὴν παντελῆ νίκην δηλοῖ, τὸ δὲ τρεῖς κύβοι τὴν ἧττταν· πάλαι γὰρ τρισὶν ἐχρῶντο πρὸς τὰς παιδιὰς κύβοις.*

Ἤτοι [4] *τέθνακεν ἢ διδάσκει τὰ γράμματα· τῶν εἰς τὴν Σικελίαν στρατευσάντων οἱ μὲν ἐλήφθησαν αἰχμάλωτοι, οἱ δ᾽ ἀπώλοντο· οἱ οὖν διαφυγόντες ἔλεγον τοῦτο.*

Ἡ Φάνου θύρα [5]*· τὸν Φάνον φασὶ δήμου ὀβολοστάτην εἶναι, ἄλλως δὲ τυφλόν· ὑπανοιγομένης δὲ τῆς θύρας τοῦ ταμιείου αὐτοῦ κατασκευάσαι τοιαύτην, ἣν οὐκ ἄν τις ἤνοιξε μὴ ψόφον ποιήσας· ἐνίους δὲ λέγειν, ὡς μοιχευομένης αὐτοῦ τῆς γυναικὸς τὴν αὔλιον θύραν εἰργάσατο, ὡς μὴ ἄνευ ψόγου ἀνοίγεσθαι, τῆς δὲ κατὰ*

23) Apost. Cent. IX. 99. ἔχε om. Stob. T. 34. 8. Pythagorae tribuit. — Macar. addit: *Ἡ Συρακούσιος δεκάτη· ἐπὶ τῶν σφόδρα πλουσίων καὶ πολυτελῶν.*

1) Apost. Cent. X. 2. ex Aristoph. Av. 70. ubi Schol. *φυσικὸν τοῦτο ἐν ταῖς συμβολαῖς τῶν ἀλεκτρυόνων, τοὺς ἡττηθέντας ἕπεσθαι τοῖς νενικηκόσι.* cfr. Bergl. ad Alciphr. I. 27. p. 155.

2) Plut. Apophth. Lacaen. XV. p. 241. F.

3) Apost. Cent. X. 3.

4) Apost. Cent. X. 4. Arsen. et vetus Cod. Apostolii *ἤτοι τεθνάναι διδάσκει τὰ γράμματα, ἢ οὕτως, ἢ τέθνακεν* etc. Priora Pantino praeeunte omisi.

5) Apost. Cent. X. 5. Apogr. Dresd. *φάνιος.* Macar. *ἢ Φάνου θύρα· ἐπὶ τῶν μεγαλοφώνων.* Eustath. Opusc. p. 277. l. 51. *θησαυροὺς ἐκόμπαζεν, ἐκεῖ πεφυλαγμένους αὐτῷ, Φανίου δή τινα θύραν, καὶ αὐτὸς ταύτην ἀναπλαττόμενος τοῖς ἀγνοοῦσιν, οἵᾳ τύχῃ αὐτὸν τὰ πρὸ τούτων ἤλαυνε.*

τοῦ τέγους δεχομένης τὸν μοιχὸν, χλευάζοντας [6] τοὺς γείτονας ἐπὶ τῶν μηδὲν ἀνυόντων ἐν τῷ φυλάττειν τὴν Φάνου θύραν εἶναι λέγειν.

Ἡφαίστιος [7] δεσμός· ἐπὶ τῶν ἀφύκτων.

Ἢ φρονεῖν [8] ἔλασσον, ἢ δύνασθαι δεῖ μεῖζον.

Ἡ φιλοχρηματία [9] Σπάρταν ἔλοι, ἄλλο δὲ οὐδέν· ἐπὶ τῶν ἐξ ἅπαντος κερδαίνειν πειρωμένων· ἔφησε γὰρ ὁ θεὸς Σπαρτιάταις, τότε ἀπολεῖσθαι [10], ὅταν ἀργύριον καὶ χρυσίον τιμήσωσιν.

Τὸ η̄ μετὰ τοῦ χ̄.

Ἡ χάρις πρὸς εὐγνώμονας οὐδέποτε θνήσκει.

Ἡ χάρις ὥσπερ ἡ σελήνη, ὅταν τελεία γένηται, τότε καλὴ φαίνεται.

Ἡ χάρις, ὡς οὐδὲν ἄλλο ἐν βίῳ, παρὰ τοῖς πολλοῖς τάχιστα γηράσκει.

Ἡρώδου [11].

Ἢ χαλκεῖην μοι μυῖαν ἢ κύθρην παίζει·
Ἢ ταῖσι μηλολόνθαις ἄμματ' ἐξάπτων
Τοῦ κεσκίου [12] μοι τὸν γέροντα λωβᾶται.

Ἦχοι θαλάσσης ἀνδρὸς ἄφρονος λόγοι,
Βρίθοντες ἀκτὰς, οὐ πιαίνοντες χλόας.

Τὸ η̄ μετὰ τοῦ ψ̄.

Ἡ ψελλὴ οὐ πιττεύει.

6) Mosc. χλευάζοντες, ultima syllaba inscriptum ας. Matth.
7) Ap. C. X. 7. Arsen. θεσμός.
8) Apost. Cent. X. 6. addit: Εὐριπίδου.
9) Apost. Cent. X. 8. Vide supra: ἃ φιλοχρημ.
10) Mosc. et Ap. ἀπολεσθῆναι. Zenob. II. 24. ἀπολέσθαι, quod Wyttenb. ad Plut. p. 239. F. corrigit ἀπολεῖσθαι, id quod nostro loco convenit.
11) Stob. T. 78. 6. Apogr. Dresd. χαλκαίην — μυίην.
12) Apogr. Dresd. τοῦ κεσκαίου — λωβῆσαι.

Τὸ η̄ μετὰ τοῦ ω̄.

Ἠὼς [13] ὁρῶσα γελᾷ τὰ νυκτὸς ἔργα.

ΑΠΟΦΘΕΓΜΑΤΑ.

Ἡρώδης ὁ [1] Ἀθηναῖος, σοφιστὴς ὢν τῶν κυρίως, οὐ τῶν φιλοσοφησάντων ἐν δόξῃ τοῦ σοφιστεῦσαι, ἔλεγεν, ὡς προσήκει τὸν ὀρθῶς πλούτῳ χρώμενον τοῖς μὲν δεομένοις ἐπαρκεῖν, ἵνα μὴ δέωνται, τοῖς δὲ μὴ δεομένοις, ἵνα μὴ δεηθῶσιν· ἐκάλει δὲ τὸν ἀσύμβολον [2] πλοῦτον καὶ φειδοῖ κεκολασμένον νεκρὸν πλοῦτον· τοὺς δὲ θησαυροὺς, ἐς οὓς ἀποτίθενται τὰ χρήματα ἔνιοι, πλούτου δεσμωτήρια· τοὺς δὲ καὶ θύειν ἀξιοῦντας ἀποθέτοις χρήμασιν, Ἀλωάδας ἐπωνόμαζε, θύοντας Ἄρει μετὰ τὸ δῆσαι αὐτόν.

Ἡ Ξανθίπη [3] ἔφη, μυρίων μεταβολῶν τὴν πόλιν καὶ αὐτοὺς κατασχουσῶν ἐν πάσαις ὅμοιον τὸ Σωκράτους πρόσωπον καὶ προϊόντος ἐκ τῆς οἰκίας καὶ ἐπανιόντος θεάσασθαι· ἥρμοστο γὰρ δηλονότι πρὸς πάντα ἐπιεικῶς· τοιγάρτοι οὐδὲν πώποτε ἐλύπησεν αὐτόν.

Ἡ Θεανὼ παρέφηνε τὴν χεῖρα περιβαλλομένη τὸ ἱμάτιον· εἰπόντος δέ τινος, καλὸς ὁ πῆχυς, ἀλλ᾽ οὐ δημόσιος, ἔφη.

* Ἡγησίππου.

Ἡγησίππου, τοῦ Κρωβύλου προσαγορευομένου, παροξύνοντος τοὺς Ἀθηναίους ἐπὶ Φίλιππον, ὑπεφώνησέ τις ἐκ τῆς ἐκκλησίας, πόλεμον εἰσηγῇ; καὶ μὰ Δία, εἶπε,

13) Apost. Cent. X. 9.

1) Mosc. ὁ om., Laur. habet.

2) Ἀσύμβουλον, inscripto ο. Cod. Mosc. Matth. Cfr. de hac permutatione epistolam nostram criticam p. 29.

3) Stob. T. 108. 77. Hoc et sq. apophth. ab impressis et a Laur. abest.

καὶ μέλανα ἱμάτια, καὶ δημοσίας ἐκφορὰς καὶ λόγους ἐπιταφίους, εἰ μέλλομεν ἐλεύθεροι βιώσεσθαι, καὶ μὴ ποιήσειν τὸ προσταττόμενον Μακεδόσι.

* Ἡ ρ ώ ν δ ο υ.

Ἡρώνδας Ἀθήνησιν ἁλόντος τινὸς γραφὴν ἀργίας παρὼν καὶ πυθόμενος ἐκέλευσεν ἐπιδεῖξαι αὐτῷ τὸν τὴν ἐλευθερίαν δίκην ἡττηθέντα.

* Ἡ ρ α κ λ ε ί δ ο υ.

Ἡρακλείδης φησὶ τοὺς Παμφυλίους χαίρειν τῷ β, προτιθέντας αὐτὸ παντὸς φωνήεντος· τὸ οὖν φάος φάβος φασὶ, καὶ τὸ ἀέλιος, βαβέλιος, ὀρούω, ὀρούβω· Αἰολεῖς δὲ τῷ β χαίρουσι προτιθέντες τοῦ ῥ ἐν τῷ ῥάκος, βράκος, ῥοτὸς, βροτὸς, ῥυτὴρ, βρυτήρ [4].

ΙΣΤΟΡΙΑΙ.

Ἱστορία περὶ Ἡρακλέους.

Ἡρακλῆς ἀνακομιζόμενος μετὰ τὸ πορθῆσαι Τροίαν, γενόμενος κατὰ τὸ Αἰγαῖον πέλαγος, βουλήσει Ἥρας, σφοδρῷ συνεσχέθη ἀνέμῳ· κατασύρεται δὲ εἰς Κῶν τῆς Μερόπιδος· ἐκωλύθη ἐπιβῆναι τῆς νήσου ὑπὸ Εὐρυπύλου τοῦ Ποσειδῶνος, βασιλεύοντος αὐτῆς· βιασάμενος δὲ, καὶ ὡς λῃστὴς ἐπιβὰς, ἀνεῖλε τὸν Εὐρύπυλον καὶ τοὺς παῖδας αὐτοῦ, μιγεὶς δὲ τῇ θυγατρὶ αὐτοῦ Χαλκιόπῃ Θεσσαλὸν ἐγέννησεν.

Περὶ Σκαμάνδρου τοῦ καὶ Ξάνθου.

Ἡρακλῆς ποτε δίψει κατασχεθεὶς ηὔξατο τῷ πατρὶ

4) Sequuntur in impr. duo versus: ῥίστημα μὲν ἠτρίου λεπτοῦ etc., qui inter sententias existunt, et in Laur. inter provv. repetuntur.

Λιΐ. ἐπιδεῖξαι αὐτῷ νᾶμα· ὁ δὲ μὴ θέλων αὐτὸν τρύχεσθαι, ῥίψας κεραυνὸν ἀνέδωκε μικρὸν λιβάδα, ἣν θεασάμενος ὁ Ἡρακλῆς, καὶ σκάψας εἰς τὸ πλουσιώτερον κατεισφέρεσθαι, μετωνόμασε Σκάμανδρον, οἱονεὶ Κάμανδρον, γενόμενον καμάτου ἑαυτῷ παραίτιον· Ξανθὸς δὲ προσηγορεύθη, ἀφ' οὗ περὶ τοῦ κάλλους ἐκρίναντο Ἥρα, Ἀθηνᾶ καὶ Ἀφροδίτη, ὅτι ἐν αὐτῷ λουσάμεναι ξανθὰς εἶχον κόμας.

Περὶ Ἥρας καὶ Εὐρυμέδοντος.

Ἥραν τρεφομένην παρὰ τοῖς γονεῦσιν εἷς τῶν Γιγάντων Εὐρυμέδων βιασάμενος ἔγκυον ἐποίησεν· ἡ δὲ Προμηθέα ἐγέννησε. Ζεὺς δὲ ὕστερον γήμας τὴν ἀδελφὴν καὶ γνοὺς τὰ γενόμενα, τὸν μὲν Εὐρυμέδοντα κατεταρτάρωσε, τὸν δὲ Προμηθέα προφάσει πυρὸς δεσμοῖς ἀνήρτησεν.

Ἱστορία Ἀχελώου καὶ Ἡρακλέους.

Ἡρακλῆς εἰς Ἅιδου κατελθὼν ἐπὶ τὸν Κέρβερον, συνέτυχε Μελεάγρῳ τῷ Οἰνέως, οὗ καὶ δεηθέντος γῆμαι τὴν ἀδελφὴν Δηϊάνειραν, ἐπανελθὼν εἰς φῶς, ἔσπευσεν εἰς Αἰτωλίαν πρὸς Οἰνέα· καταλαβὼν δὲ μνηστευομένην τὴν κόρην Ἀχελώῳ τῷ πλησίον ποταμῷ, διεπάλαιεν αὐτῷ ταύρου μορφὴν ἔχοντι· οὗ καὶ ἀποσπάσας τὸ ἕτερον τῶν κεράτων ἔλαβε τὴν παρθένον· φασὶ δὲ αὐτὸν τὸν Ἀχελῶον παρὰ Ἀμαλθίας τῆς ὠκεανοῦ γέρας λαβόντα δοῦναι τῷ Ἡρακλεῖ· καὶ τὸ ἴδιον ἀπολαβέῖν. Δοκεῖ δὲ τῶν ἐν τῇ Ἑλλάδι ποταμῶν μέγιστος εἶναι ὁ Ἀχελῷος· διὸ καὶ πᾶν ὕδωρ τῇ τούτου προσηγορίᾳ καλεῖται.

Ἱστορία περὶ Ἡσιόνης.

Ἡρακλῆς πορθήσας Ἴλιον, Ἡσιόνην τὴν Λαομέδοντος μὲν θυγατέρα, Πριάμου δὲ ἀδελφὴν, ἔλαβεν αἰχμάλωτον καὶ ἔδωκεν αὐτὴν γέρας Τελαμῶνι, ὡς συστρατεύ-

σαντι αὐτῷ, ἀφ' ἧς ἔσχε Τεῦκρον ὁ Τελαμών. Ὡς οὖν ἀπὸ τῆς Τρωϊκῆς γυναικὸς τεχθέντα παῖδα Τεῦκρον ἐκάλεσαν, προαναπέμψαντες τὸν τόνον καὶ ποιήσαντες κύριον. Τεῦκροι γὰρ οἱ Τρῶες ἀπὸ τοῦ βασιλεύσαντος αὐτῶν Τεύκρου· ἡ δὲ ἱστορία ἀκριβεστέρως εἴρηται παρά τε ἄλλοις, καὶ Ἀπολλωνίῳ τῷ γραμματικῷ ἐν τῷ δευτέρῳ τῶν γενῶν.

Ἱστορία Ἡρακλέους.

Ἡρακλῆς παρεγένετο εἰς Πύλον, χρήζων καθαρσίων· οἱ δὲ Πύλιοι ἀποκλείσαντες τὰς πύλας οὐκ εἰσεδέξαντο αὐτὸν, ἐφ' ᾧ ὀργισθεὶς ὁ ἥρως ἐπόρθησε τὴν Πύλον· συνεμάχουν δὲ τῷ Νηλεῖ τρεῖς θεοὶ, Ποσειδῶν, Ἥρα, Ἀϊδωνεὺς, τῷ δὲ Ἡρακλεῖ δύο, Ἀθηνᾶ καὶ ὁ Ζεύς.

Ἑτέρα ἱστορία Ἡρακλέους.

Ἡρακλῆς προστάξαντος τοῦ Εὐρυσθέως, ἀνεκάθηρε τὴν Αὐγείου κοπρίαν· ἀπαιτοῦντι δὲ αὐτῷ [5] τὸν μισθὸν οὐκ ἀπεδίδου, λέγων ἐξ ἐπιταγῆς αὐτὸν πεποιηκέναι. Φυλλὸς [6] δὲ ὁ τούτου παῖς κριτὴς γενόμενος κατέκρινε τὸν πατέρα· ὁ δὲ ἀγανακτήσας, ἐξέβαλεν αὐτὸν τῆς χώρας. Ἡρακλῆς δὲ ἐπιστρατευσάμενος Ἦλιν ἐπόρθησε, καὶ μεταπεμψάμενος τὸν Φυλλὸν ἐκ Δουλιχίου, προσδίδωσιν αὐτῷ τὴν βασιλείαν, ὀλιγανδρίας δὲ οὔσης, διὰ τὸ πολλοὺς ἐν τῷ πολέμῳ συνεφθάρθαι.

5) Cod. *αὐτόν*. De fluctuatione codicum in terminatione hujus pronominis diximus ad Theon. Progymn. p. 250.

6) Cod. h. l. *Φυλὸς*, postea *Φυλλόν*.

Ἀρχὴ τοῦ θ̄ στοιχείου.

Τὸ θ̄ μετὰ τοῦ ᾱ.

Θάμυρις μαίνεται [1]· *ἐπὶ τῶν συνετῶς βιούντων, δοκούντων δέ τισι μαίνεσθαι· Θάμυρις γάρ τις ἰδὼν μαστιγούμενον οἰκέτην παρὰ τοῦ δεσπότου αὐτοῦ ἐν τῷ ἱερῷ, καὶ μὴ τοῦ ἱεροῦ φροντίζοντος τὴν οὐσίαν αὐτοῦ δοὺς ἀπεδήμησεν, ὃν ὁρῶντες ἔλεγον· μαίνεται Θάμυρις.*

Θάνατον [2] *παρδάλεως ὑποκρίνεται· ἐπὶ τῶν βλαπτόντων ἢ διαφθειρόντων τινὰς πανουργίαις.*

Θαλάττιον [3] *ἐν χαράδραις ὕδωρ· ἐπὶ τῶν τοῖς μεγάλοις τὰ μικρὰ προφιλοτιμουμένων.*

Θάσος ἀγαθῶν [4]· *ἐπὶ τῶν εὐδαίμονα καὶ λαμπρὸν δεῖξαί τινα ἐπαγγελλομένων.*

Θᾶττον [5] *ὑπὸ μάλης πέντ' ἐλάφους κρύψειας, ἢ ἕνα κίναιδον· ἐπὶ τῶν ἀναισχύντων.*

Θαλάττιος [6] *ὢν μήπως χερσαῖος γένῃ· ἐπὶ τῶν καταλιμπανόντων τὰ οἰκεῖα ἐπιτηδεύματα καὶ τοῖς μὴ προσήκουσιν ἐπιχειρούντων.*

Θάρσει [7] *λέγων τἀληθὲς, οὐ σφάλλῃ ποτέ. Εὐριπίδου.*

Θανόντι [8] *κείνῳ συνθανεῖν ἔρως μ' ἔχει,*
Ἥξεις, ἐπείγου μηδὲν εἰς τὸ μόρσιμον.

Θάρσει [9] *μαῖ', ἐπεὶ οὔτι ἄνευ θεοῦ ἥδε γε βουλή.*

1) Apost. Cent. X. 10. Cfr. supra: *Ἄμυρις μαίνεται.*
2) Apost. Cent. X. 15. rem pluribus exponit.
3) Apost. Cent. X. 14.
4) Apost. Cent. X. 19.
5) Apost. Cent. X. 20. Lucian. adv. indoct. c. 23. *καὶ ὅλως, κατὰ τὴν παροιμίαν, θᾶττον ἂν πέντε ἐλέφαντας ὑπὸ μάλης κρ. ἢ ἕ. κ.*
6) Apost. Cent. X. 21.
7) Apost. Cent. X. 12.
8) Stob. T. 122. 11. *Σοφοκλέους.*
9) Od. *B.* 372.

Τὸ Θ μετὰ τοῦ ε.

Θεαγένους χρήματα [10]· *ἐπὶ τῶν ἐπηρμένων πτωχῶν· οὗτος γὰρ ὢν πένης ἔλεγεν ἑαυτὸν εἶναι πλούσιον.*

Θειότερον εὐφημία κακηγορίας.

Θεὸς [11] *δὲ τοῖς ἀργοῦσιν οὐ παρίσταται.*

Θετταλὴ γυνή [12]· *ἐπὶ τῶν φαρμακίδων.*

Θεὸς ἡ ἀναίδεια [13]· *ἐπὶ τῶν ἀναισχυντίᾳ ὠφελουμένων.*

Θεοῦ [14] *δὲ δῶρόν ἐστιν εὐτυχεῖν βροτούς.*

Θετταλικὰ πτερά [15]· *ἐπὶ τῶν παρὰ σχῆμα* [16] *ἐσθῆτας ἐνειμένων· αἱ γὰρ Θετταλικαὶ ἐσθῆτες πτερωταὶ ἦσαν.*

Θεῶν [17] *ἀγορά· ἐπὶ τῶν χρησίμων καὶ δικαίων.*

Θεοῦ θέλοντος κἂν ἐπὶ ῥιπὸς πλέοις [18].

Θεῷ μάχεσθαι δεινόν ἐστι καὶ τύχῃ.

10) Apost. Cent. X. 22. Aristoph. Av. 821. *ἆρ' ἐστιν αὐτηγὶ Νεφελοκοκκυγία, ἵνα καὶ Θεαγένους τὰ πολλὰ χρήματα.*

11) Apost. Cent. X. 23. addit: *Σοφοκλέους ἡ γνώμη.* Apogr. Dresd. *παροῦσιν* pro *ἀργοῦσιν.*

12) Apost. Cent. X. 24. *Θετταλική.* Frequens harum formarum confusio Jacobs ad Achill. Tat. I. 18. p. 483. Coray ad Heliod. III. 2. p. 114. Ad rem cfr. Schol. ad Eurip. Phoen. 1416. — *ὅτι δὲ καὶ φαρμακίδες εἰσὶν, αἱ Θετταλαὶ, Ἀριστοφάνης φησὶν ἐν νεφέλαις* (747.) *γυναῖκα φαρμακίδ' εἰ πριάμενος Θετταλήν.* Lucian. Dial. meretr. I. *οὐκ οἶσθα, ὡς φαρμακὶς ἡ Χρυσάριον ἡ μήτηρ αὐτῆς, Θεσσαλάς τινας ᾠδὰς ἐπισταμένη.* IV. *γραῦν, οἷαι πολλαὶ Θετταλαὶ λέγονται ἐπᾴδουσαι.*

13) Apost. Cent. X. 25. Macar. *ἐπὶ τῶν εἰς ἀναίδειαν εὐδοκιμούντων.* Xen. Symp. VIII. 35. *θεὸν γὰρ οὐ τὴν ἀναίδειαν, ἀλλὰ τὴν αἰδῶ νομίζουσιν* (sc. *οἱ Λακεδαιμόνιοι*). Cfr. Bornemann. Clem. Protrept. p. 22. 21. *ὥσπερ ἀμέλει καὶ Ἐπιμενίδης ὁ παλαιὸς ὕβρεως καὶ ἀναιδείας Ἀθήνησιν ἀναστήσας βωμούς.*

14) Apost. Cent. X. 26.

15) Apost. Cent. X. 27. Macar. *ἐπὶ τῶν εὐπαρύφων καὶ καλλωπιζομένων ἐσθῆτι, παρόσον αἱ Θετταλικαὶ χλαμίδες πτερὰ εἶχον.*

16) Apost. *παραχρῆμα.*

17) Apost. Cent. X. 27.

18) Macar. *πλέεις.* Cfr. infra sub: *κέρδους ἔχητι.*

Θεοῦ δὲ πληγὴν οὐχ ὑπερπηδᾷ βροτός.
Θεοῦ δ' ὄνειδος τοὺς κακοὺς εὐδαιμονεῖν.
Θεοὶ δέ τε φέρτεροι ἀνδρῶν.
Θεὸς [19] *μέγιστος τοῖς φρονοῦσιν οἱ γονεῖς.*
Θερμὴν [20] *ἐπὶ ψυχροῖσι καρδίαν ἔχεις.*
Θεὸς [21] *μὲν αἰτίαν φύει βροτοῖς, ὅταν*
Κακῶσαι δῶμα παμπήδην θέλῃ.

Τὸ $\overline{\vartheta}$ *μετὰ τοῦ* $\overline{\eta}$.

Θηρικλείου φίλος [1]· *ἐπὶ τῶν μεθυόντων, ἀπὸ τοῦ περιέχοντος τὸ περιεχόμενον· ὁ γὰρ Θηρικλῆς πρῶτος εὗρε τὸ ἔκπωμα, ὡς φησιν Εὔβουλος· καθαρώτερον δὲ τῶν κεράμων εἰργάσμην ἢ Θηρικλῆς τὰ ἐκπώματα.*

19) Stob. T. 79. 53. *Δικαιογένους.*

20) Soph. Antig. 89. *ἐπὶ ψυχροῖσι* de rebus horrorem incutienbibus interpretatur Hermannus. Cui interpretationi, praeter locum ex Aesch. Prom. allatum favent Hesych. *ψυχρὸν κακὸν, ψύξεως αἴτιον*, et Eustath. p. 1097. *εἰώθασι δὲ οἱ παλαιοὶ ψυχρὰ λέγειν τὰ ἀηδῆ, ὥσπερ αὖ πάλιν ἐκ τοῦ ἐναντίου θερμὰ τὰ προσηνῆ*, et proverb. infra secuturum, *ἰαλέμου ψυχρότερος.* Eodem modo usurpatur *φρικτὸς* et *φρικώδης.* Plut. Coriol. 18. *ἔδοξε μὲν καὶ τῶν δημοτῶν πολλοῖς φρικτὸν εἶναι τὸ γιγνόμενον καὶ ὑπερήφανον.* Julian. Or. in Const. p. 31. C. *φρικῶδες καὶ δεινὸν θέαμα.* Attamen malim derivare ab *οἱ ψυχροὶ*, quam ab *τὰ ψυχρά. Ψυχρὸς νέκυς* dicit Soph. Oed. Col. 615. Alia exempla ex utraque lingua contulit Valck. ad Phoen. 1448. *Ψυχροὶ* vero absolute positum eodem jure de mortuis usurpari posse censeo, quo vivi *ἀμέριοι, ἐφημέριοι* etc. vocantur, omisso *ἄνθρωποι.* Eur. Phoen. 132. *ἀμερίων γέννα.* Cfr. Valck. ad v. 1515.

21) Stob. T. 2. 7. non nominat autorem. Aeschylo tribuit Plato Rep. II. p. 430. E. *Οὐδ' αὖ, ὡς Αἰσχύλος λέγει, ἐατέον ἀκούειν τοὺς νέους ὅτι· θεὸς μὲν* etc. *Ἀλλ' ἐάν τις ποιῇ, ἐν οἷς ταῦτα τὰ ἰαμβεῖα ἔνεστι, τὰ τῆς Νιόβης πάθη ἢ τὰ Πελοπιδῶν, ἢ τὰ Τρωϊκά, ἤ τι ἄλλο τῶν τοιούτων* etc., unde Wyttenb. ad Plut. de aud. poët. p. 17. B. versus ex Aeschyli Niobe sumtos esse credit.

1) Apost. Cent. X. 29. *Θηρίκλειος.* Ad *Θηρικλείου* subint. *ποτηρίου.* Magna horum calicum apud veteres celebritas. Plut. Apophth. p. 201. *ψυκτῆρες διάλιθοι καὶ Θηρίκλειοι.* Aemil. Paul. c. 33. *οἵ τε τὰς Ἀντιγονίδας καὶ Σελευκίδας καὶ Θηρικλείους, καὶ ὅσα περὶ δεῖπνον χρυσώματα τοῦ Περσέως, ἐπι-*

Θηραμένης ἀνήρ [2]· *ἐπὶ τῶν πανούργων.*

Θησεὺς Πειρίθουν [3]· *συνυπακούεται τὸ φιλεῖν, ἐπὶ τῶν ἄγαν ἀλλήλους φιλούντων.*

Πλουτάρχου.

Θηρεύουσι τοῖς μὲν κυσὶ τοὺς λαγωοὺς οἱ κυνηγοὶ, τοῖς δὲ ἐπαίνοις τοὺς ἀνοήτους οἱ πολλοί.

Τὸ Θ μετὰ τοῦ ν.

Θνητοὶ [4] *γεγῶτες μὴ φρονεῖθ' ὑπὲρ θεούς.*

Θνητὸς πεφυκὼς τἀπὶ σοι πειρῶ βλέπειν. Εὐριπίδου.

Θνητὸς [5] *γὰρ ὢν καὶ θνητὰ πείσεσθαι δόκει. Τοῦ αὐτοῦ.*

Θνητὸς [6] *πεφυκὼς μὴ ὑλαβοῦ τεθνηκέναι. Διφίλου.*

Θνητὸς [7] *πεφυκὼς τὰ 'πίσω πειρῶ βλέπειν. Ἰσιδώρου.*

Τὸ Θ μετὰ τοῦ ρ.

Θρᾷκες [8] *ὅρκια οὐκ ἐπίστανται· ἐπὶ τῶν ἀνόμων.*

Θρᾷξ [9] *εὐγενὴς εἶ πρὸς ἄλ' ἠγορασμένος.*

Θρὶξ ὕστριχος [10]· *ἐπὶ τῶν εὐστόχως βαλλόντων. Ὀνύχων* [11] *ἀκμαῖς θαῤῥοῦσι καὶ ἄρκτοι καὶ λύκοι καὶ πάρδοι καὶ λέοντες, τὴν δὲ ὕστριχα ἀκούω ταῦτα μὲν*

δεικνύμενοι. Philop. c. 9. *ἦν οὖν ἰδεῖν τὰ ἐργαστήρια μεστὰ κατακοπτομένων κυλίκων καὶ θηρικλείων.* Alex. c. 67. *φιάλαις καὶ ῥυτοῖς καὶ θηρικλείοις — ἀλλήλοις προέπινον.* Clem. Paedag. II. 3. p. 188. 10. *Θηρίκλειοί τινες κύλικες καὶ Ἀντιγονίδες* cfr. Athen. XI. c. 41. 299. — Pro *ὁ γὰρ Θηρικλῆς* Arsen. *Εὐρυκλῆς.*

2) Apost. Cent. X. 30. De Theramene vide supra p. 244. sub: *εὐμεταβολώτερος κοθούρνου.*

3) Apost. Cent. X. 34.

4) Stob. T. 22. 16.

5) Stob. T. 108. 15. *καὶ* abest ab Apogr. Dresd.

6) Stob. T. 118. 15.

7) Stob. T. 22. 27.

8) Apost. Cent. X. 32. Macar. *ἐπὶ τῶν τοῖς ὅρκοις οὐκ ἐμμενόντων.*

9) Menand. p 257. ed. Mein.

10) Apost. Cent. X. 35.

11) Aelian. H. A. I. 31.

οὐκ ἔχειν, οὐ μὴν ὅπλων ὑπὸ τῆς φύσεως ἀμυντηρίων ἀπολελεῖφθαι ἐρήμην· τοῖς γοῦν ἐπιοῦσιν ἐπὶ λύμῃ τὰς ἄνωθεν τρίχας οἱονεὶ βέλη ἐκπέμπει καὶ εὐστύχως [12] βάλλει πολλάκις φρίξασα· καὶ ἐκεῖναί γε πηδῶσιν, ὥσπερ ἔκ τινος ἀφειμέναι νευρᾶς.

Θρέψαι καὶ λυκιδεῖς, θρέψαι κύνας ὥς τυ φάγοντι.

Θρὶξ ἀνὰ μέσον.

Τὸ $\overline{\text{Θ}}$ μετὰ τοῦ $\overline{\text{υ}}$.

Θυμὸς [1] ἔσχατον γηράσκει· λέγεται διὰ τοὺς πρεσβυτέρους· ὅσον γὰρ γηράσκουσι, τὸν θυμὸν ἐρρωμενέστερον ἔχουσι.

Θύραζε Κᾶρας [2], οὐκ ἔτ' ἀνθεστήρια· διὰ πλῆθος οἰκετῶν, ὡς ἐν τοῖς ἀνθεστηρίοις εὐωχουμένων καὶ αὐτῶν.

Θυμόσοφός ἐστιν [3]· ἐπὶ τῶν ὀξυμαθῶν καὶ εὐφυῶν.

Θυννίζειν [4]· ἀντὶ τοῦ κεντᾷν· τριαίναις γὰρ τοὺς θύννους κεντοῦσιν· ἐξ οὗ καὶ Λουκιανὸς θυννῶδες τὸ ἐνθύμημα, ἀντὶ τοῦ ἀπότομον καὶ σκληρόν. Φασὶ [5] δ' ὅτι τῆς τῶν ὡρῶν μεταβολῆς ἔχουσιν αἰσθητῶς οἱ θύννοι, καὶ ἴσασι τροπὰς ἡλίου ὀξύτατα, καὶ δέονται τῶν τὰ οὐράνια εἰδέναι προσποιουμένων οὐδέν· ὅπη γὰρ αὐτοὺς χειμῶνος ἀρχὴ καταλάβῃ ἀτρεμοῦσιν ἀγαπητῶς· ὅτι δὲ τῷ ἑτέρῳ τῶν ὀφθαλμῶν ὁρῶσι καὶ Αἰσχύλος ὁμολογεῖ λέγων·

Τὸ σκαιὸν ὄμμα παραβαλὼν θύννου δίκην.

Παρίασί τε εἰς τὸν πόντον καὶ κατὰ τὴν δεξιὰν αὐτῶν πλευρὰν τὴν γῆν λαμβάνουσι, καθ' ἣν καὶ βλέπου-

12) Apogr. Dresd. εὐστοχῶς.
1) Apost. Cent. X. 35.
2) Apost. Cent. X. 36. Κᾶρες.
3) Apost. Cent. X. 37.
4) Apost. Cent. X. 38.
5) Aelian. H. A. IX. c. 4.

σιν· ἐξιόντες τε αὖ κατὰ τὴν ἀντιπέραν νέουσι τῆς γῆς ἐχόμενοι, τὴν φρουράν τοῦ σώματος κατὰ τὸν ὁρῶντα τῶν ὀφθαλμιῶν λαμβάνοντες.

Θύννοι τοὺς ναναγήσαντας φιλανθρώπως δεχόμενοι φίλους ποιοῦνται· τῶν δὲ ξένων τοὺς μὲν ἑκουσίως ἐλθόντας σφόδρα τιμῶσι, τοὺς δὲ ἀκουσίως κολάζουσιν.

Θυμοῦ λόγος ἰατρός [6].

Μενάνδρου [7].

Θυγάτηρ ἐπίγαμος, κἂν ὅλως μηδὲν λαλῇ,
Διὰ τοῦ σιωπᾶν πλεῖστα περὶ αὐτῆς λέγει.

ΑΠΟΦΘΕΓΜΑΤΑ.

Θαλοῦ [1].

Θαλῆς, Ἐξαμίου [2] καὶ Κλεοβουλίνης, Μιλήσιος, ἐρωτηθείς, πόσον ἀπέχει τὸ ψεῦδος τοῦ ἀληθοῦς, ὅσον, ἔφη, ὀφθαλμοὶ τῶν ὤτων.

Ὁ αὐτὸς [3] ἐρωτηθείς, τί δύσκολον, ἔφη, τὸ ἑαυτὸν γνῶναι· πάλιν ἐρωτηθείς, τί εὔκολον, ἔφη, τὸ ὑποτίθεσθαι ἄλλῳ.

6) Apost. Cent. X. 31.

7) Stob. T. 77. 2. Macar. addit: Θάλασσα καὶ πῦρ καὶ τρίτον κακὴ γυνή. — Θάλατταν σπείρειν· ἐπὶ τῶν μάτην πονούντων. — Θάσιος παῖς Ἀγλαοφῶντος· ἐπὶ τῶν θαῤῥούντων ἐν οἷς λέγουσιν ἢ πράττουσιν· ὁ γὰρ Ἀγλαοφῶντος παῖς Θάσιος τὸ γένος ἄριστος ἦν γραφεύς. — Θαλάττης χύες· ἐπὶ τῶν ἀμέτρων καὶ ἀνεφίκτων. — Θετταλὸν σόφισμα· ἐπὶ τῶν τι σοφιζομένων ἢ τεχνιζομένων. — Θετταλικὴ ἔνθεσις· ἐπὶ τῶν ἀδηφαγούντων.

1) In Laur. praemissa sunt: Πλουτάρχου ἐκ τοῦ περὶ τῶν ἀρεσκόντων τοῖς φιλοσόφοις: περὶ ἀρχῶν. Inc. Θαλῆς, Ἐξαμίου καὶ Κλεοβουλ. Μιλήσιος, εἷς τῶν ἑπτὰ σοφῶν ἀρχὴν τῶν ὄντων ἀπεφήνατο τὸ ὕδωρ εἶναι — finit: εἶναι δὲ καὶ αὐτὸ τὸ κενὸν ἄπειρον.

2) Stob. T. 12. 14.

3) Diog. Laërt. I. Segm. 36. Laurent. non habet.

Ὁ αὐτὸς [4] ἐρωτηθεὶς, τί κοινότατον, ἀπεκρίνατο, ἐλπίς· καὶ γὰρ οἷς ἄλλο μηδὲν, αὕτη πάρεστιν [5].

Ὁ αὐτὸς [6] ἰῇ μητρὶ Κλεοβουλίνῃ γυναῖκα λαβεῖν δεομένῃ, οὔπω καιρὸς, ἔλεγεν· εἶτα προβὰς, οὐκέτι καιρός.

* Ὁ αὐτὸς ἐδόξαζεν, ὡς ἡ πρόνοια μέχρι τῶν ἐσχάτων διήκει, καὶ οὐδὲν αὐτὴν λανθάνει, οὐδὲ τὸ ἐλάχιστον.

Ὁ αὐτὸς εἶπε· Γνῶθι σαυτόν [7].

Ὃ μέλλεις ποιεῖν, μὴ λέγε· ἀποτυχὼν γὰρ γελασθήσῃ.

Τοῖς ἐπιτηδείοις χρῶ.

Ὅσα νουθετεῖς τὸν πλησίον, αὐτὸς ποίει.

Ἀπραγοῦντα μὴ ὀνείδιζε· ἐπὶ γὰρ τούτοις νέμεσις θεῶν κάθηται.

Ἀγάπα τὸν πλησίον μικρὰ ἐλαττούμενος.

Τὸν φίλον κακῶς μὴ λέγε.

Δεινὸν συνιδεῖν τὸ μέλλον.

Σκόπει τὸ γενόμενον. Πιστὸν γῆ. Ἄπιστον θάλασσα.

Ἄπληστον κέρδος. Κτῆσαι ἴδια. Θεραπείαν ζήτει.

Φίλει τὴν παιδείαν, σωφροσύνην, φρόνησιν, ἀλήθειαν, πίστιν, ἐμπειρίαν, ἐπιδεξιότητα, ἑταιρείαν, τέχνην.

Θεανοῦς.

Θεανὼ ἐρωτηθεῖσα, ποσταία γυνὴ ἀπ᾽ ἀνδρὸς καθαρεύει [8], ἀπὸ μὲν τοῦ ἰδίου, εἶπε, παραχρῆμα, ἀπὸ δὲ ἀλλοτρίου οὐδέποτε.

Ἡ αὐτὴ [9] ἐρωτηθεῖσα, τί πρέπον εἴη γυναικὶ, τὸ τῷ ἰδίῳ, ἔφη, ἀρέσκειν ἀνδρί.

4) Stob. T. 110. 24.

5) Impr. *πρόσεστιν.*

6) Stob. T. 68. 29. verbis paullo immutatis Diog. Laërt. I. segm. 26. Plut. Sympos. III. 5.

7) Laur. *Θαλῆς εἶπε, καιρὸν γνῶθι.* Impr. *Θαλῆς Ἑξαμίου καὶ Κλεοβουλίνης, Μιλήσιος, τάδε ἔφη, κ. τ. λ.*

8) Stob. T. 74. 53. Clem. Strom. IV. 19. p. 619. 4. *ποσταία γυνὴ ἀπὸ ἀνδρὸς εἰς τὸ Θεσμοφόριον κάτεισιν,* ubi Potter recenset eos, qui sententiam hanc laudant. Addo Nicol. Soph. p. 274.

9) Stob. T. 74. 55.

Ἡ αὐτὴ [10] παρέφηνε τὴν χεῖρα, περιβαλλομένη τὸ ἱμάτιον, εἰπόντος δέ τινος, καλὸς ὁ πῆχυς, ἀλλ' οὐ δημόσιος, ἔφη [11].

* Ἡ αὐτὴ ἐρωτηθεῖσα, πῶς ἔνδοξος ἔσται, ἔφη· Ἰστὸν ἐποιχομένη καὶ ἐμὸν λέχος ἀντιόωσα.

Θεμιστοκλέους.

Θημιστοκλέης [12] ἔτι μειράκιον ὢν [13] ἐν πότοις ἐκυλινδεῖτο καὶ γυναιξίν· ἐπεὶ δὲ Μιλτιάδης στρατηγῶν ἐνίκησεν ἐν Μαραθῶνι τοὺς βαρβάρους, οὐκέτι ἦν ἐντυχεῖν ἀτακτοῦντι Θεμιστοκλεῖ· πρὸς δὲ τοὺς θαυμάζοντας τὴν μεταβολὴν ἔλεγεν, ὡς οὐκ ἐᾷ με καθεύδειν οὐδὲ ῥᾳθυμεῖν τὸ τοῦ Μιλτιάδου τρόπαιον.

Ὁ αὐτὸς [14] χωρίον πωλῶν ἐκέλευσε κηρύττειν, ὅτι καὶ γείτονα χρηστὸν [15] ἔχει.

Ὁ αὐτὸς [16] τῶν [17] τὴν θυγατέρα μνωμένων αὐτοῦ τὸν ἐπιεικῆ τοῦ πλουσίου προτιμήσας, ἄνδρα, ἔφη, ζητεῖν χρημάτων δεόμενον μᾶλλον, ἢ χρήματα ἀνδρός.

* Ὁ αὐτὸς ἐρωτηθεὶς, πότερον Ἀχιλλεὺς ἐβούλετ' ἂν ἢ Ὅμηρος εἶναι, σὺ δ' αὐτὸς, ἔφη, πότερον ἤθελες ὁ νικῶν ἐν Ὀλυμπιάσιν ἢ ὁ κηρύσσων τοὺς νικῶντας εἶναι.

10) Laur. non habet. Lacaenae tribuere videtur Clem. Al. Paedag. II. 10. p. 239., ubi cum de Lacaenis dixisset, addit: καί τοι δυνατὸν ἀποφθέγξασθαι μάλα κοσμίως τὴν ἀστείαν ἐκείνην φωνὴν πρὸς εἰπόντα, καλὸς ὁ πῆχυς· ἀλλ' οὐ δημόσιος· καὶ κνῆμαι καλαί· ἀλλὰ μόνου, φάναι, τοῦ ἀνδρὸς τοῦ ἐμοῦ· καὶ πρόσωπον εὐπρεπὲς, ἀλλὰ μόνου τοῦ γεγαμηκότος, ubi Potter.

11) ἔφη Mosc. om.

12) Plut. Them. c. 3.

13) Mosc. ὄν. Laur. et impr. ὤν.

14) Stob. T. 37. 30. Plut. Them. c. 18.

15) Res rara: Alciphr. I. 15. δυσμενὴς καὶ βάσκανος ὁ τῶν γειτόνων ὀφθαλμὸς, φησὶν ἡ παροιμία. Hesiod. ἔργ. 346. οὐδ' ἂν βοῦς ἀπόλοιτ', εἰ μὴ γείτων κακὸς εἴη, saepe laudatur a veteribus, vide Wyttenb. ad Plut. de aud. poët. p. 34. B. Adde Julian. ep. 35. p. 409. B. οὐδ' ἂν βοῦς ἀπόλοιτο, εἰ μὴ διὰ κακίαν γειτόνων.

16) Stob. T. 85. 11. Plut. c. 18.

17) τῶν Mosc. om. Laur. habet.

* Ὁ αὐτὸς Ξέρξου καταβαίνοντος ἐπὶ τὴν Ἑλλάδα τῷ μεράλῳ στόλῳ φοβηθεὶς Ἐπικύδην τὸν δημαγωγὸν αἰσχροκερδῆ καὶ δειλὸν ὄντα, μὴ στρατηγὸς γενόμενος ἀπολέσῃ τὴν πόλιν, ἔπεισεν ἀργυρίῳ τῆς στρατηγίας ἀποστῆναι.

* Ὁ αὐτὸς Ἀδειμάντου [18] ναυμαχεῖν μὴ τολμῶντος, εἰπόντος πρὸς τὸν Θεμιστοκλέα τοὺς Ἕλληνας παρακαλοῦντα καὶ προτρέποντα, ὦ Θημιστόκλεις, τοὺς ἐν τοῖς ἀγῶσι προεξισταμένους μαστιγοῦσιν ἀεὶ, ναὶ, εἶπεν, ὦ Ἀδείμαντε, τοὺς δὲ λειπομένους οὐ στεφανοῦσιν.

* Ὁ αὐτὸς πρὸς Σιμωνίδην ἐξαιτούμενόν τινα κρίσιν οὐ δικαίαν, ἔφη, μήτ' ἐκεῖνον γενέσθαι ποιητὴν ἀγαθὸν, ᾄδοντα παρὰ μέλος, μήτ' αὐτὸν ἄρχοντα χρηστὸν, δικάζοντα παρὰ τὸν νόμον.

* Ὁ αὐτὸς, ἐπειδὴ ἐξέπεσε τῶν Ἀθηναίων τὸ πρῶτον, εἶτα καὶ τῆς Ἑλλάδος, ἀναβὰς πρὸς βασιλέα, καὶ πολλῶν δωρεῶν ἀξιωθεὶς, καὶ ταχὺ πλούσιος γενόμενος, πρὸς τοὺς παῖδας εἶπεν, ὦ παῖδες [19], ἀπολοίμεθ' ἄν, εἰ μὴ ἀπολώλειμεν.

Θεοκρίτου.

Θεόκριτος [1], ὁ Χῖος, ἐρωτηθεὶς, ποῖα τῶν θηρίων εἰσὶ [2] χαλεπώτατα, εἶπεν, ἐν μὲν τοῖς ὄρεσιν ἄρκτοι καὶ λέοντες, ἐν δὲ ταῖς πόλεσι τελῶναι [3] καὶ συκοφάνται.

18) Plut. c. 11. *Εὐρυβιάδου.*

19) Plut. c. 29.

1) Stob. T. 21. 54. Simile Diogenis apophthegma vide supra p. 197. Cfr. Plut. de discrim. adul. p. 61. C. *ὅθεν οὐδὲ ὁ Βίας ἀπεκρίνατο καλῶς τῷ πυθομένῳ, τί τῶν ζώων χαλεπώτατόν ἐστιν, ἀποκρινόμενος, ὅτι τῶν μὲν ἀγρίων ὁ τύραννος, τῶν δὲ ἡμέρων ὁ κόλαξ.*

2) Impr. *ἐστί.*

3) *Τελῶναι*, quam contemti et exosi fuerint ex N. T. satis constat. Suid. *τελώνης, ὁ τῶν τελῶν ἐταστής· διεβέβλητο δὲ παρὰ τοῖς παλαιοῖς καὶ τὸ τοῦ τελώνου ὄνομα, καὶ τοῦ Κλέονος ὄντος τελώνου καὶ ὑπὲρ τὸ τέλος τελωνοῦντος, ὡς φησιν Ἀριστοφάνης.* Inde Pollux IX. segm. 33. publicanum melioris notae *κρείττονα τοῦ βίου* vocat. Julian. Or. VII. p. 238. A. *Διογένης πρὸς τὸν προτρεπόμενον μυηθῆναι* (ita ex emendat. Wyttenb. pro vulg. *τρεπόμενον ἐκμυηθῆναι*) *γελοῖον, εἶπεν, εἰ τοὺς*

Ὁ αὐτὸς [4] πρός τινα διαλεκτικὸν συντεταμένως αὐτῷ καὶ ἐριστικῶς ἀποκρινόμενον ἔφη·

Ὡς ἔρις ἔκ τε θεῶν ἔκ τ᾽ ἀνθρώπων ἀπόλοιτο·

Ὁ αὐτὸς ἀφυοῦς ποιητοῦ ἀκρόασιν ποιουμένου, ἐρωτώμενος ὑπ᾽ αὐτοῦ ποῖά ἐστι τὰ καλῶς εἰρημένα, ἔφη, ἃ παρέλιπές.

Θεόκριτος,

Πραξαγόρου καὶ Φιλιστίνης, ἐρωτηθεὶς, διατὶ οὐ συγγράφει, ὅτι, εἶπεν, ὡς μὲν βούλομαι, οὐ δύναμαι, ὡς δὲ δύναμαι, οὐ βούλομαι.

Θεοδώρου Κυθηραίου [5].

Θεόδωρος, ὁ Κυθηραῖος, οὐδεμίαν ἱκανὴν πρόφασιν ἔφασκεν εἶναι τῷ σοφῷ πρὸς τὴν τοῦ βίου κατάλυσιν· καὶ τό τε ἀκόλουθον οὕτως ἑώρα· τὸ γὰρ καταφρονοῦντα τῶν ἀνθρωπείων συμπτωμάτων ἀπωστὸν ὑπ᾽ αὐτῶν ἐκ τοῦ βίου γίνεσθαι, πῶς οὐχ ὑπεναντίον τῷ μόνον μὲν τὸ καλὸν ἀγαθὸν, μόνον δὲ αἰσχρὸν τὸ κακὸν εἰρηκότι;

Θεοφράστου.

Θεόφραστος, Μελάνθου, Ἐρέσσιος, φοιτητὴς Ἀριστοτέλους, οὐδὲν ἀλυσιτελέστερον [6] ἔφη φιλοδοξίας.

Ὁ αὐτὸς [7], ἐν συμποσίῳ νεανίσκον τινὰ βλέπων ἡσυχίαν ἔχοντα, εἶπεν, εἰ μὲν ἀπαίδευτος ὢν σιωπᾷς, πεπαιδευμένος ὑπάρχεις, εἰ δὲ πεπαιδευμένος ὑπάρχεις, ἀπαιδεύτως σιωπᾷς.

μὲν τελώνας οἴει ταύτης ἕνεκα τῆς τελετῆς κοινώσειν τοῖς θεοῖς τῶν ἐν Ἅιδου καλῶν, Ἀγησίλαον καὶ Ἐπαμινώνδαν ἐν τῷ βορβόρῳ κεῖσθαι. Cfr. supra p. 205.

4) Stob. T. 82. 12.

5) Stob. T. 119. 16. Laur. et impr. hoc nomen om.

6) Sumtum videtur ex longiore Diogenis Laërt. V. segm. 40. loco, quem Arsen. subjungit.

7) Diog. Laërt. V. segm. 40. πρὸς δὲ τὸν ἐν τῷ συμποσίῳ σιωπῶντα τὸ ὅλον, ἔφη, εἰ μὲν ἀμαθὴς εἶ, φρονίμως ποιεῖς· εἰ δὲ πεπαίδευσαι, ἀφρόνως.

Ὁ αὐτὸς [8] εἶπε τοὺς μοχθηροὺς τῶν ἀνθρώπων οὐχ οὕτως ἥδεσθαι ἐπὶ τοῖς ἰδίοις ἀγαθοῖς, ὡς ἐπὶ τοῖς ἀλλοτρίοις κακοῖς.

* Ὁ αὐτὸς ἔφη, ἐκ διαβολῆς καὶ φθόνου ψεῦδος ἰσχύσαν ἀπεμαράνθη.

Ὁ αὐτὸς [9] ἐπὶ τῆς τελευτῆς ἐρωτηθεὶς ὑπὸ τῶν μαθητῶν, εἴ τι ἐπισκήπτει, ἐπισκήπτειν μὲν, εἶπεν, ἔχω οὐδὲν, πλὴν ὅτι πολλὰ τῶν ἡδέων ὁ βίος διὰ τὴν δόξαν καταλαζονεύεται· ἡμεῖς γὰρ ὁπότε ἤρχόμεθα ζῆν, τότε ἀποθνήσκομεν· οὐδὲν οὖν ἀλυσιτελέστερόν ἐστι φιλοδοξίας [10]· ἀλλ᾽ εὐτυχεῖτε καὶ ἤτοι τῶν λόγων ἄφετε, πολὺς γὰρ ὁ πόνος, ἢ καλῶς αὐτῶν πρόστητε, μεγάλη γὰρ ἡ δόξα· τὸ δὲ κενὸν τοῦ βίου πλεῖον τοῦ συμφέροντος· ἀλλ᾽ ἐμοὶ μὲν οὐκέτι ἐκποιεῖ βουλεύεσθαι, τί πρακτέον, ὑμεῖς δὲ ἐπισκέψασθε, τί ποιητέον· ταῦτά, φασιν, εἰπὼν ἀπέπνευσεν.

Θεοδώρου Κυρηναϊκοῦ.

Θεόδωρος [1], ὁ Κυρηναϊκὸς, Λυσιμάχου τοῦ βασιλέως ἀπειλήσαντος αὐτὸν ἀναιρήσειν, ἐλεληθεις με [2], εἶπεν, οὐ βασιλέως ἀλλὰ κωνείου δύναμιν ἔχων.

Ὁ αὐτὸς ἔλεγεν, εὔλογον εἶναι τὸν σπουδαῖον μὴ ἐξαγαγεῖν ὑπὲρ τῆς πατρίδος αὐτὸν, οὐ γὰρ ἀποβαλεῖν τὴν φρόνησιν ἕνεκα τῆς τῶν ἀφρόνων ὠφελείας· εἶναί τε πατρίδα τὸν κόσμον· κλέψειν τε καὶ μοιχεύσειν καὶ ἱεροσυλήσειν μηδὲν τούτων φύσει αἰσχρὸν εἶναι τῆς ἐπ᾽ αὐτῆς δόξης αἱρουμένους· ἢ σύγκειται ἕνεκα τῆς τῶν ἀφρόνων συνοχῆς· φανερῶς τε τοῖς ἐρωμένοις ἄνευ πάσης ὑφοράσεως χρήσεσθαι τὸν σοφὸν, διὸ καὶ τοιούτους λόγους ἠρώτα.

8) Stob. T. 38. 30.
9) Diog. segm. 40.
10) Codd. et impr. φιλοσοφίας et mox εἴ τι pro ἤτοι.

1) Stob. T. 2. 33.
2) με omittunt Codd. et impr. Laur. ἐλελήθης.

Ἄραγε γυνὴ γραμματικὴ χρήσιμος ἂν εἴη, παρόσον γραμματική ἐστι; ναί· οὐκοῦν καὶ γυνὴ καλὴ χρησίμη ἂν εἴη, παρόσον καλή ἐστι; καὶ παῖς καὶ νεανίσκος χρήσιμος ἂν εἴη, παρόσον καλός ἐστι; ναί· καὶ παῖς ἄρα καὶ νεανίσκος καλὸς πρὸς τοῦτ' ἂν εἴη χρήσιμος, παρόσον καλός ἐστιν; ἔστι δὲ χρήσιμος πρὸς τὸ πλησιάζειν, ὧν διδομένων ἐπῆγεν, οἰκοῦν, εἴ τις πλησιασμῷ χρῷτο, παρόσον χρήσιμός ἐστιν, οὐ διαμαρτήσεται· τοιαῦτα ἄττα διεριωτῶν ἴσχυε τῷ λόγῳ.

Ὁ αὐτὸς δοκεῖ κληθῆναι θεὸς, Στίλπωνος αὐτὸν ἐρωτήσαντος οὕτω, ἆρά γε, Θεόδωρε, θεὸς εἶναι φῂς, τοῦτο καὶ εἶ· ἐπινεύσαντος δὲ, φῂς δ' εἶναι θεὸς, τοῦτο δ' ὁμολογήσαντος, θεὸς εἶ ἄρα, ἔφη. Δεξαμένου δὲ ἀσμένως γελάσας φησὶν, ἀλλ', ὦ μοχθηρὲ, τῷ λόγῳ τούτῳ καὶ κολοιὸς ἂν ὁμολογήσειας εἶναι καὶ ἄλλα μυρία.

Ὁ αὐτὸς, προσκαθίσας ποτὲ Εὐκλείδῃ [3] τῷ ἱεροφάντῃ, λέγε μοι, ἔφη, Εὐκλείδη, τίνες εἰσὶν οἱ ἀσεβοῦντες περὶ τὰ μυστήρια· εἰπόντος δ' ἐκείνου, οἱ τοῖς ἀμυήτοις αὐτὰ ἐκφέροντες, ἀσεβὴς ἄρα εἶ καὶ σὺ, ἔφη, τοῖς ἀμυήτοις διηγούμενος· καὶ μέντοι παρ' ὀλίγον ἐκινδύνευσεν εἰς ἄρειον ἀχθῆναι πάγον, εἰ μὴ Δημήτριος αὐτὸν ὁ Φαληρεὺς ἐρύσατο.

Ὁ αὐτὸς διατρίβων παρὰ Πτολεμαίῳ τῷ Λάγου, ἀπεστάλη τόθ' ὑπ' αὐτοῦ πρὸς Λυσίμαχον πρεσβευτής· ὅτε καὶ παῤῥησιαζομένῳ φησὶν ὁ Λυσίμαχος, λέγε μοι, Θεόδωρε, οὐ σὺ ὁ ἐκπεσὼν Ἀθήνηθεν· καὶ ὃς, ὀρθῶς ἀκήκοας, ἡ γὰρ τῶν Ἀθηναίων πόλις, οὐ δυναμένη με φέρειν, ὥσπερ ἡ Σεμέλη τὸν Διόνυσον ἐξέβαλεν [4].

Ὁ αὐτὸς εἰπόντος τοῦ Λυσιμάχου, βλέπε, ὅπως μὴ παρέσῃ πρὸς ἡμᾶς ἔτι, οὐκ ἂν, ἔφη, ἂν μὴ Πτολεμαῖος ἀποστείλῃ;

3) Laur. et impr. Εὐρυκλείδῃ. 4) Laur. ἐξέβαλε. Mosc. ἐξέβαλλεν.

Ὁ αὐτὸς Μέθρου τοῦ διοικητοῦ Λυσιμάχου παρεστῶτος καὶ εἰπόντος, ἔοικας σὺ μόνος θεοὺς ἀγνοεῖν, ἀλλὰ καὶ βασιλέας, πῶς εἶπεν, ἀγνοῶ, ὅπου γε καὶ σὲ θεοῖς ἐχθρὸν εἶναι νομίζω.

Ὁ αὐτὸς [5] *οὐδεμίαν ἱκανὴν πρόφασιν ἔφασκεν εἶναι τῷ σοφῷ πρὸς τὴν τοῦ βίου κατάλυσιν, καὶ τό τε ἀκόλουθον οὕτως ἐρωτᾷ· τὸ γὰρ καταφρονοῦντα τῶν ἀνθρωπίνων συμπτωμάτων ὑπ᾽ αὐτοῦ τοῦ ἐκ τοῦ βίου γίνεσθαι.*

Θρασυβούλου [6].

Θρασύβουλος ὁ Θυριεὺς ὀνομαζόμενος, ὢν Ἀθηναῖος, ὑπὸ δὲ τῶν τριάκοντα πεφυγαδευμένος, συνεργούντων αὐτῷ λάθρα τῶν Θηβαίων κατέλαβε τὸ χωρίον τῆς Ἀττικῆς, ὀνομαζόμενον Φυλήν· ἦν δὲ τὸ φρούριον ὀχυρὸν σφόδρα, καὶ τῶν Ἀθηνῶν ἀπέχον σταδίους ἑκατόν· ὥστε πολλὰς αὐτοῖς ἀφορμὰς παρέχεσθαι πρὸς ἔφοδον τῶν τυράννων, ὧν τῆς καταλύσεως αἴτιος ἐγένετο.

** Θεαρίδου.*

Θεαρίδας, ξίφος ἀκονῶν ἠρωτήθη, εἰ ὀξύ ἐστι, καὶ εἶπεν, ὀξύτερον διαβολῆς.

Περὶ θυσιῶν [7].

Εὔβουλος ὁ κωμικὸς περὶ θυσιῶν ὡδέπως γράφει.

Αὐτοῖς δὲ τοῖς θεοῖσι [8] *τὴν κέρκον μόνην*
Καὶ μηρὸν, ὥσπερ παιδεραστταῖς, θύετε.

Καὶ παραγαγὼν τὸν Διόνυσον ἐν Σεμέλῃ διαστελλόμενον πεποίηκε.

5) In solo Laur. exstat.
6) Laur. et impr. hoc nomen om.
7) Omisit hunc titulum Stobacus. Sumta sunt ex Clem. Strom. VII. 6. p. 847. 6.
8) Apogr. Dresd. *αὐτοῖσι δὲ τοῖς θεοῖς.*

Πρῶτον μέν, ὅταν ἐμοί τι θύωσί τινες αἷμα,
Κύστιν, μὴ καρδίαν, μηδὲ ἐπιπόλαιον.
Ἐγὼ γὰρ οὐκ ἐσθίω κοιλίαν οὐδὲ μηρίαν.

Καί που καὶ Ἡσίοδος [9] *κατά τινα μερισμὸν κρεῶν ἀπατηθέντα φησὶ πρὸς τοῦ Προμηθέως τὸν Δία λαβεῖν*

Ὄστεα λευκὰ βοὸς δολίῃ ἐπὶ τέχνῃ,
Κεκαλυμμένα ἀργέτι [10] *δημῷ.*
Ἐκ τοῦδ᾽ ἀθανάτοισιν ἐπὶ χθονὶ φῦλ᾽ ἀνθρώπων
Καίουσ᾽ ὀστέα λευκὰ, θυηέντων ἐπὶ βωμῶν.

Ἀπολλωνίου τοῦ Τυανέως ἐκ τοῦ περὶ θυσιῶν.

Οὕτω τοίνυν μάλιστα ἄν τις, οἶμαι, τὴν προσήκουσαν ἐπιμέλειαν ποιοῖτο τοῦ θείου, τυγχάνοι τε αὐτόθεν ἵλεώ τε καὶ εὐμενοῦς αὐτοῦ παρ᾽ ὁντιναοῦν μᾶλλον ἀνθρώπων, εἰ θεῷ μέν, ὃν δὴ πρῶτον ἔφαμεν, ἑνί τε ὄντι καὶ κεχωρισμένῳ πάντων, μεθ᾽ ὃν γνωρίζεσθαι τοὺς λοιποὺς ἀναγκαῖον, μὴ θύοι τι τὴν ἀρχὴν μήτε ἀνάπτοι πῦρ, μήτε καθόλου τί τῶν αἰσθητῶν ἐπονομάζοι· δεῖται γὰρ οὐδενὸς οὐδὲ παρὰ τῶν κρειττόνων, ἥπερ ἡμεῖς, οὐδ᾽ ἔστιν, ὃ τὴν ἀρχὴν ἀνίησι γῆ φυτὸν, ἢ τρέφει ζῶον ἢ ἀήρ, ᾧ μὴ πρόσεστί γέ τι μίασμα· μόνῳ δὲ χρῆτο πρὸς αὐτὸν αἰεὶ τῷ κρείττονι λόγῳ· λέγω δὲ τῷ μὴ διὰ στόματος ἰόντι καὶ παρὰ τοῦ καλλίστου τῶν ὄντων διὰ τοῦ καλλίστου τῶν ἐν ἡμῖν αἰτοίη τὰ ἀγαθά· νοῦς δέ ἐστιν ὀργάνου μὴ δεόμενος· οὐκοῦν κατὰ ταῦτα τῷ μεγάλῳ καὶ ἐπὶ πάντων θεῷ θυτέον.

Δεῖ τοίνυν θυσίας προσφέρειν τῷ θεῷ μὴ πολυτελεῖς.

9) Vide Hesiod. Theogon. v. 541. 555. 556. et 557. Matth.

10) Apogr. Dresd. *ἀργέτα.*

ΙΣΤΟΡΙΑΙ.

Ἱστορία περὶ Θήρωνος.

Θήρων ὁ τῶν Ἀκραγαντίνων βασιλεὺς, Γέλωνι τοῦ Ἱέρωνος ἀδελφῷ ἐπικηδεύσας, γάμῳ συνάπτει τὴν αὐτοῦ θυγατέρα Δημαρέτην, ἀφ' ἧς καὶ τὸ Δημαρέτειον νόμισμα ἐν Σικελίᾳ· τοῦ δὲ Γέλωνος τελευτῶν τοῦ βίου μέλλοντος, Πολύζηλος ὁ ἀδελφὸς τὴν στρατηγίαν, καὶ τὴν γαμετὴν αὐτοῦ διαδέχεται, καὶ τὰς Γέλωνος τοῦ ἀδελφοῦ προστάξεις, ὥστε τὸ Θήρωνος εἰς Γέλωνα κῆδος εἰς τὸν Πολύζηλον μετατεθεῖσθαι· λαμπρῷ δὲ αὐτῷ καὶ περιβλέπτῳ τυγχάνοντι κατὰ τὴν Σικελίαν, Ἱέρων φθονήσας ὁ ἀδελφὸς, καὶ πρόφασιν σκεψάμενος τὸν πρὸς Συβαρίτας πόλεμον, ἀπελαύνει τῆς πατρίδος· ἀλλὰ καὶ τοῦτον κατώρθωσε τὸν πόλεμον ὁ Πολύζηλος· ὁ δὲ μὴ φέρων γυμνότερον αὐτοῦ κατηγορεῖν ἐπειρᾶτο νεωτερισμῷ, καὶ οὕτως τὸν Θήρωνα ἀγανακτήσαντα, θυγατρὸς ἅμα καὶ γαμβροῦ συρρῆξαι πρὸς τὸν Ἱέρωνα πόλεμον, παρ' Ἐγιάλᾳ τῷ Σικελικῷ ποταμῷ, οὗ Καλλίμαχος μέμνηται.

Ἱστορία παράδοξος περὶ Θέτιδος καὶ Ἀχιλλέως.

Θέτις καταναγκασθεῖσα ὑπὸ Διὸς Πηλεῖ γαμηθῆναι, τὰ γεννώμενα παιδία εἰς τὸ πῦρ ἔβαλλε, νομίζουσα τὰς θνητὰς τῷ πυρὶ σάρκας καταφλέγειν, τὸ δὲ ἀθάνατον διαφυλάττειν, καὶ οὕτως ἓξ παῖδας διέφθειρεν· ἕβδομον δὲ γεννώμενον Ἀχιλλέα βάλλει ὁμοίως εἰς τὸ πῦρ· θεασάμενος δὲ Πηλεὺς, ἀνήρπασε τὸν παῖδα καὶ ἐνεγκὼν εἰς τὸ Πήλιον ὄρος, τρέφειν παρέδωκε Χείρωνι· ὁ δὲ λεόντων καὶ ἄρκτων μυελοῖς τρέφων, ἐκάλεσεν Ἀχιλλέα· διδάξας δὲ αὐτὸν τὴν ἰατρικὴν τέχνην καὶ μουσικὴν καὶ λυρικὴν, ἀπέδωκε τῷ πατρί· ἀγανακτήσασα δὲ Θέτις, καὶ καταλιποῦσα τὸν Πηλέα ἐχωρίσθη εἰς θάλασσαν· στρα-

τευομένῳ δὲ ἐπὶ Ἴλιον Ἀχιλλεῖ ἡ Θέτις, παρὰ τῶν μοιρῶν ἀκούσασα, ἔφη, πολεμοῦντα μὲν Τρωσὶ ζωὴν μὲν ὀλιγοχρόνιον κτήσεσθαι [12]*, πλείστην δὲ δόξαν· ἀπεχόμενον δὲ τῆς μάχης ἄδοξον μὲν βίου διάξειν, πολυχρόνιον δὲ γενέσθαι· ἃ μαθὼν Ἀχιλλεὺς, δόξαν αἰώνιον ζωῆς προσκαίρου προκρίνας, ἐστράτευσεν. Ἡ ἱστορία παρὰ Λυκόφρονι.*

Ἀρχὴ τοῦ ῑ στοιχείου.

Τὸ ῑ μετὰ τοῦ ᾱ.

Ἰαλέμου ψυχρότερος [1]*· ἰάλεμον τὸν θρῆνόν φασι· λέγουσι δὲ αὐτὸν υἱὸν Καλλιόπης γενέσθαι κακοδαίμονα καὶ ὑστερούμενον καὶ ὀρφανόν.*

Ἰατρὸν καὶ φίλον ἡγοῦ τοὺς ἐν ἀνάγκαις σπουδαίους. Ἱέρωνος.

Ἴαννος ἄλλος [2]*· ἐπὶ τῶν διπροσώπων· τοιοῦτος γὰρ ὁ Ἴαννος.*

Ἰαίνεται [3] *τῇ διηγήσει τῶν τοιούτων λόγων· ἐπὶ τῶν διαχεομένων τὴν ψυχὴν καὶ χαιρόντων ἐπαίνοις.*

Ἴαμα γλώττης· ἐγκράτεια κοιλίας.

12) Cod. *κτήσασθαι*, superscriptum *ε*.

1) Apost. Cent. X. 39. Schol. ad Hermogen. *περὶ γοργότητος.* p. 130. ed. Ald. adjectum in codice Vindobon. XVIII. *ἰάλεμος ὁ ἐπὶ τοῖς ἀπολωλόσιν ἀνίαν φέρων, καὶ παροιμία, ἰαλέμου ψυχρότερος, λέγουσι δὲ αὐτὸν υἱὸν Καλλιόπης κακοδαίμονα καὶ ὑστερούμενον καὶ ὀρφανόν· καὶ ἰαλεμώδη δέ φασι τὰ ψυχρὰ καὶ οὐδενὸς ἄξια.* Lucian. Pseudol. c. 24. *ποῦ γὰρ ταῦτα τῶν βιβλίων εὑρίσκεις; ἐν γωνίᾳ που τάχα τῶν ἰαλέμων τινὸς ποιητῶν κατορωρυγμένα*, ubi vide interpr.

2) Apost. Cent. X. 40.

3) Apost. Cent. X. 41. *ἰαίνεσθαι*, frequenter cum vocibus *θυμός, ἦτορ, κραδία, φρήν* conjungitur Pind. Olymp. II. 27. *ἰανθεὶς ἀοιδαῖς*, ubi Tafel. Adde Theocr. Id. XXVII. 67.

Ἴαμβός [4] *ἐστι ποῦς, συγκείμενος ἐκ βραχείας υ καὶ μακρᾶς — οἷον Σόλων· ἐκλήθη δὲ ἴαμβος τοιούτῳ τρόπῳ· ὅτε* [5] *ἡ Δημήτηρ περίλυπος ἦν ἐπὶ τῇ ἁρπαγῇ τῆς κόρης, παρεξενώθη τινὶ Κελεῷ καὶ Μετανείρῃ* [6] *τῇ γαμετῇ αὐτοῦ ἐν τῇ Ἀττικῇ, καὶ ταύτης ἡ θεράπαινα Ἰάμβη λεγομένη παρεμυθεῖτο τὴν Δήμητρα τοιούτῳ ὀρχουμένη μέτρῳ· ἢ ἀπὸ Ἰάμβης τινὸς κόρης, αἰσχρῶς ὑβρισθείσης, καὶ διὰ τοῦτο ἀγχόνῃ χρησαμένης· ἢ ἀπὸ γραός τινος, Ἰάμβης καλουμένης, ἣ πλυνούσῃ συντυχὼν ὁ Ἱππώναξ καὶ ἁψάμενος τῆς σκάφης, ἐφ' ἧς ἔπλυνεν ἡ γραῦς τὰ ἔρια, ἤκουσε λεγούσης·*

Ἄνθρωπ' ἄπελθε τὴν σκάφην ἀνατρέπεις·
ἢ ὅτι τὸ λοιδορεῖν ἰαμβίζειν ἐλέγετο.

Τὸ ῑ μετὰ τοῦ δ.

Ἰδοὺ [7] *Ῥόδος, ἰδοὺ καὶ πήδημα· ὅτι πᾶς λόγος περιττός ἐστιν, ἂν μὴ πρόχειρος ἡ ἀπόδειξις τοῦ πράγματος.*

Ἰδοὺ χρυσοῦν ἀνδράποδον [8]*· Σωκράτης εἶπε τουτὶ, ἰδὼν μειράκιον πλούσιον καὶ ἀπαίδευτον.*

Ἱδρὼς μὲν ὁ ἐκ τῶν γυμνασίων εὐσχημονέστερος· πλοῦτος δὲ ὁ ἐκ τῶν ἰδίων πόνων. Σωκράτους.

Τὸ ῑ μετὰ τοῦ ε.

Ἱερὰ ἄγκυρα [9]*· ἡ μεγάλη βοήθεια· ἄγκυρά ἐστιν ἐν τῇ νηῒ ἱερὰ καλουμένη, καὶ ὅτε μέγας καταλαμβάνει κίνδυνος τελευταῖα βάλλεται.*

ὡς οἱ μὲν χλοεροῖσιν ἰαινόμενοι μελέεσσιν, ἀλλάλοις ψιθύριζον. v. 70. *ὄμμασιν αἰδομένα, κραδίᾳ δὲ οἱ ἔνδον ἰάνθη.* Theogn. 969. Welck. *αἰεί μοι φίλον ἦτορ ἰαίνεται, ὁππότ' ἀκούσω αὐλῶν.* 988. *ἥβῃ καὶ πλούτῳ θυμὸν ἰαινόμενος.* Cfr. supra p. 7.

4) Recepi ex Laur.

5) Cod. *ὅταν.*

6) Cod. *Μετανίρῃ.*

7) Apost. Cent. X. 42. Aesop. Fab. 14.

8) Stob. T. 4. 85.

9) Apost. Cent. X. 44. Macar. *ἦγουν ἰσχυρὰ καὶ γενναία.* Cfr. infr. prov. *Χαλάσω τὴν ἱερὰν ἄγκυραν.*

Ἱερόσυλος [10] θεοσεβεῖ· ἐπὶ τῶν κλεπτόντων μὲν, λειτουργίας δὲ καλὰς ποιουμένων.

Ἰχθὺς ἀποκείμενος· ὁ ὑπὸ τῶν φειδωλῶν εἰς τὴν αὔριον φυλαττόμενος [11]· Πλούταρχος ἐν συμποσίοις· ὦ ἑταῖρε, τὸν ἐκ τῆς παροιμίας ἀποκείμενον ἰχθὺν οὐχ ἥκομεν εἰς μέσον, μετὰ τῆς Πυθαγορικῆς χοίνικος.

Τὸ $\overline{\iota}$ μετὰ τοῦ $\overline{\kappa}$.

Ἱκανότης [12] ἐστὶν ἕξις ἐξικνουμένη πρὸς τὸ οἰκεῖον πέρας ἀνελλιπῶς καὶ ἀπερίττως· μήτηρ δὲ αὐτῆς ἡ δικαιοσύνη· τιθηνὴ δὲ ἡ αὐτάρκεια.

Τὸ $\overline{\iota}$ μετὰ τοῦ $\overline{\lambda}$.

Ἰλιὰς κακῶν [1] ἐπήει· ἐπὶ τῶν μεγίσταις συμφορῶν κεχρημένων λέγεται.

Τὸ $\overline{\iota}$ μετὰ τοῦ $\overline{\mu}$.

Ἱματίῳ [2] πῦρ περιστέλλεις· ἐπὶ τῶν ἀδυνάτων.

10) Apost. Cent. X. 45.

11) Cfr. Aristoph. Ran. 982.

Ἅπας τις εἰσιὼν
Κέκραγε πρὸς τοὺς οἰκέτας,
Ζητεῖ τε ποῦ ἔστιν ἡ χύτρα;
Τίς τὴν κεφαλὴν ἀπεδήδοκεν
Τῆς μαινίδος; τὸ τρυβλίον
Τὸ περυσινὸν τέθνηκέ μοι.
Ποῦ τὸ σκόροδον τὸ χθιζινόν;

12) Clem. Al. Paedag. II. 12. p. 247. 22.

1) Apost. Cent. X. 46. Macar. Ἰλιὰς κακῶν· ἐπὶ τῶν πολλῶν καὶ σφοδρῶν. Eodem spectare Ἰλιόθεν με φέρεις Heliod. II. notat Coray p. 82. Obiter corrigo Syrianum Comm. ad Hermog. (Rhet. Graec. Ald. Vol. II.) p. 215. ἐκεῖνοι μὲν γὰρ τὴν παρανομίαν ἐκκόψαντες κακῶν Ἰλιάδα τὴν πόλιν ἐλευθερώσαντες σοβαροὶ παρίασιν ἐπὶ τὸ βῆμα, τὰ μεγέθη τῶν κινδύνων ἐφάμιλλον κομίζεσθαι καὶ τὴν δωρεὰν ἐσπουδακότες. Cod. Venet. CCCCXXXIII. καὶ κακῶν Ἰλιάδος τ. π. ε. — — τῷ μεγέθει ἐφάμιλλον κ. τ. λ. Lucian. Pseudol. c. 10. ἐπεὶ γὰρ κατὰ τὴν παροιμίαν, Ἰλιεὺς ὢν, τραγῳδοὺς ἐμισθώσω, καιρὸς ἤδη σοι, ἀκούειν τὰ σαυτοῦ κακά. Conviv. c. 35. ἐδόκει μοι — οὐ μείω Ἰλιάδος κακὰ ἐργάσασθαι. Theophylact. Simocatta Hist. L. VIII. in μονῳδίᾳ τοῦ συγγραφέως ἐπὶ τοῖς τῷ Μαυρικίῳ συγκεκυρηκόσιν· ἀλλ' εἴτε μὴ τηλικούτων κακῶν γεγόνειτε μάρτυρες· Ἰλιὰς κακῶν ἡ ὑπόθεσις. Boisson. Anecd. Vol. I. p. 254. τοσαύτης δὲ κακῶν Ἰλιάδος περισχούσης τὰ Ῥωμαίων.

2) Apost. Cent. X. 47.

Ἱματισμὸς Διονυσίου [3]· *ἐπὶ τῶν ἄχρηστα πεμπόντων· ταῖς γὰρ θυγατράσιν τοῦ Ἀρχιδάμου ἱματισμὸν πολυτελῆ Διονυσίου τοῦ τυράννου Σικελίας πέμψαντος οὐκ ἐδέξατο, εἰπών, φοβοῦμαι μὴ περιθέμεναι αἱ κόραι φανῶσί μοι αἰσχραί.*

Τὸ ι μετὰ τοῦ ν.

Ἵνα γὰρ δέος [4]*, ἔνθα καὶ αἰδώς· Στασίμου ἡ γνώμη.*
Ἰνοῦς ἄχη [5]· *ἐπὶ τῶν ἄκρως δυστυχησάντων.*

Τὸ ι μετὰ τοῦ ο.

Ἴομεν εἰς Σαλαμῖνα μαχησόμενοι περὶ νήσου
Ἱμερτῆς, χαλεπόν τ᾽ αἶσχος ἀπωσάμενοι.

Τὸ ι μετὰ τοῦ π.

Ἱππομένους ἀσεβέστερος· διὰ τὸ ἐπὶ θυγατρὶ μῖσος τῇ Λειμωνίδι· καὶ γὰρ αὐτὴν μοιχευθεῖσαν ἵππῳ συγκατέκλεισεν εἰς θοίνην· διὰ τοῦτο καὶ τὴν Κοδριδῶν ἀρχὴν φασι καταλυθῆναι.

Ἵππου γῆρας [6]· *ἐπὶ τῶν ἐν νεότητι εὐδαιμονούντων· ἐν γήρᾳ δὲ ἀτιμαζομένων.*

Ἱππέας εἰς πεδίον προκαλῇ [7]· *ὅπερ ἐστὶ τοὺς εὐδαιμονοῦντας εἰς ἅπερ εὐδαιμονοῦσιν ἔργα.*

3) Apost. Cent. X. 48.

4) Apost. Cent. X. 50. addit: *ὃς οὕτω φησί·*

Ζῆνα δὲ τὸν ξέξαντα, καὶ ὃς τάδε πάντ᾽ ἐφύτευσεν
Οὐκ ἐθέλεις εἰπεῖν· ἵνα γὰρ δέος, ἔνθα καὶ αἰδώς.

Πλάτων δὲ διαφέρεται τούτῳ τῷ ποιητῇ, λέγων· οὐκ ἄρα ὀρθῶς ἔχει λέγειν, ἵνα γὰρ δέος, ἔνθα καὶ αἰδώς· ἐπὶ πλέον γὰρ οἶμαι δέος αἰδοῦς. Μόριον γὰρ αἰδὼς δέους, ὥςπερ ἀριθμοῦ περιττόν· ὥστε οὐχ ἵνα περ ἀριθμὸς, ἔνθα καὶ περιττὸν, ἵνα δὲ καὶ περιττὸν, ἔνθα καὶ ἀριθμός.

5) Apost. Cent. X. 49.

6) Macar. *ἐπὶ τῶν πρὸς τῷ γήρᾳ δυστυχούντων.*

7) Apost. Cent. X. 56. Lucian. Pseudosoph. c. 8. *καίτοι πρόσγε τὰ κατ᾽ ἀρχὰς ἐῃθέντα ὑπὸ σοῦ ἐγὼ μὲν ᾠμην ἱππεῖς εἰς πεδίον καλεῖν.* Plat. Theaet. p. 183. D. *ἱππέας εἰς πεδίον προκαλεῖ Σωκράτη εἰς λόγους προκαλούμενος*, ubi Heind. Wyttenb. ad Eunap. p. 325.

Ἱππόλυτον μιμήσομαι [8]· *ἐπὶ τῶν σωφρονεῖν βουλομένων.*

Τὸ ῑ μετὰ τοῦ σ.

Ἴσως Ἐριννῦς [9] *ἐστιν ἐκ τραγῳδίας· τὰ γὰρ ἀποτρόπαια τῶν φαντασμάτων τραγῳδοῖς μᾶλλον ἁρμόττει.*

Ἰσότης [10], *φιλότης.*

Ἴσον δὴ κακόν ἐσθ' [11], *ὃς οὐκ ἐθέλοντα νέεσθαι*
Ξεῖνον ἐποτρύνει, καὶ ὃς ἐσσύμενον κατερύκει.

Τὸ ῑ μετὰ τοῦ χ.

Ἰχθὺς [12] *ἐκ τῆς κεφαλῆς ὄζειν ἄρχεται· ἐπὶ τῶν ἐπιστάτας φαύλους ἐχόντων.*

Ἰχθὺν [13] *νήχεσθαι διδάσκεις· ἐπὶ τῶν διδασκόντωντινὰς, ἃ ἐπίστανται.*

Ἰκανὸν ἂν εἴη μοι τὸ, οὐ φροντὶς Ἱπποκλείδῃ [14].
Ἰκανῶς βιώσεις γηροβοσκῶν τοὺς γονεῖς.
Ἱερὸν ἀληθῶς ἐστιν ἡ συμβουλία.
Ἱερὸν χρῆμα σύμβουλος ἀνήρ.

8) Ap. Cent. X. 52. Mac. *ἐπὶ τῶν σωφρονεῖν ἐπαγγελλομένων.*

9) Apost. Cent. X. 57.

10) Idem in Macario.

11) Od. *O.* 71.

12) Apost. Cent. X. 62.

13) Apost. Cent. X. 63. Macar. *ὡς τὸν ἀετὸν ἱπτασθαι διδάσκεις.* Macario propria sunt: *Ἰδὲ πῦρ, ἴδ' ἀφύη· ἐπὶ τῶν ὀξὺ τέλος λαμβανόντων, παρόσον ἐφύη ταχέως ἔψεται.* — *Ἱερὸν συμβουλή· ἐπὶ τῶν καθαρῶς καὶ ἀδόλως συμβουλευόντων.* — *Ἴθι ὀρθός· ἐπὶ τῶν ἐκτρεπομένων τοῦ δικαίου.* — *Ἴμβριος δίκη· ἐπὶ τῶν προφασιζομένων ἐν ταῖς δίκαις· οἱ γὰρ τὰς δίκας φεύγοντες ἐν Λήμνῳ Ἴμβρον ἐσκήπτοντο.* — *Ἴμβριος ἢ Λήμνιος· οἱ τὰς δίκας ἀποφεύγοντες Ἀθήνησιν ἐσκήπτοντο ἐν Ἴμβρῳ ἢ ἐν Λήμνῳ εἶναι.* — *Ἱπποδάμου νέμεσις· πρὸς τοὺς ἐπὶ τὸ χεῖρον μεταβάλλοντας. Ἰσχυρὸν ἡ ἀλήθεια.*

14) Vide infra prov. *οὐ φροντὶς Ἱπποκλείδῃ.*

ΑΠΟΦΘΕΓΜΑΤΑ.

Ἱέρωνος.

Ἱέρων ὁ φιλόσοφος ἰατρὸν καὶ φίλον ἡγοῦ τοὺς ἐν ἀνάγκαις σπουδαίους ἔφη [1].

Ὁ αὐτὸς ὀνειδιζόμενος ὑπό τινος, ὅτι πολλοὺς ᾠητορεύειν διδάξας ἐπένετο, εἶπεν, οὔτε γὰρ ἐδίδαξα φιλαργυρεῖν.

Ὁ αὐτὸς ἀκρόασιν ποιούμενος εἶπε, τριῶν ἐστοχάσθαι, τοὺς συνετοὺς ὠφελῆσαι, τοὺς ἀπείρους διδάξαι, τοὺς φθονεροὺς λυπῆσαι.

Ὁ αὐτὸς [2] ἔχων δύο μαθητὰς, ἕνα μὲν ἀφυῆ καὶ φιλόπονον, ἕτερον δὲ εὐφυῆ καὶ ἀργὸν, ἀμφότεροι εἶπεν, ἀπόλλυσθε, ὅτι σὺ μὲν θέλων οὐ δύνῃ, σὺ δὲ δυνάμενος οὐ θέλεις.

Ὁ αὐτὸς ἔλεγε μεγάλους δεῖν λαμβάνειν μισθοὺς παρὰ τῶν μαθητῶν τοὺς διδασκάλους, παρὰ μὲν τῶν εὐφυῶν, ὅτι πολλὰ μανθάνουσι, παρὰ δὲ τῶν ἀφυῶν, ὅτι πολὺν κόπον παρέχουσιν.

Ὁ αὐτὸς ἐρωτηθεὶς, τί αὐτῷ γέγονεν ἐκ φιλοσοφίας, ἔφη, τὸ ἀνεπιτάκτως ποιεῖν, ἃ τινες διὰ τὸν ἐκ τῶν νόμων φόβον ποιοῦσιν.

* Ὁ αὐτὸς ἐρωτηθεὶς, πῶς ἄν τις εὐτυχίαν ἄριστα φέροι, ἔφη, εἰ τοὺς ἐχθροὺς χείρονα [3] πράττοντας βλέπει.

Ἱέρων ὁ Σικελὸς τύραννος, Ξενοφάνους τοῦ Κολοφωνίου ψέγοντος Ὅμηρον, ἠρώτησεν αὐτὸν, πόσους οἰκέτας ἔχεις; τοῦ δὲ εἰπόντος, δύο, καὶ τούτους μόγις τρέφειν, οὐκ αἰσχύνῃ, φησὶν, Ὅμηρον ψέγων, ὃς μετηλλαχὼς πλείονας ἢ μυρίους τρέφει.

* Ὁ αὐτὸς λοιδορηθεὶς ὑπό τινος εἰς τὴν δυσωδίαν

1) Impr. εἶναι pro ἔφη. Laur. neutrum habet, incipiens: Ἱέρων εἶπεν, ἰατρὸν etc.

2) Laur. Ἱέρων ὁ φιλόσοφος, ἔχων.

3) Impr. χείρονας.

τοῦ στόματος, ἠτιᾶτο τὴν αὐτοῦ γυναῖκα, μηδέποτε περὶ τούτου φράσασαν· ἡ δὲ εἶπεν, ᾤμην γὰρ τοιοῦτον ἅπαντας τοὺς ἄνδρας ὄζειν.

Ἱπποκράτους.

Ἱπποκράτης ἔφη, σιτία, ποτὰ, ὕπνοι, ἀφροδίσια, πάντα μέτρια ἔστω.

Ἰσοκράτους.

Ἰσοκράτης κάκιστον ἄρχοντα ἔλεγεν εἶναι τὸν ἄρχειν ἑαυτοῦ μὴ δυνάμενον.

Ὁ αὐτὸς ἐρωτηθεὶς, διὰ ποίαν αἰτίαν τοὺς ἄλλους διδάσκων λέγειν αὐτὸς σιωπᾷς, ἔφη, καὶ γὰρ ἡ ἀκόνη αὐτὴ μὲν οὐ τέμνει, τὰ δὲ ξίφη ὀξέα ποιεῖ.

Ὁ αὐτὸς ἐρωτηθεὶς, τίνι οἱ φιλόπονοι τῶν ῥᾳθύμων διαφέρουσιν, εἶπεν, ὡς οἱ εὐσεβεῖς [4] τῶν ἀσεβῶν, ἐλπίσιν ἀγαθαῖς.

Ὁ αὐτὸς ἰδὼν νεανίαν φιλοπονοῦντα ἔφη· κάλλιστον ὄψον τῷ γήρατι ἀρτύεις.

Ὁ αὐτὸς [5] Καρέωνος ὄντος λάλου καὶ σχολάζειν παρ' αὐτῷ βουλομένου διττοὺς ἤτησε μισθούς. Τοῦ δὲ τὴν αἰτίαν πυθομένου, ἕνα μὲν, ἔφη, ἵνα λαλεῖν μάθῃς, τὸν ἕτερον, ἵνα σιγᾷς.

Περὶ τοῦ Ἴου [6].

Τῆς Ἰοῦς εἰς βοῦν Ἥρας ζηλοτυπίᾳ μεταβληθείσης, ἡ γῆ τιμῶσα τὴν ἐρωμένην τοῦ Διὸς ἄνθος ἀνῆκεν, ὥστε τῇ βοῦν νέμεσθαι· καὶ γεγονὸς δι' αὐτὴν παρ' ἐκείνης ἐκληρώσατο τὴν ὁμωνυμίαν· ἐρυθραίνεται δὲ καὶ πορφύρεται καὶ μὴν καὶ λευκαίνεται· τὰς τῆς κόρης τύχας δηλοῦν τοῖς χρώμασι.

Ἱπποκρατίδου.

Ἱπποκρατίδας πρὸς τὸν τῆς Καρίας σατράπην ἐπι-

4) Codd. ἀσεβεῖς. 5) Stob. T. 36. 25. 6) Abest ab impr. et Laur.

σιείλανια, διότι Λακεδαιμόνιος ἀνὴρ ἐπιβουλευόντων τινῶν συνειδὼς τὴν ἐπιβουλὴν κατεσιώπησε, καὶ προσθέντος, πῶς χρήσεται αὐτῷ, ἀντέγραψεν, εἰ μὲν μέγα τι αὐτὸν ἀγαθὸν πεποίηκας, κατάκτανε, εἰ δὲ μή, ἐκ τῆς χώρας ἔκβαλε, δειλὸν πρὸς ἀρετὴν ὄντα.

Ὁ αὐτὸς ἀπαντήσαντος αὐτῷ ποτε μειρακίου, ᾧ ἠκολούθει ἐραστής τις καὶ διατραπέντος, μετὰ τριούτων, ἔφη, βαδίζειν δεῖ, μεθ' ὧν ὀφθεὶς τὴν αὐτὴν χρόαν τηρήσεις.

* Ἱππομάχου.

Ἱππόμαχος ὁ ἀλείπτης, ἐπαινούντων τινῶν ἄνθρωπον εὐμήκη καὶ μακρὰς ἔχοντα χεῖρας ὡς πυκτικὸν, εἴπερ, ἔφη, καθελεῖν ἔδει τὸν στέφανον κρεμάμενον.

* Ἰφικράτους.

Ἰφικράτης σκυτέως πατρὸς, Ἀθηναῖος, ῥήτωρ καὶ στρατηγὸς ἐν φιλίᾳ καὶ συμμάχῳ χώρᾳ στρατοπεδεύων, καὶ χάρακα βαλλόμενος καὶ τάφρον ὀρύττων ἐπιμελῶς, πρὸς τὸν εἰπόντα, τί γὰρ φοβούμεθα, χειρίστην, ἔφη, στρατηγοῦ φωνὴν εἶναι, τὴν οὐκ ἂν προσεδόκησα.

Ὁ αὐτὸς πρὸς Ἀρμόδιον, τὸν τοῦ παλαιοῦ Ἁρμοδίου ἀπόγονον, εἰς δυσγένειαν αὐτῷ λοιδορούμενον, ἔφη, τὸ μὲν ἐμὸν ἀπ' ἐμοῦ γένος ἄρχεται, τὸ δὲ σὸν ἐν σοὶ παύεται.

Ὁ αὐτὸς ῥήτορός τινος ἐπερωτῶντος αὐτὸν ἐν ἐκκλησίᾳ, τίς ὢν μέγα φρονεῖς, πότερον ἱππεὺς, ἢ τοξότης, ἢ πελταστὴς, ἢ πεζὸς; οὐδείς, ἔφη, τούτων, ἀλλ' ὁ πᾶσι τούτοις ἐπιστάμενος ἐπιτάττειν.

Ὁ αὐτὸς κρινόμενος θανάτου πρὸς τὸν συκοφάντην, οἷα ποιεῖς, ὦ ἄνθρωπε, εἶπε, πολέμου περιεστῶτος, τὴν πόλιν περὶ ἐμοῦ πείθων βουλεύεσθαι, καὶ μὴ μετ' ἐμοῦ.

Ὁ αὐτὸς τότε πρῶτον ἔσχε δόξαν, ὅτε τραυματίας πολέμιον ἄνδρα μετὰ τῶν ὅπλων ζῶντα συναρπάσας, εἰς τὴν ἑαυτοῦ τριήρη μετήνεγκεν.

Ἰαμβλίχου [7].

Ἰάμβλιχος ἐν τῇ πρὸς Δέξιππον ἐπιστολῇ ἔφη· θεὸς ἦν τις ὡς ἀληθῶς ὁ καταδείξας τὴν διαλεκτικὴν καὶ καταπέμψας ἀνθρώποις, ὡς μὲν λέγουσί τινες, ὁ λόγιος Ἑρμῆς, ὁ φέρων ἐν ταῖν χεροῖν τὸ σύνθημα αὐτῆς τῶν εἰς ἀλλήλους ἀποβλεπόντων δρακόντων, ὡς ἀεὶ δεδοκιμασμένοι καὶ πρόκριτοι τῶν ἐν φιλοσοφίᾳ διατείνονται· ἡ τῶν Μουσῶν πρεσβυτάτη Καλλιόπη, τὴν ἄπταιστον ἀσφάλειαν τοῦ λόγου καὶ ἀνέλεγκτον, αἰδοῖ μειλιχίῃ διαπρέπουσαν, παρέσχηκεν· ὡς δὲ τὰ ἔργα αὐτὰ δείκνυσιν, αὐτὸς ὁ ἐν Δελφοῖς θεὸς, οὔτε λέγων καθ' Ἡράκλειτον, οὔτε κρύπτων, ἀλλὰ σημαίνων τὰς μαντείας, ἐγείρει πρὸς διαλεκτικὴν διερεύνησιν τοὺς ἐπηκόους τῶν χρησμῶν· ἀφ' ἧς ἀμφιβολίᾳ τε καὶ ὁμωνυμίᾳ ἐκρίθησαν, καὶ διττὸν πᾶν ἀνερευνηθὲν φῶς ἐπιστήμης ἀνῆψεν ὁ κατιδών· καὶ Θεμιστοκλῆς καλῶς καὶ διερευνήσας δεόντως τὸ ξύλινον τεῖχος, αἴτιος ἀναμφισβητήτως κατέστη τῆς σωτηρίας τοῖς Ἕλλησιν· ἀδελφὰ δὲ τούτων καὶ ὁ ἐν Βραγχίδι θεὸς ἐκφαίνει τῆς διαλεκτικῆς ἔργα, περιφανῆ τὴν ἐπαγωγὴν παραδηλῶν, ὅταν λέγῃ, οὔτ' ἂν ὠκυπέτης ἰὸς, οὔτε λύρη, οὔτε ναῦς, οὔτ' ἄλλο οὐδὲν ἄνευ ἐπιστημονικῆς χρήσεως γένοιτ' ἄν ποτε ὠφέλιμον.

Ἰώσηπος Φλάβιος περὶ τῶν παλαιῶν φιλοσόφων τάδε φησί.

Κατὰ δὲ Κῖρον Σόλων ὁ Ἀθηναῖος γέγονεν, καὶ οἱ κληθέντες ἑπτὰ σοφοὶ παρ' Ἕλλησιν, ὧν παλαιότερος οὐδεὶς παρ' αὐτοῖς φιλόσοφος μνημονεύεται· τούτων δὲ τῶν ἑπτὰ Θαλῆς ὁ Μιλήσιος, φυσικὸς πρῶτος Ἑλλήνων γεγονὼς, περὶ τροπῶν ἡλίου, ἐκλείψεως καὶ φωτισμῶν σελήνης καὶ ἰσημερίας διελέχθη, ἐγένετο δ' ἀνὴρ ἐπισημ-

7) Hoc et sqq. ex Laur. recepi.

μώτατος ἐν τοῖς Ἕλλησι. Θάλεω δὲ γίνεται ἀκουστὴς Ἀναξίμανδρος, Πραξιάδου μὲν παῖς, γένος δὲ καὶ αὐτὸς Μιλήσιος. Οὗτος πρῶτος γνώμονας κατεσκεύασε πρὸς διάγνωσιν τροπῶν τε ἡλίου, καὶ χρόνων καὶ ὡρῶν καὶ ἰσημερίας. Ἀναξιμάνδρου δὲ γνώριμος ἐγένετο Ἀναξιμένης Εὐρυστράτου Μιλήσιος· τούτου δὲ Ἀναξαγόρας Ἡγησιβούλου Κλαζομένιος· οὗτος δὴ πρῶτος διήρθρωσε τὸν περὶ ἀρχῶν λόγον· οὐ γὰρ μόνον περὶ τῆς πάντων οὐσίας ἀπεφήνατο, ὡς οἱ πρὸ αὐτοῦ, ἀλλὰ καὶ περὶ τοῦ κινοῦντος αὐτὴν αἰτίου· ἣν γὰρ ἀρχήν, φησι, τὰ πράγματα ὑμοῦ πεφυρμένα, νοῦς δ' εἰσελθὼν αὐτὰ ἐκ τῆς ἀταξίας εἰς τάξιν ἤγαγεν· Ἀναξαγόρου δὲ ἐγένοντο γνώριμοι τρεῖς· Περικλῆς, Ἀρχέλαος, Εὐριπίδης· Περικλῆς μὲν οὖν Ἀθηναίων πρῶτος ἐγένετο, καὶ πλούτῳ καὶ γένει τῶν καθ' αὑτὸν διήνεγκεν. Εὐριπίδης δ' ἐπὶ ποιητικὴν μεταβὰς ὑπό τινων σκηνικὸς φιλόσοφος ἐκλήθη· ὁ δὲ Ἀρχέλαος ἐν Λαμψάκῳ διεδέξατο τὴν σχολὴν τοῦ Ἀναξαγόρου· μεταβὰς δ' εἰς Ἀθήνας ἐκεῖ ἐσχόλασε, καὶ πολλοὺς ἔσχεν Ἀθηναίων γνωρίμους, ἐν οἷς καὶ Σωκράτην· κατὰ δὲ τὸν αὐτὸν τῷ Ἀναξαγόρᾳ χρόνον, ἤκμασαν ἄνδρες φυσικοί, Ξενοφάνης τε καὶ Πυθαγόρας· τὸν μὲν οὖν Πυθαγόραν διεδέξατο Θεανὼ ἡ γυνή· οἵ τε υἱοὶ αὐτοῦ Τηλαυγὴς καὶ Μνήσαρχος. Τηλαυγοῦς δὲ Ἐμπεδοκλῆς ἀκουστὴς γίνεται, καθ' ὃν Ἡράκλειτος ὁ σκοτεινὸς ἐγνωρίζετο· τὸν δὲ Ξενοφάνην λέγεται ὁ Παρμενίδης διαδέξασθαι· Παρμενίδην δὲ Μέλισσος, Μέλισσον δὲ Ζήνων ὁ Ἐλεάτης, ὃν φασιν ἐπιβουλὴν κατὰ τοῦ τότε τυράννου συστησάμενον ἁλῶναι, στρεβλούμενον δ' ὑπὸ τοῦ τυράννου, ὅπως τοὺς σὺν αὐτῷ ἄνδρας ἀπογράψηται, οὐ προσποιηθέντα, τὰς τοῦ τυράννου τιμωρίας, διαμαχεσάμενον, τὴν γλῶσσαν προσπτύσαι αὐτῷ, καὶ οὕτως ἐγκαρτερήσαντα ταῖς βασάνοις ἀποθανεῖν· τούτου δὲ Λεύκιππος ἀκουστὴς γέγονε· Λευκίππου δὲ Δημόκριτος, οὗ Πρωταγόρας, καθ' ὃν ἤκμασε Σωκράτης, καὶ ἄλλους δὲ σποράδην ἐστὶν εὑρεῖν φυσι-

κοὺς φιλοσόφους, πρὸ Σωκράτου γενομένους· πλὴν ἀλλὰ πάντες ἀπὸ Θαλοῦ ἀρξάμενοι, κατώτεροι Κύρου τοῦ Περσῶν βασιλέως φαίνονται ἡμιακότες· μάλιστα δὲ Πλάτων, ὃς ἀκουστὴς τὰ πρῶτα γενόμενος Σωκράτους, κἄπειτα τοῖς Πυθαγορείοις ὁμιλήσας τοὺς πρὸ αὐτοῦ πάντας λόγῳ τε καὶ συνέσει καὶ τοῖς ἐν φιλοσοφίᾳ δόγμασιν ὑπερηκόντισεν.

ΙΣΤΟΡΙΑΙ.

Περὶ Ἰκαρίου καὶ Ἠριγόνης.

Ἰκάριος γένος μὲν ἦν Ἀθηναῖος [8], *ἔσχε δὲ θυγατέρα μονογενῆ Ἠριγόνην, ἥτις κύνα νήπιον ἔτρεφε· ξενίσας δέ ποτε ὁ Ἰκάριος Διόνυσον* [9], *ἔλαβεν ἀπ᾽ αὐτοῦ οἶνόν τε καὶ ἀμπέλου κλῆμα· κατὰ δὲ τὰς τοῦ θεοῦ ὑποθήκας περιῄει τὴν γῆν, προφαίνων τὴν τοῦ Διονυσίου χάριν, ἔχων σὺν ἑαυτῷ τὸν κύνα· γενόμενος δὲ ἐν τοῖς τῆς πόλεως βουκολίοις οἶνον παρέσχεν· οἱ δὲ ἀθρόως ἐμφορησάμενοι, οἱ μὲν εἰς βαθὺν ὕπνον ἐτράπησαν, οἱ δὲ περιλειπόμενοι νομίσαντες θανάσιμον εἶναι φάρμακον τὸ πόμα, πλήσσοντες, ἐφόνευσαν τὸν Ἰκάριον· μεθ᾽ ἡμέραν δὲ νηψάντων αὐτῶν καταγνόντες ἑαυτῶν εἰς φυγὴν ἐτράπησαν· ὁ δὲ κύων ὑποστρέψας εἰς τὴν Ἠριγόνην δι᾽ ὀρυγμοῦ ἐμήνυσεν αὐτῇ τὰ γενόμενα· ἡ δὲ μαθοῦσα ταλῃθὲς, ἑαυτὴν ἀνήρτησε, νόσου δὲ ἐν Ἀθήναις γενομένης κατὰ χρησμὸν οἱ Ἀθηναῖοι τόν τε Ἰκάριον καὶ τὴν Ἠριγόνην ἐνιαυσιαίαις ἐγέραιρον τιμαῖς, οἱ δὲ καταστερισθέντες, Ἰκάριος μὲν βοώτης ἐκλήθη, Ἠριγόνη δὲ παρθένος· ὁ δὲ κύων τὴν αὐτὴν ὀνομασίαν ἔσχεν. Ἡ ἱστορία παρὰ Ἐρατοσθένει.*

8) Icarius Thrax vocatur a Nicolao Sophista Progymn. p. 543.

9) Cod. *Διόνυσος*.

Περὶ Ἰξίωνως.

Ἰξίωνά φησιν ὁ μῦθος ἐπιθέσθαι τῷ γάμῳ τῆς Ἥρας· τὴν δὲ νεφέλην μορφώσασαν, ἀνθ᾽ αὐτῆς αὐτῷ προσιέναι· μιχθέντος δ᾽ αὐτοῦ τῇ νεφέλῃ γεννηθῆναι τὸν Κένταυρον· γνόντα δὲ τὸν Δία παρὰ τῆς Ἥρας, τροχῷ τὸν Ἰξίωνα ἐνδῆσαι, ὥστε ἀπαύστως ἐπ᾽ αὐτοῦ φέρεσθαι· τάχα δὲ σημαίνοι ἂν ὁ μῦθος, ἐπιθέσθαι μὲν πολιτικῇ καὶ βασιλικῇ προνοίᾳ τὸν Ἰξίωνα· Ἡραῖον δὲ τὸ τοιοῦτον τῆς ζωῆς εἶδος· ἀνάξιον δὲ φανέντα κατὰ δίκην τῆς Ἥρας, εἰδώλῳ τινὶ ἐνύλῳ καὶ τεθολωμένῳ τῆς τοιαύτης προστασίας περιπεσεῖν· ὅπερ ἡ νεφέλη δηλοῖ, ἀὴρ οὖσα θολώδης καὶ ὑλικώτερος· τούτῳ δ᾽ οὖν συμπλακέντα τῷ εἴδει γεννῆσαι μὲν σύμφυρσιν [10] λογικῶν τε καὶ ἀλόγων ἐνέργειαν· ἐνδηθῆναι δὲ ὑπὸ τοῦ τὸ κατ᾽ ἀξίαν πᾶσιν ἀφορίζοντος δημιουργοῦ θεοῦ ἐν τῷ τῆς εἱμαρμένης τε καὶ γενέσεως τροχῷ, οὗπερ ἀδύνατον ἀπαλλαγῆναι κατὰ τὸν Ὀρφέα, μὴ τοὺς θεοὺς ἐκείνους ἱλεωσάμενον· οἷς ἐπέταξεν ὁ Ζεὺς, κύκλον τ᾽ ἀλλῆξαι καὶ ἀμύξαι κακότητος τὰς ἀνθρωπίνας ψυχάς.

Περὶ Ἰοῦς καὶ Ἀργειφόντου.

Ἰοῦς τῆς Ἰνάχου θυγατρὸς ἠράσθη ὁ Ζεὺς, καὶ ἵνα διαλάθῃ τὴν αὐτοῦ σύνευνον Ἥραν, μετέβαλεν εἰς βοῦν τὴν Ἰώ· ἡ δὲ Ἥρα Ἄργον τὸν πανόπτην ἐπέστησε φύλακα· ἀποστείλας οὖν ὁ Ζεὺς τὸν Ἑρμῆν, ἵνα κλέψῃ τὴν βοῦν, καὶ μὴ δυνηθεὶς λαθεῖν τὸν Ἄργον, τοῦτον πεφόνευκεν· ὅθεν καὶ Ἀργειφόντης ἐκλήθη.

Περὶ Ἱππαρχίας.

Ἱππαρχία, Μαρωνῖτις [11], Μητροκλέους μὲν ἀδελφὴ, Κρέοντος δὲ γυνὴ, Θεόδωρον τὸν ἐπικληθέντα ἄθεον ἐν

10) Ad marg. γρ. σύρφυσιν. 11) Cod. Μαρωνίτης.

Λυσιμάχου συμποσίῳ ἐπήλεγξε [12], *σόφισμα προτείνουσα τοιοῦτον, ὃ ποιῶν Θεόδωρος οὐκ ἂν ἀδικεῖν λέγοιτο, οὐδ' Ἱππαρχία ποιοῦσα τοῦτο ἀδικεῖν λέγοιτ' ἄν. Θεύδωρος δὲ τύπτων ἑαυτὸν οὐκ ἀδικεῖ, οὐκ ἄρα Ἱππαρχία Θεόδωρον τύπτουσα ἀδικεῖ· ὁ δὲ πρὸς τὸ λεχθὲν οὐδὲν ἀπήντησεν, ἀνέσυρε δ' αὐτῆς ἱμάτιον· ἀλλ' οὔτε κατεπλάγη ἡ Ἱππαρχία, οὔτε διεταράχθη ὡς γυνὴ, ἀλλὰ καὶ εἰπόντος αὐτῇ, αὕτη ἐστὶν ἡ τὰς παρ' ἱστοῖς ἐκλιποῦσα κερκίδας, ἐγώ, φησίν, εἰμι, Θεόδωρε, ἀλλὰ μὴ κακῶς σοι δοκῶ βεβουλεῦσθαι περὶ ἐμαυτῆς, εἰ τὸν χρόνον, ὃν ἔμελλον ἱστοῖς προσαναλώσειν, τοῦτον εἰς παιδείαν κατεχρησάμην;*

Ἀρχὴ τοῦ κ στοιχείου.

Τὸ κ μετὰ τοῦ α.

Κακοῦ [1] *κόρακος κακὸν ᾠόν· Κόραξ τις συνετὸς ἀνὴρ καὶ* [2] *χρῆσθαι πράγμασιν ἱκανὸς, συνιδὼν, ὅτι οὐχ ὅμοιον τυράννῳ διακονεῖσθαι, καὶ δήμου γνώμην χειρώσασθαι ἀπελθὼν συνέθηκε τέχνην περὶ προοιμίων καὶ διηγήσεων καὶ ἀγώνων καὶ ἐπιλόγων, δι' ὧν τὸν δῆμον ἔπειθεν· ἐντεῦθεν προῄει βοῶν καὶ παρακαλῶν τὸν βουλόμενον μαθεῖν ἐπὶ ῥητῷ μισθῷ χιλίων δραχμῶν· ὁ τοίνυν Τισίας προσῆλθε μαθεῖν, καὶ μαθὼν ἠγνωμόνησεν αὐτῷ περὶ τὸν μισθὸν, καὶ ἐπὶ τούτῳ συνέστη δικαστήριον, καὶ τῶν κριτῶν συνελθόντων ἔφη ὁ Κόραξ διλημμάτῳ χρησάμενος, ὡς εἰ μὲν νικήσει ὁ Τισίας* [3], *ὧ-*

12) Cod. ἐπέλεγξε.

1) Apost. Cent. X. 64. Macar. ἐπὶ τῶν κακῶν ἐκ γονέων κακωτέρων.

2) καὶ χρῆσθαι posui ex conjectura Matthei: Mosc. κεχρῆσθαι.

3) Τισίας scripsi, cum Mosc.

φειλε παρασχεῖν, ὠφέληται γάρ· εἰ δὲ μὴ νικήσει, καὶ οὕτως ὤφειλε παρασχεῖν, ἡττήθη γάρ· ὁ δὲ Τισίας πρὸς ταῦτα λέγων ἀπεκρίνατο, ὡς εἰ μὲν νικήσω, οὐκ ὤφειλον παρασχεῖν, νενίκηκα γάρ· εἰ δὲ μὴ νικήσω, οὐκ ὤφειλον παρασχεῖν, οὐ γὰρ ὠφελήθην· ἀπορήσαντες οὖν οἱ δικασταὶ ἀνεβόησαν λέγοντες, κακοῦ κόρακος κακὸν ὠόν· ἢ ὅτι τὸ ζῶον ὁ κόραξ ἄβρωτόν ἐστι καὶ τὸ ὠὸν, ὅθεν ἡ παροιμία.

Κακοῖς ὁμιλῶν αὐτὸς ἐκβήσῃ κακός.

Κἀγὼ[4] *μαυτῷ βαλανεύσω· ἀντὶ τοῦ αὐτὸς ταῖς ἐμαυτοῦ χρείαις ὑπηρετήσω.*

Καθεύδων γὰρ οὐδεὶς οὐδενὸς ἄξιος.

Καὶ[5] *ἐπὶ τῷ βωμῷ τὸν ἐπίβουλον· λείπει*

h. l. et infra praebeat *Σιτίας*, ita enim antea scriptum, et ita in Rhetoribus Graec. T. II. p. 7. legitur. Apponimus ex his dilemma Tisiae argutissimum: *ἐν δὲ τῷ δικαστηρίῳ φησὶν ὁ Τισίας πρὸς τὸν Κόρακα, τῷ διλημμάτῳ σχήματι χρησάμενος — ὦ Κόραξ, τί ἐπηγγείλω διδάσκειν; ὁ δὲ Κόραξ φησί· τὸ πείθειν, ὃν ἂν θέλῃς· πρὸς ταῦτα ὁ Τισίας· εἰ μὲν τὸ πείθειν με ἐδίδαξας, ἰδοὺ πείθω σε μηδὲν λαμβάνειν, εἰ δὲ τὸ πείθειν με οὐκ ἐδίδαξας, καὶ οὕτως οὐδέν σοι παρέχω, ἐπειδὴ οὐκ ἐδίδαξάς με τὸ πείθειν. Πρὸς ταῦτα λέγουσι φῆσαι τὸν Κόρακα, τῷ αὐτῷ σχήματι χρησάμενον· εἰ μὲν τὸ πείθειν διδαχθεὶς, πείθεις με μὴ λαβεῖν, δοῦναι ὀφείλεις τὸν μισθὸν, ὡς διδαχθεὶς τὸ πείθειν, εἰ δὲ καὶ πάλιν οὐ πείθεις με μὴ λαβεῖν, καὶ οὕτως ὀφείλεις τὸν μισθόν. οὔτε γὰρ ἔπεισάς με τοῦ λαβεῖν τὸν μισθόν. Πρὸς ταῦτα οἱ δικασταὶ ἀντὶ ψήφου εἶπον· κακοῦ κόρακος κακὰ ὠά· ὥσπερ γὰρ ὁ κόραξ καὶ τὰ τούτου ὠὰ ἄχρηστα ἡμῖν εἰσι πρὸς βρῶσιν, οὕτως καὶ ὑμεῖς ἄχρηστοί ἐστε πρὸς διοίκησιν πραγμάτων διὰ τὴν ἄκραν δεινότητα· ἢ οὕτως· ὥσπερ οἱ νεοττοὶ τῶν κοράκων βρῶσιν ἱκανὴν παρὰ τῶν γονέων μὴ λαμβάνοντες τοὺς γονεῖς ἐσθίουσιν, οὕτως καὶ ὑμεῖς ἀλλήλους ἐσθίετε. Λέγουσι δέ τινες, ὅτι προϋπῆρχεν αὕτη ἡ παροιμία, καὶ προσφύρως οἱ δικασταὶ αὐτῇ ἐχρήσαντο.* Apost. alias interpretationes praebet, ab Arsenio omissas. Lucian. Pseudol. c. 30. *πλὴν εἴ γέ τι καὶ ἐπαινέσαι μοι δώσεις πάνυ ἀστείως ὑπὸ σοῦ πεπραγμένον, ὁπότε τοῦ Τισίου τὴν τέχνην οἶσθα, ὡς τὸ δισκόρακος ἔργον αὐτὸς ἐποίησας, ἐξαρπάσας τοῦ ἀνοήτου ἐκείνου πρεσβύτου χρυσοῦς τριάκοντα· ὁ δὲ διὰ τὸν Τισίαν, ἀντὶ τοῦ βιβλίου, πεντήκοντα καὶ ἑπτακοσίας ἐξέτισε κατασοφισθείς.*

4) Ex Aristoph. Pac. 1105.

5) Apost. Cent. X. 69. Sumtum est ex Phutarcho Apophth.

χρὴ κτείνειν· Ἀγεσικλῆς ὁ Λακεδαιμονίων βασιλεὺς ἐφεστώς ποτε τῷ βωμῷ τῆς Χαλκιοίκου καὶ βουθυτῶν, ἐπειδὴ φθεὶρ αὐτὸν ἔδακεν, οὐ διετράπη· λαβὼν δὲ περιφανῶς ἐναντίον πάντων κατέκτεινε, προσειπὼν, νὴ τοὺς θεούς, ἡδέως τὸν ἐπίβουλον καὶ ἐπὶ τῷ βωμῷ.

Καὶ [6] βαίτυλον ἂν κατέπιες· ἐπὶ τῶν ἄγαν λιμβῶν· βαίτυλος δέ ἐστιν ὁ ἐσπαργανωμένος λίθος, ὃν Κρόνος κατέπιεν ἀντὶ τοῦ Διός.

Καιρῷ δουλεύειν καὶ θεὺς ὢν ἔμαθον.

Καὶ κηπωρὸν μισῶ τὸν ἐκ ῥιζῶν ἐκτέμνοντα τὰ λάχανα· Ἀλέξανδρος εἶπε τοῦτο πρὸς τὸν συμβουλεύοντα λαμβάνειν τέλη πλείονα ἐκ τῶν πόλεων.

Κακῶν πανήγυρις [7]· ἐπὶ πλήθους κακῶν.

Κακῶς [8] ἀκούειν πρὸς σέ ἐστι καὶ ἄλλως· ἀντὶ τοῦ· σὺ εἶ σαυτῷ καὶ τοῦ ἐπαινεῖσθαι καὶ τοῦ ψέγεσθαι αἴτιος.

Κακὸν [9] ἄγγος οὐ κλᾶται· παραπλησία τῇ, κακὸς ἀνὴρ μακρόβιος.

Κακὸν [10] δῶρον ἴσον ζημία.

Κακὰ μὲν θρίπες [11], κακὰ δὲ ἵπες· ἄμφω γὰρ λυμαντικοὶ, καὶ οἱ μὲν τὰ ξύλα, οἱ δὲ τὰ κρέατα ἐσθίουσιν.

Καδμεία νίκη [12]· ἡ ἐπὶ τῶν κακῶν νίκη· Ἐτεοκλῆς γὰρ καὶ Πολυνείκης υἱοὶ Οἰδίποδος, τινὲς δὲ Κά-

Lacon. p. 208. E. Sed Agesilao tribuit Plutarchus.

6) Apost. Cent. X. 71.

7) Apost. Cent. X. 78. *πανήγυρις δένδρων* Achill. Tat. I. 15. ubi Jacobs.

8) Apost. Cent. X. 82.

9) Apost. Cent. X. 98.

10) Apost. Cent. XI. 19. Macar. *κακοῦ γὰρ ἀνδρὸς δῶρον ὄνησιν οὐκ ἔχει· ὅμοιον τῷ παρὰ Σοφοκλεῖ· ἐχθρῶν, ἄδωρα δῶρα οὐκ ὀνήσιμα.*

11) Apost. Cent. XI. 23.

12) Apost. Cent. X. 79. Macar. *ἐπὶ τῶν ἑαυτοῖς ἀλυσιτελῆ τὴν νίκην ποιουμένων.* Pausan. IX. 9. 5. ad Argivorum et Thebanorum pugnam refert: *ἐγένετο δὲ καὶ αὐτοῖς τὸ ἔργον οὐκ ἄνευ κακῶν μεγάλων, καὶ ἀπ' ἐκείνου τὴν σὺν ὀλέθρῳ τῶν κρατησάντων Καδμείαν ὀνομάζομεν νίκην.* Aristid. Encom. Romae p. 209. *ἀλλὰ τοῦτο δὴ τὸ λεγόμενον τὴν Καδμείαν νίκην*

δμου· οὗ τὴν βασιλείαν οἱ υἱοὶ διεδέξαντο, καὶ συνέθοντο πρὸς ἀλλήλους, ἕνα καὶ ἕνα χρόνον βασιλεύειν αὐτούς· βασιλεύσας δὲ ὁ Ἐτεοκλῆς οὐκ ἐβούλετο Πολυνείκην κατὰ τὸ δόξαν βασιλεῦσαι· καὶ τῷ πολέμῳ ἀλλήλους διεχειρίσαντο, καὶ ἐπὶ κακῷ νενικήκασιν, ὅτι ὁ ἕτερος ἀνεῖλε τὸν ἕτερον.

Καθ' [13] ἑαυτοῦ Βελλεροφόντης· ἐπὶ τῶν καθ' ἑαυτῶν τι ποιούντων.

Κανθάρου μελάντερος [14], καὶ κανθάρου σοφώτερος· ἐπὶ τῶν πονηρῶν καὶ κακοήθων.

Κανθάρου σκιά [15]· ἐπὶ τῶν φοβουμένων ἔνθα οὐ δεῖ.

Κἂν ἐπὶ νεκροῦ [16] κερδαίνειν· ἐπὶ τῶν κερδαινόντων ἐκ πενήτων ἢ τεθνεώτων.

Καθώσπερ [17] αἱ τίτθαι σιτίζεις κακῶς· ἐπὶ Κλέωνος ἐρρήθη, ὃς ὀλίγα τῷ δήμῳ χαριζόμενος τὰ πλείω ἐκέρδαινε· λέγεται δὲ ὅταν προφάσει τινὸς λαμβάνων τις χρήματα κατεσθίῃ αὐτά· αἱ γὰρ τίτθαι διαμασώμεναι τὰς τροφὰς ἐξαίρουσαι τοῦ στόματος τοῖς τῶν παίδων ἐντιθέασιν· εἶτα συμβαίνει αὐτὰς ὀλίγα μὲν τοῖς παιδίοις διδόναι, τὰ πλείω δὲ κατεσθίειν.

ἐνίκων ἀλλήλους περὶ τῆς ἡγεμονίας. — Ὑπὲρ τῶν τεττ. p. 141. ὥστε τὴν Καδμείαν νίκην ἡγεῖτο νικήσειν, ὡς ἑτέρως δὲ πράξας ἀπολεῖν τὴν πόλιν. Clem. Strom. I. 10. p. 344. ἐπεὶ καὶ αἱ λέξεις αὗται τῶν σοφιστῶν οὐ μόνον γοητεύουσι, κλέπτουσι τοὺς πολλούς, βιαζόμεναι δ' ἔσθ' ὅτε Καδμείαν νίκην ἀπηνέγκαντο. Plut. de educat. p. 10. A. οὐ γὰρ τὸ νικᾶν μόνον, ἀλλὰ καὶ τὸ ἡττᾶσθαι ἐπίστασθαι καλὸν, ἐν οἷς τὸ νικᾶν βλαβερόν, ἔστι γὰρ ὡς ἀληθῶς καὶ νίκη Καδμεία, ubi brevior solito Wyttenb.

13) Ap. Cent. X. 86. Mac. κατ' αὐτοῦ Βελεροφόντης (sic)· ἐπὶ τῶν ἐπ' ὀλέθρῳ οἰκείῳ διακονούντων.

14) Macar. Κανθάρου σοφώτερος ἐπὶ τῶν σφόδρα σοφῶν καὶ πανούργων· Κάνθαρος γάρ τις ἐγένετο κακοῦργος καὶ πονηρὸς, ὃς ἐπὶ προδοσίᾳ κριθεὶς Ἀθήνησιν ἀπέθανεν.

15) Apost. Cent. X. 95. Macar. ἐπὶ τῶν εὐτελῶν.

16) Apost. Cent. X. 95. κἂν ἀπὸ νεκροῦ φέρῃ.

17) Apost. Cent. XI. 16. Aristoph. Equ. 716. — Mox Mosc. ὅταν — κατεσθίει.

Καρκῖνος λαγὼν αἱρεῖ [18]· *ἐπὶ τῶν ἀδυνάτων.*

Καρκῖνος [19] *ὀρθὰ βαδίζειν οὐ μεμάθηκεν*· *ἐπὶ τῶν ἀεὶ ὡσαύτως ἐχόντων περί τι.*

Καρικὸς τράγος [20]· *ἐπὶ τῶν εὐτελῶν.*

Καταφρόνει θανάτου, ὅτι οἱ τοιοῦτοι μεγίστην ἑαυτοῖς δόξαν περιποιοῦσι.

Κατόπιν ἑορτῆς ἦκεις [21]· *ἐπὶ τῶν καλοῦ πράγματος ἀπολιμπανομένων.*

Κατὰ βοὸς εὖχου [22]· *ἐπὶ τῶν μέγα βοώντων.*

Κατὰ ῥοῦν φέρεται [23]· *ἐπὶ τῶν εὐπλοούντων καὶ εὐτυχούντων. Λουκιανὸς*· *ταυτὶ μὲν κατὰ ῥοῦν προχωρεῖ τῷ Δάμιδι.*

Καπνὸν φεύγων εἰς πῦρ περιέπεσον.

Κάμηλος [24] *ἐπιθυμήσασα κεράτων καὶ τὰ ὦτα προσαπώλεσεν*· *οἱ τὰ ξένα ζητοῦντες ἀπαλλοτριοῦνται καὶ τῶν οἰκείων.*

Κάτοπτρον [25] *εἴδους χαλκός ἐστιν*· *οἶνος δὲ νοῦ.*

Καλόν τι καιροῦ παντὸς εἰδέναι μέτρον [26].

18) Mosc. *αἴρει.*

19) Apost. Cent. XI. 11. plura addit. Aristoph. Pac. 1083. *Οὔποτε ποιήσεις τὸν καρκίνον ὀρθὰ βαδίζειν.*

20) Apost. Cent. XI. 13.

21) Apost. Cent. XI. 4. Plat. Gorg. init. *ἀλλ' ἦ, τὸ λεγόμενον, κατόπιν ἑορτῆς ἥκομεν καὶ ὑστεροῦμεν.*

22) Apost. Cent. X. 90.

23) Apost. Cent. XI. 20. Luciani locus est in Jove Trag. c. 50. Tom. VI. p. 285. Bip. Achill. Tat. X. 5. *κατὰ ῥοῦν ἐφερόμεθα.* Macar. *κατὰ ῥοῦν τἀγαθά· ἐπὶ τῶν εὐδαιμονίᾳ πολλῇ χρωμένων.*

24) Vide supra *ἡ κάμηλος* etc.

25) Stob. T. 18. 13. Apost. Cent. XI. 3. addit: *Αἰσχύλου* (Fragm. 13.). Cfr. Theogn. 287. Welck.

Ἐν πυρὶ μὲν χρυσόν τε καὶ ἄργυρον ἴδριες ἄνδρες
Γιγνώσκουσ', ἀνδρὸς δ' οἶνος ἔδειξε νόον,

ubi Welcker.

26) Macario propria sunt: *Καὶ κεραμεὺς κεραμεῖ κοτέει· ἐπὶ τῶν ὁμοτέχνων διαφθονουμένων.* — *Κακὸν Τενέδιον· ἐπὶ τῶν πάνυ ακληρῶν καὶ ἀπαραιτήτων.* — *Καὶ τυφλῷ δῆλον· ἐπὶ τῶν ἄγαν σαφεστάτων.* — *Καρπὸν δν ἔσπειρες θέριζε· ἐπὶ τῶν τοιαῦτα πασχόντων, οἷα ἔδρασαν.* — *Καρπάθιος τὸν λαγώ· ἐπὶ τῶν ἐφ' ἑαυτοῖς ἐφελκομένων τὰ*

Τὸ κ μετὰ τοῦ ε.

Κερκωπίζειν [1]· *ἀντὶ τοῦ ἀπατᾶν καὶ δολιεύεσθαι· μετήνεκται δὲ ἀπὸ τῶν κερκώπων.*

Κέντει [2] *τὸν πῶλον περὶ τὴν νύσσαν, ἤτοι πρὸς τὸ προκείμενον ἐπάνηκε· νύσσα γάρ ἐστιν ὁ καμπτὸς, καθ' ὃν οἱ ἱππεῖς δρόμῳ φθάνοντες ἔκαμπτον· καὶ εἰς τὴν ὕσπληγγα* [3] *ἐπανήρχοντο, ὁ δὲ πρῶτος φθάσας ἐταινιοῦτο.*

Κενταύρων [4] *ὕβριν μεμίμηται· ἐπὶ τῶν πλούτῳ γαυριώντων καὶ ὑβριζόντων.*

Κεκύλισται [5] *ὁ πίθος· ἐπὶ τῶν κατὰ μίμησιν ἑτέρων μάτην τι ποιούντων.*

Κενοὶ [6] *κενὰ βουλεύονται· ἐπὶ τῶν ματαίως βουλευομένων.*

κακά. — *Καθ' ὕδατος γράφει· ἐπὶ τῶν ἀνύνητα πονούντων.* — *Κάθιζε ἐπὶ κώπην· παρεγγυᾷ ἐνεργὸν εἶναι.* — *Κατὰ ποδὸς βάσιν· ἐπὶ τῶν κατὰ μικρόν τι πραττόντων.* — *Καὶ ἀσχολίας ὑπέρτερον· ἐπὶ τῶν τἄλλα μὲν παραιτουμένων, ἓν δέ τι προκρινόντων* (Pind. Istm. I. 2.). — *Κᾶν τοῖς λειψάνοις ἔνεστιν εὐωχία· ὅτι καὶ τὸ μικρὸν ἀντάξιον μείζονος.* — *Κακὸν ἐπὶ κακῷ* (Cod. ἐπὶ κακὸν, superscripto ῷ). — *Κάμηλον ἐπὶ κάμηλον· ἐπὶ τῶν μεγάλοις μεγάλα προστιθέντων.* — *Καθαρίδας ἐδήδοκας· ἐπὶ τῶν δυσῳδες ἐχόντων στόμα καὶ κάκοσμον.* — *Καπνοῦ σκιὰν δεδοικέναι· ἐπὶ τῶν τὰ μηδενὸς ἄξια φοβουμένων.* — *Καὶ χειρὶ καὶ ποδὶ βοηθεῖ· ὁμοία τῇ πάντα κάλων σείειν.* — *Καὶ βοῦς ἀρότης γέγονα· καὶ ἐπὶ πολυμαθοῦς καὶ ἐπὶ πολλὰ πονήσαντος.* — *Κακὸν ἀναγκαῖον τὸ πείθεσθαι γαστρί· ἐπὶ τῶν ἐξ ἀνάγκης, καὶ οἷς οὐ χρὴ, πειθομένων.* — *Κακὸς μὲν κόρος, δεινὸν δὲ λιμός.* — *Κάριος αἶνος· ἐπὶ τῶν ἀπορούντων τι διαπράξασθαι· ἁλιέα γάρ φασι τροφῆς ἀποροῦντα χειμῶνος, εἰπεῖν· κολυμβήσω, ἀλλὰ ῥιγήσω· μὴ κολυμβήσω, ἀλλὰ πεινάσω.* — *Κακῶν ἐόντων δεῖ κύμινα πριστεῖν· ὅτι δεῖ τὸν ἐν κακοῖς ὄντα ἀκριβολογεῖσθαι.* — *Κακόν κακῷ ἕπεται.*

1) Apost. Cent. XI. 24.

2) Apost. Cent. XI. 25.

3) Mosc. ὕσπληγκα.

4) Apost. Cent. XI. 33. et Laur. rem multis exponunt. Lucian. Jup. trag. c. 21. *τῆς Κενταύρων ὕβρεως καὶ παροινίας.* Theogn. 897. Welck. *Λειμαίνω μὴ τήνδε πόλιν, Πολυπαίδη, ὕβρις, ἥπερ Κενταύρους ὠμοφάγους, ὄλεση.* Cfr. Böttiger. Pict. Vas. Fasc. III. p. 99. sqq.

5) Apost. Cent. XI. 34.

6) Apost. Cent. XI. 26. Ma-

Κενὰ [7] *τὰ τύχης· πρὸς ἀνεπιτηδείους.*

Κεστρεὺς [8] *νηστεύει· ἐπὶ τῶν λαιμάργων· ἄπληστον γὰρ τὸ ζῶον.*

Κέρδους [9] *ἕκητι κἂν ἐπὶ ῥιπὸς πλέοι.*

Τὸ $\overline{\kappa}$ *μετὰ τοῦ* $\overline{\iota}$. [10]

Κισσὸς [11] *μετ' ἀνθεστήρια· ἐπὶ βραδέων.*

Κιλικοὶ [12] *τράγοι· οἱ δασεῖς· ὅθεν καὶ τὰ ἐκ τριχῶν κιλίκια λέγεται.*

Κινεῖς [13] *τὸν ἀνάγυρον· ἐπὶ τῶν ἐπισπωμένων ἑαυτοῖς τὰ κακά· ἔστι δὲ ὁ ἀνάγυρος ἄνθος, ὃ τριβόμενον ὄζει· καὶ δῆμος τῆς Ἀττικῆς καὶ ὄνομα κύριον ἥρωος· τούτου δέ τις ἔκοψε τὸ ἄλσος· ὁ δὲ τῷ υἱῷ αὐτοῦ ἀπέμηνε τὴν παλλακήν, ἥ τις μὴ δυναμένη συμπεῖσαι τὸν παῖδα διέβαλεν ὡς ἀσελγῆ τῷ πατρί· ὁ δὲ ἐπήρωσεν αὐτὸν καὶ ἐγκατῳκοδόμησεν· ἐπὶ τούτοις καὶ ὁ πατὴρ ἑαυτὸν ἀνήρτησεν· ἡ δὲ παλλακὴ εἰς φρέαρ ἑαυτὴν ἔῤῥιψεν· ἱστορεῖ δὲ Ἱερώνυμος ἐν τῷ περὶ τραγῳδοποιῶν ἀπεικάζων τούτοις τὸν Εὐριπίδου Φοίνικα· ὅταν οὖν ἐπὶ οἰκείοις κακοῖς πράσσῃ τις, λέγεται κινήσεις τὸν Ἀνάγυρον.*

car. *κενὴν ψάλλεις· ἐπὶ τῶν μάτην πονούντων.*

7) Laur. om. Apogr. Dresd. *τῆς* omittit.

8) Apost. Cent. XI. 56.

9) Aristoph. Pac. 699. de Sophocle. Laur. om. Lucian. Hermotim. c. 28. *οὐδ' ἐς στενὸν κομιδῇ κατακλείειν τὴν ἐλπίδα, ἐπὶ ῥιπὸς, ὡς ἡ παροιμία φησὶ, τὸν Αἰγαῖον, ἢ τὸν Ἰόνιον διαπλεῦσαι θέλοντας.* Macar. *κέρδος αἰσχύνης ἄμεινον.*

10) Macar. habet. *Κηφῆνες μόχθους ἄλλων κατέδονται, ἐπὶ τῶν ἀργῶν καὶ τὰ ἀλλότρια δαπανώντων.*

11) Apost. Cent. XI. 58.

12) Apost. Cent. XI. 59. Sumtum ex Suida. Macar. *ἐπὶ τῶν δασυτάτων καὶ θρασυτάτων καὶ ἀγροίκων.*

13) Apost. Cent. XI. 41. Oribasius *ἰατρικῶν συναγωγῶν* lib. XI. ex Dioscoride ita refert. *Ἀνάγυρον, οἱ δὲ ἕλκυπον, θάμνος ἐστὶ τοῖς φύλλοις καὶ ταῖς ῥάβδοις προσεμφερὴς ἄγνῳ, δενδρώδης, βαρύοδμος ἰσχυρῶς· ἄνθη κράμβῃ ἐοικότα, καρπὸς εὐκερατίοις μικροῖς, τὸ σχῆμα νεφρῶν· ποικίλος, στερεὸς, σαδηρύνεται δὲ περὶ τὸν τῆς σταφυλῆς πεπασμόν.* Ita Cod. Mosquensis. Matth.

μώτατος ἐν τοῖς Ἕλλησι. Θάλεω δὲ γίνεται ἀκουστὴς Ἀναξίμανδρος, Πραξιάδου μὲν παῖς, γένος δὲ καὶ αὐτὸς Μιλήσιος. Οὗτος πρῶτος γνώμονας κατεσκεύασε πρὸς διάγνωσιν τροπῶν τε ἡλίου, καὶ χρόνων καὶ ὡρῶν καὶ ἰσημερίας. Ἀναξιμάνδρου δὲ γνώριμος ἐγένετο Ἀναξιμένης Εὐρυστράτου Μιλήσιος· τούτου δὲ Ἀναξαγόρας Ἡγησιβούλου Κλαζομένιος· οὗτος δὴ πρῶτος διήρθρωσε τὸν περὶ ἀρχῶν λόγον· οὐ γὰρ μόνον περὶ τῆς πάντων οὐσίας ἀπεφήνατο, ὡς οἱ πρὸ αὐτοῦ, ἀλλὰ καὶ περὶ τοῦ κινοῦντος αὐτὴν αἰτίου· ἦν γὰρ ἀρχήν, φησι, τὰ πράγματα ὁμοῦ πεφυρμένα, νοῦς δ' εἰσελθὼν αὐτὰ ἐκ τῆς ἀταξίας εἰς τάξιν ἤγαγεν· Ἀναξαγόρου δὲ ἐγένοντο γνώριμοι τρεῖς· Περικλῆς, Ἀρχέλαος, Εὐριπίδης· Περικλῆς μὲν οὖν Ἀθηναίων πρῶτος ἐγένετο, καὶ πλούτῳ καὶ γένει τῶν καθ' αὑτὸν διήνεγκεν. Εὐριπίδης δ' ἐπὶ ποιητικὴν μεταβὰς ὑπό τινων σκηνικὸς φιλόσοφος ἐκλήθη· ὁ δὲ Ἀρχέλαος ἐν Λαμψάκῳ διεδέξατο τὴν σχολὴν τοῦ Ἀναξαγόρου· μεταβὰς δ' εἰς Ἀθήνας ἐκεῖ ἐσχόλασε, καὶ πολλοὺς ἔσχεν Ἀθηναίων γνωρίμους, ἐν οἷς καὶ Σωκράτην· κατὰ δὲ τὸν αὐτὸν τῷ Ἀναξαγόρᾳ χρόνον, ἤκμασαν ἄνδρες φυσικοί, Ξενοφάνης τε καὶ Πυθαγόρας· τὸν μὲν οὖν Πυθαγόραν διεδέξατο Θεανὼ ἡ γυνή· οἵ τε υἱοὶ αὐτοῦ Τηλαυγὴς καὶ Μνήσαρχος. Τηλαυγοῦς δὲ Ἐμπεδοκλῆς ἀκουστὴς γίνεται, καθ' ὃν Ἡράκλειτος ὁ σκοτεινὸς ἐγνωρίζετο· τὸν δὲ Ξενοφάνην λέγεται ὁ Παρμενίδης διαδέξασθαι· Παρμενίδην δὲ Μέλισσος, Μέλισσον δὲ Ζήνων ὁ Ἐλεάτης, ὃν φασιν ἐπιβουλὴν κατὰ τοῦ τότε τυράννου συστησάμενον ἁλῶναι, στρεβλούμενον δ' ὑπὸ τοῦ τυράννου, ὅπως τοὺς σὺν αὐτῷ ἄνδρας ἀπογράψηται, οὐ προσποιηθέντα, τὰς τοῦ τυράννου τιμωρίας, διαμαχεσάμενον, τὴν γλῶσσαν προσπτύσαι αὐτῷ, καὶ οὕτως ἐγκαρτερήσαντα ταῖς βασάνοις ἀποθανεῖν· τούτου δὲ Λεύκιππος ἀκουστὴς γέγονε· Λευκίππου δὲ Δημόκριτος, οὗ Πρωταγόρας, καθ' ὃν ἤκμασε Σωκράτης, καὶ ἄλλους δὲ σποράδην ἐστὶν εὑρεῖν φυσι-

κοὺς φιλοσόφους, πρὸ Σωκράτου γενομένους· πλὴν ἀλλὰ πάντες ἀπὸ Θαλοῦ ἀρξάμενοι, κατώτεροι Κύρου τοῦ Περσῶν βασιλέως φαίνονται ἡμιακότες· μάλιστα δὲ Πλάτων, ὃς ἀκουστὴς τὰ πρῶτα γενόμενος Σωκράτους, κἄπειτα τοῖς Πυθαγορείοις ὁμιλήσας τοὺς πρὸ αὐτοῦ πάντας λόγῳ τε καὶ συνέσει καὶ τοῖς ἐν φιλοσοφίᾳ δόγμασιν ὑπερηκόντισεν.

ΙΣΤΟΡΙΑΙ.

Περὶ Ἰκαρίου καὶ Ἠριγόνης.

Ἰκάριος γένος μὲν ἦν Ἀθηναῖος [8], *ἔσχε δὲ θυγατέρα μονογενῆ Ἠριγόνην, ἥτις κύνα νήπιον ἔτρεφε· ξενίσας δέ ποτε ὁ Ἰκάριος Διόνυσον* [9], *ἔλαβεν ἀπ᾽ αὐτοῦ οἶνόν τε καὶ ἀμπέλου κλῆμα· κατὰ δὲ τὰς τοῦ θεοῦ ὑποθήκας περιῄει τὴν γῆν, προφαίνων τὴν τοῦ Διονυσίου χάριν, ἔχων σὺν ἑαυτῷ τὸν κύνα· γενόμενος δὲ ἐν τοῖς τῆς πόλεως βουκολίοις οἶνον παρέσχεν· οἱ δὲ ἀθρόως ἐμφορησάμενοι, οἱ μὲν εἰς βαθὺν ὕπνον ἐτράπησαν, οἱ δὲ περιλειπόμενοι νομίσαντες θανάσιμον εἶναι φάρμακον τὸ πόμα, πλήσσοντες, ἐφόνευσαν τὸν Ἰκάριον· μεθ᾽ ἡμέραν δὲ νηψάντων αὐτῶν καταγνόντες ἑαυτῶν εἰς φυγὴν ἐτράπησαν· ὁ δὲ κύων ὑποστρέψας εἰς τὴν Ἠριγόνην δι᾽ ὀρυγμοῦ ἐμήνυσεν αὐτῇ τὰ γενόμενα· ἡ δὲ μαθοῦσα ταλῃθὲς, ἑαυτὴν ἀνήρτησε, νόσου δὲ ἐν Ἀθήναις γενομένης κατὰ χρησμὸν οἱ Ἀθηναῖοι τόν τε Ἰκάριον καὶ τὴν Ἠριγόνην ἐνιαυσιαίαις ἐγέραιρον τιμαῖς, οἱ δὲ καταστερισθέντες, Ἰκάριος μὲν βοώτης ἐκλήθη, Ἠριγόνη δὲ παρθένος· ὁ δὲ κύων τὴν αὐτὴν ὀνομασίαν ἔσχεν. Ἡ ἱστορία παρὰ Ἐρατοσθένει.*

8) Icarius Thrax vocatur a Nicolao Sophista Progymn. p. 343.

9) Cod. *Διόνυσος.*

Περὶ Ἰξίωνως.

Ἰξίωνά φησιν ὁ μῦθος ἐπιθέσθαι τῷ γάμῳ τῆς Ἥρας· τὴν δὲ νεφέλην μορφώσασαν, ἀνθ᾽ αὐτῆς αὐτῷ προσιέναι· μιχθέντος δ᾽ αὐτοῦ τῇ νεφέλῃ γεννηθῆναι τὸν Κένταυρον· γόντα δὲ τὸν Δία παρὰ τῆς Ἥρας, τροχῷ τὸν Ἰξίωνα ἐνδῆσαι, ὥστε ἀπαύστως ἐπ᾽ αὐτοῦ φέρεσθαι· τάχα δὲ σημαίνοι ἂν ὁ μῦθος, ἐπιθέσθαι μὲν πολιτικῇ καὶ βασιλικῇ προνοίᾳ τὸν Ἰξίωνα· Ἡραῖον δὲ τὸ τοιοῦτον τῆς ζωῆς εἶδος· ἀνάξιον δὲ φανέντα κατὰ δίκην τῆς Ἥρας, εἰδώλῳ τινὶ ἐνύλῳ καὶ τεθολωμένῳ τῆς τοιαύτης προστασίας περιπεσεῖν· ὅπερ ἡ νεφέλη δηλοῖ, ἀὴρ οὖσα θολώδης καὶ ὑλικώτερος· τούτῳ δ᾽ οὖν συμπλακέντα τῷ εἴδει γεννῆσαι μὲν σύμφυρσιν [10] λογικῶν τε καὶ ἀλόγων ἐνέργειαν· ἐνδηθῆναι δὲ ὑπὸ τοῦ τὸ κατ᾽ ἀξίαν πᾶσιν ἀφορίζοντος δημιουργοῦ θεοῦ ἐν τῷ τῆς εἱμαρμένης τε καὶ γενέσεως τροχῷ, οὗπερ ἀδύνατον ἀπαλλαγῆναι κατὰ τὸν Ὀρφέα, μὴ τοὺς θεοὺς ἐκείνους ἱλεωσάμενον· οἷς ἐπέταξεν ὁ Ζεὺς, κύκλον τ᾽ ἀλλῆξαι καὶ ἀμύξαι κακότητος τὰς ἀνθρωπίνας ψυχάς.

Περὶ Ἰοῦς καὶ Ἀργειφόντου.

Ἰοῦς τῆς Ἰνάχου θυγατρὸς ἠράσθη ὁ Ζεὺς, καὶ ἵνα διαλάθῃ τὴν αὐτοῦ σύνευνον Ἥραν, μετέβαλεν εἰς βοῦν τὴν Ἰώ· ἡ δὲ Ἥρα Ἄργον τὸν πανόπτην ἐπέστησε φύλακα· ἀποστείλας οὖν ὁ Ζεὺς τὸν Ἑρμῆν, ἵνα κλέψῃ τὴν βοῦν, καὶ μὴ δυνηθεὶς λαθεῖν τὸν Ἄργον, τοῦτον πεφόνευκεν· ὅθεν καὶ Ἀργειφόντης ἐκλήθη.

Περὶ Ἱππαρχίας.

Ἱππαρχία, Μαρωνῖτις [11], Μητροκλέους μὲν ἀδελφὴ, Κρέοντος δὲ γυνὴ, Θεόδωρον τὸν ἐπικληθέντα ἄθεον ἐν

10) Ad marg. γρ. σύρφυσιν. 11) Cod. Μαρωνίτης.

Λυσιμάχου συμποσίῳ ἐπήλεγξε [12], *σόφισμα προτείνουσα τοιοῦτον, ὃ ποιῶν Θεόδωρος οὐκ ἂν ἀδικεῖν λέγοιτο, οὐδ' Ἱππαρχία ποιοῦσα τοῦτο ἀδικεῖν λέγοιτ' ἄν. Θεύδωρος δὲ τύπτων ἑαυτὸν οὐκ ἀδικεῖ, οὐκ ἄρα Ἱππαρχία Θεόδωρον τύπτουσα ἀδικεῖ· ὁ δὲ πρὸς τὸ λεχθὲν οὐδὲν ἀπήντησεν, ἀνέσυρε δ' αὐτῆς ἱμάτιον· ἀλλ' οὔτε κατεπλάγη ἡ Ἱππαρχία, οὔτε διεταράχθη ὡς γυνὴ, ἀλλὰ καὶ εἰπόντος αὐτῇ, αὕτη ἐστὶν ἡ τὰς παρ' ἱστοῖς ἐκλιποῦσα κερκίδας, ἐγώ, φησίν, εἰμι, Θεόδωρε, ἀλλὰ μὴ κακῶς σοι δοκῶ βεβουλεῦσθαι περὶ ἐμαυτῆς, εἰ τὸν χρόνον, ὃν ἔμελλον ἱστοῖς προσαναλώσειν, τοῦτον εἰς παιδείαν κατεχρησάμην;*

Ἀρχὴ τοῦ $\overline{\kappa}$ στοιχείου.

Τὸ $\overline{\kappa}$ μετὰ τοῦ $\overline{\alpha}$.

Κακοῦ [1] *κόρακος κακὸν ᾠόν· Κόραξ τις συνετὸς ἀνὴρ καὶ* [2] *χρῆσθαι πράγμασιν ἱκανὸς, συνιδὼν, ὅτι οὐχ ὅμοιον τυράννῳ διακονεῖσθαι, καὶ δήμου γνώμην χειρώσασθαι ἀπελθὼν συνέθηκε τέχνην περὶ προοιμίων καὶ διηγήσεων καὶ ἀγώνων καὶ ἐπιλόγων, δι' ὧν τὸν δῆμον ἔπειθεν· ἐντεῦθεν προήει βοῶν καὶ παρακαλῶν τὸν βουλόμενον μαθεῖν ἐπὶ ξητῷ μισθῷ χιλίων δραχμῶν· ὁ τοίνυν Τισίας προσῆλθε μαθεῖν, καὶ μαθὼν ἠγνωμόνησεν αὐτῷ περὶ τὸν μισθὸν, καὶ ἐπὶ τούτῳ συνέστη δικαστήριον, καὶ τῶν κριτῶν συνελθόντων ἔφη ὁ Κόραξ διλημμάτῳ χρησάμενος, ὡς εἰ μὲν νικήσει ὁ Τισίας* [3], *ὦ-*

12) Cod. ἐπέλεγξε.

1) Apost. Cent. X. 64. Macar. ἐπὶ τῶν κακῶν ἐκ γονέων κακωτέρων.

2) καὶ χρῆσθαι posui ex conjectura Matthei: Mosc. κεχρῆσθαι.

3) Τισίας scripsi, cum Mosc.

φειλε παρασχεῖν, ὠφέληται γάρ· εἰ δὲ μὴ νικήσει, καὶ οὕτως ὤφειλε παρασχεῖν, ἡττήθη γάρ· ὁ δὲ Τισίας πρὸς ταῦτα λέγων ἀπεκρίνατο, ὡς εἰ μὲν νικήσω, οὐκ ὤφειλον παρασχεῖν, νενίκηκα γάρ· εἰ δὲ μὴ νικήσω, οὐκ ὤφειλον παρασχεῖν, οὐ γὰρ ὠφελήθην· ἀπορήσαντες οὖν οἱ δικασταὶ ἀνεβόησαν λέγοντες, κακοῦ κόρακος κακὸν ὠόν· ἢ ὅτι τὸ ζῶον ὁ κόραξ ἄβρωτόν ἐστι καὶ τὸ ὠὸν, ὅθεν ἡ παροιμία.

Κακοῖς ὁμιλῶν αὐτὸς ἐκβήσῃ κακός.

Κἀγὼ [4] μαυτῷ βαλανεύσω· ἀντὶ τοῦ αὐτὸς ταῖς ἐμαυτοῦ χρείαις ὑπηρετήσω.

Καθεύδων γὰρ οὐδεὶς οὐδενὸς ἄξιος.

Καὶ [5] ἐπὶ τῷ βωμῷ τὸν ἐπίβουλον· λείπει

h. l. et infra praebeat Σιτίας, ita enim antea scriptum, et ita in Rhetoribus Graec. T. II. p. 7. legitur. Apponimus ex his dilemma Tisiae argutissimum: ἐν δὲ τῷ δικαστηρίῳ φησὶν ὁ Τισίας πρὸς τὸν Κόρακα, τῷ διλημμάτῳ σχήματι χρησάμενος — ὦ Κόραξ, τί ἐπηγγείλω διδάσκειν; ὁ δὲ Κόραξ φησί· τὸ πείθειν, ὃν ἂν θέλῃς· πρὸς ταῦτα ὁ Τισίας· εἰ μὲν τὸ πείθειν με ἐδίδαξας, ἰδοὺ πείθω σε μηδὲν λαμβάνειν, εἰ δὲ τὸ πείθειν με οὐκ ἐδίδαξας, καὶ οὕτως οὐδέν σοι παρέχω, ἐπειδὴ οὐκ ἐδίδαξάς με τὸ πείθειν. Πρὸς ταῦτα λέγουσι φῆσαι τὸν Κόρακα, τῷ αὐτῷ σχήματι χρησάμενον· εἰ μὲν τὸ πείθειν διδαχθείς, πείθεις με μὴ λαβεῖν, δοῦναι ὀφείλεις τὸν μισθὸν, ὡς διδαχθεὶς τὸ πείθειν, εἰ δὲ καὶ πάλιν οὐ πείθεις με μὴ λαβεῖν, καὶ οὕτως ὀφείλεις τὸν μισθόν. οὔτε γὰρ ἔπεισάς με τοῦ λαβεῖν τὸν μισθόν. Πρὸς ταῦτα οἱ δικασταὶ ἀντὶ ψήφου εἶπον· κακοῦ κόρακος κακὰ ὠά· ὥσπερ γὰρ ὁ κόραξ καὶ τὰ τούτου ὠὰ ἄχρηστα ἡμῖν εἰσι πρὸς βρῶσιν, οὕτως καὶ ὑμεῖς ἄχρηστοί ἐστε πρὸς διοίκησιν πραγμάτων διὰ τὴν ἄκραν δεινότητα· ἢ οὕτως ὥσπερ οἱ νεοττοὶ τῶν κοράκων βρῶσιν ἱκανὴν παρὰ τῶν γονέων μὴ λαμβάνοντες τοὺς γονεῖς ἐσθίουσιν, οὕτως καὶ ὑμεῖς ἀλλήλους ἐσθίετε. Λέγουσι δέ τινες, ὅτι προϋπῆρχεν αὕτη ἡ παροιμία, καὶ προσφόρως οἱ δικασταὶ αὐτῇ ἐχρήσαντο. Apost. alias interpretationes praebet, ab Arsenio omissas. Lucian. Pseudol. c. 30. πλὴν εἴ γέ τι καὶ ἐπαινέσαι μοι δώσεις πάνυ ἀστείως ὑπὸ σοῦ πεπραγμένον, ὁπότε τοῦ Τισίου τὴν τέχνην οἶσθα, ὡς τὸ δισκόρακος ἔργον αὐτὸς ἐποίησας, ἐξαρπάσας τοῦ ἀνοήτου ἐκείνου πρεσβύτου χρυσοῦς τριάκοντα· ὁ δὲ διὰ τὸν Τισίαν, ἀντὶ τοῦ βιβλίου, πεντήκοντα καὶ ἑπτακοσίας ἐξέτισε κατασοφισθείς.

4) Ex Aristoph. Pac. 1105.

5) Apost. Cent. X. 69. Sumtum est ex Phutarcho Apophth.

χρὴ κτείνειν· Ἀγεσικλῆς ὁ Λακεδαιμονίων βασιλεὺς ἐφεστώς ποτε τῷ βωμῷ τῆς Χαλκιοίκου καὶ βουθυτῶν, ἐπειδὴ φθεὶρ αὐτὸν ἔδακεν, οὐ διετράπη· λαβὼν δὲ περιφανῶς ἐναντίον πάντων κατέκτεινε, προσειπὼν, νὴ τοὺς θεούς, ἡδέως τὸν ἐπίβουλον καὶ ἐπὶ τῷ βωμῷ.

Καὶ [6] βαίτυλον ἂν κατέπιες· ἐπὶ τῶν ἄγαν λιμβῶν· βαίτυλος δέ ἐστιν ὁ ἐσπαργανωμένος λίθος, ὃν Κρόνος κατέπιεν ἀντὶ τοῦ Διός.

Καιρῷ δουλεύειν καὶ θεὸς ὢν ἔμαθον.

Καὶ κηπωρὸν μισῶ τὸν ἐκ ῥιζῶν ἐκτέμνοντα τὰ λάχανα· Ἀλέξανδρος εἶπε τοῦτο πρὸς τὸν συμβουλεύοντα λαμβάνειν τέλη πλείονα ἐκ τῶν πόλεων.

Κακῶν πανήγυρις [7]· ἐπὶ πλήθους κακῶν.

Κακῶς [8] ἀκούειν πρὸς σέ ἐστι καὶ ἄλλως· ἀντὶ τοῦ· σὺ εἶ σαυτῷ καὶ τοῦ ἐπαινεῖσθαι καὶ τοῦ ψέγεσθαι αἴτιος.

Κακὸν [9] ἄγγος οὐ κλᾶται· παραπλησία τῇ, κακὸς ἀνὴρ μακρόβιος.

Κακὸν [10] δῶρον ἴσον ζημία.

Κακὰ μὲν θρίπες [11], κακὰ δὲ ἵπες· ἄμφω γὰρ λυμαντικοὶ, καὶ οἱ μὲν τὰ ξύλα, οἱ δὲ τὰ κρέατα ἐσθίουσιν.

Καδμεία νίκη [12]· ἡ ἐπὶ τῶν κακῶν νίκη· Ἐτεοκλῆς γὰρ καὶ Πολυνείκης υἱοὶ Οἰδίποδος, τινὲς δὲ Κά-

Lacon. p. 208. E. Sed Agesilao tribuit Plutarchus.

6) Apost. Cent. X. 71.

7) Apost. Cent. X. 78. *πανήγυρις δένδρων* Achill. Tat. I. 15. ubi Jacobs.

8) Apost. Cent. X. 82.

9) Apost. Cent. X. 98.

10) Apost. Cent. XI. 19. Macar. *κακοῦ γὰρ ἀνδρὸς δῶρον ὄνησιν οὐκ ἔχει· ὅμοιον τῷ παρὰ Σοφοκλεῖ· ἐχθρῶν ἄδωρα δῶρα οὐκ ὀνήσιμα.*

11) Apost. Cent. XI. 23.

12) Apost. Cent. X. 79. Macar. *ἐπὶ τῶν ἑαυτοῖς ἀλυσιτελῆ τὴν νίκην ποιουμένων.* Pausan. IX. 9. 5. ad Argivorum et Thebanorum pugnam refert: *ἐγένετο δὲ καὶ αὐτοῖς τὸ ἔργον οὐκ ἄνευ κακῶν μεγάλων, καὶ ἀπ' ἐκείνου τὴν σὺν ὀλέθρῳ τῶν κρατησάντων Καδμείαν ὀνομάζομεν νίκην.* Aristid. Encom. Romae p. 209. *ἀλλὰ τοῦτο δὴ τὸ λεγόμενον τὴν Καδμείαν νίκην*

δμου· οὐ τὴν βασιλείαν οἱ υἱοὶ διεδέξαντο, καὶ συνέθοντο πρὸς ἀλλήλους, ἕνα καὶ ἕνα χρόνον βασιλεύειν αὐτούς· βασιλεύσας δὲ ὁ Ἐτεοκλῆς οὐκ ἐβούλετο Πολυνείκην κατὰ τὸ δόξαν βασιλεῦσαι· καὶ τῷ πολέμῳ ἀλλήλους διεχειρίσαντο, καὶ ἐπὶ κακῷ νενικήκασιν, ὅτι ὁ ἕτερος ἀνεῖλε τὸν ἕτερον.

Καθ' [13] ἑαυτοῦ Βελλεροφόντης· ἐπὶ τῶν καθ' ἑαυτῶν τι ποιούντων.

Κανθάρου μελάντερος [14], καὶ κανθάρου σοφώτερος· ἐπὶ τῶν πονηρῶν καὶ κακοήθων.

Κανθάρου σκιά [15]· ἐπὶ τῶν φοβουμένων ἔνθα οὐ δεῖ.

Κἂν ἐπὶ νεκροῦ [16] κερδαίνειν· ἐπὶ τῶν κερδαινόντων ἐκ πενήτων ἢ τεθνεώτων.

Καθώσπερ [17] αἱ τίτθαι σιτίζεις κακῶς· ἐπὶ Κλέωνος ἐρρήθη, ὃς ὀλίγα τῷ δήμῳ χαριζόμενος τὰ πλείω ἐκέρδαινε· λέγεται δὲ ὅταν προφάσει τινὸς λαμβάνων τις χρήματα κατεσθίῃ αὐτά· αἱ γὰρ τίτθαι διαμασώμεναι τὰς τροφὰς ἐξαίρουσαι τοῦ στόματος τοῖς τῶν παίδων ἐντιθέασιν· εἶτα συμβαίνει αὐτὰς ὀλίγα μὲν τοῖς παιδίοις διδόναι, τὰ πλείω δὲ κατεσθίειν.

ἐνίκων ἀλλήλους περὶ τῆς ἡγεμονίας. — Ὑπὲρ τῶν τεττ. p. 141. ὥστε τὴν Καδμείαν νίκην ἡγεῖτο νικήσειν, ὡς ἑτέρως δὲ πράξας ἀπολεῖν τὴν πόλιν. Clem. Strom. I. 10. p. 344. ἐπεὶ καὶ αἱ λέξεις αὐταὶ τῶν σοφιστῶν οὐ μόνον γοητεύουσι, κλέπτουσι τοὺς πολλούς, βιαζόμεναι δ' ἔσθ' ὅτε Καδμείαν νίκην ἀπηνέγκαντο. Plut. de educat. p. 10. A. οὐ γὰρ τὸ νικᾶν μόνον, ἀλλὰ καὶ τὸ ἡττᾶσθαι ἐπίστασθαι καλὸν, ἐν οἷς τὸ νικᾶν βλαβερὸν, ἔστι γὰρ ὡς ἀληθῶς καὶ νίκη Καδμεία, ubi brevior solito Wyttenb.

13) Ap. Cent. X. 86. Mac. κατ' αὐτοῦ Βελεροφόντης (sic)· ἐπὶ τῶν ἐπ' ὀλέθρῳ οἰκείῳ διακονούντων.

14) Macar. Κανθάρου σοφώτερος ἐπὶ τῶν σφόδρα σοφῶν καὶ πανούργων· Κάνθαρος γάρ τις ἐγένετο κακοῦργος καὶ πονηρὸς, ὃς ἐπὶ προδοσίᾳ κριθεὶς Ἀθήνησιν ἀπέθανεν.

15) Apost. Cent. X. 93. Macar. ἐπὶ τῶν εὐτελῶν.

16) Apost. Cent. X. 93. κἂν ἀπὸ νεκροῦ φέρῃ.

17) Apost. Cent. XI. 16. Aristoph. Equ. 716. — Mox Mosc. ὅταν — κατεσθίει.

ἐφράσθη ἐκεῖνος ἐφρά[σ]θ' ὅτι οὐδὲ ἐφράσω.
ἐφράσθη ἐκεῖνος ἐφρά[σ]θ' ὅτι οὐδὲ σὺ μανθάνεις·
οὐ σὺ δὲ ἐφράσω, ἐφρά[σ]θη·
ἐφράσθη πάλιν ἐφρά[σ]θη· οὐ δὲ ἐφράσθη.
ἐφράσθη ἐκεῖνος ἐφρά[σ]θ' ὅτι οὐδὲ ἐφράσω.
ἐφράσθη ἐκεῖνος ἐφρά[σ]θ' ὅτι οὐδὲ σὺ μανθάνεις·
οὐ σὺ δὲ ἐφράσω, ἐφρά[σ]θη·
ἐφράσθη πάλιν ἐφρά[σ]θη· οὐ δὲ ἐφράσθη.

Ἐφράσθη ἐκεῖνος ἐφρά[σ]θ' ὅτι οὐδὲ ἐφράσω.
Ἐφράσθη ἐκεῖνος ἐφρά[σ]θ' ὅτι οὐδὲ σὺ μανθάνεις·
οὐ σὺ δὲ ἐφράσω, ἐφρά[σ]θη·
Ἐφράσθη πάλιν ἐφρά[σ]θη· οὐ δὲ ἐφράσθη.

Ἐφράσθη ἐκεῖνος ἐφρά[σ]θ' ὅτι οὐδὲ ἐφράσω.
Ἐφράσθη ἐκεῖνος ἐφρά[σ]θ' ὅτι οὐδὲ σὺ μανθάνεις·
οὐ σὺ δὲ ἐφράσω, ἐφρά[σ]θη·
Ἐφράσθη πάλιν ἐφρά[σ]θη· οὐ δὲ ἐφράσθη.

Ἐφράσθη ἐκεῖνος ἐφρά[σ]θ' ὅτι οὐδὲ ἐφράσω.
Ἐφράσθη ἐκεῖνος ἐφρά[σ]θ' ὅτι οὐδὲ σὺ μανθάνεις·
οὐ σὺ δὲ ἐφράσω, ἐφρά[σ]θη·
Ἐφράσθη πάλιν ἐφρά[σ]θη· οὐ δὲ ἐφράσθη.

Ἐφράσθη ἐκεῖνος ἐφρά[σ]θ' ὅτι οὐδὲ ἐφράσω.
Ἐφράσθη ἐκεῖνος ἐφρά[σ]θ' ὅτι οὐδὲ σὺ μανθάνεις·
οὐ σὺ δὲ ἐφράσω, ἐφρά[σ]θη·
Ἐφράσθη πάλιν ἐφρά[σ]θη· οὐ δὲ ἐφράσθη.

Ἐφράσθη ἐκεῖνος ἐφρά[σ]θ' ὅτι οὐδὲ ἐφράσω.
Ἐφράσθη ἐκεῖνος ἐφρά[σ]θ' ὅτι οὐδὲ σὺ μανθάνεις·
οὐ σὺ δὲ ἐφράσω, ἐφρά[σ]θη·
Ἐφράσθη πάλιν ἐφρά[σ]θη· οὐ δὲ ἐφράσθη.

Ἐφράσθη ἐκεῖνος ἐφρά[σ]θ' ὅτι οὐδὲ ἐφράσω.
Ἐφράσθη ἐκεῖνος ἐφρά[σ]θ' ὅτι οὐδὲ σὺ μανθάνεις·
οὐ σὺ δὲ ἐφράσω, ἐφρά[σ]θη·
Ἐφράσθη πάλιν ἐφρά[σ]θη· οὐ δὲ ἐφράσθη.

Ἐφράσθη ἐκεῖνος ἐφρά[σ]θ' ὅτι οὐδὲ ἐφράσω.
Ἐφράσθη ἐκεῖνος ἐφρά[σ]θ' ὅτι οὐδὲ σὺ μανθάνεις·
οὐ σὺ δὲ ἐφράσω, ἐφρά[σ]θη·
Ἐφράσθη πάλιν ἐφρά[σ]θη· οὐ δὲ ἐφράσθη.

Τὸ κ μετὰ τοῦ ε.

Κερκωπίζειν [1]· *ἀντὶ τοῦ ἀπατᾶν καὶ δολιεύεσθαι· μετήνεκται δὲ ἀπὸ τῶν κερκώπων.*

Κέντει [2] *τὸν πῶλον περὶ τὴν νύσσαν, ἤτοι πρὸς τὸ προκείμενον ἐπάνηκε· νύσσα γάρ ἐστιν ὁ καμπτὸς, καθ' ὃν οἱ ἱππεῖς δρόμῳ φθάνοντες ἔκαμπτον· καὶ εἰς τὴν ὕσπληγγα* [3] *ἐπανήρχοντο, ὁ δὲ πρῶτος φθάσας ἐταινιοῦτο.*

Κενταύρων [4] *ὕβριν μεμίμηται· ἐπὶ τῶν πλούτῳ γαυριώντων καὶ ὑβριζόντων.*

Κεκύλισται [5] *ὁ πίθος· ἐπὶ τῶν κατὰ μίμησιν ἑτέρων μάτην τι ποιούντων.*

Κενοὶ [6] *κενὰ βουλεύονται· ἐπὶ τῶν ματαίως βουλευομένων.*

κακά. — *Καθ' ὕδατος γράφει· ἐπὶ τῶν ἀνύνητα πονούντων.* — *Κάθιζε ἐπὶ κώπην· παρεγγυᾷ ἐνεργὸν εἶναι.* — *Κατὰ ποδὸς βάσιν· ἐπὶ τῶν κατὰ μικρόν τι πραττόντων.* — *Καὶ ἀσχολίας ὑπέρτερον· ἐπὶ τῶν τἄλλα μὲν παραιτουμένων, ἓν δέ τι προκρινόντων* (Pind. Istm. I. 2.). — *Κἂν τοῖς λειψάνοις ἔνεστιν εὐωχία· ὅτι καὶ τὸ μικρὸν ἀντάξιον μείζονος.* — *Κακὸν ἐπὶ κακῷ* (Cod. ἐπὶ κακὸν, superscripto ῷ). — *Κάμηλον ἐπὶ κάμηλον· ἐπὶ τῶν μεγάλοις μεγάλα προστιθέντων.* — *Κανθαρίδας ἐδήδοκας· ἐπὶ τῶν δυσωδες ἐχόντων στόμα καὶ κάκοσμον.* — *Καπνοῦ σκιὰν δεδοικέναι· ἐπὶ τῶν τὰ μηδενὸς ἄξια φοβουμένων.* — *Καὶ χειρὶ καὶ ποδὶ βοηθεῖ· ὁμοία τῇ πάντα κάλων σείειν.* — *Καὶ βοῦς ἀρότης γέγονα· καὶ ἐπὶ πολυμαθοῦς καὶ ἐπὶ πολλὰ πονήσαντος.* — *Κακὸν ἀναγκαῖον τὸ πείθεσθαι γαστρί· ἐπὶ τῶν ἐξ ἀνάγκης, καὶ οἷς οὐ χρὴ, πειθομένων.* — *Κακὸς μὲν κόρος, δεινὸν δὲ λιμός.* — *Κάριος αἶνος· ἐπὶ τῶν ἀπορούντων τι διαπράξασθαι· ἁλιέα γάρ φασι τροφῆς ἀποροῦντα χειμῶνος, εἰπεῖν· κολυμβήσω, ἀλλὰ ῥιγήσω· μὴ κολυμβήσω, ἀλλὰ πεινάσω.* — *Κακῶν ἐόντων δεῖ κύμινα πριστεῖν· ὅτι δεῖ τὸν ἐν κακοῖς ὄντα ἀκριβολογεῖσθαι.* — *Κακὸν κακῷ ἔπεται.*

1) Apost. Cent. XI. 24.

2) Apost. Cent. XI. 25.

3) Mosc. *ὕσπληγκα.*

4) Apost. Cent. XI. 53. et Laur. rem multis exponunt. Lucian. Jup. trag. c. 21. *τῆς Κενταύρων ὕβρεως καὶ παροινίας.* Theogn. 897. Welck. *Λειμαίνω μὴ τήνδε πόλιν, Πολυπαίδη, ὕβρις, ἥπερ Κενταύρους ὠμοφάγους, ὄλεσε.* Cfr. Böttiger. Pict. Vas. Fasc. III. p. 99. sqq.

5) Apost. Cent. XI. 54.

6) Apost. Cent. XI. 26. Ma-

Κενὰ [7] *τὰ τύχης· πρὸς ἀνεπιτηδείους.*

Κεστρεὺς [8] *νηστεύει· ἐπὶ τῶν λαιμάργων· ἄπληστον γὰρ τὸ ζῶον.*

Κέρδους [9] *ἕκητι κἂν ἐπὶ ῥιπὸς πλέοι.*

Τὸ $\overline{\kappa}$ *μετὰ τοῦ* $\overline{\iota}$. [10]

Κισσὸς [11] *μετ' ἀνθεστήρια· ἐπὶ βραδέων.*

Κιλικοὶ [12] *τράγοι· οἱ δασεῖς· ὅθεν καὶ τὰ ἐκ τριχῶν κιλίκια λέγεται.*

Κινεῖς [13] *τὸν ἀνάγυρον· ἐπὶ τῶν ἐπισπωμένων ἑαυτοῖς τὰ κακά· ἔστι δὲ ὁ ἀνάγυρος ἄνθος, ὃ τριβόμενον ὄζει· καὶ δῆμος τῆς Ἀττικῆς καὶ ὄνομα κύριον ἥρωος· τούτου δέ τις ἔκοψε τὸ ἄλσος· ὁ δὲ τῷ υἱῷ αὐτοῦ ἀπέμηνε τὴν παλλακήν, ἥ τις μὴ δυναμένη συμπεῖσαι τὸν παῖδα διέβαλεν ὡς ἀσελγῆ τῷ πατρί· ὁ δὲ ἐπήρωσεν αὐτὸν καὶ ἐγκατῳκοδόμησεν· ἐπὶ τούτοις καὶ ὁ πάτηρ ἑαυτὸν ἀνήρτησεν· ἡ δὲ παλλακὴ εἰς φρέαρ ἑαυτὴν ἔῤῥιψεν· ἱστορεῖ δὲ Ἱερώνυμος ἐν τῷ περὶ τραγῳδοποιῶν ἀπεικάζων τούτοις τὸν Εὐριπίδου Φοίνικα· ὅταν οὖν ἐπὶ οἰκείοις κακοῖς πράσσῃ τις, λέγεται κινήσεις τὸν Ἀνάγυρον.*

car. *κενὴν ψάλλεις· ἐπὶ τῶν μάτην πονούντων.*

7) Laur. om. Apogr. Dresd. *τῆς* omittit.

8) Apost. Cent. XI. 56.

9) Aristoph. Pac. 699. de Sophocle. Laur. om. Lucian. Hermotim. c. 28. *οὐδ' ἐς στενὸν κομιδῇ κατακλείειν τὴν ἐλπίδα, ἐπὶ ῥιπὸς, ὡς ἡ παροιμία φησὶ, τὸν Αἰγαῖον, ἢ τὸν Ἰόνιον διαπλεῦσαι θέλοντας.* Macar. *κέρδος αἰσχύνης ἄμεινον.*

10) Macar. habet. *Κηφῆνες μόχθους ἄλλων κατέδονται, ἐπὶ τῶν ἀργῶν καὶ τὰ ἀλλότρια δαπανώντων.*

11) Apost. Cent. XI. 38.

12) Apost. Cent. XI. 59. Sumtum ex Suida. Macar. *ἐπὶ τῶν δασυτάτων καὶ θρασυτάτων καὶ ἀγροίκων.*

13) Apost. Cent. XI. 41. Oribasius *ἰατρικῶν συναγωγῶν* lib. XI. ex Dioscoride ita refert. *Ἀνάγυρον, οἱ δὲ ἕλκυπον, θάμνος ἐστὶ τοῖς φύλλοις καὶ ταῖς ῥάβδοις προσεμφερὴς ἄγνῳ, δενδρώδης, βαρύοδμος ἰσχυρῶς· ἄνθη κράμβῃ ἐοικότα, καρπὸς εὐκερατίοις μικροῖς, τὸ σχῆμα νεφρῶν· ποικίλος, στερεὸς, σαθηρύνεται δὲ περὶ τὸν τῆς σταφυλῆς πεπασμόν.* Ita Cod. Mosquensis. Matth.

Κιχάνει τοι βραδὺς ὠκύν· ἐπὶ τῶν ἡττωμένων παρὰ τῶν ὑποδεεστέρων. Ὅμηρος [14].

Ὡς καὶ νῦν Ἥφαιστος, ἐὼν βραδύς, εἷλεν Ἄρηα,
Ὠκύτατόν περ ἐόντα θεῶν, οἳ Ὄλυμπον ἔχουσι,
Χωλὸς ἐὼν τέχνῃσι, τὸ καὶ μοιχάγρι᾽ ὀφέλλει.

Κίνδυνος [15] *ἡ ἐν πρώρᾳ σελίς· ἐκεῖ γὰρ οἱ πειραταὶ πρῶτον ἀναβαίνουσι μαχησόμενοι.*

Τὸ $\overline{\kappa}$ *μετὰ τοῦ* $\overline{\text{ο}}$.

Κόσμει [1] *Σπάρταν ἣν ἔλαχες· ἐπὶ τῶν κοσμούντων τὸ κληρονομιαῖον γήδιον· σπαρτίῳ γὰρ ἐκληροδοτοῦντο.*

Κόγχης ἄξιος· ἀντὶ τοῦ οὐδενὸς λόγου ἄξιος.

Κολακευτικώτερος πιθήκων [2].

Κοινὰ [3] *τὰ τῶν φίλων.*

Κοινὸς [4] *ὁ Ἑρμῆς.*

Κοσκίνῳ [5] *μαντεύεται· ἐπὶ τῶν εὐτελῶν μάντεων.*

14) Od. VIII. 329. Cfr. Theogn. 457. Welck.
Καὶ βραδὺς εὔβουλος εἷλεν ταχὺν ἄνδρα διώκων,
Κύρνε, σὺν εὐδείῃ θεῶν δίκῃ ἀθανάτων.
Aristid. *ὑπὲρ τῶν τεττ.* p. 259. *ὅταν ἐκπίπτῃ μὲν τοῦ ἅρματος ὁ ἡνίοχος, ἐν ᾧ πρόσθεν εἱστήκει βεβαίως — — ἰλιγγιᾷ δὲ ὁ κρείττων ὑπὸ τοῦ χείρονος, κιχάνῃ δὲ βραδὺς ὠκύν, πάντα δ᾽ ἄνω καὶ κάτω περιχωρῇ* etc.

15) Apost. Cent. XI. 43. *κινδυνώδης.* Macar. addit: *κλειτοριάζειν· ἐπὶ τῶν παιδεραστούντων. οἱ γὰρ Κλειτόριοι εἰς αὐτὸ διεβάλλοντο.*

1) Apost. Cent. XI. 49.

2) Cfr. Plut. de discrim. adul. p. 52. B. *ὁ μὲν γὰρ πίθηκος, ὡς ἔοικε, μιμεῖσθαι τὸν ἄνθρωπον ἐπιχειρῶν, ἁλίσκεται συγκινούμενος καὶ συνορχούμενος· ὁ δὲ κόλαξ αὐτὸς ἑτέρους ἐπάγεται καὶ παλεύει, μιμούμενος οὐχ ὁμοίως ἅπαντας, ἀλλὰ τῷ μὲν συνορχούμενος καὶ συνᾴδων, τῷ δὲ συμπαλαίων καὶ συγκονιούμενος.*

3) Apost. Cent. XI. 40. Macar. *κοινὰ τὰ φίλων.* Pythagoram sententiae autorem facit Timaeus apud Diog. Laërt. VIII. segm. 10. Cfr. Heind. ad Plat. Phaedr. fine.

4) *Οὐκοῦν τὸ προχειρότατον τοῦτο, κοινὸς Ἑρμᾶς, φασὶ καὶ εἰς μέσον κατατίθει φέρων τὸν πλοῦτον.* Lucian. Navig. c. 12.

5) Apost. Cent. XI. 41. Theocr. Id. III. 31. *εἶπε καὶ Ἀ-*

Κορυδέως [6] *εἰδεχθέστερος· ἐπὶ δυσμορφίᾳ οὗτος διεβάλλετο.*

Κολοφῶνα [7] *κακῶν ἐπέθηκας· ἤτοι τὸ τέλειον καὶ πλῆρες.*

Κουρήτων [8] *στόμα· ἐπὶ τῶν μαντεύεσθαι ὑπισχνουμένων, μαντικοὶ γὰρ οἱ Κουρῆτες.*

Κοινὸν [9] *ναυάγιον τοῖς πᾶσι παραμύθιον· ὅτι ῥᾳδίως φέρουσιν οἱ ἄνθρωποι τὰς συμφορὰς ὁρῶντες καὶ ἄλλους ταυτοπαθοῦντας.*

Κόκκος [10] *σίτου προὐξένισε θάνατον· ἐπὶ τῶν διὰ κέρδος εὐτελὲς μέγαν ὑφισταμένων κίνδυνον.*

Κουφότερος φελλοῦ· ἐπὶ τῶν εὐμεταβόλων.

Κόττου [11] *ἰσχυρότερος καὶ Βριάρεω· φασὶ περὶ τούτων ὡς ἔσχον ἑκατὸν χεῖρας, ἄνδρες ὄντες· πῶς δὲ οὐκ εὔηθες τὸ τοιοῦτον; τὸ δ' ἀληθὲς οὕτως ἔχει· τῇ πόλει ὄνομα ἦν ἑκατογχειρία* [12]*, ἐν ᾗ ᾤκουν· ἦν δὲ πόλις γροιὼ τἀλαθέα κοσκινόμαντις.* Josephus in Libro Memor. p. 72. T. XIV. Gall. haec vaticinandi genera enumerat: *διὰ κοσκίνου, διὰ λεκάνης μαγικῆς, διὰ ψυχοπομπίας.* De Coscinomantia oder vom Sieb-Lauffe scripsit diatriben curiosam Praetorius, Curiae Variscorum a. 1677. In Macar. *κοσκίνῳ ἀντλεῖς, ἐπὶ τῶν ἀνηνύτως καὶ μάτης πονούντων.* Id. *Κοσκίνου γῆρας· ἐπὶ τοῦ ἀχρήστου καὶ φαύλου.*

6) Apost. Cent. XI. 52. Mosc. *κορυδέος.*

7) Apost. Cent. XI. 53. Vide Heind. ad Plat. Theaet. p. 154. A. Macar. *κολοφῶνα ἐπέθηκεν· ἐπὶ τοῦ ἰσχυροῦ καὶ ἀδυνάτου. Κολοφώνιοι γὰρ σύνταγμα εἶχον πολεμικὸν, ὃ τοῖς δεομένοις ἐπικουρεῖν ἔπεμπον.* Id. *Κολοφωνία ὕβρις· ἐπὶ τῶν διὰ πλοῦτον ὑβριζειν ἐπαιρομένων. Κολοφώνιος χρυσός· ἐπὶ τῶν δοκιμωτάτων.*

8) Apost. Cent. XI. 54.

9) Apost. Cent. XI. 55. Heliod. I. 9. *μεγίστην ἡγούμενοι παραψυχὴν τὴν τῶν ὁμοίων ἀκοήν.* Vario modo expressam hanc sententiam exhibet Wyttenb. ad Plut. p. 106. B.

10) Apost. Cent. XI. 56.

11) Apost. Cent. XI. 57. Macar. *Κόττας μάξιμος· ἐπὶ τῶν ὑπὲρ τὸ δέον φρενηματιζομένων.*

12) Mosc. *ἑκατονταχειρία.* — Macario propria sunt: *Κορινθιάζειν· ἐπὶ τῶν πορνευομένων· ἀπὸ τῶν ἐν Κορίνθῳ ἑταιρῶν.* — *Κορωνητὸν σκορπίον· λείπει ἥρπασεν· ἐπὶ τῶν κακὰ σφίσιν αὐτοῖς ἐπαγομένων.* — *Κόπος ἵππον λύει· ἐπὶ τῶν ἄγαν κεκοπωμένων.* — *Κορίνθιον κακόν· ἴσως διὰ τὰς ἑταίρας.*

τῆς καλουμένης Ὀρεστιάδος· ἔλεγον οὖν οἱ ἄνθρωποι· Κόττος καὶ Βριάρεως οἱ ἑκατόγχειρες βοηθήσαντες τοῖς θεοῖς ἐξήλασαν τοὺς Τιτάνας ἐκ τοῦ Ὀλύμπου.

Τὸ κ μετὰ τοῦ ρ.

Κράτης [1] ἀπολύει τὰ Κράτητος, ἵνα μὴ τὰ Κράτητος κρατήσῃ τὸν Κράτητα· οὗτος γὰρ ἐκ Βοιωτίας ἕλκων τὸ γένος, φιλοσοφῆσαι θέλων τὴν κυνικὴν φιλοσοφίαν, λαβὼν τὰ ὑπάρχοντα αὐτοῦ, ἔῤῥιψεν τῷ δήμῳ, εἰπὼν τὸν παροιμιώδη τοῦτον λόγον.

Κρητὴρ τρίτος [2] Διὸς σωτῆρος· εἰώθασι γὰρ ἐν συμποσίοις οἱ παλαιοὶ κιρνᾶν κρατῆρα πρῶτον Ὀλυμπίῳ Διΐ, δεύτερον τοῖς ἥρωσι, τὸν δὲ τρίτον Διὸς σωτῆρος· Σοφοκλῆς τοῦτο μαρτυρεῖ ἐν ναυπλόῳ·

Ζεῦ παυσίλυπε καὶ Διὸς σωτηρίου σπονδαὶ τρίτου κρατῆρος.

Κρητίζειν [3]· ἐπὶ τοῦ ψεύδεσθαι· ἀπατητικοὶ γὰρ οἱ Κρῆτες.

Κρείσσων Ζώπυρος [4] ἑκατὸν Βαβυλώνων·

1) Apost. Cent. XI. 58. Idem in apophth. impr. sub Cratetis nomine refertur.

2) Plut. Charm. p. 167. A. πάλιν τοίνυν, ἦν δ' ἐγώ, τὸ τρίτον τῷ σωτῆρι ὥσπερ ἐξ ἀρχῆς ἐπισκεψώμεθα. Diod. Sic. IV. 2. τῆς δὲ κατὰ τὸν οἶνον εὑρέσεως καὶ δωρεᾶς κεχαρισμένης τοῖς ἀνθρώποις — — φασὶν ἐπὶ τῶν δείπνων, ὅταν ἄκρατος οἶνος ἐπιδιδῶται, προσεπιλέγειν ἀγαθοῦ δαίμονος, ὅταν δὲ μετὰ τὸ δεῖπνον διδῶται κεκραμένος ὕδατι, Διὸς σωτῆρος ἐπιφωνεῖν.

3) Apost. Cent. XI. 59. notus Epimenidis versus apud Paulum Ep. ad Tit. I. 12. Κρῆτες ἀεὶ ψεῦσται, κακὰ θηρία, γαστέρες ἀργαὶ, ad quem respexit Callim. H. in Jov. 8. Κρῆτες· ἀεὶ ψεῦσται, καὶ γάρ τάφον, ὦ ἄνα, σεῖο Κρῆτες ἐτεκτήναντο, ubi intt. Eustath. p. 741. εἰσὶ βλασφημίαι καὶ ἀπὸ ἐθνῶν καὶ πόλεων καὶ δήμων πολλαὶ, ῥηματικῶς πεποιημέναι· ἐθνῶν μὲν, οἷον κιλικίζειν καὶ αἰγυπτιάζειν, τὸ πονηρεύεσθαι, καὶ κρητίζειν τὸ ψεύδεσθαι. Plut. Aemil. Paul. c. 26. ὁ δὲ κρητισμῷ χρησάμενος, τὰ μὲν χρήματα νύκτωρ ἀνέλαβεν κ. τ. λ. Macar. κρητίζει ὁ κριτὴς· ἐπὶ τῶν ἐν τῷ κρίνειν ψευδομένων. Ib. Κρὴς πρὸς Αἰγινίτην (sic)· ἐπὶ τοῦ ὁμοίου κατὰ τὴν πανουργίαν.

4) Apost. Cent. XI. 61.

ἐπεὶ καὶ αὐτὸς ἑαυτὸν αἰκισάμενος ὁ Ζώπυρος καὶ τὴν ῥῖνα καὶ τὰ ὦτα περικόψας, ἐξηπάτησε Βαβυλωνίους, καὶ πιστευθεὶς παρ᾽ αὐτῶν παρέδωκε Δαρείῳ τὴν πόλιν· πολλάκις οὖν ὁ Δαρεῖος εἶπεν, οὐκ ἂν ἐθελήσαιμι λαβεῖν ἑκατὸν Βαβυλῶνας ἐπὶ τῷ μὴ Ζώπυρον ἔχειν ὁλόκληρον.

Κριὸς τροφεῖα ἀπέτισεν [5]· *ἐπὶ τῶν ἀχαρίστων· οἱ γὰρ κριοὶ τὰς φάτνας πλήττουσι καὶ τοὺς τρέφοντας.*

Κρίνει φίλους ὁ καιρὸς, ὡς χρυσὸν τὸ πῦρ.

Κρεῖσσον τὸ δοκεῖν κἄν ἀληθείας ἀπῇ.

Κρεῖσσον [6] *ὀλίγον φωτίζεσθαι, ἢ παντελῶς σκοτίζεσθαι.*

Τὸ $\overline{\kappa}$ *μετὰ τοῦ* $\overline{\nu}$.

Κύκνειον ἆσμα [1]· *ἐπὶ τῶν ἐγγὺς θανάτου ὄντων· οἱ γὰρ κύκνοι θνήσκοντες ᾄδουσιν.*

5) Apost. Cent. XI. 60. Macar. *Κριὸς τὰ τροφεῖα· ἐπὶ τῶν ἀχαρίστων, ἐπειδὴ τοὺς τρέφοντας ἐνίοτε κυρίττουσιν οἱ κριοί.*

6) Apost. Cent. XI. 62. Macar. addit: *Κράμβην ἀλείφειν· ἐπὶ τοῦ μικρολόγου καὶ φειδωλοῦ. Κρότωνος ὑγιεινότερος· ἐπὶ τῶν πάνυ ἐῤῥωμένων καὶ ἰσχυρῶν.* De Crotone, Milonis patria, palaestrae studiis insigni, vide O. Mueller. Dor. II. p. 308.

1) Apost. Cent. XI. 64. Macar. *κύκνειον μέλος, ἐπὶ τῶν τὰς τελευταίας φωνὰς ἀφιέντων.* Pausan. I. 30, 3. *ἔστι δὲ κύκνῳ τῷ ὄρνιθι μουσικῆς δόξα, ὅτι Λιγύων τῶν Ἠριδανοῦ πέραν ὑπὲρ γῆς τῆς Κελτικῆς Κύκνον ἄνδρα μουσικὸν γενέσθαι βασιλέα φασὶ, τελευτήσαντα δὲ Ἀπόλλωνος γνώμῃ* (Angel. *γνώμην*) *μεταβαλεῖν λέγουσιν αὐτὸν ἐς τὸν ὄρνιθα· ἐγὼ δὲ βασιλεῦσαι μὲν πείθομαι Λίγυσιν ἄνδρα μουσικὸν, γενέσθαι δέ μοι ἄπιστον ὄρνιθα ἀπ᾽ ἀνδρός.* Aelian. V. H. I. 14. de cygnis: *ὅτι δέ εἰσι φιλῳδοὶ, τοῦτο μὲν ἤδη καὶ τεθρύλληται. Ἐγὼ δὲ ᾄδοντος κύκνου οὐκ ἤκουσα, ἴσως δὲ οὐδὲ ἄλλος. Πεπίστευται οὖν, ὅτι ᾄδει, καὶ λέγουσί γε, αὐτὸν μάλιστα ἐκεῖνον εἶναι τὸν χρόνον εὐφωνότατόν τε καὶ ᾠδικώτατον, ὅταν ᾖ περὶ τὴν καταστροφὴν τοῦ βίου.* Plut. Symp. VII. p. 161. C. *ἐξᾷσαι δὲ καὶ τῷ βίῳ τελευτῶν, καὶ μὴ γενέσθαι κατὰ τοῦτο τῶν κύκνων ἀγεννέστερος,* ubi Wyttenb. Synes. Dion. p. 54. A. (ed. Petav.) *καὶ γὰρ εἰ μὴ τεθήπαμεν καὶ ἀκούοντες τῆς ᾠδῆς· καὶ ἐμοῦ γε ἕνεκα μηδείς ποτε κύκνος τὸ ἔσχατον ᾄσειεν.* Alia vide apud interpp. Musei Capitol. Tom. III. Tab. 15.

Κυπαρίττου [2] *καρπός· ἐπὶ τῶν καλὰ καὶ ὑψηλὰ λεγόντων, ἄκαρπα δέ.*

Κύκλωπος δωρεά· ἀντὶ τοῦ ἀνωφελής.

Κυνόσαργες [3]*· ὁ τόπος, ἐν ᾧ οἱ νόθοι ἐξεκρίνοντο· Κύνα γάρ τινα λέγεται ἁρπάσαντα τοῦ θυομένου τὰ μηρία, αὐτοῦ καταθεῖναι, καὶ ἐπερωτήσαντας* [4] *τοὺς θεοὺς λαβεῖν χρησμὸν Ἡρακλέους ἱδρύσαι ἐκεῖ ἄγαλμα· ἐξ οὗ καὶ τοὺς νόθους συντελεῖν, ὅτι καὶ Ἡρακλῆς νόθος ὢν, ἴσα θεοῖς ἐτιμήθη· λέγεται ἡ παροιμία ἐπὶ τῶν νόθων.*

Κύων τεῦτλα οὐκ ἐσθίει.

Κύων [5] *εἰς τὸν ἴδιον ἔμετον· ἐπὶ τῶν ἀπὸ τῶν ἀγαθῶν εἰς τὰ κακὰ ἐπανακαμπτόντων.*

Κυνὶ δίδως [6] *ἄχυρα, ὄνῳ δ' ὀστέα· ἐπὶ τῶν ταναντία ποιούντων.*

Τὸ κ μετὰ τοῦ ω.

Κωφότερος κίχλης [7]*· παρόσον ἄφωνον τὸ ζῶον.*

Κωφὸν [8] *γὰρ βέλος ἀνδρὸς ἀναλκιδος οὐτιδανοῖο.*

2) Apost. Cent. XI. 65.
3) Apost. Cent. XI. 66.
4) Apost. *ἐπερωτήσαντα.*
5) Apost. Cent. XI. 67.
6) Apost. Cent. XI. 68. Macar. addit: *Κύων σπεύδουσα τυφλὰ τίκτει· ἐπὶ τῶν διὰ σπουδὴν ἁμαρτανόντων. — Κύων ἐν φάτνῃ· ἐπὶ τῶν μήτ' ἀπολαυόντων, μήτ' ἄλλους ἐώντων. — Κύων ἐν ῥόδοις· ἐπὶ τῶν μείζοσιν ἢ καθ' ἑαυτοὺς διαιτωμένων. — Κύων κυνὸς οὐχ ἅπτεται· ἐπὶ τῶν* (Cod. *τῶν* om.) *τοὺς ὁμοίους φυλαττομένων. — Κυνὸς οὖς· ἐπὶ τῶν ῥᾳθύμως ἀκουόντων. — Κυνικὸς θάνατος· ἐπὶ τοῦ χαλεποῦ· παρόσον οἱ κύνες οὐ θάπτονται. — Κύων παρ' ἑτέροις· ἐπὶ τῶν μὴ δυναμένων ἀπολαύειν τῶν παρόντων· ἄχρηστα γὰρ ταῦτα καὶ δύσβρωτα καὶ δυσκατάποτα τῷ κυνί. — Κυλλοῦ πήρα· ἐπὶ τῶν μὴ δυναμένων, ὧν ἔχουσιν, ἀπολαύειν. — Κύματα μετρεῖ· ἐπὶ τῶν ἀνωφελῶς τι διαπραττομένων. — Κύκλωπος βίος· καὶ ἐπὶ ἀγρίου καὶ ἐπὶ ἑτοίμου.*
7) Apost. Cent. XI. 69. Macar. *κωφότερος καὶ ἀφωνότερος κίχλης.*
8) Il. *Λ.* 390.

Περὶ τῶν ἐννέα Μουσῶν,

καὶ ποίας τέχνης ἑκάστη ἐπικρατεῖ, καὶ τίς ἀκριβέστερον ἑκάστῃ τέχνῃ ἐχρήσατο.

Κλειὼ, ἱστορίας. Ἡρόδοτος.
Θαλεία, κωμῳδίας. Μένανδρος.
Μελπομένη, τραγῳδίας. Εὐριπίδης.
Εὐτέρπη, αὐλῶν. Στησίχορος.
Τερψιχόρη, λύρας. Πίνδαρος.
Ἐρατὼ, κυμβάλων. Ἑρμῆς.
Καλλιόπη, ποιήσεως. Ὅμηρος.
Οὐρανία, ἀστρονομίας. Ἄρατος.
Πολύμνια, γεωμετρίας. Εὐκλείδης.

ΑΠΟΦΘΕΓΜΑΤΑ.

Καρνεάδου.

Καρνεάδης [1], *Ἐπικώμου ἢ Φιλοκώμου, Κυρηναῖος, μαθὼν, Ἀντίπατρον φάρμακον πιόντα ἀποθανεῖν, παρωρμήθη πρὸς τὸ εὐθαρσὲς τῆς ἀπαλλαγῆς, καί φησι, δότε οὖν κἀμοί· τῶν δὲ εἰπόντων, τί, οἰνόμελι, εἶπεν* [2]· *τελευτῶντος δὲ αὐτοῦ φασιν ἔκλειψιν γενέσθαι σελήνης* [3].

Ὁ αὐτὸς [4] *Μέντορος τοῦ Βιθυνοῦ μαθητοῦ ὄντος καὶ παρ᾽ αὐτὸν ἐλθόντος εἰς τὴν διατριβὴν καὶ τὴν παλλακὴν αὐτοῦ πειρῶντος παρῴδησε μεταξὺ λέγων εἰς αὐτὸν, καθάπερ φησὶ Φαβωρῖνος ἐν παντοδαπῇ ἱστορίᾳ·*

Πωλεῖταί τις δεῦρο γέρων, ἅλιος, νημερτὴς,
Μέντορι εἰδόμενος ἠμὲν δέμας, ἠδὲ καὶ αἰδήν·
Τοῦτον σχολῆς τῆσδε ἐκκεκηρύχθαι λέγω.

Καὶ ὃς ἀνασιὰς,

1) Diog. Laërt. IV. segm. 64.
2) Mosc. et *εἶπεν* et *εἶπεῖν* habet. Matth. Laur. *εἰπεῖν.*
3) *τῆς σελήνης;* impress.
4) Segm. 65.

Οἱ μὲν ἐκήρυσσον, τοί [5] *δ' ἠγείροντο μάλ' ὦκα.*

Ὁ αὐτὸς ἔλεγε [6]*, τὴν διαλεκτικὴν πολύποδι ἐοικέναι, καὶ γὰρ ἐκεῖνον αὐξηθείσας τὰς πλεκτάνας κατεσθίειν καὶ τούτους προϊούσης τῆς δυνάμεως καὶ τὰ σφέτερα ἀνατρέπειν.*

Κ ά τ ω ν ο ς.

Κάτων [7] *τῆς πολυτελείας καθαπτόμενος εἶπεν, ὡς χαλεπόν ἐστι λέγειν πρὸς γαστέρα ὦτα μὴ ἔχουσαν.*

Ὁ αὐτὸς ἰδὼν μειράκιον ἐρυθριάσαν ἔφη, θαῤῥεῖ, τοιοῦτον γὰρ ἔχει ἡ ἀρετὴ τὸ χρῶμα.

Ὁ αὐτὸς εἶπεν, οἱ πολλοὶ τῶν ἀνθρώπων πρὸς μὲν τὰς τιμωρίας ἑτοιμοτέρως ἔχουσι, πρὸς δὲ τὰς εὐεργεσίας καὶ φιλίας ὑπτίως.

Ὁ αὐτὸς τοὺς σπουδάζοντας ἐν τοῖς γελοίοις ἔλεγεν ἐν τοῖς σπουδαίοις γίνεσθαι καταγελάστους.

Ὁ αὐτὸς ἥκιστα φθονεῖσθαι ἔλεγε τοὺς τῇ τύχῃ χρωμένους ἐπιεικῶς καὶ μετρίως, οὐ γὰρ ἡμῖν, ἀλλὰ τοῖς περὶ ἡμᾶς φθονοῦσιν.

Κ λ ε ά ν θ ο υ ς.

Κλεάνθης, Φανίου, Ἄσιος, ἐρωτώμενος, διατί παρὰ τοῖς ἀρχαίοις οὐ πολλῶν φιλοσοφησάντων ὅμως πλείους διέλαμψαν, ἢ νῦν, ὅτι, εἶπε, τότε μὲν ἔργον ἠσκεῖτο, νῦν δὲ λόγος.

Ὁ αὐτὸς ἐρωτώμενος, πῶς ἄν τις εἴη πλούσιος, εἶπεν, εἰ τῶν ἐπιθυμιῶν εἴη πένης.

Ὁ αὐτὸς [8] *ὀνειδιζόμενος ὑπό τινος ὡς δειλὸς εἶπε, διὰ τοῦτο καὶ ὀλίγα ἁμαρτάνω.*

Ὁ αὐτὸς [9] *ὀνειδίσαντος αὐτῷ τινος εἰς τὸ γῆρας·*

5) Mosc. *οἱ δ' ἠγείροντο.*

6) Impr. et Laur. *τὴν διαλεκτικὴν ἔλεγε.*

7) Plut. Cat. Maj. c. 8. Ad sq. apophth. cfr. ibid. c. 9. *τῶν δὲ νέων, ἔφη, χαίρειν τοῖς ἐρυθριῶσι μᾶλλον, ἢ τοῖς ὠχριῶσι.*

8) Diog. Laërt. VII. segm. 171.

9) Recepi ex Laur. et impr. — segm. 174.

κἀγὼ, ἔφη, ἀπιέναι βούλομαι, ὅταν δὲ πανταχόθεν ἐμαυτὸν ὑγιαίνοντα περινοῶ [10] καὶ γράφοντα καὶ ἀναγινώσκοντα, πάλιν μένω.

Ὁ αὐτὸς [11] πολλάκις ἐπέπληττεν ἑαυτῷ· ὧν ἀκούσας Ἀρίστων, τίνι, ἔφη, ἐπιπλήττεις; καὶ ὃς γελάσας, πρεσβύτῃ, φησὶ, πολιὰς μὲν ἔχοντι, νοῦν δὲ μή.

Ὁ αὐτὸς ἔφη [12], Κλεάνθης Κλεάνθην ἄλλον δύναιτ' ἂν τρέφειν, εἰ βούλοιτο, οἱ δὲ ἔχοντες, ὅθεν τρέφονται, παρ' ἑτέρων ἐπιζητοῦσι τὰ ἐπιτήδεια, καίπερ ἀνειμένως φιλοσοφοῦντες.

Ὁ αὐτὸς τοὺς ἀπαιδεύτους ἔλεγε μόνῃ τῇ μορφῇ τῶν θηρίων διαφέρειν.

Ὁ αὐτὸς [13] Λάκωνός τινος εἰπόντος, ὅτι ὁ πόνος ἀγαθὸν, διαχυθεὶς ἔφη, αἵματος εἷς ἀγαθοῖο φίλον τέκος.

Ὁ αὐτός ποτε [14] μειρακίῳ διαλεγόμενος ἐπύθετο, εἰ αἰσθάνεται· τοῦ δὲ ἐπινεύσαντος, διατί οὖν, εἶπεν, ἐγὼ οὐκ αἰσθάνομαι, ὅτι αἰσθάνῃ.

Κλεάνθους φάσκοντος [15], κατὰ Ζήνωνα καταληπτὸν εἶναι τὸ ἦθος ἐξ εἴδους, νεανίσκους λέγεταί τινας εὐτραπέλους ἀγαγεῖν πρὸς ἑαυτὸν, κίναιδον ἐσκληραγωγημένον ἐν ἀγορᾷ, καὶ ἀξιοῦν ἀποφαίνεσθαι περὶ τοῦ ἤθους· τὸν δὲ ἀπορούμενον κελεῦσαι ἀπιέναι τὸν ἄνθρωπον· ὡς δ' ἀπιὼν ἐκεῖνος ἔπταρεν, ἔχω, εἶπεν, αὐτὸν, ὁ Κλεάνθης μαλακός ἐστιν.

Κλεοβούλου.

Κλεόβουλος [1], Εὐαγόρου, Λίνδιος, τάδε ἔφη· εὖ τὸ σῶμα ἀσκεῖν· φιλήκοον εἶναι μᾶλλον ἢ φιλόλαλον· φιλομαθῆ μᾶλλον ἢ ἀμαθῆ· γλῶσσαν εὔφημον ἴσχειν· ἀρετῆς

10) Laur. et impr. *περὶ νοῦν.*
11) Segm. 171.
12) In Laur. solo exstat. — Segm. 170. *Κλεάνθης* Laur. om.
13) Segm. 172.
14) Recepi ex Laur. et impr.
15) Segm. 173. Laur. *φάσκοντος αὐτοῦ.*
1) Diog. Laërt. I. segm. 92.

οἰκεῖον εἶναι, κακίας ἀλλότριον· ἀδικίαν φεύγειν· πόλει τὰ βέλτιστα συμβουλεύειν· ἡδονῆς κρατεῖν [2]· τέκνα παιδεύειν· ἔχθραν διαλύειν, γυναικὶ μὴ φιλοφρονεῖσθαι, μηδὲ μάχεσθαι, ἀλλοτρίων παρόντων, τὸ μὲν γὰρ ἄνοιαν, τὸ τὲ μανίαν σημαίνειν· οἰκέτην πάροινον μὴ κολάζειν, δοκεῖν γὰρ παροινεῖν· γαμεῖν ἐκ τῶν ὁμοίων, ἂν γὰρ ἐκ τῶν κρειττόνων λάβῃς, φησὶ, δεσπότας κτήσῃ τοὺς συγγενέας· μὴ ἐπιγελᾶν τοῖς σκωπτομένοις, ἀπεχθήσεσθαι γὰρ τούτοις· εὐτυχῶν μὴ ἴσθι ὑπερήφανος, ἀπορήσας μὴ ταπεινοῦ· τὰς μεταβολὰς τῆς τύχης γενναίως φέρειν ἐπίστασο· ὅταν [3] τις ἐξίῃ τῆς οἰκίας, ζητείτω πρότερον, τί μέλλει πράττειν, ὅταν εἰσέλθῃ πάλιν, ζητείτω τί ἔπραξεν. Ἐτελεύτησε δὲ βιοὺς ἔτη ἑβδομήκοντα καὶ ἀπεφθέγξατο, μέτρον ἄριστον.

Ὁ αὐτὸς [4] ἔφη δεῖν συνοικίζειν ἀνδράσι τὰς ἑαυτῶν θυγατέρας, τὴν μὲν ἡλικίαν παρθένους, τὸ δὲ φρονεῖν γυναῖκας.

Ὁ αὐτὸς [5] ἐρωτηθεὶς ὑπό τινος [6], τίνα δεῖ μάλιστα φυλάττεσθαι, εἶπε, τῶν μὲν φίλων τὸν φθόνον, τῶν δὲ ἐχθρῶν τὴν ἐπιβουλήν.

Κ λ ε ο σ τ ρ ά τ ο υ.

Κλεόστρατος πρὸς τὸν εἰπόντα αὐτῷ, οὐκ αἰσχύνῃ μεθύων ἔφη, σὺ δὲ οὐκ αἰσχύνῃ μεθύοντα νουθετῶν.

Κλύτιος [7] ἀδελφὸς Πριάμου· Καλήτωρ δὲ ἀνεψιὸς Ἕκτορος· ἔστι δὲ καὶ ἕτερος Κλύτιος ὁμώνυμος καὶ δόλιφπα (sic) Κλιτίδην.

2) Apud Diog. sequitur: βία μηδὲν πράττειν.

3) Laur. ἐπίστασο φέρειν. sqq. ὅταν τις ἐξίῃ — — ζητείτω τί ἔπραξεν Diogenes non habet.

4) Segm. 91.

5) Segm. 91. ἔλεγέ τε τὸν φίλον δεῖν εὐεργετεῖν, ὅπως ᾖ μᾶλλον φίλος· τὸν δὲ ἐχθρὸν φίλον ποιεῖν· φυλάσσεσθαι γὰρ τῶν μὲν φίλων etc.

6) ὑπό τινος impress. om.

7) Abest ab impress. et Laur.

* Κ ί μ ω ν ο ς.

Κίμων στρατηγὸς Ἀθηναίων· τούτου τοὺς Μήδους νικήσαντος κατὰ γῆν καὶ κατὰ θάλασσαν ὁ δῆμος τῶν Ἀθηναίων ἐκ τῶν λαφύρων, ὧν εἰλήφει, τὴν δεκάτην ἐξελόμενος ἀνέθηκε τῷ θεῷ, καὶ τὴν ἐπιγραφὴν ἐπὶ τὸ κατασκευασθὲν ἀνάθημα ἐπέγραψε τήνδε·

Ἐξ οὗ γ' Εὐρώπην Ἀσίας δίχα πόντος ἔκρινε,
Καὶ πόλιας θνητῶν θοῦρος Ἄρης ἐφέπει,
Οὐδενί πω κάλλιον ἐπιχθονίων γένετ' ἀνδρῶν
Ἔργον ἐν ἠπείρῳ καὶ κατὰ πόντον ὁμοῦ.
Οἵδε γὰρ ἐν Κύπρῳ Μήδους πολλοὺς ὀλέσαντες,
Φοινίκων ἑκατὸν ναῦς ἕλον ἐν πελάγει.
Ἀνδρῶν πληθούσας· μέγα δ' ἔστενεν Ἀσὶς ὑπ' αὐτῶν
Πληγεῖσ' ἀμφοτέραις χερσὶ κράτει πολέμου [8].

* Κ λ ε ο μ έ ν ο υ ς.

Κλεομένης πρὸς τὸν ὑπισχνούμενον αὐτῷ δώσειν ἀλεκτρυόνας, ἀποθνήσκοντας ἐν τῷ μάχεσθαι, καὶ σύ γε, εἶπεν, ἀλλὰ δός μοι τοὺς κατακτείνοντας ἐν τῷ μάχεσθαι.

* Κ ό τ υ ο ς.

Κότυς φύσει ὀξὺς ὢν εἰς ὀργὴν καὶ πικρὸς τῶν ἁμαρτανόντων ἐν ταῖς διακονίαις κολαστὴς, σκεύη ποτὲ κεράμεα κομίσαντος ξένου εὔθραυστα καὶ λεπτὰ, πιθανῶς δὲ καὶ περιττῶς εἰργασμένα γλυφαῖς τισι καὶ τορείαις, τῷ μὲν ξένῳ ἔδωκε δῶρα, τὰ δὲ σκεύη πάντα συνέτριψεν, ὅπως, εἶπε, μὴ δι' ὀργὴν πικρότερον κολάζω τοὺς συντρίβοντας.

Ὁ αὐτὸς τῷ δωρησαμένῳ πάρδαλιν ἀντεδωρήσατο λέοντα.

8) Sequitur in impr. *Κλαυδιανοῦ ἐκ τῆς γιγαντομαχίας. Κύπρις δ' αὖτε βέλος φέρετ οὐχ ὅπλον* etc. etc.

* *Κ ρ ά ν τ ω ν ο ς.*

Κράντων ἔφη, οὐκ ἔστι πενίας οὐδὲν ἀθλιώτερον ἐν τῷ βίῳ σύμπτωμα, καὶ γὰρ ἂν φύσει σπουδαῖος ᾖς, πένης δὲ, κατάγελως ἔσῃ.

* *Κ ρ ά τ η τ ο ς.*

Κράτης τὰ τῶν πλουσίων καὶ ἀσώτων χρήματα ταῖς ἐπὶ τῶν κρημνῶν συκαῖς εἴκαζεν, ἀφ᾽ ὧν ἄνθρωπον μηδὲν λαμβάνειν, κόρακας δὲ καὶ ἰκτίνους, ὥσπερ παρὰ τούτων ἑταίρας καὶ κόλακας [9].

Ἀ ρ χ ὴ τ ο ῦ λ̄ σ τ ο ι χ ε ί ο υ.

Τὸ λ̄ μετὰ τοῦ ᾱ.

Λάβρακας [1] *Μιλησίους· ἐπὶ τῶν λαιμάργων· ἔστι δὲ ὁ λάβραξ εἶδος ἰχθύος· τὴν δὲ προσηγορίαν πεποίηται, διότι κέχηνεν αὐτοῦ τὸ στόμα, καὶ ἀθρόως καὶ λάβρως τὸ δέλεαρ καταπίνει· ὅθεν καὶ εὐχερῶς ἁλίσκεται· ἐν Μιλήτῳ δὲ τῆς Ἀσίας μέγιστοι γίνονται λάβρακες καὶ πλεῖστοι διὰ τὴν ἐκδιδοῦσαν λίμνην εἰς θάλασσαν· χαίροντες γὰρ οἱ ἰχθύες τῷ γλυκεῖ ὕδατι εἰς τὴν λίμνην ἀνατρέχουσιν ἐκ τῆς θαλάττης καὶ οὕτω πληθύνουσι παρὰ Μιλησίοις.*

Λαγωὸς καθεύδων [2]*· ἐπὶ τῶν προσποιουμένων καθεύδειν, ἢ πανουργευομένων.*

9) Sequitur in impr., quod supra inter provv. relatum est.

1) Apost. Cent. XI. 70. Aristoph. Equ. 361. *ἀλλ᾽ οὐ λάβρακας καταφαγὼν Μιλησίους κλονήσεις.*

2) Apost. Cent. XI. 71. Macar. *λαγὼς καθεύδει· ἐπὶ τῶν προσποιουμένων.*

Λαγωὸς [3] τὴν περὶ τῶν κρεῶν τρέχει· δειλὸν τὸ ζῶον· ὅθεν καὶ Ῥηγῖνος λαγὼς ἐλέχθη, καὶ γὰρ τοὺς Ῥηγίνους ἐπὶ δειλίᾳ [4] ἐκωμῴδουν· λέγεται δὲ ἐπὶ τῶν διακινδυνευόντων ταῖς ψυχαῖς, καὶ πρὸς τοῦτο καρτερῶς ἀγωνιζομένων.

Λακωνικὸν [5] τρόπον περαίνειν ἢ παρέχειν ἑαυτὰς τοῖς ξένοις· ἥκιστα γὰρ τὰς γυναῖκας ἐφύλασσον οἱ Λάκωνες· καὶ λακωνίζειν τὸ παιδικοῖς χρῆσθαι.

Λακκόπλουτος [6] εἶ κατὰ τὸν Καλλίαν· οὕτως ἔλεγον Καλλίαν τὸν Ἀθηναῖον ἐξ αἰτίας τοιαύτης· Ξέρξην ἡττηθέντα ἐν τῇ Σαλαμῖνι ναυμαχίᾳ φυγεῖν ἐξ Ἀθηνῶν· ἐσταθμευκότος δέ τινος τῶν Περσῶν ἐν τοῖς Καλλίου καὶ τὴν ἀποσκευὴν ἐκεῖ καταλελοιπότος, τῶν δὲ βαρβάρων ὀξεῖαν τὴν φωνὴν ποιησαμένων, ἐμβαλεῖν τοὺς οἰκέτας τοῦ Πέρσου πολὺν χρυσὸν εἰς λάκκον, ἐλπίζοντας ὕστερον ἀνασώσειν ἐπανελθόντας· οὐ μὴν γενέσθαι λέγεται· πρότερον γὰρ κυριεῦσαι τῶν χρημάτων Καλλίαν.

Λαμίας [7] δυσμορφότερος· ταύτην ἐν τῇ Λιβύῃ Δοῦρις ἐν δευτέρᾳ Λιβυκῶν ἱστορεῖ, γυναῖκα καλὴν γενέσθαι· μιχθέντος δὲ αὐτῇ τοῦ Διὸς ὑφ᾽ Ἥρας ζηλο-

3) Apost. Cent. XI. 72. De lepore insidiis semper obnoxio, vide Hemsterh. ad Luc. Somn. c. 9. et Valkenar. ad Herod. p. 537. Wess. laudatos a Boettigero ad Amalth. I. p. 48.

4) Apogr. Dresd. δηλείᾳ.

5) Apost. Cent. XI. 73. Muliebri sexui apud Spartanos, omninoque Dorienses majorem in vestitu omnique vitae agendae ratione licentiam concessam fuisse, quam apud Athenienses, res nota: cfr. Boettiger nupt. Aldobrandin. p. 133. παρέχειν absolute, et παρέχειν ἑαυτὴν vox propria de concessis amoris illiciti donis (Lucian. ver. hist. c. 19. καὶ οἱ παῖδες δὲ παρέχουσι τοῖς βουλομένοις, οὐδὲν ἀντιλέγοντες. Dial. meretr. V. πάρεχε γοῦν, ὦ Λέαινα. Villois. ad Long. p. 193.), quae Alcibiadi praesertim Spartae contigisse testatur Athen. XII. p. 535. B. XIII. p. 574. D. Plut. Alcib. c. 23. Ages. c. 3. Similiter περαίνειν sensu obscoeno usurpatur, unde ambiguitas vocis περαντικὸς apud Aristoph. Equ. 1378.

6) Apost. Cent. XI. 74. Rem narrat Plut. Aristid. c. 5. Cfr. Bergl. ad Alciphr. I. 9.

7) Apost. Cent. XI. 75. Cfr. Krüger ad Dion. Hal. de Thuc. VI. 2.

τυπουμένην, ἃ ἔτικτεν, ἀπολλύναι· διόπερ ἀπὸ τῆς λύπης δύσμορφον γεγονέναι· καὶ τὰ τῶν ἄλλων παιδία ἀναρπάζουσαν διαφθείρειν· ἔστι δὲ καὶ πόλις Θεσσαλίας, ὅθεν ὁρμηθέντες οἱ Ἕλληνες μετὰ [8] τὸν Ἀλεξάνδρου θάνατον Ἀθηναίων ἡγουμένων τῆς ἐλευθερίας ἀντιποιησάμενοι τὸν Ἀντίπατρον ἐνίκησαν· Μένανδρος ἐν ἀνδρογύνῳ· πάσας γὰρ ἔφθειρεν ἐκ παρατάξεώς ποθεν τὰς ἐν Λαμίᾳ πάσας.

Λαρινοὶ [9] *βόες*· ἐπὶ τῶν εὐτραφῶν· ἀπὸ Λαρίνου βουκόλου, τοῦ ἐν Ἠπείρῳ κλέψαντος τὰς Ἡρακλέος βοῦς, ὡς Λύκος ὁ Ῥηγῖνος, ὅτε τὰς Γηριόνου βοῦς ἤλαυνε· Πρόξενος δὲ αὐτὸν τὸν Ἡρακλέα ἀνεῖναί τινας τῷ Δωδωναίῳ Διΐ· Ἀπολλόδωρος δὲ αὖ τοὺς εὐτραφεῖς λαρινοὺς καλεῖ· λαρινεύειν γὰρ τὸ σιτεύειν.

Λάρος κεχηνώς [10]· ἐπὶ τῶν ἁρπακτικῶν καὶ κλεπτῶν.

Λάρος ἐν ἕλεσι [11]· ἐπὶ τῶν ταχὺ ἀποδιδόντων.

Τὸ λ μετὰ τοῦ ε.

Λεβηρίδος [1] *γυμνότερος καὶ κινδάλου*· ἔστι δὲ λεβηρὶς τὸ δέρμα, ὃ ἀποδύεται ὁ ὄφις· ὁ δὲ κίνδαλος εἶδος ὀρνέου ἀσάρκου.

Λειβηθρίων [2] *ἀνοητότεροι*· Θουκυδίδης ταύ-

8) Mosc. *κατά*. Apost. *μετά*.

9) Apost. Cent. XI. 76. Aristoph. Pac. 920. *Λαρινῷ βοΐ*, ubi Interpp.

10) Apost. Cent. XI. 77. sumtum ex Aristoph. Eq. 956.
Λάρος κεχηνὼς ἐπὶ πέτρας δημηγορῶν,
quocum cfr. Nub. 591.
Ἦν Κλέωνα τὸν λάρον, δώρων ἑλόντες καὶ κλοπῆς etc.

11) Apost. Cent. XI. 78. Macar. addit: *Λάθε βιώσας*· *παρεγγυᾷ ἰδιοπραγμονεῖν*· *ἔστι δὲ Δημοκρίτου*. — *Λαγὼν κατὰ πόδας χρὴ διώκειν*· *ἐπὶ τῶν κατὰ τρόπον ὀφειλόντων γίνεσθαι*. — *Λαλίστερος χελιδόνων* (super *ων* scriptum *ος*) *καὶ λαλίστερος τρυγόνος*.

1) Apost. Cent. XI. 79. Eustath. Opusc. p. 135. l. 54. *ἐμὲ δὲ — — ἠλάττωσε, καὶ αὐτῆς, ὅ φασι, λεβηρίδος κενότερον ἀπετέλεσε, τοῖς ὅλοις ἀποστερήσας ἐμέ*.

2) Apost. Cent. XI. 80.

τῃ ἐχρήσατο, οἱ γὰρ Λειβήθριοι ἔθνος ἦν [3] μωρὸν, ἀπὸ τόπου Λείβηθρα καλουμένου, ἐν ᾧ κατῴκουν, οὕτω παρονομαζόμενον.

Λεωκόριον οἰκεῖς [4]· ἐπὶ τῶν λιμωττόντων· ἔστι δὲ τόπος τῆς Ἀττικῆς· ἐλίμωξέ ποτε ἡ Ἀττικὴ, καὶ λύσις ἦν τῶν δεινῶν παιδὸς σφαγή· Λεὼς οὖν τις τὰς ἑαυτοῦ θυγατέρας ἐπιδέδωκε, καὶ ἀπήλλαξε τοῦ λιμοῦ τὴν πόλιν, καὶ ἐκ τούτου ἐκλήθη ὁ τόπος Λεωκόριον· ὁ Λεὼς δὲ ἦν υἱὸς Ὀρφέως· οὗτος δ' ὁ Λεὼς ἔσχεν υἱὸν Φίλανθον [5]· ἦν δὲ τὰ ὀνόματα τῶν θυγατέρων τούτου, ἃς ὑπὲρ τῆς χώρας δέδωκεν εἰς σφαγὴν, Φρασιθέα, Θεόπη καὶ Εὐβούλη.

Λέοντα [6] ξυρεῖν ἢ κολωνὸν κυρίττειν· ἐπὶ τῶν μὴ πειθομένων περί τι, ἢ ματαιοπονούντων. Ἀριστείδης ἐν τῷ Παναθηναϊκῷ [7], ὥσθ' ὅρα, μὴ λέοντα ξυρεῖν ἐπιχειρῶμεν, οὐ Θρασύμαχον συκοφαντεῖν [8] ἐπιχειροῦντες, ἀλλὰ κωμῳδεῖν Περικλέα καὶ ταῦτα δειλίας [9].

Λεπτή [10] τις ἐλπίς ἐστ' ἐφ' ἧς ὀχούμεθα· ἐπὶ τῶν ἀμηχάνων.

3) De constructione οἱ *Λειβήθριοι ἔθνος ἦν μωρὸν* cfr. Aristoph. Nub. 246. *πρῶτον γὰρ θεοὶ ἡμῖν νόμισμ' οὐκ ἔστι.* Thesm. 21. *οἷόν τί που' ἐστιν αἱ σοφαὶ ξυνουσίαι.* Arrian. Hist. Ind. I. 1. *Νυσαῖοι δὲ οὐκ Ἰνδικὸν γένος ἐστὶν, ἀλλὰ τῶν ἅμα Διονύσῳ ἐλθόντων εἰς τὴν γῆν τῶν Ἰνδῶν.* Max. Tyr. Diss. XX. 7. *Καλλίαν μὲν ἐν Διονυσίοις ἐκωμῴδει Εὔπολις· ἰδιώτην ἄνδρα ἐν συμποσίοις κολακευόμενον, ὅπου τῆς κολακείας τὸ ἆθλον ἦν κύλικες καὶ ἑταῖραι, καὶ ἄλλαι ἀνδραποδώδεις ἡδοναί.* Cfr. Jacobs ad Ach. Tat. III. 13. p. 650. Contra Ach. T. VIII. 6. *ἡ σύριγξ αὐλοὶ μέν εἰσι πολλοί.*

4) Apost. Cent. XI. 84.

5) Apost. *Κύλανθος* et nomen primae filiae *Φασιθέα* habet.

6) Apost. Cent. XI. 85. *ξυρᾶν.* Apogr. Dresd. *ξηρεῖν.* Lucian. Cynicus c. 14. *καὶ οὐκ ἂν ὑπέμεινεν οὐδὲ εἷς αὐτῶν οὐδὲν μᾶλλον, ἢ τῶν λεόντων τις ξυρώμενος.* Macar. *ὅμοια τῇ· Αἰθίοπα ξύπτειν, καὶ εἰς ὕδωρ γράφειν.*

7) Aristidis locum, qui est *ὑπὲρ τῶν τεττ.* p. 143. Apost. non habet.

8) Respicit ad Platonem Pol. I. p. 341. C. *Οἴει γάρ ἄν με, εἶπον, οὕτω μανῆναι, ὥστε ξυρεῖν ἐπιχειρεῖν λέοντα καὶ συκοφαντεῖν Θρασύμαχον;*

9) Aristid. *εἰς δειλίαν.*

10) Apost. Cent. XI. 86. Ex Aristoph. Equ. 1244.

Λεπτὴν [11] *πλέκει· λεγόμενόν τι ἐπὶ τῶν πενήτων, οἷον ἀκριβῆ, στενὴν, ἀσθενῆ.*

Λέρνη [12] *θεατῶν καὶ Λέρνη κακῶν· ἀντὶ τοῦ μοχθηρὸν θέατρον· Κρατῖνος· οἱ μὲν διὰ τὴν ὕδραν, οἱ δὲ διὰ τὸ τοὺς Ἀργείους τὰ καθάρματα ἐκεῖ ἀποφέρειν, ὁ γὰρ Δαναὸς ἐν τῇ Λέρνῃ τὰς κεφαλὰς τῶν Αἰγυπτιάδων ἀπέθετο· καὶ ὡς εἰκὸς ἐφ' ὕβρει ἐκέλευσε τὰ δυσοιώνιστα ἐκεῖ ῥίπτειν· ἦν δὲ ἡ Λέρνη πηγή.*

Λεσβιάζειν [13]*· τὸ τῷ στόματι αἰσχρόν τι ποιεῖν· Θεόπομπος· ἵνα μὴ τὸ παλαιὸν τοῦτο καὶ θρυλλούμενον δι' ἡμετέρων στομάτων εἴπω σόφισμα, ὃ φασι παῖδας Λεσβίων εὑρεῖν.*

Λεσβίων ἀξία [14]*· ἐπὶ τῶν ἀπράκτων.*

Λέριοι κακοὶ, οὐχ ὁ μὲν, ὁ δ' οὔ· πάντες πλὴν Προκλέους, καὶ Προκλῆς Λέριος· ἐπὶ τῶν πονηρῶν καὶ κακοήθων.

Λευκὴ [15] *στάθμη λευκῷ λίθῳ· ἐπὶ τῶν τὰ ἄδηλα ἀδήλοις σημειουμένων ἢ ἐπὶ τῶν μηδὲν συνιέντων. Σοφοκλῆς.*

Τοῖς μὲν λόγοις σοῖσιν οὐ τεκμαίρομαι.

Λέσχη ἐγκάθη [16]*· ἐπὶ τῶν διαλεγομένων καὶ φιλοσοφούντων· τὸ γὰρ παλαιὸν αἱ κάθεδραι καὶ οἱ τόποι, ἐν οἷς εἰώθεσαν ἀθροιζόμενοι φιλοσοφεῖν, λέσχαι ἐκαλοῦντο· οὕτω φησὶ καὶ Ἱεροκλῆς ἐν πρώτῃ φιλοσοφουμένων.*

Λευκὴν μάζαν φυρῶσιν [17]*· ἐπὶ τῶν μεγάλα ὑπισχνουμένων.*

11) Apost. Cent. XI. 87.

12) Apost. Cent. XI. 88. Macar. *Λερναία χολή· ἐπὶ τῶν ὀργίλων καὶ τραχέων· ἀπὸ τῆς ὕδρας.*

13) Aristoph. Ran. 1308. *αὕτη ποθ' ἡ Μοῦσ' οὐκ ἐλεσβίαζεν, οὔ,* ubi Brunk.

14) Apost. Cent. XI. 89.

15) Apost. Cent. XI. 95. Cfr. Heind. ad Plat. Charmid. c. 5. p. 58.

16) Apost. Cent. XI. 90. Cfr. supra p. 24. *ἀηδόνες λέσχαις ἐγκαθήμεναι.*

17) Apost. Cent. XI. 91. Cfr. infra: *οὐδ' ὄναρ λευκοῦ ποτε ἄρτου ἐμφορηθείς.* Idem voca-

Λέων εὐθὺς εἰς ἀγῶνας· ἐπὶ τῶν ἀνδρείως ἀγωνιζομένων.

Τὸ λ μετὰ τοῦ η.

Λήμνιον κακόν [1]· *ἐκ γὰρ Ἀθηνῶν ἁρπάσαντες γυναῖκας οἱ Λήμνιοι ἐτεκνοποιήσαντο ἐξ αὐτῶν· αἱ δὲ τοὺς παῖδας τὴν πάτριον φωνὴν καὶ τὰ ἤθη ἐδίδαξαν, οἳ καὶ ἡβήσαντες συνήρχοντο ἀλλήλοις, καὶ φίλοι ἦσαν, καὶ τοὺς ἀδικοῦντας αὐτοὺς ἠμύναντο, καὶ εἴ τις ἔτυπτέ τινα αὐτῶν, ἐβοήθουν ἅπαντες, καὶ τέλος ἄρχοντας ἰδίους ποιήσαντες ἀπέστησαν, ἐφ' οἷς ἀγανακτήσαντες οἱ πατέρες αὐτούς τε καὶ τὰς μητέρας τὰς Ἀττικὰς ἀνεῖλον· μετὰ δὲ ταῦτα αἱ Λήμνιαι γυναῖκες ἀνεῖλον τοὺς ἑαυτῶν ἄνδρας πάντας, καὶ τοὺς σὺν Θόαντι ἅμα ταῖς τῶν Θρᾳκῶν γυναιξὶν, ὅτι αὐταῖς οὐ προσεῖχον ἐπὶ τῇ δυσωδίᾳ, ἣν Μύρσιλον* [2] *μὲν διὰ τὸν τῆς Μηδείας ἐπὶ Ὑψιπύλῃ ζῆλον κατασχεῖν. Καύκασος δέ φησιν, ὅτι ἔθος ἦν τοῖς Λημνίοις, κατ' ἔτος θύειν τῇ Ἀφροδίτῃ. Παριδόντες οὖν τὸ τοιοῦτον ἐτήσιον ἔθος σχεδὸν οὐ μνήμην ἐποίουν αὐτῆς, αὕτη δὲ ὀργισθεῖσα ἐπέβαλε ταῖς γυναιξὶν αὐτῶν δυσωδίαν, δι' ἣν οἱ ἄνδρες αὐτὰς ἀπεστρέφοντο· αἱ δὲ ὀργισθεῖσαι ἀνεῖλον τοὺς ἑαυτῶν ὁμευνέτας· μόνη δὲ ἡ Ὑψιπύλη ἔσωσε τὸν ἑαυτῆς ἄνδρα Θόαντα· διὰ ταῦτα οὖν καὶ ἡ παροιμία ἐδόθη· τὰ Λήμνια κακά.*

Λῆμνον βλέπεις [3]· *ἦγουν πυρῶδες· ἐπειδὴ τὸ Λήμνιον πῦρ ἀπὸ τοῦ Ἡφαίστου.*

batur *ἄρτος καθαρὸς*, qui erat cibus lautiorum hominum, cui oppositus erat, *ἄρτος λιτὸς, ξυπαρὸς*, Plut. de Virt. et Vit. p. 101. D. cum not. Wyttenb. *ἄρτος ἐξ ἀγορᾶς*, Alciphr. I. 21., ubi Bergl.

1) Apost. Cent. XI. 96. Macar. *Λήμνιον κακόν· ἐπὶ τῶν σφόδρα ὠμῶν καὶ Λήμνιον βλέπειν, τῇ πρὸ αὐτῆς ὁμοία.* Cfr. Herod. VI. 138. Boiss. Anecd. Tom. III. p. 177. *τὰ τῶν Λημνίων ἐκεῖνα καὶ τὰ τῆς Ἰλιάδος κακά.*

2) Mosc. *Μύρσιλος.*

3) Apost. Cent. XI. 99. *Λήμνιον.*

Τὸ λ μετὰ τοῦ ι.

Λίθον ἔψεις [4]· *ἐπὶ τῶν ἐπιχειρούντων τὰ ἀδύνατα ποιῆσαι.*

Λίαν φιλῶν ἑαυτὸν οὐχ ἕξεις φίλον.

Λιμὸν θόριξις λύει· ἤγουν ἡ μέθη.

Λιμὸς Μηλίων [5]· *ἐπὶ τῶν χαλεπῶν· ἐν γὰρ τοῖς Πελοποννησιακοῖς κατὰ πάντων Νικίαν πέμψαντες Ἀθηναῖοι ἐπὶ τοσοῦτον ἐπολιόρκησαν αὐτοὺς, ὥστε λιμῷ διαφθεῖραι· τῷ δὲ πρώτῳ ἔτει Νικίας Μῆλον παρεστήσατο, οὐ μόνον μηχανῶν προσαγωγῇ, ἀλλὰ καὶ λιμῷ, διὰ τὸ ἀποστῆναι αὐτῶν πρώην ὑποτελῆ οὖσαν· Μῆλος δὲ πόλις Θεσσαλίας· οἱ δὲ Μήλιοι πολιορκούμενοι λιμῷ ὑπὸ Ἀθηναίων ἐπείσθησαν, καὶ προδεδώκασιν ἑαυτούς.*

Λίνον [6] *λίνῳ συνάπτειν· ἐπὶ τῶν τὰ αὐτὰ διὰ τῶν αὐτῶν δρώντων ἢ λεγόντων.*

Λιμῷ γὰρ οὐδέν ἐστιν ἀντειπεῖν ἔπος.

Λιβυκὸν ὄρνεον· ἤγουν μέγα.

Λιβυκὸν θηρίον [7]· *ἐπὶ τῶν πολυτρόπων· διὰ τὸ τὴν Λιβύην πολύθηρον εἶναι.*

4) Apost. Cent. XI. 100. Macar. *λίθον ἔψῃν* (sic) *ἐπὶ τῶν ἀδυνάτοις ἐπιχειρούντων.* Plat. Eryx. c. 29. *καταμαθὼν δ' αὐτὸν ἐγὼ, ὅτι ἴσον εἴη πεῖσαι, ὅπερ ἂν, τὸ λεγόμενον, λίθον ἕψῃσαι.* Aristid. *ὑπὲρ τῶν τεττ.* p. 230. *ἐλελήθεις δὲ ἄρα σαυτὸν ἁπάσαις ταῖς παροιμίαις ἐνεχόμενος, εἰς πῦρ ξαίνων καὶ λίθον ἕψων καὶ σπείρων τὰς πέτρας.* Aristoph. Vesp. 278. *ἀλλ' ὅταν ἀντιβολοίη, κάτω κύπτων ἂν οὕτω, λίθον ἕψεις, ἔλεγεν.* Emendandus Syrianus (Rhet. Graeci Tom. II. p. 53.). *εἰ γὰρ ἀπέραντα τὰ τῆς ὑποθέσεως ὑπάρχοι, λίθον ἕλειν δόξομεν, δικαζόμενοι περὶ πράγματος, ὅπερ ἀδύνατον ἐπιτεθῆναι.* Cod. Ven. CCCCXXXIII. (Morelli) *λίθον ἕψειν.* Idem, *πρόγματος, ᾧ πέρας ἀδύνατον ἐπιτεθεῖναι.* — Macar. addit: *λίθῳ λαλεῖς· ἐπὶ τῶν ἀναισθήτων.* Cfr. Boisson. ad Anecd. Tom. I. p. 398. III. p. 401.

5) Apost. Cent. XII. 5.

6) Apost. Cent. XII. 6. Plat. Euthyd. p. 298. E. *μὴ γὰρ, ἔφη ὁ Κτήσιππος, ὦ Εὐθύδημε, τὸ λεγόμενον, οὐ λίνον λίνῳ συνάπτεις,* ubi Heind. Aristid. *ὑπὲρ τῶν τεττ.* p. 143. *ἀλλὰ γὰρ λίνον λίνῳ συνάπτει, φασίν.*

7) Apost. Cent. XII. 9. plu-

Λιτύερσαν [8] *ᾠδὴν ᾄδεις· ἐπὶ τῶν ἐπιβούλων· Μένανδρος Χαλκηδονίῳ· ᾄδοντα λιτέρσην ἀπ᾽ ἀρίστου τέως· Μίδου δὲ ἦν ὁ Λιτύερσης νόθος υἱός· κατοικῶν δὲ ἐν Κελαιναῖς τοὺς παρόντας ὑποσχόμενος ἠνάγκαζε μετ᾽ αὐτοῦ θερίζειν, εἶτα ἀποκόπτων τὰς κεφαλὰς τὸ ἄλλο σῶμα συνείλει ἐν τοῖς δράγμασιν· εἰς τιμὴν δὲ τοῦ Μίδου θερικὸς ὕμνος ἐπ᾽ αὐτῷ συνετέθη.*

Τὸ λ μετὰ τοῦ ο.

Λοκρῶν [9] *συνθήματα· τάσσεται ἐπὶ τῶν παρακρουομένων· οἱ γὰρ Λοκροὶ τὰς συνθήκας παρέβαινον.*

Λόγῳ μ᾽ ἔπεισας φαρμάκῳ σοφωτάτῳ.
Λόγος μέν ἐστι φάρμακον λύπης μόνος.
Λόγος [10] *μέν ἐσθ᾽ ἀρχαῖος ἀνθρώπων φανείς,*
Ὡς οὐκ ἂν αἰῶν᾽ ἐκμάθοι βροτῶν, πρὶν ἂν
Θάνοι τις, οὔτ᾽ εἰ χρηστὸς, οὔτ᾽ εἴ τῳ κακός.

Λοκρικὸς βοῦς [11]· *ἐπὶ τῶν εὐτελῶν· Λοκροὶ γὰρ ἀπορροῦντες βοῶν πρὸς θυσίας ξύλα σχηματίσαντες οὕτω τὸ θεῖον ἱλεώσαντο.*

Λούσαιο τὸν Πελίαν [12]· *ἀπὸ τῶν τῷ Πελίᾳ συμβάντων παρῆχθη.*

Τὸ λ μετὰ τοῦ υ.

Λυγκέως [1] *ὀξύτερον ὁρᾷ· ἐπὶ τῶν ὀξυδορκούν-*

ra praebet. Macar. *ἐπὶ τῶν ποικίλων καὶ δολίων.*

8) Apost. Cent. XII. 7.

9) Apost. Cent. XII. 10. Macar. *Λοκροὶ τὰς συνθήκας· ἐπὶ τῶν παραβαινόντων τὰς συνθήκας.*

10) Stob. T. 105. 38. *Σοφοκλέους Τραχινίαις.* Macar. habet: *λόγοι λόγους τίκτουσιν· ἐπὶ τῶν ἐκ πολυλογίας εἰς ἔριν καθισταμένων.*

11) Apost. Cent. XII. 12. Macar. *ἐπὶ τῶν εὐτελῶν.* Nihil ultra.

12) Apost. Cent. XII. 11. Ad morem, in comoedia Attica ex imitatione Peliae fatorum receptum, homines decrepitos miraculoso aliquo lavacro in juventutem restituendi (cfr. Aristoph. Equ. 1335.) proverbium hoc referendum censet Boettiger. Pict. Vas. Fasc. II. p. 185.

1) Apost. Cent. XII. 13. Cfr. Philostr. Imag. II. 15. *Λυγκεὺς*

των· λέγουσι τὸν Λυγκέα ὡς τὰ ὑπὸ γῆν ἑώρα· τοῦτο δὲ ψεῦδος· τὸ δὲ ἀληθὲς ἔχει ὧδε. Λυγκεὺς πρῶτος ἤρξατο μεταλλεύειν χαλκὸν καὶ ἄργυρον καὶ τὰ λοιπά· ἐν δὲ τῇ μεταλλεύσει λύχνους μεταφέρων ὑπὸ τὴν γῆν τοὺς μὲν κατέλιπεν ἐκεῖσε, αὐτὸς δὲ ἀνέφερε τὸν χαλκὸν, τὸν δὲ σίδηρον καὶ χρυσόν· ἔλεγον οὖν οἱ ἄνθρωποι, ὅτι Λυγκεὺς καὶ ὑπὸ γῆν ὁρᾷ καὶ καταδύνων ἀργύριον περιφέρει.

Λυδὸς [2] ἐν μεσημβρίᾳ παίζει· ἐπὶ τῶν ἀκολάστων· ὡσαύτως καὶ ἐπὶ τῶν ταῖς ὥραις ἀκολασταινόντων.

Λύκου [3] πτερὰ ζητεῖς· ἐπὶ τῶν ἀδυνάτων.

Λύκος [4] ἀετὸν φεύγει· ἐπὶ τῶν ἀφύκτων.

Λύκος [5] ἔχανεν· ἐπὶ τῶν τῆς ἐλπίδος ἀποτυγχανόντων· οἱ γὰρ λύκοι ἀθηρίᾳ περιπεσόντες χαίνουσι διὸ καὶ ὁ Ἀφαρέως ἐπιτέτακται τῇ πρώρᾳ, δεινὸς ὢν ἐκ πολλοῦ τε ἰδεῖν, καὶ ἐς πολὺ καταβλέψαι τοῦ βάθους, καὶ πρῶτος μὲν ὑποκειμένων ἑρμάτων αἰσθέσθαι, πρῶτος δὲ ὑποφαίνουσαν γῆν ἀσπάσασθαι. Theocr. Id. XXII. 194. ἀκριβὴς ὄμματα Λυγκεύς. Aristoph. Plut. 210. βλέπουτ' ἀποδείξω σ' ὀξύτερον τοῦ Λυγκέως. Pausan. IV. 2. 7. Ἀφαρεῖ δὲ τῶν παίδων πρεσβύτερος μὲν καὶ ἀνδρειότερος Ἴδας, νεώτερος δὲ ἦν Λυγκεὺς, ὃν ἔφη Πίνδαρος ὀξὺ οὕτως ὁρᾶν, ὡς καὶ διὰ στελέχους θεᾶσθαι δρυός. Lucian. Hermotim. c. 20. σὺ δ' ὑπὲρ τὸν Λυγκέα ἡμῖν δέδορκας. Pro imag. c. 20. διομόσαιτο δ' ἄν (sc. ὁ κόλαξ) — τὸν Φινέα ὀξύτερον δεδορκέναι τοῦ Λυγκέως.

2) Apost. Cent. XII. 16. Macar. habet: Λυδὸς ἀποθνήσκει σοφὸς ἀνήρ· ἐπὶ Κροίσου τοῦτο εἴρηται. Λυδία λίθος· ἐπὶ τῶν ἀκριβῶς ἐξεταζόντων καὶ διακρινόντων τὰ πράγματα.

3) Apost. Cent. XII. 14. Aeliani locum apponit. Macar. λύκου πτερὰ ἐπὶ τῶν μηδενὸς ὄντων ἀξίων καὶ ἀδυνάτων· ὅταν μέχρι τῶν λόγων ὁ φόβος στῇ.

4) Apost. Cent. XII. 18. hoc et nr. 19. sequens prov. latius exponit. Macar. λύκου ῥήματα· λύκος ἔχανεν· ἐπὶ τῶν μάτην ἐλπισάντων.

5) Eustath. Opusc. p. 124. l. 58. καὶ ἔνθα μὲν ὁ θεὸς ἐπικουρεῖ, ἀπωθούμενος τὸ θηρίον, λύκος ἀποβαίνει, μάτην χανών. Ibid. p. 119. l. 14. ἀλλ' ὑπερπηδῶ ἢ παρεκτρέχω, ἵνα κατ' ἄλλου μέν τινος χάσκωσιν ἔμπρακτα, κατ' ἐμοῦ δὲ εἰς κενὸν, ὡς εἰ καὶ λύκος, κατὰ τὴν παροιμίαν, οὕτω διϊστᾷ τὸ στόμα εἰς ἄπρακτον.

ερχόμενοι· λύειν δ' οὐκ ἔστιν ἀγνοοῦντα τὸν δεσμόν· σαφής.

Λύκος [6] *περὶ φρέαρ χορεύει· ἐπὶ τῶν πονούντων περί τι μάτην· καὶ ὅτι ἄπρακτα περίεισιν, ὅταν διψήσῃ, μὴ δυνάμενος πιεῖν· ἐπὰν διώκοντος αὐτοῦ τὸ διωκόμενον ἐμπέσῃ εἰς φρέαρ.*

Λύκον εἶδες [7]*· ἐπὶ τῶν αἰφνίδιον ἀχανῶν γενομένων.*

Λύκου δεκάς [8]*· ἐπὶ τῶν καλῶς δεκαζόντων· ἐπεὶ Λύκος ὁ ἥρως ἵδρυτο παρὰ τοῖς δικαστηρίοις, ἔνθα προσήδρευον οἱ συκοφάνται· ἀφώριστο δὲ αὐτῷ τριόβολον τῆς ἡμέρας.*

Λύκος [9] *ἀετὸν φεύγει· ἐπὶ τῶν μὴ δυναμένων ἐκφυγεῖν τὸν κίνδυνον.*

Λυκόπους εἶ [10]*· ἦγουν τῶν τυράννων οἰκέτης· τοὺς γὰρ δορυφόρους τῶν τυράννων οὕτως ἐκάλουν· διὰ τὸ τοὺς ἀκμάζοντας τῶν οἰκετῶν ἐπὶ τῇ τοῦ σώματος φυλακῇ βάλλειν· λυκόποδες δὲ ἐκαλοῦντο, ὅτι διὰ παντὸς εἶχον τοὺς πόδας λύκων δέρμασι κεκαλυμμένους, ὥστε μὴ ἐπικαίεσθαι ἐκ τοῦ περιέχοντος, ἢ διὰ τὸ ἔχειν ἐπὶ τὴν ἀσπίδα ἐπίσημον λύκον.*

Λυπηρότερον [11] *σταλαγμοῦ· διὰ τὴν ἐν τῷ συνεχῶς καταστοχάζεσθαι δυσχέρειαν λέγεται.*

Λυσίζωνος [12] *γυνή· ἐπὶ τῶν παρθένων τῶν πρώτως πλησιαζουσῶν ἀνδρί· αἱ γὰρ παρθένοι μέλλουσαι*

6) Apost. Cent. XII. 20.

7) Apost. Cent. XII. 23. plura addit. Cfr. Alciphr. I. 26. *μή μοι γένοιτο — μὴ λύκον ἔτι, μὴ δανειστὴν ἰδεῖν*, ubi Bergl.

8) Apost. Cent. XII. 26. Cfr. Schol. ad Aristoph. Vesp. 588. *παρὰ τοῖς δικαστηρίοις τὸ τοῦ Λύκου ἱερὸν ἦν καὶ ἡρῷον, ὅθεν φασὶν εἰρῆσθαι Λύκου δεκάς.* Macar. *ἐπὶ τῶν πονηρῶν καὶ προδοτῶν.* Idem habet: *Λύκου στέγη· ἐπὶ τῶν πενομένων. — Λύκων φιλία· ἡ προσποίητος. — Λύκος ἐν φιλίᾳ γίνεται, κἂν φέρῃ κἂν μὴ φέρῃ. — Λύκων αὐλή· ἐπὶ τῶν πονηρῶν καὶ κλεπτῶν.*

9) Apost. Cent. XII. 18.

10) Apost. Cent. XII. 25.

11) Apost. Cent. XII. 27.

12) Apost. Cent. XII. 30.

πρὸς μίξιν ἔρχεσθαι ἀνετίθεσαν τὰς παρθενικὰς αὐτῶν ζώνας τῇ Ἀρτέμιδι.

Λυσικράτης ἕτερος [13]· ἐπὶ τῶν μελανοτρίχων· οὗτος γὰρ φαρμάκῳ τινὶ ἐμέλαινε τὰς ἑαυτοῦ τρίχας.

Λυσιστράτου [14] πλοῦτον πλουτεῖς· ἐπὶ τῶν λίαν πενήτων· οὗτος πένης ἦν λίαν.

Λύσιοι [15] τελεταὶ καὶ λύσαν ἀλλήλους· ἐπὶ τῶν διὰ μέθην ἐλευθερωθέντων· οἱ γὰρ Βοιωτοὶ ἁλόντες ὑπὸ Θρᾳκῶν καὶ φυγόντες εἰς Τροφωνίου κατ᾽ ὄναρ ἐκείνου Διόνυσον ἔσεσθαι βοηθὸν φήσαντος μεθύουσιν ἐπιθέμενοι τοῖς Θρᾳξὶ, καὶ ἐλύθησαν, οἳ καὶ Διονύσου Λυσίου ἱερὸν ἱδρύσαντο, ὡς Ἡρακλείδης ὁ Ποντικός· Ἀριστοφάνης δὲ διὰ τὸ λυθρώσασθαι Θηβαίους παρὰ Ναξίων ἄμπελον.

Λύδιον ἅρμα [16]· ἐπὶ τῶν ἐριζόντων ἐν ἀγῶσι καὶ πολὺ ἀπολιμπανομένων· ὁ γὰρ Πέλοψ Λύδιος ὢν ἐνίκησε τὸν Ὀρνόμαον τῷ ἰδίῳ ἅρματι, καὶ ἔκτοτε ἡ παροιμία· παρὰ Λύδιον ἅρμα θέειν [17].

Λύχνον ἐν μεσημβρίᾳ ἅπτεις· ἐπὶ τῶν ἐν καιρῷ ἀνεπιτηδείῳ ποιούντων τι, ὡς καὶ τὸ ἐν θέρει τὴν χλαῖναν κατατρίβεις.

Λωτοῦ ἔφαγες [18]· ἐπὶ τῶν σχόντων λήθην τῶν

13) Apost. Cent. XII. 32.
14) Apost. Cent. XII. 34.
15) Apost. Cent. XII. 35. verba καὶ λύσαν — ἐλευθερωθέντων non habet.
16) Apost. Cent. XII. 38.
17) Vide Boeckh ad Pindar. Tom. II. 2. p. 667. Jacobs ad Philostr. Imag. I. 17. p. 311. Wyttenb. ad Plut. de discern. adul. p. 65. B.
18) Apost. Cent. XII. 40. Macario propria sunt: Λευκὴ ἡμέρα· ἤγουν ἀγαθή. — Λευκὰς κορώνας· ἐπὶ τῶν ἀδυνάτων. — Λευκὸς Ἑρμῆς· ἐπὶ τῶν ἄδικα μηχανωμένων καὶ λανθάνειν μὴ δυναμένων. — Λέων ξίφος ἔχων· ἐπὶ τῶν προσθήκην λαβόντων (Cod. λαβόντος) ἧς εἶχον ἀνδρίας. — Λευκῶν ἀνδρῶν οὐδὲν ὄφελος. — Λέων ἐν πέδαις. — Λευκὴ ψῆφος· ἐπὶ τῶν νικώντων. — Λήθαργος κύων· ἐπὶ τῶν λάθρα καὶ σιωπῇ κακῶς τινα διαπραττομένων. Λύλλος εἷ· ἤγουν μωρὸς, τοιοῦτος γὰρ ὁ Λύλλος.

οἶκοι, καὶ βραδυνόντων ἐπὶ ξένης· ἔστι δὲ πόα τὸ λωτὸν λήθην ἐμποιοῦν τῷ φαγόντι.

Λωτὸν [19] ἐρεπτόμενοι ἐλεόθρεπτόν τε σέλινον.

ΑΠΟΦΘΕΓΜΑΤΑ.

Λέοντος.

Λέων Βυζάντιος Φιλίππῳ στρατεύοντι ἐπὶ Βυζαντίους, προαπαντήσας, εἰπέ μοι, ὦ Φίλιππε, ἔφη, τί παθὼν πολέμου ἄρχεις; τοῦ δὲ εἰπόντος, ὡς ἡ παιρὶς ἡ σὴ καλλίστη πόλεων οὖσα ὑπηγάγετό με ἐρᾶν αὐτῆς, καὶ διὰ τοῦτο ἐπὶ θύρας τῶν ἐμῶν παιδικῶν ἥκω, ὑπολαβὼν ὁ Λέων, οὐ φοιτῶσιν, ἔφη, μετὰ ξιφῶν ἐπὶ τὰς τῶν παιδικῶν θύρας οἱ ἄξιοι τοῦ ἀντερᾶσθαι· οὐ γὰρ πολεμικῶν ὀργάνων, ἀλλὰ μουσικῶν οἱ ἐρῶντες δέονται· καὶ ἠλευθέρου τὸ Βυζάντιον.

Λεωνίδου.

Λεωνίδας, ὁ Λακεδαιμόνιος, ὀλίγους ἔχων στρατιώτας εἰς τὴν πρὸς τοὺς Πέρσας μάχην ἐξεπορεύετο· εἰπόντος δέ τινος, ὅτι μετ᾽ ὀλίγων παντελῶς ἐκπορεύεται, εἶπεν, ἀλλὰ μετὰ βουλομένων.

Λεωνίδας [1], Ξέρξου ἀποθέσθαι τὰ ὅπλα προστάττοντος ἄλλα τε πολλὰ ὑπισχνουμένου, καὶ χώραν βελτίω δώσειν καὶ συμμάχους Περσῶν, ἀπεκρίνατο, ὅτι ἡμεῖς καὶ συμμαχοῦντες τῷ βασιλεῖ χρησιμώτεροι μετὰ τῶν ὅπλων ἐσόμεθα, καὶ πολεμεῖν ἀναγκαζόμενοι μετὰ τούτου γενναιότερον ὑπὲρ τῆς ἐλευθερίας ἀγωνιούμεθα περὶ τῆς χώρας, ὅτι πάτριόν ἐστι τοῖς Ἕλλησι, μὴ διὰ κακίαν, ἀλλὰ δι᾽ ἀρετὴν χώραν ἔχειν.

Πολεμοῦντες δ᾽ ἐν Θερμοπύλαις ἅπαντες οἱ περὶ αὐτὸν, πανταχόθεν τοξευόμενοι καὶ ἀκοντιζόμενοι εὐκλε-

19) Il. B. 776.

1) Hoc et sq. Laur. non habet.

ὡς ἀνῃρέθησαν, οἵτινες μόνοι τῶν πρὸ ἑαυτῶν διὰ τὴν ὑπερβολὴν τῆς ἀρετῆς, οὐ μόνον ὑπὸ τῶν συγγραφέων, ἀλλὰ καὶ παρὰ ποιητῶν ὑμνήθησαν διὰ τὰς ἀνδραγαθίας, ὧν καὶ Σιμωνίδης ὁ μελοποιός· τῶν ἐν Θερμοπύλαις θανόντων εὐκλεὴς μὲν ἡ τύχα, καλὸς δ' ὁ πότμος, βωμὸς δ' ὁ τάφος, προγόνων δὲ μνάστις, ὁ δ' οἶτος ἔπαινος, ἐντάφιον δὲ τοιοῦτον οὔθ' εὑρὼς, οὐθ' ὁ πανδαμάτωρ ἀμαυρώσει χρόνος ἀγαθῶν ἀνδρῶν· ὁ δὲ σηκὸς οἰκετῶν εὐδοξίην Ἑλλάδος εἵλατο· μαρτυρεῖ δὲ καὶ Λεωνίδας ὁ Σπάρτας βασιλεὺς, ἀρετῆς μέγαν λιπὼν κόσμον ἀέναόν τε κλέος.

Λύκωνος.

Λύκων [2], Ἀστυάνακτος, Τρωαδεὺς, ἔφασκε δεῖν παρεζεῦχθαι τοῖς παισὶ τὴν αἰδῶ καὶ φιλοτιμίαν, ὡς τοῖς ἵπποις μύωπα καὶ χαλινόν.

Ὁ αὐτὸς [3] βαρὺ φορτίον ἔφη πατρὶ κόρη, διὰ σπάνιν προικὸς ἐκτρέχουσα τὸν ἀκμαῖον τῆς ἡλικίας καιρόν.

Λυσίου.

Λυσίας τινὶ δίκην ἔχοντι λόγον συγγράψας ἔδωκεν· ὁ δὲ πολλάκις ἀναγνοὺς ἦκε πρὸς τὸν Λυσίαν ἀθυμῶν καὶ λέγων, τὸ μὲν πρῶτον αὐτὸν διεξιόντι καὶ δεύτερον, θαυμαστὸν φανῆναι τὸν λόγον· αὖθις δὲ καὶ τρίτον ἀναλαμβάνοντι παντελῶς ἀμβλὺν καὶ ἄπρακτον· ὁ δὲ Λυσίας γελάσας, τί οὖν, εἶπεν, οὐχ ἅπαξ μέλλεις λέγειν αὐτὸν ἐπὶ τῶν δικαστῶν;

Λυκούργου.

Λυκοῦργος ὁ νομοθέτης τῶν Λακεδαιμονίων τὸ μὲν ἀξιόχρεων τῶν ἀνθρώπων, ἔφη, ἐν τῇ οὐσίᾳ κεῖσθαι, τὸ δὲ ἀξιόπιστον ἐν τοῖς τρόποις.

2) Diog. Laërt. V. segm. 65.

3) Diog. Laërt. V. segm. 65.

Ὁ αὐτὸς [4] δύο σκύλακος τῶν αὐτῶν γονέων λαβὼν οὐδὲν ὁμοίους ἀλλήλοις ἤγαγεν, ἀλλὰ τὸν μὲν λίχνον ἀπέφηνε καὶ σινάμορον, τὸν δὲ ἐξιχνεύειν καὶ θηρᾶν δυνατόν· εἶτά ποτε τῶν Λακεδαιμονίων εἰς ταὐτὸ συνειλεγμένων, μεγάλη [5] τοι ῥοπὴ πρὸς ἀρετῆς κύησίν ἐστιν, ἄνδρες, ἔφησε, Λακεδαιμόνιοι, καὶ ἔθη καὶ παιδεῖαι, καὶ διδασκαλίαι, καὶ βίων ἀγωγαὶ, καὶ ἐγὼ ταῦτα ἡμῖν αὐτίκα δὴ μάλα ποιήσω φανερὰ, εἶτα προσαγαγὼν τοὺς σκύλακας διαφῆκε, καθεὶς εἰς μέσον λοπάδα καὶ λαγωόν· κἄτ᾽ εὐθὺ τῶν σκυλάκων ὁ μὲν ἐπὶ τὸν λαγωὸν ᾔϊξεν, ὁ δὲ ἐπὶ τὴν λοπάδα ὥρμησε. Τῶν δὲ Λακεδαιμονίων οὐδέπω συμβαλεῖν ἐχόντων, τί ποτε αὐτῷ τοῦτο δύναται, καὶ τί βουλόμενος τοὺς σκύλακας ἐδείκνυεν, οὗτοι τῶν γονέων, ἔφη, τῶν αὐτῶν ἀμφότεροι, διαφόρου δὲ τυχόντες ἀγωγῆς, ὁ μὲν λίχνος, ὁ δὲ θηρατὴς ἀποβέβηκεν.

Λυσάνδρου.

Λύσανδρος [6] Διονυσίου τοῦ τυράννου πέμψαντος ἱμάτια ταῖς θυγατράσιν αὐτοῦ τῶν πολιτελῶν, οὐκ ἔλαβεν, εἰπὼν δεδιέναι, μὴ διὰ ταῦτα μᾶλλον αἰσχραὶ φανῶσιν.

* Ὁ αὐτὸς [7] εἴθισε τοὺς πολίτας κομᾶν, λέγων, ὅτι τοὺς μὲν καλοὺς ἡ κόμη εὐπρεπεστέρους ποιεῖ, τοὺς δὲ αἰσχροὺς φοβερωτέρους.

* Ὁ αὐτὸς πρὸς τὸν κελεύοντα ποιεῖν ἐν τῇ πόλει δημοκρατίαν, σὺ πρῶτον, εἶπεν, ἐν τῇ οἰκίᾳ σου ποίησον δημοκρατίαν.

* Ὁ αὐτὸς στρατεύειν πολλάκις ἐπὶ τοὺς αὐτοὺς ἐκώλυεν, ὅπως μὴ ποιῶσι μαχιμωτέρους.

* Ὁ αὐτὸς μέγιστα ἀδικήματα εἶναί φησι θεῶν καταφρόνησις, γονέων κάκωσις ἑκούσιος, καὶ ἀρχόντων καὶ

4) in Laur. solo.

5) Cod. *μεγάλοι*.

6) Plut. Lys. c. 2. Cfr. supra prov. *ἱματισμὸς Διονυσίου*.

7) Plut. c. 1.

νόμων ὀλιγωρία, καὶ ἐκούσιος ἀτιμία δικαιοσύνης· δικαιότατον δὲ εἶναι καὶ ὁσιώτατον τὸν ταῦτα τιμῶντα καὶ ἐμφανίζοντα πρὸς πολίτας καὶ ἄρχοντας κατὰ τῶν καταφρονούντων.

* Ὁ αὐτὸς [7] πρὸς τοὺς ψέγοντας αὐτὸν ἐπὶ τῷ δι' ἀπάτην τὰ πολλὰ πράσσειν ὡς ἀνάξιον τοῦ Ἡρακλέους, ἔλεγεν, ὅπου μὴ ἐφικνεῖται ἡ λεοντῆ, προσραπτέον εἶναι ἐκεῖ τὴν ἀλωπεκῆν.

* Ὁ αὐτὸς [8] τοὺς Λακεδαιμονίους ὁρῶν ὀκνοῦντας προσμάχεσθαι τοῖς τείχεσι τῶν Κορινθίων, ὡς εἶδε λαγὼν ἐξαλόμενον ἐκ τῆς τάφρου, τοιούτους, ἔφη, φοβεῖσθε πολεμίους, ὧν οἱ λαγοὶ δι' ἀργίαν ἐν τοῖς τείχεσιν ἐγκαθεύδουσιν.

Λευκίππου περὶ τοῦ παντός [9].

Λευκίππῳ τῷ Ἐλεάτῃ τάδε ἀρέσκει· τὸ πᾶν εἶναι ἄπειρον· τούτου δὲ τὸ μὲν πλῆρες, τὸ δὲ κενόν· καὶ στοιχεῖα, κόσμους τε ἐκ τούτων ἀπείρους εἶναι, καὶ δύεσθαι εἰς ταῦτα, γίνεσθαι δὲ τοὺς κόσμους οὕτω· φέρεσθαι κατὰ ἀποτομὴν ἐκ τῆς ἠπείρου πολλὰ σώματα παντοῖα τοῖς σχήμασιν εἰς μέγα κενὸν, ἅπερ ἀθροισθέντα δίνην ἀπεργάζεσθαι μίαν, καθ' ἣν προσκρούοντα καὶ παντοδαπῶς κυκλούμενα διακρίνεσθαι χωρὶς τὰ ὅμοια πρὸς τὰ ὅμοια, ἰσορῥόπων δὲ, διὰ τὸ πλῆθος μὴ δυναμένων περιφέρεσθαι, τὰ μὲν λεπτὰ χωρεῖν εἰς τὸ ἔξω κενὸν, ὥσπερ διαττόμενα, τὰ δὲ λοιπὰ συμβαίνειν καὶ περιπλεκόμενα συγκατατρέχειν ἄλληλα· καὶ ποιεῖν πρώτόν τι σύστημα σφαιροειδὲς, τοῦτον δὲ, οἷον ὑμένα, ὑφίστασθαι περιέχοντα ἐν ἑαυτῷ παντοῖα σώματα· ὧν κατὰ τὴν τοῦ μέσου ἀντέρεισιν περιδινουμένων λεπτὸν γίνεσθαι τὸν πέριξ ὑμένα, συῤῥεόντων ἀεὶ τῶν συνεχῶν κατεπιψαύειν τῆς δίνης, καὶ οὕτω γενέσθαι τὴν γῆν,

7) ib. c. 7.
8) ib. c. 22.
9) Exstat in Laur.

συμβαινόντων τῶν ἐνεχθέντων ἐπὶ τὸ μέσον· αὐτός τε πάλιν τὸν περιέχοντα οἷον ὑμένα ἅπτεσθαι, κατὰ τὴν ἐπέκκρισιν τῶν ἔξωθεν σωμάτων· δίνῃ τε φερόμενον αὐτὸν, ὧν ἂν ἐπιψαύσῃ, ταῦτα ἐπικτᾶσθαι· τούτων δέ τινα συμπλεκόμενα ποιεῖ σύστημα, τὸ μὲν πρῶτον κάθυγρον καὶ πηλῶδες· ξηρανθέντα δὲ περιφερόμενα σὺν τῇ τοῦ ὅλου δίνῃ· εἶτ' ἐκπυρωθέντα καὶ τῶν ἀστέρων ἀποτελέσαι φύσιν· εἶναι δὲ τὸν τοῦ ἡλίου κύκλον ἐξώτατον, τὸν δὲ τῆς σελήνης προγειότατον τῶν ἄλλων, μεταξὺ τούτων, καὶ περὶ τῶν ἄλλων, ὥσπερ οἱ πλείους τῶν φιλοσόφων φασίν.

* *Λαμάχου.*

Λάμαχος ἐπετίμα τινὶ τῶν λοχαγῶν ἁμαρτόντι, τοῦ δὲ φήσαντος, μηκέτι τοῦτο ποιήσειν, οὐκ ἔστιν, εἶπεν, ἐν πολέμῳ δὶς ἁμαρτεῖν.

* *Λακωνικά.*

Λάκων [10], Ἀργείου ποτὲ εἰπόντος, πολλοὶ τάφοι παρ' ἡμῖν εἰσι Σπαρτιατῶν, εἶπεν, ἀλλὰ μὴν παρ' ἡμῖν Ἀργείων οὐδὲ εἷς· ὡς αὐτῶν μὲν πολλάκις Ἄργους ἐπιβεβηκότων, Ἀργείων δὲ τῆς Σπάρτης οὐδέποτε.

Λάκων αἰχμαλωτισθεὶς καὶ πιπρασκόμενος, τοῦ κήρυκος λέγοντος, Λάκωνα πωλῶ, ἐπεστόμισεν εἰπὼν, αἰχμάλωτον κήρυσσε.

Λάκωνες ἀδελφῶν πρὸς ἀλλήλους διαφερομένων τὸν πατέρα ἐζημίωσαν, ὅτι τοὺς υἱοὺς στασιάζοντας περιορᾷ.

Λάκωσι περιτυχόντες τινὲς καθ' ὁδὸν εἶπον· εὐτυχήκατε, ἀρτίως ἐντεῦθεν λῃστῶν ἀπιόντων· οἱ δ', οὐ μὰ τὸν Ἐνυάλιον, ἀλλ' ἐκεῖνοι, μὴ περιτυχόντες ἡμῖν.

Λάκων ἐρωτηθεὶς, τί ἐπίσταται, εἶπεν ἐλεύθερος εἶναι.

Λάκων ἐρωτηθεὶς, δι' ἣν αἰτίαν τὰς τοῦ πώγωνας

10) Plut. Ages. c. 31.

τρίχας ἐπὶ πολὺ κομώσας ἔχεις, εἶπεν, ἵνα βλέπων τὰς πολιὰς μηδὲν ἀνάξιον αὐτῶν πράττω.

Λάκων τις ἰδὼν πολυτελῆ χορηγίαν, τοῖς τραγῳδοῖς παρασκευαζομένην [11], εἶπεν, ὡς ἁμαρτάνουσιν Ἀθηναῖοι μεγάλα, τὴν σπουδὴν εἰς τὴν παιδιὰν καταναλίσκοντες, τουτέστι μεγάλων ἀποστόλων δαπάνας καὶ στρατευμάτων ἐφόδια καταχορηγοῦντες εἰς τὸ θέατρον· ἂν γὰρ ἐκλογισθῇ τῶν δραμάτων ἕκαστον, ὅσον κατέστη, πλέον ἀνηλωκὼς φανεῖται ὁ δῆμος εἰς Βάκχας καὶ Φοινίσσας καὶ Οἰδίποδας καὶ τὰ Μηδείας κακὰ καὶ Ἠλέκτρας, ὧν ὑπὲρ τῆς ἡγεμονίας καὶ ἐλευθερίας πολεμῶν τοὺς βαρβάρους ἀνήλωσεν.

Λάκων, ἐπὶ τῆς ἀσπίδος μυῖαν ἔχων ἐπίσημον καὶ ταύτην οὐ μείζω τῆς ἀληθινῆς ὡς καταγελῶντές τινες ἔλεγον, ὑπὲρ τοῦ λανθάνειν τοῦτο πεποιήκεις, ἵνα μὲν οὖν, εἶπε, φανερὸς ὦ, οὕτω γὰρ τοῖς πολεμίοις τοσοῦτον προσέρχομαι, ὥστε τὸ ἐπίσημον, ἡλίκον ἐστὶν, ὑπ᾽ αὐτῶν ὁρᾶσθαι.

Λάκαινα παρθένος πενιχρὰ ἐρωτηθεῖσα, τίνα δίδωσι τῷ γαμοῦντι προῖκα, τὴν πάτριον εἶπε σωφροσύνην.

Λάκαινα προϊόντι τῷ υἱῷ ἐπὶ πόλεμον, ἀναδιδοῦσα τὴν ἀσπίδα, ταύτην, ἔφη, ὁ πατήρ σοι ἀεὶ ἔσωζε, καὶ σὺ οὖν ταύτην σῶζε, ἢ μὴ ἔσο.

Λάκαινα πρὸς τὸν υἱὸν λέγοντα, μικρὸν ἔχειν τὸ ξίφος, εἶπε, καὶ βῆμα πρόσθες.

Λάκαινα προσαναδιδοῦσα τῷ παιδὶ τὴν ἀσπίδα, καὶ παρακελευομένη, τέκνον, ἔφη, ἢ τὰν, ἢ ἐπὶ τᾶς.

Λάκαινα ἐπ᾽ ἀδικήματι τῷ παιδὶ κρινομένῳ, τέκνον, εἶπεν, ἢ τᾶς αἰτίας, ἢ σεαυτὸν τοῦ ζῆν ἀπόλυσαι.

Λάκαινα ἐρωτηθεῖσα, εἰ ἀνδρὶ προσελήλυθεν, οὐκ ἐγώ, εἶπεν; ἀλλ᾽ ὁ ἀνὴρ ἐμοί.

11) Impr. παρασκευαζομένων.

Λάκαινα πιπρασκομένη καὶ ἐρωτωμένη, τί ἐπίσταται, ἔφη, πιστὰ ἦμεν.

Λάκαινα ἐρωτηθεῖσα ὑπό τινος, εἰ ἔσται ἀγαθὴ, ἂν αὐτὴν ἀγοράσῃ, ἔφη, κἂν μὴ ἀγοράσῃς.

Λάκαινα πιπρασκομένη τοῦ κήρυκος πυνθανομένου, τί ἐπίσταται, εἶπεν, ἐλευθέρα ἦμεν, ὡς δὲ ὁ ὠνησάμενος προσέτασσέ τινα αὐτῇ οὐχ ἁρμοζόντα ἐλευθέρᾳ, εἰποῦσα, οἰμώξῃ, φθονήσας σεαυτῷ τοιούτου κτήματος, ἐξήγαγεν ἑαυτήν.

* Λεαίνης.

Λέαινα Ἁρμοδίου ἐρωμένη τοῦ τυραννοκτονήσαντος, ἥτις καὶ αἰκιζομένη ὑπὸ τῶν περὶ Ἱππίαν τὸν τύραννον, οὐδὲν ἐξειποῦσα, ἐναπέθανε ταῖς βασάνοις. Ὅθεν Ἀθηναῖοι χαλκῆν ποιησάμενοι λέαιναν ἄγλωσσον, ἐν πύλαις τῆς ἀκροπόλεως ἀνέθηκαν.

* Λύσιδος [12].

Λύσις περὶ Πυθαγόρου τάδε φησί· λέγοντι δὲ πολλοί τοι καὶ δημοσίᾳ φιλοσοφεῖν, ὅπερ ἀπαξιῶ, ὅσγε τᾷ Δαμοῖ τᾷ ἑαυτῶ θυγατρὶ παρακαταθέμενος τὰ ὑπομνήματα ἐκέλευσε μηδενὶ τῶν ἐκτὸς τῆς οἰκίας παραδίδομεν. Ἃ δυνάμενα πολλῶν χρημάτων ἀποδίδοσθαι τὼς λόγως οὐκ ἐβουλάθη· πενίαν γὰρ καὶ τὰς τῶν πατρίων ἐπισκεψίας ἐνόμιζε χρυσῶν τιμιωτέρας ἦμεν, καὶ ταῦτα γυνὰ ἦν, καὶ Τηλαυγὴς υἱὸς αὐτῆς, ὃς καὶ διεδέξατο τὸν πατέρα κατά τινας, Ἐμπεδοκλέους καθηγησάμενος.

Λευκανοὶ [13] δικάζονται ἀλλήλοις, ὥσπερ ἄλλου τινὸς ἀδικήματος, οὕτω καὶ ἀσωτίας καὶ ἀργίας· ἐὰν δέ τις ἀσώτῳ δάνεισας χρέος ἐλεγχθῇ στέρεται αὐτοῦ· καὶ Ἀθήνησι δὲ τῆς ἀργίας εἰσὶ δίκαι.

12) Exstat etiam in Laur. 13) Exstat in Laur.

Ἀρχὴ τοῦ μ στοιχείου.

Τὸ μ μετὰ τοῦ α.

Μᾶλλον ὁ Φρύξ [1]· *ἡ παροιμία ἐνθένδε· οἱ ἑπτὰ σοφοὶ ἐρωτώμενοι ὑπὸ Κροίσου, τί τῶν ζώων* [2] *εὐδαιμονέστατον, οἱ μὲν ἀπεκρίναντο τὰ ἄγρια ζῶα· ὑπὲρ γὰρ τῆς αὐτονομίας ἀποθνήσκει, οἱ δὲ πελαργοὺς, δίκα γὰρ νόμου τῇ φύσει τὸ δίκαιον ἔχουσι, Σόλων δὲ οὐδένα πρὸ τῆς τελευταίας· παρέστω δὲ Αἴσωπος, ὁ λογοποιὸς, Φρὺξ τὸ γένος, τοσοῦτον, εἶπεν, ὑπερέχειν τῶν ἄλλων, ὅσον θάλασσα ποταμῶν· ἀκούσας δὲ Κροῖσος εἶπε· μᾶλλον ὁ Φρύξ.*

Μασχαλισθήσῃ ποτέ [3]· *ἔθος ἦν τοῖς παλαιοῖς ὁπότε φονεύσειαν ἐξ ἐπιβουλῆς τινα, τὸ ἔργον ἀφοσιουμένοις ἀκρωτηριάζειν τὸν νεκρόν· καὶ τῶν μορίων ὁρμαθὸν ποιήσαντες, κρημνάναι κατὰ τραχήλου κατὰ τῶν μασχαλῶν διάραντες· ἀφ᾽ οὗ δὴ καὶ μασχαλίσματα προσηγόρευσαν αὐτά· καὶ Σοφοκλῆς ἐν Ἠλέκτρᾳ καὶ Τρωΐλῳ.*

Μαχητὴς [4] *ἐπέμφθης, οὐκ ἀγγελιαφόρος· ἐπὶ τῶν μὴ φυλαττόντων τὴν ἑαυτῶν τάξιν.*

Μαχαίρᾳ [5] *πῦρ μὴ σκαλεύειν· τουτέστι τὸν θυμούμενον λόγοις μὴ ἐρεθίζειν.*

Μαρσύας [6] *κομπάζων ἐρίζει· ἐπὶ τῶν ἐριζόντων ἐν ἀγῶσι καὶ πολὺ ἀπολιμπανομένων· ὁ γὰρ Μαρσύας ἀγροῖκος ἦν· γίνεται δ᾽ οὕτω μουσικός· ἐμίσησεν Ἀθηνᾶ τοὺς αὐλοὺς, οὐκ ὀλίγον γὰρ ἀμῤῥοῦντο τοῦ κάλλους· ἡ πηγὴ τὴν εἰκόνα δεξαμένη, τὸ συμβὰν ἐδίδαξε,*

1) Apost. Cent. XII. 41.
2) Mosc. *τίς τῶν σοφῶν εὐδαιμονέστατος.* Correxi ex Apost.
3) Apost. Cent. XII. 42.
4) Apost. Cent. XII. 44.
5) Apost. Cent. XII. 43.
6) Apost. Cent. XII. 45. Macar. omnia alia: *Μαγνῆτις λίθος· ἐπὶ τῶν πρὸς ἑαυτοὺς ἑπισπωμένων τινάς.* — *Μαντι-*

καὶ οὕτω δὲ ἐρρυμμένων τῶν αὐλῶν ὁ Μαρσίας ὑφίσταται· προσάπτει οὖν τοῖς χείλεσιν ἀνελὼν αὐτοὺς ὁ ποιμήν, οἱ δὲ ἥδον θείᾳ δυνάμει καὶ ἄκοντος τοῦ χρωμένου· τέχνην ὁ Μαρσύας ἐνόμισεν εἶναι τὴν δύναμιν, καὶ χορεῖ μὲν κατὰ Μουσῶν, χορεῖ δὲ καὶ Ἀπόλλωνος, λέγων οὐδὲ θέλειν εἶναι λοιπὸν, ἂν μὴ πλεονεκτήσῃ τοῦ δαίμονος· ἐν ἐκείνῃ τῇ φιλονεικίᾳ νικᾶται, καὶ τὸ δέρμα κατὰ ἧτταν ἐκδύεται· εἶδον ἐγὼ ποταμὸν ἐν Φρυγίᾳ, Μάρσυας ὄνομα τῷ ποταμῷ, καὶ ἔλεγον οἱ Φρύγες, ὅτι τὸ ῥεῦμα τοῦτο ἐξ αἵματός ἐστι τοῦ Μαρσύου.

Τὸ $\overline{\mu}$ *μετὰ τοῦ* $\overline{\varepsilon}$.

Μεγαρέων [1] *δάκρυα· ἐπεὶ πλεῖστα ἐν τῇ Μεγαρίδι σκόροδα φύεται· εἴρηται ἐπὶ τῶν προσποιητῶς δακρυόντων· ἄλλοι δέ φασιν, ὅτι τοῦ βασιλέως αὐτῶν ἀποθανόντος ἀναγκάσθησαν πάντες ὑπὸ τῆς αὐτοῦ γυναικὸς δακρύσαι· ὁμοία τῇ· πρὸς σῆμα μητρυιᾶς θρηνεῖν.*

Μέλει μοι, τῶν τοιούτων οὐδὲν ἧττον τῶν ἐν τοῖς τέλμασι βατράχων.

Μέγας [2] *κηληκτὰς ἐν μικρῷ πράγματι· ἐπὶ τῶν πλουτησάντων τέχνῃ οὐ τιμίᾳ. Ψάλτου γάρ τινος εὐημερήσαντος Εὐδαμίδας ἔφη πρὸς τὸν ἐρωτήσαντα, ποδαπός τις αὐτῷ δοκεῖ εἶναι.*

κὸν ψυχή· ἐπὶ τῶν τὰ μέλλοντα προορωμένων. — Μακάρων νῆσοι· ἐπὶ τῶν ἔκπλεα τὰ ἀγαθὰ δοκούντων ἔχειν.

1) Apost. Cent. XII. 51. Macar. *ἐπὶ τῶν σφόδρα κλαιόντων.* Ad largum alliorum proventum alludit Aristoph. Pac. 502. de Megarensibus dicens: *πρῶτοι γὰρ αὐτὴν* (sc. *εἰρήνην*) *σκοροδοις ἠλείψατε*, ubi Interpp. Coll. 246., ubi cum *Πόλεμος* allia in mortarium injiceret, exclamat Trygaeus: *βαβαὶ, βαβαιάξ. ὡς μεγάλα καὶ δριμέα τοῖσιν Μεγαρεῦσιν ἐνέβαλεν τὰ κλαύματα.* — Aliam interpretationem innuit O. Mueller Dor. II. p. 367.

2) Apost. Cent. XII. 55. *κελέστης*, sed in edito et scripto codice *κηλήκτας* inveniri testatur Pantinus. Est haec forma dorica pro *κηλητής*. Cfr. Wyt-

Μελανίωνος [3] *σωφρονέστερος· ἐπὶ τῶν πάνυ σωφρόνων.*

Μεδίμνῳ [4] *ἀπομετρῶ παρὰ τοῦ πατρὸς ἀργύριον· ἐπὶ τῶν μεγάλην καὶ ἀθρόαν προσδοκώντων ὠφέλειαν.*

Μένε [5] *βοῦς ποτὲ βοτάνην· ἐπὶ τῶν βραδέων.*

Μένε [6] *γραῦ ἐμόν σε παῖδα φιλήσοντα· ὁμοία τῇ προτέρᾳ.*

Μελαμπύγων [7] *μὴ τύχοις· μελάμπυγοι ἐγένοντο πέρπεροι Λίμνης υἱοί· ἀκολασταινούτων δὲ αὐτῶν πολλὰ ἡ μήτηρ ἔλεγε φυλάσσεσθαι, μήποτε ἐμπέσωσιν εἰς δασύπρωκτον· ἐμπεσόντες οὖν εἰς Ἡρακλέα, ἐν ἀνωφόρῳ ἐδέθησαν· εἶτα ὁρῶν αὐτοὺς γελῶντας καὶ κατακύπτοντας, ἐπυνθάνετο τὴν αἰτίαν· οἱ δὲ ἔλεγον, ὅτι λόγιον ἦν τὸ τῆς μητρὸς ἐμπεσεῖσθαι ἡμᾶς εἰς δασύπρωκτον, καὶ γελάσαντα τὸν Ἡρακλέα ἀφεῖναι αὐτοὺς τῶν δεσμῶν.*

Μεγαρικαὶ σφίγγες [8]*· πόρνας τινὰς οὕτως ἐκάλουν.*

Μείζονα [9] *βοᾷ δάφνης χλοερᾶς καιομένης· ἐπὶ τῶν μέγα βοώντων.*

tenb. ad Plutarch. Apophth. Lacon. p. 220. F., ubi haec leguntur.

3) Apost. Cent. XII. 59. addit: *ἦν δὲ ὁ Μελανίων σώφρων.* Apogr. Dresd. *Μειλανίωνος.*

4) Apost. Cent. XII. 54.

5) Apost. Cent. XII. 52.

6) Apost. Cent. XII. 53.

7) Apost. Cent. XII. 60. Macar. *μελαμπύγῳ συντρέχοι· οἱ δὲ βαδυπρώκτῳ* (sic). Fabulam in marmoribus Selinuntiis expressam explicat Boettiger Amalth. III. p. 326. Lucian Pseudol. c. 32. *δέον, ὦ παιπάλημα καὶ κίναιδος ὑποπτήσσειν, εἴ τις ἀνὴρ δασὺς, καὶ τοῦτο δὴ τὸ ἀρχαῖον μελάμπυγος, δριμὺ μόνον εἰς σε ἀποβλέψειεν.*

8) Apost. Cent. XII. 56.

9) Apost. Cent. XII. 57. *μεῖζον βοῶντος.* Long. Pastoral. p. 24. ed. Villois. *ἐσύριζε μέγιστον ὡς ἐδύνατο.* p. 25. *μέγα καλεῖν* p. 23. Cfr. p. 48. 55. 71. *μέγα βοήσας.* Julian. Fragm. p. 296. A. *βοῶσι μεγάλα.* Plat. Symp. VII. p. 149. *μεῖζον ἤδη ὁ Θαλῆς φθεγξάμενος.* Alciphr. Ep. II. 4., ubi Bergl. — Apost. habet *χλωρᾶς.*

Μεῖζον [10] *φρονεῖ ἢ Πηλεὺς ἐπὶ μαχαίρᾳ· σωφροσύνης γὰρ δῶρον αὐτῷ ἐδόθη.*

Μέλος ἀγρέως [11] *ἐπὶ τῶν τῇ εὐμουσίᾳ κηλούντων.*

Μέγα [12] *τὸ στόμα τοῦ ἐνιαυτοῦ· οἷον πολλὴ παῤῥησία πάντων εὐφορίας γενομένης.*

Μέλιτος [13] *μυελός· ἐπὶ τῶν ἄγαν ἡδέων.*

Μελιταῖοι κύνες [14]· *ἐπὶ τῶν ἐπὶ τέρψει* [15] *καλῶς τρεφομένων· τῶν γὰρ κυνῶν οἱ μὲν ἰχνευταὶ, οἱ δὲ ὁμόσε τοῖς θηρίοις χωροῦσιν, οἱ δὲ ἐπὶ φυλακῇ τῶν πλημάτων οἰκουροὶ* [16]*, οἱ δὲ ἐπὶ τέρψει.*

Μεθυσοκότταβος [17] *ἐγένου· λάταξ χαλκῆ φιάλη, ἣν μεταξὺ τοῦ δείπνου ἐτίθεσαν οἴνου πεπληρωμέ-*

10) Apost. Cent. XII. 58. Macar. *μεγαλοφρονεῖ μᾶλλον, ἢ Πηλεὺς ἐπὶ τῇ μαχαίρᾳ· ἐπὶ τῶν ἐπὶ τοῖς τιμίοις μεγαλαυχούντων, παρόσον σωφροσύνης ἕνεκα παρὰ θεῶν ἡφαιστότευκτος ἐδωρήθη τῷ Πηλεῖ μάχαιρα.* Aristoph. Nub. 1062. *ὁ γοῦν Πηλεὺς ἔλαβεν διὰ τοῦτο* (sc. *διὰ τὴν σωφροσύνην*) *τὴν μάχαιραν*, ubi vide Scholia. A Vulcano gladius hic Peleo traditur in anaglypho apud Winckelm. Mon. ined. nr. 111. Cfr. Millingen Peintures de Vases gr. p. 9. Jacobs ad Philostr. Jun. XV. p. 670.

11) Apost. Cent. XII. 62. addit: *λέγεται δὲ ἀγρεὺς δικαίως· τῷ γὰρ μέλει αἱρεῖ τῶν ἄλλων ὀρνέων τὰ ἁπαλὰ προσπετόμενα, τῇ τῆς εὐμουσίας θέλξει· εἰδὼς οὖν τὸ συμφυὲς αὐτῷ πλεονέκτημα ἀκούων μὲν ἑαυτοῦ εὐφραίνεται· θηρῶν δὲ τὰ προσιόντα ἐμπίπλαται· τοῦτον εἴ τίς ποτε ἐθήρασε καὶ ἐν οἰκίσκῳ καθεῖρξεν, ἔχει ἄφωνον τὸν ὄρνιν· ὥσπερ οὖν τὸν θηράσαντα ἀμυνόμενον ὑπὲρ τῆς δουλείας τῇ σιωπῇ.*

12) Apost. Cent. XII. 76.

13) Apost. Cent. XII. 75. Macar. *ἐπὶ τοῦ πάνυ ἡδέος.*

14) Arsen. et Apost. XII. 67. *μελιτηροὶ*, quod a Pantino intactum relictum esse, miror. Nota sunt *κυνίδια Μελιταῖα*, a mulieribus praesertim in deliciis habita. Clem. Paedag. III. 4. p. 271. 7. de mulieribus lascivis: *καὶ χήραν μὲν παρορῶσι σωφρονοῦσαν, Μελιταίου πολλῷ διαφέρουσαν κυνιδίου.* Hesych. *Μελιταῖον· κυνίδιον μικρὸν*, ubi Alberti. Theophr. Charact. 21. *καὶ κυναρίου δὲ τελευτήσαντος, αὐτῷ μνῆμα καὶ στηλίδιον ποιήσας ἐπιγράψαι ὁ καλὸς Μελιταῖος*, ubi Ast.

15) Apogr. Dresd. *ἐπιτέρψει.*

16) Apogr. Dresd. *οἰκουργοί.*

17) Apost. Cent. XII. 66. Apogr. Dresd. habet postea *κόταβος.* Apost. habet *πλάταξ. Λάταξ* est reliquum in poculo, ita ejectum, ut resonet (Cic. Tusc. I. 40.). Vide Bach ad Critiae Fragm. p. 30. de cottabo vide Schneid. Lex. Aristoph. Ach.

νην· εἶτα εἰς μακρὰ ποτήρια ἐμβαλόντες οἶνον εἰς ταύτην ἀπὸ ὕψους ἐρρίπτουν ἐπὶ τὸ ψόφον ἐκτελέσαι, ὃς ἐκαλεῖτο κότταβος· ἐπηνεῖτο δὲ ὁ μείζονα ψόφον ποιῶν· ἐκ τούτου οὖν μεθυσοκότταβος.

Μερὶς [18] *οὐ πνίξ· τῶν δυνατωτέρων ἁρπαζόντων τὰς τροφὰς τῶν ἀσθενεστέρων καὶ ἐπὶ τούτῳ ἐκείνων πνιγομένων, ἐπεὶ ἄρα αὐτοῖς βοηθεῖν οὐκ ἐδύναντο, ἐπενοήθη ὁ μερισμός· καὶ ἕκαστος ἑκάστῳ τὸ ἴσον λαμβάνων ἐπεφώνει, μερὶς οὐ πνίξ· ἢ καὶ οὕτως, μερὶς οὐ πνιγή.*

Μετὰ [19] *Λέσβιον ᾠδόν· παρὰ Κρατίνῳ παροιμία λεγομένη· ἐπὶ τῶν τὰ δεύτερα φερομένων· οἱ γὰρ Λακεδαιμόνιοι τοὺς Λεσβίους κιθαρῳδοὺς πρώτους προσεκαλοῦντο· ἀκαταστατούσης γάρ ποτε τῆς πόλεως αὐτῶν χρησμὸς ἐγένετο, τὸν Λέσβιον ᾠδὸν μεταπέμπεσθαι· οἱ δ' ἐξ Ἀντίσσης Τέρπανδρον ἐφ' αἵματι φεύγοντα μεταπεμψάμενοι ἤκουσαν αὐτοῦ ἐν τοῖς συσσιτίοις καὶ κατεστάλησαν· ἢ διότι Λακεδαιμόνιοι στασιάζοντες μετεπέμψαντο ἐκ Λέσβου τὸν μουσικὸν Τέρπανδρον· ὃς ἥρμοσεν αὐτῶν τὰς ψυχὰς, καὶ τὴν στάσιν ἔπαυσεν· εἴποτε οὖν μετὰ ταῦτα μουσικοῦ τινος ἤκουον οἱ Λακεδαιμόνιοι, ἔλεγον, μετὰ Λέσβιον ᾠδόν.*

Μετὰ [20] *γραμμάτων Ἐφεσίων παλαίεις· ἐπὶ τῶν ἐπῳδαῖς ἰσχυόντων.*

Μετὰ Μουσῶν [21]*· ἐπὶ τοῦ πεπαιδευμένου, ἢ κοινῇ ἐπὶ συνόντος ἀπαιδεύτου τοῖς πεπαιδευμένοις· καθ' ὑπόκρισιν δὲ ἀναγνωστέον.*

524. *πόρνην δὲ Σίμαιθαν ἰόντες Μεγάραδε νέοι κλέπτουσι μεθυσοκόττα βοι.*

18) Apost. Cent. XII. 69. Macar. *μερὶς οὐ πνίγει.*

19) Apost. Cent. XII. 70.

20) Apost. Cent. XII. 72. plura addit. Cfr. supra p. 247.

21) Apost. Cent. XII. 71. *μετὰ Μουσῶν Κόρυδος· ἐπὶ τῶν ἀπαιδεύτων πεπαιδευμένοις συνόντων· καθ' ὑπόκρισιν δὲ ἀνα-*

Μετὰ [22] *πόλεμον ταραχὴ ἢ συμμαχία, καὶ μετὰ Μαραθῶνα μάχη· ἐπὶ τῶν μετὰ ὑπόθεσίν τινα ἐπικίνδυνον ἑτέρᾳ ἐντυχόντων οὐκ ἐλάττονι τῆς προτέρας.*

Μέτρῳ [23] *ὕδωρ πίνοντες, ἀμετρὶ δὲ μάζαν ἔδοντες· οὗτος ὁ στίχος εἰς παροιμίαν περιέστη ἔκ τινος χρησμοῦ, ὃν ἀνεῖλεν ὁ θεὸς Συβαρίταις· ὑβρισταὶ γὰρ ὄντες καὶ ἀμετροπόται, ἀπώλοντο ὑπὸ τῶν Κροτωνιατῶν· τοῖς οὖν διαφυγοῦσιν αὐτῶν οὕτως ἐχρήσθη.*

Μέχρι βωμοῦ [24] *φίλος εἰμί.*

Μεταβολὴ [25] *πάντων γλυκύ.*

Μέτρα φυλάσσεσθαι καιρὸς δ' ἐπὶ πᾶσιν ἄριστος.

Τὸ μ μετὰ τοῦ η.

Μητραγύρτου [1] *θάνατος· οὗτος ἐλθὼν εἰς τὴν Ἀττικὴν ἐμύει τὰς γυναῖκας τῇ μητρὶ τῶν θεῶν, ὡς ἐκεῖνοί φασιν· οἱ δὲ Ἀθηναῖοι ἀπέκτειναν αὐτὸν, ἐμβαλόντες εἰς βάραθρον ἐπὶ κεφαλήν· λοιμοῦ δὲ γενομένου ἔλαβον χρησμὸν ἱλάσασθαι τὸν πεφονευμένον καὶ διὰ τοῦτο ᾠκοδόμησαν δικαστήριον, ἐν ᾧ ἀνεῖλον τὸν Μητραγύρτην καὶ παραφράττοντες αὐτὸν καθιέρωσαν τῇ μητρὶ τῶν θεῶν, ἀναστήσαντες καὶ ἀνδριάντα τοῦ Μητραγύρτου· ἐχρῶντο δὲ τῷ μητρῴῳ ἀρχείῳ καὶ νομοφυλακείῳ, καταχώσαντες καὶ τὸ βάραθρον.*

Μήτε κασιγνήτῳ ἴσον ποιεῖσθαι ἑταῖρον· ἀντὶ τοῦ μὴ πρότιμα τοὺς φίλους τῶν ἀδελφῶν.

γνωστέον· ὁμοία τῇ Καρικὴ Μοῦσα.

22) Apost. Cent. XII. 73. Macar. *μετὰ τὴν ἐν Μαραθῶνι μάχην καὶ μετὰ τὸν πόλεμον ἡ συμμαχία.*

23) Apost. Cent. XII. 74. Apost. *ἀμετρίᾳ.* Schneid. Lex. formam *ἀμετρὶ* inter dubias refert, formam *ἀμετρῇ*, quae est apud Diod. Sic. XII. 10. a versu requiri dicens.

24) Plut. Apophth. p. 186. C. de Pericle *πρὸς δέ φίλον τινὰ μαρτυρίας ψευδοῦς δεόμενον. ἢ προσῆν καὶ ὅρκος, ἔφησε, μέχρι τοῦ βωμοῦ φίλος εἶναι.*

25) Eurip. Orest. 234. Ad rem cfr. Wyttenb. ad Plut. p. 210. B.

1) Apost. Cent. XII. 77.

Μηδὲ [2] *ὑπὲρ τὸν πόδα ἔστω τὸ ὑπόδημα· ἔχουν μηδὲν ἔξω τοῦ μέτρου ποίει καὶ τῆς δυνάμεως.*

Μήδε μοι αὐτὴ ὄρνις κακὸς ἐνὶ μεγάροισι πέλεν.

Μηδὲ πολύξειον μηδ' ἄξεινον καλέεσθαι.

Μηδ' Ἡρακλῆς πρὸς δύο [3].

Μηδὲ μέλι μηδὲ μελίσσας [4]· *ἐπὶ τῶν βουλομένων παθεῖν τι ἀπευκταῖον μετὰ ἀγαθοῦ.*

Μηδικὴ τράπεζα [5]· *ἐπὶ τῶν εὐπόρων· ἁβροδίαιτοι γὰρ οἱ Μῆδοι.*

Μήτε νεῖν [6] *μήτε γράμματα, ἐπίστανται δηλονότι· ἐπὶ τῶν ἀπαιδεύτων λίαν· καὶ μηδεμίαν τέχνην ἐπισταμένων. Πλάτων ἐν νόμοις· τοὺς δὲ ἐναντίον ἔχοντας τούτων, ὡς σοφοὺς τε προσρητέον ἂν κἂν τὸ λεγόμενον μήτε γράμματα μήτε νεῖν ἐπιστῶνται.*

Μὴ κακηγόρει τὴν μουσικήν [7]· *ἀντὶ τοῦ μὴ ἀσύμφωνα λέγε. Ἐμηρεπὴς εἶπε τοῦτο Φρύνιδος τοῦ μουσικοῦ σκεπάρνῳ τὰς δύο τῶν ἐννέα γε ἐκτεμών.*

Μὴ μεγάλα λέγε [8]· *τοὺς μεγαλαυχοῦντας ἔλκει πρὸς μετριότητα ἡ παροιμία· ὡς καὶ Θεόγνις,*

2) Ex Luciano pro imagg. *οὐ δὲ τὰ ἀνθρώπινα ταῦτα ἐπαίνει αὐτὴν, μηδὲ ὑπὲρ τ. π. ε. τ. ὑπόδημα.* Cfr. Plut. Apophth. Lacon. p. 208. C. *ἐπαινοῦντος δέ τινος ῥήτορα ἐπὶ τῷ δυνατῶς αὔξειν τὰ μικρὰ πράγματα, οὐδὲ σκυτοτόμον, ἔφησεν (ὁ Ἀγησίλαος), ἡγοῦμαι σπουδαῖον, ὃς μικρῷ παιδὶ ὑποδήματα μεγάλα περιτίθησι.* Clem. Paedag. III. 8. p. 277. 16. *καθάπερ ὁ ποὺς τοῦ ὑποδήματος, οὕτω καὶ τῆς κτήσεως ἑκάστου τὸ σῶμα,* ubi Potter.

3) Vide infr. *Οὐδὲ Ἡρακλῆς π. δ.*

4) Apost. Cent. XII. 96. Macar. *ἐπὶ τῶν μὴ βουλομένων παθεῖν τι φαῦλον μετὰ ἀγαθοῦ.*

5) Apost. Cent. XII. 94.

6) Apost. Cent. XIII. 5. *ἐπὶ τῶν ἀμαθῶν· ταῦτα γὰρ ἐκπαιδόθεν ἐν ταῖς Ἀθήναις ἐμάνθανον.* Nihil amplius. Plat. de legg. III. p. 176. Ast. *ἂν καὶ τὰ λεγόμενον μήτε νεῖν μήτε γράμματα ἐπιστῶνται.* Cfr. Coray ad Heliod. p. 24. *οἱ δὲ Ἀττικοὶ παῖδες μετὰ τῶν γραμμάτων καὶ τὸ κολυμβᾶν ἐδιδάσκοντο, διὰ τὸ θαλασσοκρατεῖν τοὺς Ἀθηναίους ὅθεν καὶ ἡ παρόιμία, μήτε νεῖν, μήτε γράμματα ἐπίστασθαι ἐπὶ τῶν παντάπασιν ἀμαθῶν λεγομένη, ὡς φησιν ὁ Σουΐδας.*

7) Apost. Cent. XII. 82. *μὴ κακούργει.*

8) Macar. *μὴ μεγάλα λέγε, κατὰ παραίνεσιν.*

Μήποτε Κύρν᾽ ἀγορᾶσθαι ἔπος μέγα· οἶδε γὰρ οὐδεὶς
Ἀνθρώπων, ὅ,τι νὺξ χ᾽ ἡμέρα ἀνδρὶ τελεῖ.

Μηδὲ [9] *νεκρῶν θήκας κίνει· ἐπὶ τῶν φιλαργύρων.*

Μὴ [10] *κίνει Καμαρίναν· λίμνη ἦν, ἣν μετοχετεῦσαι βουλόμενοι ἐχρήσαντο τῷ θεῷ· ὁ δὲ εἶπε, μὴ κίνει Καμαρίναν· οἱ δὲ παρακούσαντες ἐβλάβησαν.*

Μὴ κίνει [11] *κακὸν, εὖ κείμενον· ἐπὶ τῶν παρακινούντων τινὰ ἐπὶ σφετέρᾳ βλάβῃ.*

Μὴ θεᾶς ἄνθρωπον ὡς Ἀθάμας· λείπει τὸ ἕλοῦ· ἐπὶ τῶν αἱρουμένων τῶν κρειττόνων τὰ ἥττω.

Μῆλα [12] *Ἑσπερίδων μοι ἐδωρήσω· ἐπὶ τῶν πολυτελῆ χαριζόντων.*

Μὴ πρὸς [13] *λέοντα δορκὰς ἅψομαι μάχης· ἐπὶ τῶν κατ᾽ ἰσχὺν ἀνίσων.*

Μὴ σπεῦδε γῆμαι, πρὶν τελευτήσαντ᾽ ἴδῃς· ἐπὶ τῶν ἀκαίρως καὶ ῥᾳθύμως ποιούντων τι. Εὐμενὴς γὰρ ἐπιβουλευθεὶς ὑπὸ Περσέως ἔδοξε τεθνάναι. Τῆς δὲ φήμης εἰς Πέργαμον κομισθείσης, Ἄτταλος ὁ ἀδελφὸς αὐτοῦ περιθέμενος τὸ διάδημα καὶ τὴν γυναῖκα γήμας ἐβασίλευσε· πυθόμενος δὲ προσιόντα ζῶντα τὸν ἀδελφὸν ἀπήντησεν, ὥσπερ εἰώθει, μετὰ τῶν σωματο-

9) Apost. Cent. XII. 90. apte addit: *ἡ γὰρ Σεμίραμις κατασκευάσασα τάφον, ἐπέγραψεν· ὅστις ἂν χρημάτων δεηθῇ βασιλεὺς, διελὼν τὸ μνημεῖον, ὅσα βούλεται λαμβανέτω. Δαρεῖος οὖν διελὼν χρήματα μὲν οὐχ εὗρε· γράμμασι δὲ ἐνέτυχε, τάδε φράζουσιν· εἰ μὴ κακὸς ἦσθα ἀνὴρ καὶ χρημάτων ἄπληστος, οὐκ ἂν νεκρῶν θήκας ἐκίνεις.*

10) Apost. Cent. XIII. 1. addit: *οἱ δέ φασι βοτάνην δυσωδίαν ἀποπέμπουσαν ἐν τῷ κινεῖσθαι.* Cfr. Virg. Aen. III. 700.

Fatis nunquam concessa moveri
Adparet Camarina procul.

Lucian. Pseudol. c. 32. *ὁρᾷς, ὡς ἄμεινον ἦν σοι, ἀκίνητον τὴν Καμαρίναν ἐᾶν.*

11) Apost. Cent. XII. 95. Macar. *μὴ κινεῖν κακὸν εὖ κείμενον· ἐπὶ τῶν ἑαυτοῖς ἐξ ἀνοίας πράγματα ἐγειρόντων.*

12) Apost. Cent. XIII. 8. *μῆλα μοι Ἑσπ.* plura addit.

13) Apost. Cent. XII. 98.

φυλάκων, δοράτιον ἔχων, ὁ δὲ Εὐμενὴς φιλοφρόνως ἀσπασάμενος αὐτὸν καὶ πρὸς τὸ οὖς εἰπὼν τοῦτο, οὐδὲν ἄλλο παρὰ πάντα τὸν βίον οὔτ᾽ εἶπεν ὕποπτον, οὔτ᾽ ἐποίησεν, ἀλλὰ καὶ τελευτῶν ἐκείνῳ τὴν γυναῖκα καὶ τὴν βασιλείαν ἀπέλιπεν.

Μὴ μνησικακήσῃς εἰ σὺ φυλὴν κατέλαβες.

Μή ποτ᾽ εὖ ἔρδειν γέροντας, μηδὲ γυναῖκα, μηδὲ παῖδα, μηδὲ κύνα τινὸς, μηδὲ λάλον κωπηλάτην.

Μὴ [14] *τέφραν φεύγων εἰς ἀνθρακιὰν πέσῃς.*

Μήτε [15] *τυφλὸν ὁδηγὸν μήτε ἀνόητον σύμβουλον.*

Τὸ $\overline{\mu}$ *μετὰ τοῦ* $\overline{\iota}$.

Μία [1] *χελιδὼν ἔαρ οὐ ποιεῖ· βούλεται δὲ εἰπεῖν, μία ἡμέρα οὐ ποιεῖ τὸν σοφὸν εἰς τελείωσιν ἐμβαλεῖν.*

Μίδου [2] *χρήματα· ἐπὶ τῶν ἄγαν πλουσίων· οὗτος ὁ Μίδας σφόδρα πλούσιος ἦν· ἤτησε δὲ, ὥς φασι, τοὺς θεοὺς, ὅτι ἂν εἰς χεῖρας λάβῃ χρυσὸν γενέσθαι· καὶ τυχὼν τῆς εὐχῆς λιμαγχονηθεὶς* [3] *ἀπέθανεν· ὅσα γὰρ ἐλάμβανεν, εἰς χρυσὸν μετεβάλλετο· μυθεύονται δὲ αὐ-*

14) Apost. Cent. XII. 81.

15) Apost. Cent. XIII. 2. Macar. addit: *Μηδὲν ὑπὲρ τὸν καλάποδα· παρεγγυᾷ μηδὲν ὑπὲρ τὸ μέτρον πράττειν. — Μὴ σπεῦδε πλουτεῖν, καὶ ταχέως πλουτεῖς. — Μηδὲν ἄγαν· ἑνὸς τῶν ἑπτὰ σοφῶν τὸ ἀπόφθεγμα. — Μὴ πῦρ ἐπὶ πῦρ· παρεγγυᾷ, μὴ κακοῖς ἐπισωρεύειν κακά. — Μὴ παιδὶ ξίφος· ἐπὶ τῶν τὰ ἀσυμφορά τισι διδόντων. — Μὴ πρὸς ἐμὲ τὰ ποικίλα ἀντὶ τοῦ τὰς τέχνας. — Μὴ λόγους ἀντ᾽ ἀλφίτων. — Μὴ κινεῖν ἀκίνητα.*

1) Apost. Cent. XIII. 14. plura affert. Macar. interpretationem *om.* Eustath. Ep. X. p. 520. ed. Tafel. *εἰ καὶ μίαν χελιδόνα μὴ ποιεῖν ἔαρ ἡ παροιμία φησὶν, ἀλλ᾽ ἡμῖν ἡ σὴ μία χελιδὼν, τὸ βραχὺ ἐπιστόλιον, ἔαρ ἐν αὐτῷ χειμῶνι ὑπήνοιξεν ἡδονῆς.*

2) Apost. Cent. XIII. 19. aliam Maximi Tyrii fabulam subjungit. Plat. Pol. III. p. 408. B. *οὐδε θεραπευτέον αὐτούς, οὐδ᾽ εἰ Μίδου πλουσιώτεροι εἶεν.* Legg. II. p. 96. Ast. *ἐὰν δὲ ὅρα πλουτῇ μὲν Κινύρα τε καὶ Μίδα μᾶλλον.*

3) Apogr. Dresd. *λιμαγχωνηθείς.*

τὸν καὶ ὦτα ὄνου ἔχειν, ὅτι τὰ τῆς ἀκοῆς αἰσθητήρια μέγιστα εἶχεν, οἷάπερ ὄνος· τὸ δὲ ἀληθὲς, ὅτι πολλοὺς εἶχεν ὠτακουστὰς, ὡς πάντ᾽ ἔχειν γινώσκειν τὰ ἐν τῇ ὑπ᾽ αὐτὸν χώρᾳ λεγόμενα καὶ πραττόμενα.

Μία [4] *λόχμη δύο ἐριθακοὺς οὐ τρέφει· ἐριθακὸς δέ ἐστιν ὄρνεον μονῆρες καὶ μονότροπον.*

Μικρὸς [5] *ἡλίκος Μόλων· ἐπὶ τῶν πάνυ βραχέων.*

Μιᾶς γὰρ χειρὸς ἀσθενὴς μάχη· ὁμοία τῇ· εἷς ἀνὴρ οὐδεὶς ἀνήρ.

Μικρὸν [6] *τὸ ὀβολοῦ τίμιον· λέγεται ἐπὶ τῶν πονηρῶν.*

Μικρόθεν [7] *ἡ ἀγαθὴ ἄκανθα φαίνεται· ἐπὶ τῶν ἐκ πρώτης ἡλικίας φαινομένων ἀγαθῶν γενέσθαι.*

Μισῶ [8] *πονηρὸν χρηστὸν ὅτ᾽ εἴπῃ λόγον.*

Μισῶ [9] *μνήμονα συμπότην.*

Μισῶ [10] *σοφιστὴν ὅστις οὐχ αὑτῷ σοφός.*

Μισῶ τὸν ἄνδρα τὸν διπλοῦν πεφυκότα.

Χρηστὸν λόγοισι, πολέμιον δὲ τοῖς τρόποις.

Τὸ μ μετὰ τοῦ ο.

Μόσχος [1] *ᾄδων Βοιώτιον· Μόσχος φαῦλος κιθαρῳδὸς, πολλὰ ἀπνευστὶ ᾄδων· τὸ δὲ Βοιώτιον οὕτω*

4) Apost. Cent. XIII. 21.

5) Apost. Cent. XIII. 22. Aristoph. Ran. 55.

6) Apost. Cent. XIII. 23.

7) Apost. Cent. XIII. 24.

8) Stob. T. 2. 5. *Μενάνδρου.*

9) Apost. Cent. XIII. 20. addit quaedam. Stob. T. 18. 28. Lucian. Conviv. c. 3. *μισῶ γάρ, φησι καὶ ὁ ποιητικὸς λόγος, μνάμονα συμπότην.*

10) Apost. Cent. XIII. 20. addit: *ἐπὶ τῶν διὰ μισθὸν ἢ δι᾽ ἄλλο τι διδασκόντων.* Macar. addit: *Μικρὸς ὄνος ἀεὶ πῶλος· ἐπὶ τῶν διὰ βραχύτητα ἡλικίας νέων ἀεὶ λογιζομένων. Μία μέλισσα μέλι οὐ ποιεῖ. Μικρὸν κακὸν, μέγα ἀγαθόν.*

1) Apost. Cent. XIII. 27. De forma *τὸ δὲ Βοιώτιον οὕτω καλούμενον* vide Schaef. Melet. Crit. p. 14.

καλούμενον εὗρε Τέρπανδρος· ὥσπερ καὶ ὁ Φρύξ τὸν Φρύγιον [2].

Μόλις τὸ πρᾶγμ᾽ ἔγνωσαν ἀναμασσόμενοι.

Μόναι [3] Λάκαιναι ἄνδρας τίκτουσιν· παρόσον ἐκεῖναι γενναιοτάτους παῖδας τίκτουσιν.

Μολὼν [4] λαβέ· Λεωνίδας Ξέρξου γράψαντος αὐτῷ, πέμψον τὰ ὅπλα, ἀντέγραψε τοῦτο, δηλῶν, ὅτι ἐκὼν εἶναι οὐ δώσει.

Μουσικῆς δ᾽ ἔρως διδάσκει, κἂν ἄμουσος ᾖ τὸ πρίν.

Τὸ μ μετὰ τοῦ ν.

Μυκόνειος [5] γείτων· αὕτη τάττεται κατὰ τῶν διαβεβλημένων ἐπὶ σμικρότητι καὶ σμικροπρεπείᾳ, παρὰ τὴν σμικρότητα τῆς νήσου τῆς Μύκωνος καὶ εὐτέλειαν.

Μύδας [6] ὀφθαλμοὺς Ἰνδικὸς δοκιμάζει· ἔστι δὲ ὁ μύδας λίθος ἐν Ἰνδίᾳ, διττὰ ἀφιεὶς τὰ σέλα, τοῖς μὲν πονήρως ἔχουσι τῶν ὀμμάτων [7] δριμὺ καὶ πυρῶδες καὶ ἐπιεικῶς φλογωπὸν, τοῖς δὲ κατὰ φύσιν καὶ ῥωστικὸν καὶ σωτήριον.

Μῦς [8] ἔδηξε Βρασίδαν ἐν ἰσχάσιν· ὅτι δεῖ καὶ τὸν μικρὸν φυλάττεσθαι.

Μύλος [9] πάντ᾽ ἀκούει· ἐπὶ τῶν προσποιουμένων μὲν μὴ ἀκούειν, ἀκουόντων δέ.

Μυκωνίων [10] δίκην ἐπεισπέπαικεν εἰς τὰ

2) Apogr. Dresd. *ὥσπερ ὁ Φρύγιος.*

3) Apost. Cent. XIII. 30.

4) Apost. Cent. XIII. 29. Plut. Apophth. Lacon. p. 225. D.

5) Apost. Cent. XIII. 32. Julian. Misop. 347. D. *Μύκωνος ἀγροικίαν* ad eandem insulam refert Petavius (coll. Eustath. ad Od. ρ.) legere suadens *Μυκόνιος*. Non male conveniunt cum hac conjectura, quae mox sequuntur: *Μυκωνίων δίκην* etc.

6) Apost. Cent. XIII. 34.

7) Codd. *σωμάτων.*

8) Apost. Cent. XIII. 35. aliena quaedam adjicit. Vide apophth. sub nomine *Βρασίδου.*

9) Apost. Cent. XIII. 38. addit: *ὁ δὲ Μύλος ἦν ποιητὴς κωμῳδιῶν, ὃς μὴ ἀκούειν ὑπεκρίνετο.*

10) Apost. Cent. XIII. 33.

συμπόσια· διὰ γὰρ τὸ πένεσθαι διεβέβλητο ἐπὶ αἰσχρότητι· εἴρηται δὲ ἐπὶ τῶν ἀκλήτως εἰσιόντων εἰς τὰ συμπόσια.

Μυρρίνων [11] *ἐπιθυμεῖς· τουτέστιν ἀρχῆς μυρρίναις γὰρ στεφανοῦνται οἱ ἄρχοντες.*

Μῦς λευκὸς [12]*· ἐπὶ τῶν ἀκρατῶν περὶ τὰ ἀφροδίσια ἡ παροιμία εἴρηται· οἱ γὰρ κατοικίδιοι μῦες ἄγαν πρὸς τὴν ὀχείαν κεκίνηνται, καὶ μάλιστα οἱ λευκοί· οὗτοι δέ εἰσιν θήλεις.*

Μῦς [13] *δακὼν παῖδ' ἀπέφυγε· παρόσον καὶ οἱ μικροὶ τοὺς μεγάλους λυποῦσιν ἐνίοτε.*

Μῦς [14] *ἄρτι πίσσης γένεται· ἐπὶ τῶν νεωστὶ πασχόντων κακῶς καὶ ἀπαλλασσόντων.*

Μῦς [15] *γαλῆν ἐλέγξει τὴν τέως νύμφην· ἐπὶ τῶν μεγάλα ἐπαγγελλομένων καὶ τῷ χρόνῳ ἐξελεγχομένων· ὁμοία ἐστὶ τῇ· ὑπὸ τῇ λεοντῇ πάλιν ὄνος ὀγκήσεται, καὶ τῇ· φωνήσας ὁ κόραξ πονήσεται.*

Μῦς [16] *εἰς τρώγλην οὐ χωρῶν κολοκύνταν ἔφερεν· ἐπὶ τῶν ἑαυτοῖς μὴ δυναμένων καὶ ἄλλοις θελόντων βοηθῆσαι καὶ περιποιήσασθαι.*

Τὸ μ μετὰ τοῦ ω.

Μωρότερος [1] *Μωρύχου· ἐπὶ τῶν εὐηθές τι διαNῦν δέ ποτ', ὡς μῦς (φαντὶ) Θυώνυχε, γεύμεθα πίσσας.*

Athen. I. p. 7. *ὡς ἀκλήτου ἐπεισπαίοντος εἰς τὰ συμπόσια Μυκωνίων δίκην.*

11) Apost. Cent. XIII. 40. Arsen. *μυρρίνων ἀρχῆς ἐπιθυμεῖς.*

12) Apost. Cent. XIII. 43. addit: *τῶν δὲ μυῶν ὁ φωλεὺς μυωξία λέγεται.*

13) Apost. Cent. XIII. 42.

14) Apost. Cent. XIII. 47. Macar. *μῦς πίττης γεύῃ· ἐπὶ τῶν νεωστὶ κακοῖς ἐντυγχανόντων.* Cfr. Theocrit. Id. XIV. 51.

Cfr. Schol. et supra sub *ἄρτι μῦς.*

15) Apost. Cent. XIII. 48.

16) Apost. Cent. XIII. 49. Apogr. Dresd. *κολοκοίταν.* — Macar. addit: *Μυσῶν ἔσχατος· ἐπὶ τῶν ἐσχάτων καὶ ἀδόξων. — Μῦθοι Καμαρινα ῖοι· οἱ μακροὶ λόγοι καὶ ληρώδεις.*

1) Apost. Cent. XIII. 50. *Μορύχου.* Macar. *μωρότερος προβάτου, καὶ μωρότερος Μορύχου·*

πραττομένων· οὗτος γὰρ ὁ Μώρυχος τὰ ἔνδον ἀφεὶς ἔξω τῆς οἰκίας ἐκάθητο· λέγεται δὲ παρὰ Σικελιώταις Μώρυχος καὶ Διόνυσος, διὰ τὸ μολύνεσθαι αὐτὸν τὸ πρόσωπον ἐν τρυγί.

Μωρὸς [2] σιωπᾷν οὐ δύναται.

Μωρὰ μωρὸς λέγει.

Μωρότερος Κορύβου· καὶ οὗτος ἀρχαῖος μωρός.

Μωμήσεται [3] μᾶλλον ἢ μιμήσεται· ἐπὶ τῶν ἀπαιδεύτων, καὶ ὅτι τὸ ψέγειν τοῦ μιμεῖσθαι ῥᾴτερον.

Μῶσα γε καλλιόπα, θύγατερ Διὸς ἄρχ' ἐρατῶν ἐπέων ἐπὶ δ' ἵμερον ὕμνω καὶ χαρίεντα τίθει χορόν.

ΑΠΟΦΘΕΓΜΑΤΑ.

Μέμνωνος.

Μέμνων [1] ὁ Ἀλεξάνδρῳ πολεμῶν ὑπὲρ Δαρείου τοῦ βασιλέως μισθοφόρον τινὰ πολλὰ βλάσφημα καὶ ἀσελγῆ περὶ Ἀλεξάνδρου λέγοντα κατάξας τῇ λόγχῃ, ἐγώ σε, εἶπε, τρέφω μαχούμενον, ἀλλ' οὐ λοιδορούμενον Ἀλεξάνδρῳ.

Μόλτος ὁ τῶν [2] Θρᾳκῶν βασιλεὺς, ἐν τῷ Τρωϊκῷ πολέμῳ πρεσβευσαμένων πρὸς αὐτὸν ἅμα τῶν Τρώων καὶ

ἐπὶ τῶν εὐήθων καὶ ἀλογίστων. Cfr. Ruhnk. ad Tim. Lex. s. v. Μορυχαία.

2) Apost. Cent. XIII. 51.

3) Apost. Cent. XIII. 53. Macar. μωμήσεταί τις (Cod. τι) μ. ἢ μιμ. Apollodori pictoris apophthegma. Plut. de glor. Atheniens. c. 2. Cfr. Welcker Sylloge Epigramm. p. 274. Plut. de audit. p. 40. C. τὸ μὲν γὰρ ἀντειπεῖν οὐ χαλεπὸν, ἀλλὰ καὶ πάνυ ῥᾴδιον εἰρημένῳ λόγῳ, τὸ δ' ἕτερον ἀνταναστῆσαι βελτίονα παντάπασιν ἐργῶδες. Lucian. Jup. Trag. c. 23. ἐστὶ μὲν γάρ, ὡς ὁ θαυμαστὸς Δημοσθένης ἔφη, (Olynth. I. p. 13.) τὸ μὲν ἐγκαλέσαι καὶ μέμψασθαι, καὶ ἐπιτιμῆσαι ῥᾴδιον καὶ τοῦ βουλομένου παντός· τὸ δὲ ὅπως τὰ παρόντα βελτίω γένηται, συμβουλεῦσαι, τοῦτ' ἔμφρονος ὡς ἀληθῶς συμβούλου.

1) ὁ impress. om.

2) τῶν Laur. om.

τῶν Ἀχαιῶν ἐκέλευσε τὸν Ἀλέξανδρον ἀποδόντα τὴν Ἑλένην, δύο παρ' αὐτοῦ λαβεῖν.

Μνασίας [3] ὁ Παταρεὺς τοὺς Αἰγιεῖς φησι τοὺς ἐν τῇ Ἀχαΐᾳ νίκην ἀραμένους κατὰ τῶν Αἰτωλῶν διὰ ναυμαχίας τὴν πεντηκόντορον τούτων ναῦν ἀναθέσθαι Πυθοῖ, καὶ ἐπαρθέντας ἐπὶ τῇ νίκῃ ἐρωτῆσαι, τίνες τῶν Ἑλλήνων ἐπ' ἀνδρείᾳ κρείττους εἰσί. Τὴν δὲ Πυθίαν τοῖτον ἐξενεγκεῖν τὸν χρησμόν [4].

Γαίης μὲν πάσης τὸ Πελασγικὸν Ἄργος ἄμεινον,
Ἵπποι Θεσσαλικαὶ, Λακεδαιμόνιαι δὲ γυναῖκες,
Ἄνδρες δ' οἳ πίνουσιν ὕδωρ καλῆς Ἀρεθούσης,
Ἀλλ' ἔτι καὶ τῶν εἰσὶν ἀμείνονες, οἳ τὸ μεταξὺ
Τίρυνθος ναίουσι καὶ Ἀρκαδίης πολυμήλου,
Ἀργεῖοι λινοθώρηκες, κέντρα πτολέμοιο,
Ὑμεῖς δ' Αἰγιέες οὔτε τρίτοι οὔτε τέταρτοι,
Οὔτε δυωδεκαταῖοι, οὔτ' ἐν λόγῳ οὔτ' ἐν ἀριθμῷ.

Μίνδαρος ὁ τῶν Λακεδαιμονίων ναύαρχος ἀπὸ τῆς ἥττης φυγὼν εἰς Ἄβυδον τὰς πεπονηκυίας ναῦς ἐπεσκεύασε, καὶ πρὸς τὰς ἐν Εὐβοίᾳ τριήρεις ἀπέστειλεν Ἐπικλέα τὸν Σπαρτιάτην, προστάξας ἄγειν τὴν ταχίστην· ὃς ἐπεὶ κατέπλευσεν εἰς Εὔβοιαν ἀθροίσας τὰς ναῦς οὔσας πεντήκοντα [5] κατὰ σχολὴν ἀνηνέχθη, καὶ κατὰ τὸν Ἄθω γενομένων τῶν τριηρῶν ἀπεγενήθη χειμὼν τηλικοῦτος, ὥστε τὰς μὲν [6] ναῦς ἁπάσας ἀπολέσθαι, τῶν δὲ ἀνδρῶν δώδεκα μόνους διασωθῆναι· δηλοῖ δὲ τὸ περὶ τοίτων ἀνάθημα κείμενον ἐν τῷ περὶ | Κορώνειαν νεῷ, καθάπερ φησὶν Ἔφορος τὴν ἐπιγραφὴν ἔχον ταύτην·

Οἵδ' ἀπὸ πεντήκοντα νεῶν θάνατον προφυγόντες
Πρὸς σκοπέλοις Ἄθω σώματα γῇ πέλασαν

3) Hoc et sqq. Laur. non habet.

4) Vid. Strab. Lib. X. p. 689. Matth.

5) In marg. κατὰ σπουδὴν ἀνηνέχθη. Matth. ita impr.

6) μὲν abest ab impress.

Δώδεκα· τοὺς δ' ἄλλους ὄλεσε μέγα λαῖτμα θαλάσσης,
Νῆας στυγεροῖς πνεύμασι χρησαμένους.

* *Μ ε ν ά ν δ ρ ο υ.*

Μένανδρος εἶπεν,. οὐδέποτε θύων ηὐξάμην ἄλλως σώζεσθαι τὴν οἰκίαν, ἢ στάσιν οἰκετῶν εἶναι ἐν αὐτῇ, ἐκ τοῦ Ὁμήρου τοῦτο λαβών, Ἰλιάδος φ'· ἄϊε Ζεύς· ἥμενος Ὀλύμπῳ, ἐγέλασσε δὲ οἱ φίλον ἦτορ γηθοσύνῃ, ὅθ' ὁρῶτο θεοὺς ἔριδι ξυνιόντας.

Χαίρει γὰρ, ἵνα ἐπιτεθῇ τέλος τῷ προστάγματι, καὶ Ἀγαμέμνων ἔχαιρεν, ὅτ' ἄριστοι Δαναῶν δηριόωντο, ἐπεὶ ἐώρα περὶ ἀρετῆς αὐτοὺς ἀγωνιζομένους [7].

Μ η τ ρ ο δ ώ ρ ο υ.

Μητρόδωρος εἶπεν, ἐν πόλει μήτε ὡς λέων ἀναστρέφου, μήτε ὡς κώνωψ, τὸ μὲν γὰρ ἐκπατεῖται, τὸ δὲ καιροφυλακεῖται.

* *Μ ν η σ ι μ ά χ ο υ.*

Μνησίμαχος ὁ κωμικὸς περὶ ὕπνου διαλεγόμενός φησιν· ὕπνου τὰ μικρὰ τοῦ θανάτου μυστήρια· ὁ μὲν γὰρ θάνατος ἀπὸ ἰσχυρᾶς γίγνεται καὶ τελείας λύσεως σώματος, ὁ δὲ ὕπνος ἀπὸ μικρᾶς καὶ καιρὸν ἐχούσης· ἀμφότεροι δὲ κακῶν ἀναπαύουσι, καὶ ὁ μὲν χωρίζει ψυχὴν, ὁ δὲ συστέλλει μικρὸν, καὶ ὁ μὲν διαλύει αἰσθήσεις, ὁ δὲ στερίσκει μόνον· διατρίβει δ' ὁ ὕπνος ἐν Λήμνῳ, ὡς Ὅμηρος Ἰλιάδος ξ'.

Λῆμνον δ' εἰσαφίκανε πόλιν θείοιο Θόαντος,
Ἔνθ' ὕπνῳ ξύμβλητο κασιγνήτῳ θανάτοιο.

7) In impr. sequitur: *Ὁ αὐτὸς εἶπεν· Ἅπαντα τὰ ζῶα ἐστὶ μακαριώτατα* etc. etc. et: *Τοῦ αὐτοῦ· Τὸ ἀργύριον εἶναι μειράκιόν σοι φαίνεται* etc.

Ὅτι Λήμνου μὲν ἦν δεσπότης ὁ Ἥφαιστος, γυνὴ δὲ τούτου χάρις· Πασιθέας δὲ τῆς χάριτος ἀδελφῆς ἐρωτικῶς ἔχων ὁ ὕπνος ἐκεῖσε διέτριβε· ταύτην δὲ αὐτῷ ἐπαγγέλλεται γυναῖκα δώσειν ἡ Ἥρα· γίγνεται δὲ καὶ φυσικώτερον· ὅτι οἰνοφόρος ἡ Λῆμνος καθὼς λέγει·

Νῆες δ' ἐκ Λήμνοιο παρέστασαν οἶνον ἄγουσαι·
τοῖς δὲ πολυποτοῦσιν ὁ ὕπνος μάλιστα ἕπεται..

* Μοσχίωνος.

Συνέσει, δόξῃ πρόσθεν καὶ γένει μέγας
Ἄργους δυνάστης, λιτὸς ἐκ τυραννικῶν
Θρόνων, προσίκτην θάλλον ἠγκαλισμένος
Ἔστειχεν εἰς γῆν, σῶμα συμπαθὲς φέρων,
Καὶ πᾶσι δεικνὺς ὡς τὰ λαμπρὰ τῆς τύχης
Τὴν κτῆσιν οὐ βέβαιον ἀνθρώποις νέμει.
Ὃν πᾶς ἀστῶν ἠλέησεν εἰσιδών.
Ἅπας δὲ χεῖρα καὶ προσήγορον φάτην
Ὤρεξε· κανθοὺς τ' ἐξέτηξε δακρύοις·
Τύχαις συναλγῶν· τἀξίωμα γὰρ νοσοῦν
Τὸ πρόσθεν, πολλοῖς οἶκτον εὐπορεῖ βροτῶν..

* Μυρωνίδου.

Μυρωνίδης παρήγγειλεν ἔξοδον Ἀθηναίοις ἐπὶ Βοιωτοὺς στρατεύων· ἐνστάσης δὲ τῆς ὥρας καὶ τῶν λοχαγῶν λεγόντων μηδέπω πάντας παρεῖναι, πάρεισιν, εἶπεν, οἱ μέλλοντες μάχεσθαι, καὶ χρησάμενος αὐτοῖς προθύμοις ἐνίκησε τοὺς πολεμίους.

* Μῶλυ. Ὀδυσσείας κ.

Τὸ μῶλυ ἀλληγορεῖται πρὸς τὴν παιδείαν· ἧς ἡ μὲν ῥίζα μέλαινα, διὰ τὸ οἷον σκοτεινὸν καὶ δυσόρατον τοῦ τέλους· τὸ δὲ ἄνθος λευκὸν κατὰ γάλα διὰ τὴν τοῦ τέ-

λους φαιδρότητα καὶ λαμπρότητα· ἤδη δὲ ἡδὺ καὶ τρόφιμον· ἐκ γαίης δὲ ἐρύσας ἀντὶ τοῦ ἐπικύψας αὐτόθεν λαμβάνει, ὥσπερ τι εὐπόριστον φάρμακον· ἐπεὶ οὐκ ἔν τινι τόπῳ τὰ τῆς παιδείας περιγέγραπται, ἀλλ᾽ ὅποιπερ ἂν γένοιτό τις, ἔστιν εὑρεῖν τὸ καλὸν τοῦτο φυτόν. Μῶλυ δέ, φασι, λέγεται παρὰ τὸ μωλύειν, ὅ ἐστιν ἀφανίζειν τὰ φάρμακα. Ἀλέξανδρος δὲ ὁ Πάφιος μυθολογεῖ Πικόλαον ἕνα τῶν γιγάντων, φυγόντα τὸν κατὰ Διὸς πόλεμον, τὴν τῆς Κίρκης νῆσον καταλαβεῖν, καὶ πειρᾶσθαι ἐκβαλεῖν αὐτήν· τὸν πατέρα δὲ ἥλιον ὑπερασπίζοντα τῆς θυγατρὸς ἀνελεῖν αὐτὸν, καὶ τοῦ αἵματος ῥυέντος εἰς γῆν φῦναι βοτάνην, καὶ κληθῆναι μῶλυ διὰ τὸν μῶλον, ὅ ἐστι πόλεμον, ἐν ᾧ ἔπεσεν ὁ γίγας, χαλεπὸν δέ τ᾽ ὀρύσσειν μέχρι πείρατος ῥίζης, ἐπεὶ παιδείας ἄκρον δυσχερὲς ἐξευρεῖν· μυθικῶς δὲ, ἐπειδή, φησιν, ἑλκόμενον θάνατον ἐπιφέρει τῷ ἀνασπῶντι, ὡς καὶ μανδραγόρας· θεοὶ δέ τε πάντα δύνανται, ἐπεὶ θεόσδοτον ἀγαθὸν ἡ παιδεία· Ἑρμείας δ᾽ ἔπειτ᾽ ἀπέβη, ἅτε δὴ οὐράνιον ὢν ἀγαθόν.

Μητραγύρται [8].

Μητραγύρται οἱ τῇ μητρὶ τῶν θεῶν τῇ Ῥέᾳ ἀνακείμενοι γοητειῶν καὶ φίλτρων κατασκευασταὶ, οὓς καὶ πάλους [9] *καλοῦσιν, ἀποκόπους ὄντας τῶν γεννητικῶν μορίων καὶ πρὸς τὰ ἀσχήμονα πάθη ἑτοιμοτάτους* [10].

Ἀρχὴ τοῦ $\overline{\nu}$ στοιχείου.

Τὸ $\overline{\nu}$ μετὰ τοῦ $\overline{\alpha}$.

Ναῦς [1] *ἱκετεύει πέτρας· ἐπὶ τῶν σφόδρα ἀναι-*

8) Cod. ἑτοιμοτάτους.
9) Malim γάλλους.
01) Ex Laur. recepi.
1) Apost. Cent. XIII. 55.

σθήτων καὶ ἀδυσωπήτων ὡς τό [2]· ἀνδριάντι πρεσβεύσωμεν.

Ναῦς [3] παλαιὰ πόντῳ οὐχὶ πλωΐμη· ἐπὶ τῶν μηδὲν συντελούντων.

Ναῦς [4] ἡ μεγίστη κρεῖσσον ἢ μικρὸν σκάφος.

Ναῦν [5] τοι μί᾽ ἄγκυρ᾽ οὐδαμῶς σώζειν φιλεῖ.

Νάνος [6] ὢν ἴπεικε· ἐπὶ τῶν μικρῶν· οὕτω Νεοκλείδης καὶ Ἀριστοτέλης· ὁ δὲ Θεόφραστος· ὡς νάνον καὶ αἰδοῖον ἔχοντα μέγα· οἱ γοῦν νάνοι μέγα αἰδοῖον ἔχουσι.

Τ̀ο ν μετὰ τοῦ ε.

Νέα [7] χελιδών· ἐπὶ τῶν ἐξαπατώντων τινάς.

Νεότης [8] μ᾽ ἐπῆρε καὶ σθένος, τοῦ νοῦ πλέον.

Νέων [9] γὰρ ἀνδρῶν πολλὰ κἀμπτονται φρένες. Ἀγάθωνος.

Νέος [10] φιλοδοξῶν πρωΐμως πονηρία.

Νεκρῷ [11] μῦθον εἰς οὓς ἔλεγεν· ἐπὶ τοῦ μὴ ἐπαΐοντος καὶ ἐπὶ τῶν ἀναισθήτων.

Νεκρὸν [12] μυρίζεις· ἐπὶ τῶν ἀδυνάτων.

Νεκρὸς [13] κεῖται βδέων· ἐπὶ τῶν ἀπόρων, εὐπορεῖν δὲ προσποιουμένων.

2) Apogr. Dresd. τῷ.

3) Apost. Cent. XIII. 57. Macar. ἐπὶ τῶν εἰς μηδὲν συντελούντων.

4) Stob. T. 59. 13. Εὐριπίδου Ἐρεχθέως.

5) Stob. T. 43. 3. Apost. Cent. XIII. 56. addit: Εὐριπίδου.

6) Apost. Cent. XIII. 58. Apponimus, quae Schol. ad Clem. Paedag. III. 4. p. 271. notavit: Μέλιταῖον κυνίδιον μικρὸν χθαμαλόν, ὃ νανούδιον καλοῦσι κατὰ στέρησιν τοῦ ἄνω ἴέναι, ἔστι γὰρ ὑποκοριστικὸν τοῦ νάνος, νάνον δὲ τὸν μικρὸν φασιν ἄνθρωπον. Aristotelem H. A. V. 24. νάνον de pumilione usurpare notat Schneid. Lex., quem vide.

7) Apost. Cent. XIII. 59.

8) Stob. T. 52. 2. Εὐριπίδου Ἀνδρομέδας.

9) Stob. T. 52. 6.

10) Stob. T. 52. 7. Μητροδώρου.

11) Apost. Cent. XIII. 62. Macar. νεκρῷ λέγου μῦθος εἰς οὓς· ἐπὶ τῶν ἀναισθήτων.

12) Apost. Cent. XIII. 63.

13) Apost. Cent. XIII. 64.

Νεκρὸς [14] *οὐ δάκνει· διότι οἱ τοὺς ἐχθροὺς φθείροντες οὐ λυποῦνται.*

Νεοκλείδου [15] *κλεπτίστερος· οὗτος τυφλὸς ὢν τοὺς βλέποντας ὑπερηκόντισεν.*

Νεκρὸν Ἀφροδίτη Διονύσου δίχα καὶ Δήμητρος.

Νέους φίλους ποιῶν, ὦ λῷστε, τῶν παλαιῶν μὴ ἐπιλανθάνου.

Νέμεσις [16] *δέ γε παρὰ πόδας βαίνει· παρόσον μέτεισι ταχέως ἡ δαίμων τοὺς ἡμαρτηκότας.*

Νεφέλας [17] *ξαίνεις· ἐπὶ τῶν ἀδυνάτων.*

Νεοττοῦ οὐδέν [18] *μοι δίδως· ἐπὶ τῶν ἀμεταδότων· νεοττὺς γὰρ λέγεται ἡ τοῦ ὠοῦ λέκιθος καὶ τὸ πυρρόν.*

Τὸ ν μετὰ τοῦ η.

Νήϊα [1] *καὶ κωπέας ἀνθ' ὅπλων ἠλλάξαντο· ἐπὶ τῶν μὴ τηρούντων τὰς ἑαυτῶν τέχνας δόξης ἐπιθυμίᾳ· νήϊα δὲ λέγονται τὰ τῆς νηὸς σχοινία, κωπέες δὲ τὰ πρὸς κώπας ἐπιτήδεια ξύλα.*

Νήπιος [2] *ὃς πατέρα κτείνας, παῖδας καταλείπει.*

Νὴ τὼ σιὼ [3]*, τέχνη ἄνευ τῆς ἀληθείας ἧφθαι οὔτ' ἐστὶν οὔτε μήποτε γένοιτο· Λάκων εἶπε μεγαλυνομένου τινὸς ῥήτορος ἐπὶ ῥητορικῇ.*

14) Apost. Cent. XIII. 65.

15) Apost. Cent. XIII. 61. ex Aristoph. Plut. 665.
Εἷς μέν γε Νεοκλείδης, ὅς ἐστι μὲν τυφλὸς,
Κλέπτων δὲ τοὺς βλέποντας ὑπερηκόντισεν.
Apogr. Dresd. *τοὺς κλέπτοντας ὑπερηκόντιζεν.*

16) Apost. Cent. XIII. 67.

17) Apost. Cent. XIII. 66.

18) Apost. Cent. XIII. 68. et Laur. plura addunt.

1) Apost. Cent. XIII. 70.

2) Clem. Strom. VI. p. 747. 25. *πάλιν Στασίνου ποιήσαντος. νήπιος κ. τ. λ. Ξενοφῶν λέγει, ὁμοίως γάρ μοι νῦν φαίνομαι πεποιηκέναι, ὡς εἴ τις πατέρα ἀποκτείνας, τῶν παίδων αὐτοῦ φείσαντο.* Apogr. Dresd. *ἐγκαταλίποι.*

3) Apost. Cent. XIII. 72. — — *ἧφθη τουτέστιν, οὔτε μήποτε γένοιτο.* Sumtum ex Plut. Apophth. Lacon. p. 233. B.

Νηφάλια ξύλα [4], *τὰ μὴ ἀμπέλινα μηδὲ σύκινα μηδὲ μύρσινα· ἐκεῖνα γὰρ οἰνόσπονδα λέγεται.*

Νῆφε καὶ μέμνησο ἀπιστεῖν. Ἐπιχάρμου.

Νήπιοι [5] *οὐδ' ἴσασιν, ὅσῳ πλέον ἥμισυ παντός. Πλάτων ἐν τοῖς νόμοις* [6] *ὥσπερ ἐξηγούμενος τοῦτό φησιν· ἆρα οὐκ ἀγνοήσαντες τὸν Ἡσίοδον ὀρθότατα λέγοντα ὡς τὸ ἥμισυ τοῦ παντὸς πολλάκις ἔστι πλέον· ὁπόταν ᾖ τὸ μὲν ὅλον λαμβάνειν ζημιῶδες, τὸ δὲ ἥμισυ μέτριον, τότε τὸ μέτριον τοῦ ἀμέτρου πλέον ἡγήσατο ἄμεινον ὂν τοῦ χείρονος.*

Νήπιος οὐκ ἐνόησεν, ὅσῳ πλέον ἥμισυ παντός.

Τὸ ν μετὰ τοῦ ι.

Νίκη δ' ἐπαμείβεται ἄνδρας [7].

Νιόβης πάθη [8]· *ἐπὶ τῶν μέγιστα παθόντων κακά· αὕτη γὰρ ζῶσα λίθος ἐγένετο ἐπὶ τῷ τύμβῳ τῶν παίδων, οἷς ὁ Ἀπόλλων καὶ Ἄρτεμις ἐφονευσάτην, διὰ τὸ ἐπαρθῆναι ἐπὶ τῷ πλήθει καὶ κάλλει τῶν παίδων αὐτῆς καὶ εἰπεῖν εὐτεκνοτέραν εἶναι τῆς Λήδας· ὅστις δὲ πείθεται ἐκ λίθου γενέσθαι ἄνθρωπον ἢ ἐξ ἀνθρώπων λίθον, εἰήθης ἐστί· τὸ δ' ἀληθὲς ἔχει ὧδε· Νιόβη ἀποθανόντων τῶν ἑαυτῆς παίδων ποιήσασα ἑαυτῇ εἰκόνα λιθίνην ἔστησεν ἐπὶ τῷ τύμβῳ τῶν παίδων, καὶ ἡμεῖς ἐθεασάμεθα αὐτὴν οἵα καὶ λέγεται.*

Τὸ ν μετὰ τοῦ ο.

Νοῦς [1] *οὐ παρὰ Κενταύροις· ἐπὶ τῶν ἐπιλησμόνων καὶ πλεονεκτῶν, παρόσον ὑπὸ πλεονεξίας ἀπώλοντο.*

4) Apost. Cent. XIII. 71.

5) Stob. T. 10. 11.

6) De legg. III. p. 307. Bekk. Idem Polit. V. p. 466. C. *γνώσεται τὸν Ἡσίοδον, ὅτι τῷ ὄντι ἦν σοφὸς λέγων πλέον εἶναί τινος ἥμισυ παντός.* Cfr. Plut. de aud. poët. p. 56. Julian. Ep. p. 411. B. — Ex Hes. ἔργ. 40.

7) Il. Ξ. 339.

8) Apost. Cent. XIII. 73.

1) Apost. Cent. XIII. 74. Macar. *ἐπὶ τῶν ἐπιλησμόνων.*

Νοῶ [2] *τὸν ξένον· ἐπὶ τῶν ὑφορωμένων τινάς.*

Νοῦς ὁρᾷ [3] *καὶ νοῦς ἀκούει· ὁ γὰρ νοῦς κρείσσων πασῶν δυνάμεων τῶν τε ψυχῆς τῶν τε σώματος.*

Νόμος καὶ χώρα [4].

Νόμοις [5] *ἕπεσθαι τοῖς ἐγχωρίοις καλόν.*

Νόμος [6] *γονεῖσιν ἰσοθέοις τιμὰς νέμειν.*

Νόσος φιλίας [7] *ἡ κολακεία.*

Νόσος [8] *δειλοῖσιν ἑορτή· οὐ γὰρ ἐκπορεύονται εἰς πρᾶξιν.*

Τὸ $\overline{\nu}$ *μετὰ τοῦ* $\overline{\upsilon}$.

Νυμφίου [9] *βίον ὑμεῖς ζῆτε· ἐπὶ τῶν εὐτυχῶς ζώντων· οἱ γὰρ γαμοῦντες ἐστεφάνωντο σισύμβροις καὶ φυτοῖς τισι πρὸς τὰς τῶν γάμων ἡμέρας.*

Νῦν εἰς χώραν ἦλθες [10]*· ἐπὶ τῶν, ὅπου ἀπηρνοῦντο μὴ ἐλθεῖν, ἐλθόντων.*

Νύκτα δασεῖαν· τὴν χειμερινὴν φασιν.

Νύξ ὑγρά [11]*· ἐπὶ τῶν συμβαινόντων χαλεπῶν.*

Νῖν ὁσπρίων ἅμητος [12]*· ἐπὶ τῶν καθ' ὥραν πραττόντων πάντα.*

Νῦν θεοὶ μάκαρες [13]*· ἐπὶ τῶν ἀξίως τιμωρουμένων ἐφ' οἷς ἔπραξαν.*

2) Apost. Cent. XIII. 76.

3) Apost. Cent. XIII. 75. Cfr. Clem. Strom. II. 5. p. 442. 5. *Ἐπίχαρμος εἰπάτω· νοῦς ὁρᾷ, νοῦς ἀκούει, τὰ δ' ἄλλα κωφὰ καὶ τυφλά*, ubi Potter.

4) Apost. Cent. XIII. 80. Macar. addit: *ἐπὶ τῶν ἰδίοις κεχρημένων ἔθεσι.*

5) Stob. T. 43. 25. Apost. Cent. XIII. 77. addit: *Μενάνδρου.*

6) Stob. T. 79. 26. Apost. Cent. XIII. 78. addit: *Φιλήμονος.*

7) Apost. Cent. XIII. 87.

8) Stob. T. 8. 18. *Ἀντιφῶντος.*

9) Apost. Cent. XIII. 81. Aristoph. Av. 159.

Νεμόμεσθα δ' ἐν κήποις τὰ λευκὰ σήσαμα
Καὶ μύρτα καὶ μήκωνα καὶ σισύμβρια.
Ὑμεῖς μὲν ἆρα ζῆτε νυμφίων βίον.

10) Apost. Cent. XIII. 83.

11) Apost. Cent. XIII. 82. Macar. consentit.

12) Apost. Cent. XIII. 84.

13) Apost. Cent. XIII. 85.

aus welchem, 10° 2 cm Wasser und Essigsäure bis zur deutlich sauren Reaktion zugesetzt wurden, wurde eine gleiche Menge Natriumacetat (2,5 cm) zugesetzt und das Ganze auf 100 cm verdünnt. Nach 24 Stunden wurde der Niederschlag abfiltriert, mit Wasser gewaschen, getrocknet und gewogen.

Die Resultate waren folgende:

0,1 Kasein und 0,1 Natriumacetat	0,0 Niederschlag
0,1 „ „ 0,2 „ „	0,0 „
0,1 „ „ 0,3 „ „	0,0 „
0,1 „ „ 0,4 „ „	0,0 „
0,1 „ „ 0,5 „ „	0,0 „
0,1 „ „ 0,6 „ „	0,0 „
0,1 „ „ 0,7 „ „	0,0 „
0,1 „ „ 0,8 „ „	0,0 „
0,1 „ „ 0,9 „ „	0,0 „
0,1 „ „ 1,0 „ „	0,0 „

Zusammenfassung.

Die Löslichkeit des Kaseins in Natriumacetat hat demnach ihre Grenze, sowohl bei sehr geringen, relativen Mengen, als auch bei grossen Mengen.

Θύννοι τοὺς ναυαγοῦντας φιλανθρώπως δεχόμενοι φίλους ποιοῦνται· τῶν δὲ ξένων τοὺς μὲν ἑκουσίως ἐλθόντας σφόδρα τιμῶσι, τοὺς δὲ ἄκοντας κολάζονται.

* Ὁ αὐτὸς ἔφη, ὁμοίαν εἶναι τὴν ὅλην παιδείαν ἀποδημίᾳ· ὡς γὰρ ἐν ταύτῃ προσσυμβαίνει τοῖς ἀποδημοῦσι, καὶ μακρὰν ὁδὸν διεξιοῦσιν, ὅπου μὲν ἐγκατάγεσθαί τε καὶ ἐναυλίζεσθαι μόνον, ὅπου δὲ ἐναριστᾷν, ὅπου δὲ πλείους ἐνδημεῖν ἡμέρας, ἐνίους δὲ τόπους ἐκ παρόδου θεωρεῖν, ἐπανελθόντας μέντοι ταῖς ἑαυτῶν ἐνοικεῖν ἑστίαις, οὕτω καὶ διὰ τῆς ὅλης παιδείας διερχομένους δεῖν ἐν οἷς μὲν ἐπιτηδεύμασιν ἐπιπλέον ἐνδιατρίβειν, ἐν οἷς δ' ἐπ' ἔλαττον, καὶ τὰ μὲν ὅλα, τὰ δὲ ἐκ μέρους, τὰ δὲ ἄχρι στοιχειώσεως παραλαμβάνειν, καὶ τὸ ἐκείνων χρήσιμον κατασχόντας ἐπὶ τὴν ὡς ἀληθῶς πατρῴαν ἑστίαν ἀνελθόντας φιλοσοφεῖν.

Νίνος [3].

Νῖνος βασιλεὺς Ἀσσυρίων φύσει πολέμιος καὶ ζηλωτὴς ἀρετῆς, ἀνὴρ Σωσάνης, μετὰ δὲ ταῦτα ἔλαβε καὶ παρὰ Μενόνου Σεμίραμιν, ἐξ ἧς ἔσχεν υἱὸν Νινύαν.

Νῖνος πόλις, ἣν ἔκτισε Νῖνος, ὁ βασιλεύς, ἀπὸ τοῦ βασιλέως τὸ ὄνομα σχοῦσα, μεγίστη τῶν κατὰ πᾶσαν τὴν οἰκουμένην πόλεων.

* Νυμφίου.

Κεδνὰ κακοὶ φθείρουσι γυναικῶν ἤθεα μῦθοι·
Μὴ σύ ποτε χρυσῷ περιμαίνεο· μήτ' ἐπὶ δείρης
Πορφυρέην ὑάκινθον ἔχοις, ἢ χλωρὸν ἴασπιν,
Τοῖς ἐπιφυσιόωσι χαλίφρονες· ἀλλὰ σὺ κόσμου
Παρθένε τηΰσιον μὴ δεύεο· μηδὲ κατόπτρου
Χειρίδια κρίνουσα σεὴν αὐγάζεο μορφὴν,
Μηδὲ κόμης πέρι, ἀλλὰ πολυσχιδέας πλέκε σειρὰς.

3) Abest ab impress. et Laur.

Μηδὲ μέλαινε τεοῖς ὑπὸ βλεφάροισιν ὀπωπάς.
Οἰ γὰρ θηλυτέραις δέμας ὤπασεν ἡμιτέλεστον
Μορφὴν, ὄφρα καὶ ἄλλα περὶ χροΐ τεχνήσαιντο.
Πῶς δ᾽ ἂν κούρα δύναιο δαήφρονι φωτὶ φανῆναι,
Θνητὸν ἐφ᾽ ἡμέρῃ κομιδῇ χρόα ποικίλλουσα.
Ἐξ ἑτέρης ἑτέρην σὲ καὶ ἄλλην ἄλλοτε λεύσσω,
Φαινομένην πολλῇσι μίαν μορφῇσι γυναῖκα.

* *Νεοπτολέμου.*

Νεοπτόλεμος ὁ τραγῳδὸς ἐν τῷ βασιλικῷ πότῳ Φιλίππου προστάξαντος εἰπεῖν τι τῶν ἀνηκόντων πρὸς τὴν τῶν Περσῶν στρατείαν, ἤρξατο λέγειν τόδε τὸ ποίημα·

Φρονεῖτε νῦν αἰθέρος ὑψηλότερον,
Καὶ μεγάλων πεδίων ἀρούρας,
Φρονεῖτε ὑπερβαλλόμενοι δόμων δόμους,
Ἀφροσύνᾳ πρόσω βιοτὰν τεκμαιρόμενοι.
Ὁ δ᾽ ἀμφιβάλλει ἔργῳ σκοτίαν,
Ἄφνω δ᾽ ἄφαντος προσέβα
Μακρὰς ἀφαιρούμενος ἐλπίδας
Θνητῶν πολύμοχθος Ἀΐδας.

Νεοπτόλεμον τὸν τῆς τραγῳδίας ὑποκριτὴν ἤρετό τις, τί θαυμάζοι τῶν ὑπ᾽ Αἰσχύλου λεχθέντων ἢ Σοφοκλέους ἢ Εὐριπίδου, οὐδὲν μὲν τούτων, εἶπεν.

Ὁ δ᾽ αὐτὸς ἐθεάσατο ἐπὶ μείζονος σκηνῆς Φίλιππον ἐν τοῖς τῆς θυγατρὸς Κλεοπάτρας γάμοις πομπεύσαντα καὶ τρισκαιδέκατον θεὸν ἐπικληθέντα, τῇ ἑξῆς ἐπισφαγέντα ἐν τῷ θεάτρῳ καὶ ἐβδιμμένον.

* *Νεοπτολέμου.*

Ὦ θάνατ᾽ εἴθ᾽ εἶης αὐτάγρετος ὄφρ᾽ ἂν ἑλοίμην
Πρώτιστον, καί κ᾽ ἐχθρὸς ἐὼν πολὺ φίλτατος εἶης.

* Νεῖλος

εἶπεν, οὐ παύεται λογισμοὺς ἡ διάνοια τίκτουσα, σὺ δὲ τοὺς μὲν φαύλους ἔκτιλε, τοὺς δὲ ἀγαθοὺς γεώργει.

* Νικόστρατος εἶπεν

Οὐκ ἔστιν ὅστις πάντ' ἀνὴρ εὐδαιμονεῖ.
Νὴ τὴν Ἀθηνᾶν συντόμως γε φίλτατε
Εὐριπίδη τὸν βίον ἔθηκας εἰς στίχον.

* Νικοστράτου.

Νικόστρατος, ὁ τῶν Ἀργείων στρατηγὸς, ὑπὸ Ἀρχιδάμου χωρίον τι προδοῦναι παρακαλούμενος ἐπὶ χρήμασι πολλοῖς, καὶ γάμῳ Λακαίνης, ἣν βούλεται δίχα τῶν βασιλικῶν, ἀπεκρίνατο, μὴ εἶναι τὸν Ἀρχίδαμον ἀφ' Ἡρακλέους· τὸν μὲν γὰρ Ἡρακλέα περιόντα τοὺς καλοὺς κολάζειν, Ἀρχίδαμον δὲ τοὺς ἀγαθοὺς κακοὺς ποιεῖν.

Ἱστορία Νηλέως.

Νηλεὺς, ὁ Ποσειδῶνος, ἱππικώτατος τῶν καθ' ἑαυτὸν γενόμενος ἔπεμψεν εἰς Ἦλιν ἵππους εἰς τὸν ὑπ' Αὐγέου ἐκεῖσε συντελούμενον ἀγῶνα· νικησάντων δὲ τούτων φθονήσας Αὐγέας ἀπέσπασε τούτους, καὶ τοὺς ἡνιόχους ἀφῆκεν ἀπράκτους. Νηλεὺς δὲ γνοὺς ἡσυχίαν ἦγε. Νέστωρ δὲ ὁ τῶν παίδων αὐτοῦ νεώτατος στρατὸν ἀθροίσας ἐπῆλθεν Ἤλιδι· καὶ πολλοὺς ἀποκτείνας οὐκ ὀλίγην τῶν πολεμίων ἀπέσυρε λείαν. Ἡ ἱστορία παρὰ Φερεκύδῃ.

Ἀρχὴ τοῦ $\overline{\xi}$ στοιχείου.

Τὸ $\overline{\xi}$ μετὰ τοῦ $\overline{\alpha}$.

Ξανθίππης [1] Σωκράτῃ τῷ ἀνδρὶ ἐπιτιμώσης, διότι

1) Subjungimus huic nomini, quod in apophth. impr. le-

λιτῶς παρεσκευάζετο ὑποδέξασθαι φίλους, ὦ γύναι, εἶπεν, οἱ μὲν ἡμέτεροί εἰσιν, οὐδὲν ἐκείνοις μελήσει, εἰ δὲ ἀλλότριοι, ἡμῖν περὶ αὐτῶν οὐδὲν μελήσει.

Τὸ ξ μετὰ τοῦ ε.

Ξένοις μεταδίδου καὶ δεομένοις ἐκ τῶν ἐνόντων· ὁ γὰρ μὴ διδοὺς δεομένῳ οὐδὲ [2] αὐτὸς λήψεται δεόμενος.

Ξένον σιγᾷν κρεῖττον ἢ κεκραγέναι.

Ξένον σεαυτὸν ἴσθι, καὶ τίμα ξένους.

Ξένος [3] ἀνὴρ δίκαιος οὐ μόνον πολίτου, ἀλλὰ καὶ συγγενοῦς διαφέρει.

Ξένος ἔλθοι [4] ὅστις ὀνήσει· Θετταλῶν κατασρέψας πόλεις ὁ Φίλιππος καὶ τοὺς ξένους πωλήσας εἴρηκε τοῦτο.

Ξίφος τιτρώσκει σάρκας, τὸν δὲ νοῦν λόγος.

Τὸ ξ μετὰ τοῦ υ.

Ξύλον [5] ἀγκύλον οὐδέποτ' ὀρθόν· ὅτι δυσχερὲς ἐκ φαύλων ἀγαθοὺς ἀπεργάσασθαι.

Ξύμβολος [6] ἀγαθὸς ἢ καὶ φαῦλος· ἐπὶ τῶν οἰωνιζομένων διὰ ξυμβόλων· ξυμβόλους δὲ ἐκάλουν τοὺς διὰ τῶν πταρμῶν οἰωνισμούς· ἀνετίθεντο δ' οὗτοι Δήμητρι· καὶ ξύμβολον ὄρνιν φασὶν, ἐπειδὴ ξυμβόλους ἤγουν σημεῖα ἐποίουν τοὺς πρῶτα συναντῶντας.

gitur: Ξανθίππη ἔλεγε, μυρίων μεταβολῶν τὴν πόλιν καὶ αὐτοὺς κατασχουσῶν, ἐν πάσαις ὅμοιον τὸ Σωκράτους πρόσωπον καὶ προϊόντος ἐκ τῆς οἰκίας καὶ ἐπανιόντος θεάσασθαι· ἤρμοστο γὰρ πρὸς πάντα ἐπιεικῶς· τοιγάρτοι οὐδέν πώποτε ἐλύπησεν αὐτόν.

2) οὐδὲ scripsi: apogr. Dresd. ὁ δὲ praebet.

3) Stob. T. 9. 37. Πυθαγόρου.

4) Apost. Cent. XIII. 89. — Macar. habet: Ξένον ξένιζε κἀπιχώριον πόει· πρὸς τοὺς δεξιοὺς καὶ φιλοξένους.

5) Apost. Cent. XIII. 92. Macar. explicationem om.

6) Apost. Cent. XIII. 94. Cfr. Schneid. ad Xen. Mem. I. 1. Boisson. ad Philostr. p. 280. Blomf. ad Aesch. Prom. 495.

Ξυνὸς [7] *Ἐνυάλιος καὶ τὸν κτανέοντα κατέκτα· ἐπὶ τῶν ἐπίσης κινδυνευόντων.*

Ξυγγνώμη [8] *πρωτοπείρῳ· ἐπὶ τῶν ἐν πρώτοις τι διαμαρτανόντων.*

Ξυρεῖ ἐν χρῷ [9]*· ἐπὶ τῶν ποιούντων τι εἴς τινα λίαν ἐπίπονον.*

Ξυρὸς εἰς ἀκόνην [10]*· ἐπὶ τῶν προσηκόντων τισὶν ἢ ἐπὶ τῶν ὧν βούλονται τυγχάνόντων· ὁμοία τῇ, ὄνος εἰς ἄχυρα.*

Ξὺν [11] *τῷ θεῷ πᾶς καὶ γελᾷ κὀδύρεται· ἀντὶ τοῦ θεοῦ βουλομένου καὶ τὰ κακὰ μεθίσταται εἰς τέρψιν.*

ΑΠΟΦΘΕΓΜΑΤΑ.

Ξάνθος [1] *ὁ σοφὸς, θεασάμενος ἐπὶ θύρας εὐπρεποῦς γυναικὸς ἄνδρα οἰκοφθόρον, ἔφη, οὗτος ἡδονὴν μικρὰν ὠνεῖται κινδύνου μεγάλου.*

Ξενοκράτης [2] *ἐρόμενος τὸν παρ' αὐτῷ φιλοσοφεῖν νέον βουλόμενον, εἰ γεγεωμέτρηκεν, εἰ μουσικῆς ἐπακήκοεν, ὡς οὐκ ἔφη, ἀπιέναι πάλιν αὐτὸν ἐκέλευσεν, οὐκ ἔχειν γὰρ λαβὰς πρὸς φιλοσοφίαν.*

Περὶ τάξεως ἀστέρων ἐκ τῶν Πλουτάρχου [3].

Ξενοκράτης κατὰ μίαν ἐπιφάνειαν οἴεται κινεῖσθαι

7) Apost. Cent. XIII. 95. Macar. *ξυνὸς Ἐνυάλιος· ἐπὶ τῶν κοινῇ τι εὐρισκομένων.*

8) Apost. Cent. XIII. 96.

9) Apost. Cent. XIII. 90. Plut. de discern. adul. p. 52. E. de Alcibiade: *ἐν δὲ Λακεδαίμονι κειρόμενος ἐν χρῷ, καὶ τριβωνοφορῶν*, quem Lacedaemoniorum morem exponit Wyttenb. Philostr. Her. de Palamede: *γένεια μὲν γὰρ αὐτῷ ἀπαλὰ ἐκφύεσθαι, καὶ ξὺν ἐπαγγελίᾳ βοστρύχων, τὴν δὲ κόμην ἐν χρῷ εἶναι*, ubi Boisson. p. 547. coll. Jacobs. ad Philostr. Icon. p. 407.

10) Apost. Cent. XIII. 91.

11) Apost. Cent. XIII. 93.

1) Laur. non habet.

2) Diog. Laërt. IV. segm. 10. verbis paullo immutatis.

3) Recepi ex Laur.

τοὺς ἀστέρας· οἱ ἄλλοι Στωϊκοὶ, πρὸ τῶν ἑτέρων τοὺς ἑτέρους· ἐν ὕψει καὶ βάρει· Δημόκριτος τὰ μὲν ἀπλανῆ πρῶτον, κατὰ δὲ ταὐτὰ τοὺς πλανήτας, ἐφ' οἷς ἥλιον, φωσφόρον, σελήνην· Πλάτων μετὰ τὴν τῶν ἀπλανῶν θέσιν, φαίνοντα λεγόμενον τὸν τοῦ Κρόνου, δεύτερον Φαέθοντα τὸν τοῦ Διὸς, τρίτον πυρόεντα τὸν Ἄρεος· τέταρτον ἑωσφόρον τὸν τῆς Ἀφροδίτης, πέμπτον στίλποντα τὸν τοῦ Ἑρμοῦ, ἕκτον ἥλιον, ἕβδομον σελήνην· τῶν μαθηματικῶν τινες μὲν, ὡς Πλάτων, ἄνω, τινὲς δὲ μέσον στάντων τὸν ἥλων· Ἀναξίμανδρος καὶ Μητρόδωρος ὁ Χῖος καὶ Κράτης ἀνωτάτω μὲν πάντων τὸν ἥλιον τετάχθαι, μετ' αὐτὸν τὴν σελήνην, ὑπὸ δὲ αὐτῆς τὰ ἀπλανῆ τῶν ἄστρων, καὶ τοὺς πλανήτας.

Περὶ τῶν Διοσκούρων· ἐκ τῶν Πλουτάρχου [4].

Ξενοκράτης τοὺς ἐπὶ τῶν πλοίων φαινομένους οἷον ἀστέρας νεφέλια εἶναι κατὰ τὴν ποιὰν κίνησιν παραλάμποντας· Μητρόδωρος τῶν ὁρώντων ὀφθαλμῶν μετὰ δέους καὶ καταπλήξεως εἶναι στιλβηδόνας.

Ὁ αὐτὸς διαιρῶν ἕκαστον τῆς ἡμέρας εἰς πρᾶξίν τινα καὶ τῇ σιωπῇ μέρος ἀπένειμεν [5].

Περὶ μονῆς τῆς γῆς.

Ξενοφάνης μὲν ὁ Κολοφώνιος μένειν αὐτὴν φησι διὰ τὸ ἄπειρον εἶναι· Θαλῆς ὁ Μιλήσιος, διὰ τὸ ἐφ' ὕδατος

4) Idem in Mosc. sub Xenophanis nomine profertur, omisso titulo, quem habet Laur. Sequens *περὶ μονῆς τῆς γῆς* Laur. proprium est.

5) Subjungimus ex apophth. Cod. Vat. CLI. *Χρημάτων Ξενοκράτει κομισθέντων ἀπὸ Ἀλεξάνδρου, ἑστιάσας τοὺς κομίσαντας κατὰ τὸν αὐτοῦ τρόπον, ἀπαγγείλατε, ἔφη, Ἀλεξάνδρῳ, ὅτι, ἔστ' ἂν οὕτω ζῶ, οὐ δέομαι τῶν πεντήκοντα ταλάντων, τοσαῦτα γὰρ ἦν τὰ πεμφθέντα.* Ibid. sub tit. *περὶ πορνείας, ἦγουν σωφροσύνης.* — *Ὁ Ξενοκράτης ἐπὶ πολλῇ δικαιοσύνῃ παρὰ τοῖς Ἀθηναίοις ἐφέρετο δόξαν· τῆς δὲ σωφροσύνης αὐτοῦ πολλὰ καὶ ἕτερα τεκμήρια δύναιτο ἄν, εἰ βούλοι-*

ὀχεῖσθαι· Ἀναξιμένης καὶ Ἀναξαγόρας καὶ Δημόκριτος φασὶν ὑπὸ τοῦ ὑποκειμένου ἀέρος, ὃν ἐπιπωματίζει πλατεῖα οὖσα καὶ τυμπανοειδὴς ἡ γῆ, καὶ οὐ συγχωρεῖ ἀναχωρεῖν. Ἐμπεδοκλῆς τὴν δίνην τοῦ οὐρανοῦ τῇ μονῇ τῆς γῆς αἰτιᾶται· Ἀναξίμανδρός τε καὶ Πλάτων τὴν ὁμοιότητα καὶ τὴν ἰσορροπίαν αἰτίαν φατόν· ὁ δέ γε Ἀριστοτέλης αἴτιον εἶναί φησι τῆς μόνης τῇ γῇ τὸ [6] κατὰ φύσιν αὐτῇ τοῦτον εἶναι τὸν τόπον δηλαδὴ τὸν μέσον.

Ξενοφῶντος.

Ξενοφῶν [7] ὁ Ἀθηναῖος ὁ Γρύλλου ἔφη, τὸ μὲν πῦρ τό τις, δεικνύειν διέξιών, ὁπόσας μὲν ὑπέμεινε τομάς, ὁπόσας δὲ καύσεις περὶ τὸ ἧτρον καὶ πᾶν τὸ ταύτης μέρος διὰ τὴν πρὸς τὰ ἀφροδίσια πλείστην καὶ μεγίστην ἐγκράτειαν· πρὸς δὲ τοῖς ἄλλοις καὶ τόδε λέγεται. Φρύνην τὴν ἑταίραν συνέβαινε μὲν ὡραιοτάτην κατ' ἐκεῖνο καιροῦ καὶ εἶναι καὶ δοκεῖν, ταύτην δὲ ἄλλους τε πολλοὺς ἐραστὰς ὑπαγαγέσθαι, καὶ δὴ τῷ Ξενοκράτει βουληθεῖσαν ἐπιθέσθαι ποτὲ, πυθέσθαι γὰρ αὐτοῦ τὴν πρὸς τὰ ἔργα τῆς Ἀφροδίτης ὑπεροψίαν, τοιοῦτόν τι μηχανήσασθαι. Συνθεμένην ἐν συμποσίῳ τῆς ἐπιβουλῆς ταύτης παρὰ (Cod. περὶ) νεανίσκοις τισὶν, ἐκπηδῆσαι μὲν ἐξαπίνης ἀωρὶ νύκτωρ, παντάπασι γυμνὴν μετὰ κραυγῆς καὶ βοῆς οὐκ ἀνεκτῆς, ὡς ὑπὸ κλοπῶν δή τινων διωκομένην, προστᾶσαν τῷ Ξενοκράτους οἰκήματι κόπτειν τε σφοδρῶς εὖ μάλα τὴν θύραν καὶ ἱκετεύειν ἐλεεινῶς, ὅπως αὐτὴν εἴσω τῆς ἑαυτοῦ στέγης φιλανθρωπευόμενος ὑποδέξαιτο, πρὶν ὑπὸ τῶν διωκόντων συλληφθεῖσαν, ἀποσφαγεῖσαν φθαρῆναι, δι' ἐρημίαν τοῦ βοηθήσαντος· καὶ τὸν μὲν ὑπ' εὐηθείας εὐθὺς, ὠμὸν γάρ τι δόξαι καὶ ἀναλγησίας μεστὸν τὸ τὴν ἱκετείαν τῆς ἀνθρώπου καὶ περὶ τοῖς ἐσχάτοις κινδυνεύουσης ὑπεριδεῖν, ἀνοῖξαί τε λέγεται τὸ οἴκημα, μηδ' ὁτιοῦν ὑπειδόμενον τὴν ἀπάτην· καὶ δὴ ἑνὸς μόνον σκίμποδος ὄντος καὶ συναναπαύεσθαι δεομένην, μὴ γὰρ ἀντέχειν δύνασθαι φάναι γεγυμνωμένην, πεισθῆναι, καὶ ὑπ' αὐτῷ προσέσθαι τὴν ἑταίραν τῷ ἱματίῳ· τὴν δὲ πανταχῶς ὑποχείριον κατὰ τὴν ἐνέδραν ταύτην εἰληφέναι τὸν ἄνδρα νομίζουσαν πάντα πράττειν καὶ μηχανᾶσθαι πρὸς τὴν τῆς ἰδίας κακοτεχνίας πλήρωσιν, οὐ μὴ ἐκεῖνόν γε, κἂν μέσαις ἄρκυσιν ὡς εἰλημμένον, καταγοητευθῆναί φασι πρὸς τῆς χαμαιτύπης, ἀλλ' οὕτως σωφρόνως ἀντισχεῖν πρὸς αὐτὴν, ὥστε παντελῶς ἄπρακτον ἀπαλλαγεῖσαν τὴν Φρύνην, οὐχὶ μετὰ ἀνδρὸς ἔμπνου καὶ μετόχου ζωῆς τινος, ἀλλὰ μετ' ἀνδριάντος τὸ χρῆμα λιθίνου συγκατακλιθῆναι προσομολογεῖν. (Idem brevius narratur apud Diog. L. IV. 2. segm. 3. Cfr. Jacobs in Museo Attico Vol. III. p. 26.)

6) Cod. τῷ.

7) Laur., qui hoc apophth. ultimo loco posuit: ὁ αὐτὸς Ξενοφῶν.

ιοὺς ἁψαμένους καλει μόνον, οἱ δὲ καλοὶ καὶ τοὺς μακρὰν ἑστῶτας ὑφάπτουσιν, ἡ γὰρ ὄψις λαβὴ τοῦ πάθους ἐστίν.

Ξενοφῶντι [8] θύοντι ἦκέ τις ἐκ Μαντινείας ἄγγελος λέγων τὸν υἱὸν αὐτοῦ τὸν Γρύλλον τεθνάναι· κἀκεῖνος ἀπέθετο μὲν τὸν στέφανον, διετέλει δὲ θύων, ἐπεὶ δὲ ὁ ἄγγελος προσέθηκε τῷ προτέρῳ λόγῳ, ὅτι νικῶν τέθνηκε, πάλιν ὁ Ξενοφῶν ἐπέθετο τὸν στέφανον.

Ξενοφῶν ἔλεγε τὴν πενίαν σοφίαν αὐτοδίδακτον· ἡ γὰρ ἐκείνη τοῖς λόγοις πείθει, αὐτὴ τοῖς ἔργοις ἀναγκάζει.

* Ὁ αὐτὸς ἔλεγεν, οὐ τὸ μὴ λαβεῖν τὰ ἀγαθὰ, οὕτω χαλεπὸν, ὡς τὸ λαβόντα στερηθῆναι.

Ἀρχὴ τοῦ $\overline{ου}$ στοιχείου.

Τὸ $\overline{ο}$ μετὰ τοῦ $\overline{α}$.

Ὁ ἁλιεὺς [1] πληγεὶς νοῦν φύσει· ἐπὶ τῶν μετὰ τὸ παθεῖν μανθανόντων.

Τὸ $\overline{ο}$ μετὰ τοῦ $\overline{δ}$.

Ὁ Διὸς [2] Κόρινθος· ἐπὶ τῶν πάλαι μὲν εὐπραγησάντων, ὕστερον δὲ οὐ καλῶς ἀπαλλαξάντων.

Ὁ δ' ἀνὴρ κἀνόμωτος πιστεύειν ἄξιος.

8) Diog. Laërt. II. segm. 54. aliis verbis.

1) Apost. Cent. XIII. 98. Macar. habet: Ὁ βωμὸς πρὸς τὸ ἱερὸν· ἐπὶ τῶν ἀλλήλοις ἀξίων καὶ ὁμοίων. — Ὀβολοῦ τάριχος, δύο δ' ὀβολῶν ἀρτύματα· ἐπὶ τῶν, ἵνα μικρὰ κατορθώσωσι, πλείονα δαπανώντων.

2) Apost. Cent. XIII. 97. Plat. Euthyd. p. 292. E. ἀλλ' ἀτεχνῶς τὸ λεγόμενον ὁ Διὸς Κόρινθος γίγνεται, ubi Heind. Cfr. p. 182. Διὸς Κόρ.

Ὁδὸν [3] *ὀρθὴν βαδίζει· ἐπὶ τῶν ὀρθῶς καὶ ἴσως βιούντων.*

Ὁ δύο [4] *πτῶκας διώκων οὐδέτερον λαμβάνει. Δημώδης καὶ δήλη.*

Ὁ δυοῖν ἐπιθυμήσας οὐδετέρου ἔτυχεν· ὁμοία.

Ὁδοῦ [5] *παρούσης τὴν ἀτραπὸν ζητεῖς· ἐπὶ τῶν καταλιμπανόντων τὰ δῆλα καὶ ζητούντων τὰ ἀφανῆ.*

Τὸ $\overline{o}$ *μετὰ τοῦ* $\overline{\varepsilon}$.

Ὁ ἔχων [6] *πολὺ πέπερι τίθησι κἀν λαχάνοις· ἐπὶ τῶν εὐπόρως καὶ ἀφθόνως βιούντων.*

Ὁ ἔχων [7] *ἵππου χρήματα ταχύτατα ἱππεύει. Δημώδης.*

Ὁ [8] *Ζεὺς κολαστὴς τῶν ἄγαν ὑπερφρόνων.*

Ὁ ἥλιος [9] *τὸν οὐκ ἀετιδέα· λείπει τὸ ἐλέγχει· ἐπὶ δοκιμῆς.*

Ὁ [10] *θυμὸς ἀλγῶν ἀσφάλειαν οὐκ ἔχει.*

Τὸ $\overline{o}$ *μετὰ τοῦ* $\overline{\iota}$.

Οἳ δ' ἀρέσκουσ' [1] *οἷς μάλιστ' ἀδεῖν με χρή.*

Οἶκοι τὰ [2] *Μιλήσια, μὴ γὰρ ἐνθάδε· ἐπὶ τῶν ὅπου μὴ προσήκει τὴν τρυφὴν ἐπιδεικνυμένων. Μιλήσιος γὰρ παρὰ Λακεδαιμονίοις δημηγορῶν καὶ τὴν οἶκοι τρυφὴν ἐπαινῶν ἤκουσε ταῦτα.*

3) Apost. Cent. XIII. 99.
4) Apost. Cent. XIV. 5.
5) Apost. Cent. XIV. 4. Macar. *τὸν ἀτραπὸν ζητ. ἐπὶ τῶν προδήλων.* Id. add. *Ὁδυσσεὺς Σισύφῳ συνῆλθεν· ἐπὶ τῶν ἐν πανουργίᾳ ὁμοίων.*
6) Apost. Cent. XIV. 6.
7) Apost. Cent. XIV. 5.
8) Stob. T. 22. 18.
9) Apost. Cent. XIV. 2.
10) Stob. T. 20. 39. Apost. Cent. XIV. 7. addit: *Εὐριπίδου.* Macar. habet: *Ὁ ἐν Πάρῳ βωμὸς ἐπὶ τῶν πολυτελῶς κατεσκευασμένων. Ὁ ἐκ διαμέτρου βίος.*

1) Non scio, quomodo huc delatus sit hic versus, qui apud Soph. Antig. legitur: *ἐγὼ δ' ἀρέσκουσ'.*

2) Apost. Cent. XIV. 8. Eustath. ad Il. ω. p. 1358. v. 12. monet, dici etiam *οἶκοι τὰ Μιλήσια κἀπιχώρια.* Matth.

Οἶκοι [3] *γενοίμην· ἐπὶ τῶν ἐκφυγεῖν τὰ δεινὰ εὐχομένων.*

Οἶκος [4] *φίλος, οἶκος ἄριστος.*

Οἴκοθεν [5] *ὁ μάρτυς· ἐπὶ τῶν καθ' ἑαυτῶν φερόντων μάρτυρας.*

Οἶδα [6] *Σίμωνα καὶ Σίμων ἐμέ· δύο ἐγένοντο ἡγεμόνες Νίκων καὶ Σίμων· ὑπερίσχυσε δὲ ὁ Σίμων κακοτροπώτατος ὤν· ὥστε καὶ τὴν ἐπὶ Νίκωνα φήμην ἀπαλεῖψαι· λεχθείη δ' ἂν ἡ παροιμία ἐπὶ τῶν ἀλλήλους ἐπὶ κακίᾳ γινωσκόντων.*

Οἱ Κρῆτες [7] *τὴν θυσίαν· ἐπί τῶν ταρασσόντων τοὺς θύοντας καὶ περικοπτόντων· τοιοῦτον γάρ τι συνέβη τῷ Ἀγαμέμνονι παρὰ τῶν Κρητῶν θύοντι.*

Οἶνος [8] *καὶ παῖδες ἀληθεῖς· ἐπὶ τῶν ἁπλοϊζομένων καὶ τὴν ἀλήθειαν λεγόντων. Εὔανθρος παρὰ τοῖς Πέρσαις φησὶν οὐ βασάνοις ἐξετάζεσθαι, ἀλλὰ μεθυσκομένους.*

Ὄϊς [9] *τὴν μάχαιραν· ἐπὶ τῶν ἀλυσιτελῶς σφίσιν αὐτοῖς χρωμένων.*

Οἱ φῶρες [10] *τὴν βοήν· ἤτοι δεδοίκασιν.*

Οἱ φῶρες [11] *προσεγκαλοῦσιν.*

Οἶφ [12] *με ὁ δαίμων τέρατι συγκαθεῖρξεν· ἐπὶ τῶν δυσανασχετούντων· ἐπὶ τοῦ Κύκλωπος καὶ τοῦ Ὀδυσσέως.*

3) Apost. Cent. XIV. 13.
4) Apost. Cent. XIV. 12.
5) Apost. Cent. XIV. 14. Lucian. Jup. trag. c. 32. *εὖγε, οἴκοθεν ὁ μάρτυς, φασίν.* Aristid. de rhet. p. 72. *πῶς οὐ καὶ οὗτος οἴκοθεν ὢν Πλάτωνι μάρτυς ἡμῖν ἐστιν εἰς τοὺς παρόντας τουτουσὶ λόγους.*
6) Apost. Cent. XIV. 16.
7) Apost. Cent. XIV. 15.
8) Apost. Cent. XIV. 21. *Εὔανθρος* sqq. non habet. Theocr. Id. XXIX. 1. *Οἶνος, ὦ φίλε παῖ, λέγεται, καὶ ἀλάθεα.* Ita Macar. *οἶνος καὶ ἀλήθεια· ἐπὶ τῶν ἐν μέθῃ τὴν ἀλήθειαν λεγόντων.* Pachymer. Progymn. IX. *οἶνος δὲ λέγεται καὶ ἀλήθεια.* Lucian. de Dea Syr. c. 22. *ἅμα δὲ οἴνῳ ἐσιόντι παῤῥησίη τε εἰσέρχεται.*
9) Apost. Cent. XIV. 20.
10) Apost. Cent. XIV. 18. Apogr. Dresd. *βοῦν.*
11) Apost. Cent. XIV. 19.
12) Apost. Cent. XIV. 24.

Οἰναῖος [13] τὴν χαράδραν· ἐπὶ τῶν ἐπ' ὠφελείᾳ παρακαλουμένων, βλαπτόντων δέ· τῶν γὰρ Οἰναίων παροχετευόντων τὴν χαράδραν, ἐπιῤῥαγὲν ὕδωρ πολὺ κατέκλυσε πάντας.

Οἱ μὲν ζῶντες ἐκ τῶν φίλων, οἱ δὲ τεθνεῶτες ἐκ τῶν ἐπιτρόπων διαγινώσκονται.

Τὸ ο μετὰ τοῦ κ.

Ὁ Καρπάθιος [1] τὸν λαγωόν· ἐπὶ τῶν ἑαυτοὺς βλαπτόντων· οἱ γὰρ Καρπάθιοι νῆσον οἰκοῦντες καὶ λαγωοὺς οὐκ ἔχοντες ἐπηγάγοντο· οἱ πολλοὶ γενόμενοι ἐλυμήναντο τοὺς καρπούς.

Ὁ καλῶς [2] ἄγων ἐμποιεῖ τὸ καλῶς ἔπεσθαι· ἐπὶ τῶν ἐπισταμένων ἄρχειν.

Ὁ κνὶψ [3] ἐν χώρᾳ· ἐπὶ τῶν ταχέως μεταπιπτόντων, κνὶψ γὰρ θηρίον ξυλοφάγον.

Ὁκνὲ [4] κυάμους κατάβρεξον· εἰ φάγοις ὠμούς, οὐδέποτε ἐπιλάθοιο· ἐπὶ τῶν πάνυ ῥᾳθύμων.

Ὁ Κρὴς [5] δὴ τὸν πόντον· ἐπὶ τῶν εἰδότων μὲν, προσποιουμένων δὲ ἀγνοεῖν· ἀντὶ τοῦ ὁ νησιώτης ἀγνοεῖ τὴν θάλασσαν.

Ὁ Κρὴς [6] τὸν Κρῆτα· ἐπὶ τῶν ὁμοιοτρόπων.

Ὁ Κλεομένης [7] τῆς κοίτης ὑπερέχει· ἐπὶ τῶν

13) Apost. Cent. XIV. 22. — Macar. addit: *Οἰδίποδος ἀραί· αἱ σφοδραί. — Οἶνος ἄνωγε γέροντα καὶ οὐκ ἐθέλοντα χορεύειν.*

1) Apost. Cent. XIV. 32.
2) Apost. Cent. XIV. 34.
3) Apost. Cent. XIV. 28.
4) Apost. Cent. XIV. 29.
5) Apost. Cent. XIV. 31. Aristid. *ὑπὲρ τῶν τεττ.* p. 138. *ταῦτά γε ὁ Κρὴς δὴ τὸν πόντον φήσει τις.* Alc. Fr. LXXIX. *ὁ Κρὴς τὴν θάλασσαν.*
6) Apost. Cent. XIV. 11. Cfr. supra p. 322. *κρητίζειν*, et infra *πρὸς Κρῆτα κρητίζειν.*
7) Apost. Cent. XIV. 35.

τὰ μὴ ἀναγκαῖα μείζω καὶ πλείω τῶν ἀναγκαίων κεκτημένων.

Ὁ κοινὸς ἰατρός σε θεραπεύσει χρόνος.

Τὸ ο μετὰ τοῦ λ.

Ὅλῳ ποδί [1]· ἐπὶ τῶν ταχέως τι ποιούντων· ὁμοία τῇ ὅλῳ ῥυτῆρι.

Ὀλέθρου πείρατ᾽ ἐφῆπται· ἐπιδέδεται καὶ ὑπερέπισαι τὸ τοῦ ὀλέθρου ἡμῶν πέρας.

Ὅλους [2] Ἄθως κατατοξεύεις τῆς κορυφῆς· ἐπὶ τῶν πασχόντων ἀνύποιστα.

Ὁ λύκος [3] τὴν τρίχα, οὐ τὴν γνώμην ἀλλάττει.

Ὁ Λυδὸς [4] τὸν ὄνον ἐλαύνει· ἐπὶ τῶν παρ᾽ ἀξίαν τι πραττόντων· παρ᾽ ὅσον ἱππικώτατοι οἱ Λυδοί [5].

Ὅλας ἀμάξας βλασφημιῶν κατεσκέδασαν ἀλλήλων.

Τὸ ο μετὰ τοῦ μ.

Ὁμολώϊος Ζεύς [6]· ἐπὶ τῶν ὁμονοούντων· ἀπὸ Ὁμολώας προφήτιδος τῆς Ἐννέως, ἣν προφῆτιν εἰς Δελφοὺς πεμφθῆναι, ὡς Ἀριστοφάνης. Ἴστρος δὲ ἐν τῇ δωδεκάτῃ τῆς συναγωγῆς διὰ τὸ παρ᾽ Αἰολεῦσι τὸ ὁμονοητικὸν καὶ εἰρηνικὸν ὅμολον λέγεσθαι· ἔστι δὲ καὶ Δημήτηρ Ὁμολώϊα ἐν Θήβαις.

Ὅμοιος ὁμοίῳ [7]· δηλονότι συναγορεύει· ἢ φαῦλος φαύλῳ ἢ ἀμαθεῖ ἀμαθής.

1) Apost. Cent. XIV. 35. Macar. ὅλῃ χειρί· λείπει ἢ εὐεργετεῖν ἢ ἀδικεῖν.

2) Apost. Cent. XIV. 37.

3) Apost. Cent. XIV. 38.

4) Apost. Cent. XIV. 39. Macar. post οἱ Λυδοὶ addit: ὁμοία δὲ ταύτῃ καὶ ἡ· ἀφ᾽ ἵππων ἐπ᾽ ὄνους.

5) Cfr. Philostr. Imag. I. 17. καὶ οἱ Λυδοὶ δὲ, φιλιππότατοι ὄντες, ἐπὶ μὲν Πέλοπος τέθριπποί τε ἦσαν. Macar. habet: Ὁ λαγὼς καθ᾽ ἑαυτοῦ τὰ ἡδύσματα· ἐπὶ τῶν καθ᾽ ἑαυτῶν πραγματευομένων, ἐπείπερ ὁ λαγὼς αὐτὸς ἑαυτῷ γίνεται ἥδυσμα.

6) Apost. Cent. XIV. 40.

7) Apost. Cent. XIV. 41.

* Νεῖλος

εἶπεν, οὐ παύεται λογισμοὺς ἡ διάνοια τίκτουσα, σὺ δὲ τοὺς μὲν φαύλους ἔκτιλε, τοὺς δὲ ἀγαθοὺς γεώργει.

* Νικόστρατος εἶπεν

Οὐκ ἔστιν ὅστις πάντ' ἀνὴρ εὐδαιμονεῖ.
Νὴ τὴν Ἀθηνᾶν συντόμως γε φίλτατε
Εὐριπίδη τὸν βίον ἔθηκας εἰς στίχον.

* Νικοστράτου.

Νικόστρατος, ὁ τῶν Ἀργείων στρατηγὸς, ὑπὸ Ἀρχιδάμου χωρίον τι προδοῦναι παρακαλούμενος ἐπὶ χρήμασι πολλοῖς, καὶ γάμῳ Λακαίνης, ἣν βούλεται δίχα τῶν βασιλικῶν, ἀπεκρίνατο, μὴ εἶναι τὸν Ἀρχίδαμον ἀφ' Ἡρακλέους· τὸν μὲν γὰρ Ἡρακλέα περιόντα τοὺς καλοὺς κολάζειν, Ἀρχίδαμον δὲ τοὺς ἀγαθοὺς κακοὺς ποιεῖν.

Ἱστορία Νηλέως.

Νηλεὺς, ὁ Ποσειδῶνος, ἱππικώτατος τῶν καθ' ἑαυτὸν γενόμενος ἔπεμψεν εἰς Ἦλιν ἵππους εἰς τὸν ὑπ' Αὐγέου ἐκεῖσε συντελούμενον ἀγῶνα· νικησάντων δὲ τούτων φθονήσας Αὐγέας ἀπέσπασε τούτους, καὶ τοὺς ἡνιόχους ἀφῆκεν ἀπράκτους. Νηλεὺς δὲ γνοὺς ἡσυχίαν ἦγε. Νέστωρ δὲ ὁ τῶν παίδων αὐτοῦ νεώτατος στρατὸν ἀθροίσας ἐπῆλθεν Ἤλιδι· καὶ πολλοὺς ἀποκτείνας οὐκ ὀλίγην τῶν πολεμίων ἀπέσυρε λείαν. Ἡ ἱστορία παρὰ Φερεκύδῃ.

Ἀρχὴ τοῦ $\overline{\xi}$ στοιχείου.

Τὸ $\overline{\xi}$ μετὰ τοῦ $\overline{\alpha}$.

Ξανθίππης [1] Σωκράτῃ τῷ ἀνδρὶ ἐπιτιμώσης, διότι

1) Subjungimus huic nomini, quod in apophth. impr. le-

λιτῶς παρεσκευάζετο ὑποδέξασθαι φίλους, ὦ γύναι, εἶπεν, εἰ μὲν ἡμέτεροί εἰσιν, οὐδὲν ἐκείνοις μελήσει, εἰ δὲ ἀλλότριοι, ἡμῖν περὶ αὐτῶν οὐδὲν μελήσει.

Τὸ $\overline{\xi}$ μετὰ τοῦ $\overline{\varepsilon}$.

Ξένοις μεταδίδου καὶ δεομένοις ἐκ τῶν ἐνόντων· ὁ γὰρ μὴ διδοὺς δεομένῳ οὐδὲ [2] αὐτὸς λήψεται δεόμενος.

Ξένον σιγᾷν κρεῖττον ἢ κεκραγέναι.

Ξένον σεαυτὸν ἴσθι, καὶ τίμα ξένους.

Ξένος [3] ἀνὴρ δίκαιος οὐ μόνον πολίτου, ἀλλὰ καὶ συγγενοῦς διαφέρει.

Ξένος ἔλθοι [4] ὅστις ὀνήσει· Θετταλῶν κατασρέψας πόλεις ὁ Φίλιππος καὶ τοὺς ξένους πωλήσας εἴρηκε τοῦτο.

Ξίφος τιτρώσκει σάρκας, τὸν δὲ νοῦν λόγος.

Τὸ $\overline{\xi}$ μετὰ τοῦ $\overline{\upsilon}$.

Ξύλον [5] ἀγκύλον οὐδέποτ' ὀρθόν· ὅτι δυσχερὲς ἐκ φαύλων ἀγαθοὺς ἀπεργάσασθαι.

Ξύμβολος [6] ἀγαθὸς ἢ καὶ φαῦλος· ἐπὶ τῶν οἰωνιζομένων διὰ ξυμβόλων· ξυμβόλους δὲ ἐκάλουν τοὺς διὰ τῶν πταρμῶν οἰωνισμούς· ἀνετίθεντο δ' οὗτοι Δήμητρι· καὶ ξύμβολον ὄρνιν φασὶν, ἐπειδὴ ξυμβόλους ἦγον σημεῖα ἐποίουν τοὺς πρῶτα συναντῶντας.

gitur: Ξανθίππη ἔλεγε, μυρίων μεταβολῶν τὴν πόλιν καὶ αὐτοὺς κατασχουσῶν, ἐν πάσαις ὅμοιον τὸ Σωκράτους πρόσωπον καὶ πρόϊόντος ἐκ τῆς οἰκίας καὶ ἐπανιόντος θεάσασθαι· ἤρμοστο γὰρ πρὸς πάντα ἐπιεικῶς· τοιγάρτοι οὐδέν πώποτε ἐλύπησεν αὐτόν.

2) οὐδὲ scripsi: apogr. Dresd. ὁ δὲ praebet.

3) Stob. T. 9. 37. Πυθαγόρου.

4) Apost. Cent. XIII. 89. — Macar. habet: Ξένον ξένιζε καὶ πιχώριον πόει· πρὸς τοὺς δεξιοὺς καὶ φιλοξένους.

5) Apost. Cent. XIII. 92. Macar. explicationem om.

6) Apost. Cent. XIII. 94. Cfr. Schneid. ad Xen. Mem. I. 1. Boisson. ad Philostr. p. 280. Blomf. ad Aesch. Prom. 495.

Ξυνὸς [7] *Ἐνυάλιος καὶ τὸν κτανέοντα κατέκτα· ἐπὶ τῶν ἐπίσης κινδυνευόντων.*

Ξυγγνώμη [8] *πρωτοπείρῳ· ἐπὶ τῶν ἐν πρώτοις τι διαμαρτανόντων.*

Ξυρεῖ ἐν χρῷ [9]*· ἐπὶ τῶν ποιούντων τι εἴς τινα λίαν ἐπίπονον.*

Ξυρὸς εἰς ἀκόνην [10]*· ἐπὶ τῶν προσηκόντων τισὶν ἢ ἐπὶ τῶν ὧν βούλονται τυγχάνόντων· ὁμοία τῇ, ὄνος εἰς ἄχυρα.*

Ξὺν [11] *τῷ θεῷ πᾶς καὶ γελᾷ κὀδύρεται· ἀντὶ τοῦ θεοῦ βουλομένου καὶ τὰ κακὰ μεθίσταται εἰς τέρψιν.*

Α Π Ο Φ Θ Ε Γ Μ Α Τ Α.

Ξάνθος [1] *ὁ σοφὸς, θεασάμενος ἐπὶ θύρας εὐπρεποῦς γυναικὸς ἄνδρα οἰκοφθόρον, ἔφη, οὗτος ἡδονὴν μικρὰν ὠνεῖται κινδύνου μεγάλου.*

Ξενοκράτης [2] *ἐρόμενος τὸν παρ' αὐτῷ φιλοσοφεῖν νέον βουλόμενον, εἰ γεγεωμέτρηκεν, εἰ μουσικῆς ἐπακήκοεν, ὡς οὐκ ἔφη, ἀπιέναι πάλιν αὐτὸν ἐκέλευσεν, οὐκ ἔχειν γὰρ λαβὰς πρὸς φιλοσοφίαν.*

Περὶ τάξεως ἀστέρων ἐκ τῶν Πλουτάρχου [3].

Ξενοκράτης κατὰ μίαν ἐπιφάνειαν οἴεται κινεῖσθαι

7) Apost. Cent. XIII. 95. Macar. *ξυνὸς Ἐνυάλιος· ἐπὶ τῶν κοινῇ τι εὑρισκομένων.*

8) Apost. Cent. XIII. 96.

9) Apost. Cent. XIII. 90. Plut. de discern. adul. p. 52. E. de Alcibiade: *ἐν δὲ Λακεδαίμονι κειρόμενος ἐν χρῷ, καὶ τριβωνοφορῶν*, quem Lacedaemoniorum morem exponit Wyttenb. Philostr. Her. de Palamede: *γένεια μὲν γὰρ αὐτῷ ἀπαλὰ ἐκφύεσθαι, καὶ ξὺν ἐπαγγελίᾳ βοστρύχων, τὴν δὲ κόμην ἐν χρῷ εἶναι*, ubi Boisson. p. 547. coll. Jacobs. ad Philostr. Icon. p. 407.

10) Apost. Cent. XIII. 91.

11) Apost. Cent. XIII. 93.

1) Laur. non habet.

2) Diog. Laërt. IV. segm. 10. verbis paullo immutatis.

3) Recepi ex Laur.

τοὺς ἀστέρας· οἱ ἄλλοι Στωϊκοὶ, πρὸ τῶν ἑτέρων τοὺς ἑτέρους· ἐν ὕψει καὶ βάρει· Δημόκριτος τὰ μὲν ἀπλανῆ πρῶτον, κατὰ δὲ ταὐτὰ τοὺς πλανήτας, ἐφ' οἷς ἥλιον, σωσφόρον, σελήνην· Πλάτων μετὰ τὴν τῶν ἀπλανῶν θέσιν, φαίνοντα λεγόμενον τὸν τοῦ Κρόνου, δεύτερον Φαέθοντα τὸν τοῦ Διὸς, τρίτον πυρόεντα τὸν Ἄρεος· τέταρτον ἑωσφόρον τὸν τῆς Ἀφροδίτης, πέμπτον στίλποντα τὸν τοῦ Ἑρμοῦ, ἕκτον ἥλιον, ἕβδομον σελήνην· τῶν μαθηματικῶν τινες μὲν, ὡς Πλάτων, ἄνω, τινὲς δὲ μέσον πάντων τὸν ἥλιον· Ἀναξίμανδρος καὶ Μητρόδωρος ὁ Χῖος καὶ Κράτης ἀνωτάτω μὲν πάντων τὸν ἥλιον τετάχθαι, μετ' αὐτὸν τὴν σελήνην, ὑπὸ δὲ αὐτῆς τὰ ἀπλανῆ τῶν ἄστρων, καὶ τοὺς πλανήτας.

Περὶ τῶν Διοσκούρων· ἐκ τῶν Πλουτάρχου [4].

Ξενοκράτης τοὺς ἐπὶ τῶν πλοίων φαινομένους οἷον ἀστέρας νεφέλια εἶναι κατὰ τὴν ποιὰν κίνησιν παραλάμποντας· Μητρόδωρος τῶν ὁρώντων ὀφθαλμῶν μετὰ δέους καὶ καταπλήξεως εἶναι στιλβηδόνας.

Ὁ αὐτὸς διαιρῶν ἕκαστον τῆς ἡμέρας εἰς πρᾶξίν τινα καὶ τῇ σιωπῇ μέρος ἀπένειμεν [5].

Περὶ μονῆς τῆς γῆς.

Ξενοφάνης μὲν ὁ Κολοφώνιος μένειν αὐτὴν φησι διὰ τὸ ἄπειρον εἶναι· Θαλῆς ὁ Μιλήσιος, διὰ τὸ ἐφ' ὕδατος

4) Idem in Mosc. sub Xenophanis nomine profertur, omisso titulo, quem habet Laur. Sequens *περὶ μονῆς τῆς γῆς* Laur. proprium est.

5) Subjungimus ex apophth. Cod. Vat. CLI. *Χρημάτων Ξενοκράτει κομισθέντων ἀπὸ Ἀλεξάνδρου, ἑστιάσας τοὺς κομίσαντας κατὰ τὸν αὐτοῦ τρόπον, ἀπαγγείλατε, ἔφη, Ἀλεξάνδρῳ, ὅτι, ἔστ' ἂν οὕτω ζῶ, οὐ δέομαι τῶν πεντήκοντα ταλάντων, τοσαῦτα γὰρ ἦν τὰ πεμφθέντα.* Ibid. sub tit. *περὶ πορείας, ἤγουν σωφροσύνης.* — *Ὁ Ξενοκράτης ἐπὶ πολλῇ δικαιοσύνῃ παρὰ τοῖς Ἀθηναίοις ἐφέρετο δόξαν· τῆς δὲ σωφροσύνης αὐτοῦ πολλὰ καὶ ἕτερα τεκμήρια δύναιτο ἄν, εἰ βούλοι-*

ὀχεῖσθαι· Ἀναξιμένης καὶ Ἀναξαγόρας καὶ Δημόκριτος φασὶν ὑπὸ τοῦ ὑποκειμένου ἀέρος, ὃν ἐπιπωματίζει πλατεῖα οὖσα καὶ τυμπανοειδὴς ἡ γῆ, καὶ οὐ συγχωρεῖ ἀναχωρεῖν. Ἐμπεδοκλῆς τὴν δίνην τοῦ οὐρανοῦ τῇ μονῇ τῆς γῆς αἰτιᾶται· Ἀναξίμανδρός τε καὶ Πλάτων τὴν ὁμοιότητα καὶ τὴν ἰσορροπίαν αἰτίαν φατόν· ὁ δέ γε Ἀριστοτέλης αἴτιον εἶναί φησι τῆς μόνης τῇ γῇ τὸ [6] κατὰ φύσιν αὐτῇ τοῦτον εἶναι τὸν τόπον δηλαδὴ τὸν μέσον.

Ξενοφῶντος.

Ξενοφῶν [7] ὁ Ἀθηναῖος ὁ Γρύλλου ἔφη, τὸ μὲν πῦρ τό τις, δεικνύειν διέξιών, ὁπόσας μὲν ὑπέμεινε τομάς, ὁπόσας δὲ καύσεις περὶ τὸ ἧτρον καὶ πᾶν τὸ ταύτης μέρος διὰ τὴν πρὸς τὰ ἀφροδίσια πλείστην καὶ μεγίστην ἐγκράτειαν· πρὸς δὲ τοῖς ἄλλοις καὶ τόδε λέγεται. Φρύνην τὴν ἑταίραν συνέβαινε μὲν ὡραιοτάτην κατ' ἐκεῖνο καιροῦ καὶ εἶναι καὶ δοκεῖν, ταύτην δὲ ἄλλους τε πολλοὺς ἐραστὰς ὑπαγαγέσθαι, καὶ δὴ τῷ Ξενοκράτει βουληθεῖσαν ἐπιθέσθαι ποτὲ, πυθέσθαι γὰρ αὐτοῦ τὴν πρὸς τὰ ἔργα τῆς Ἀφροδίτης ὑπεροψίαν, τοιοῦτόν τι μηχανήσασθαι. Συνθεμένην ἐν συμποσίῳ τῆς ἐπιβουλῆς ταύτης παρὰ (Cod. περὶ) νεανίσκοις τισὶν, ἐκπηδῆσαι μὲν ἐξαπίνης ἀωρὶ νύκτωρ, παντάπασι γυμνὴν μετὰ κραυγῆς καὶ βοῆς οὐκ ἀνεκτῆς, ὡς ὑπὸ κλοπῶν δή τινων διωκομένην, προστᾶσαν τῷ Ξενοκράτους οἰκήματι κόπτειν τε σφοδρῶς εὖ μάλα τὴν θύραν καὶ ἱκετεύειν ἐλεεινῶς, ὅπως αὐτὴν εἴσω τῆς ἑαυτοῦ στέγης φιλανθρωπευόμενος ὑποδέξαιτο, πρὶν ὑπὸ τῶν διωκόντων συλληφθεῖσαν, ἀποσφαγεῖσαν φθαρῆναι, δι' ἐρημίαν τοῦ βοηθήσαντος· καὶ τὸν μὲν ὑπ' εὐηθείας εὐθὺς, ὠμὸν γάρ τι δόξαι καὶ ἀναλγησίας μεστὸν τὸ τὴν ἱκετείαν τῆς ἀνθρώπου καὶ περὶ τοῖς ἐσχάτοις κινδυνευούσης ὑπεριδεῖν, ἀνοῖξαί τε λέγεται τὸ οἴκημα, μηδ' ὁτιοῦν ὑπειδόμενον τὴν ἀπάτην· καὶ δὴ ἑνὸς μόνον σκίμποδος ὄντος καὶ συναναπαύεσθαι δεομένην, μὴ γὰρ ἀντέχειν δύνασθαι φάναι γεγυμνωμένην, πεισθῆναι, καὶ ὑπ' αὐτῷ προσέσθαι τὴν ἑταίραν τῷ ἱματίῳ· τὴν δὲ πανταχῶς ὑποχείριον κατὰ τὴν ἐνέδραν ταύτην εἰληφέναι τὸν ἄνδρα νομίζουσαν πάντα πράττειν καὶ μηχανᾶσθαι πρὸς τὴν τῆς ἰδίας κακοτεχνίας πλήρωσιν, οὐ μὴ ἐκεῖνόν γε, κἂν μέσαις ἄρκυσιν ὡς εἰλημμένον, καταγοητευθῆναί φασι πρὸς τῆς χαμαιτύπης, ἀλλ' οὕτως σωφρόνως ἀντισχεῖν πρὸς αὐτὴν, ὥστε παντελῶς ἄπρακτον ἀπαλλαγεῖσαν τὴν Φρύνην, οὐχὶ μετὰ ἀνδρὸς ἔμπνου καὶ μετόχου ζωῆς τινος, ἀλλὰ μετ' ἀνδριάντος τὸ χρῆμα λιθίνου συγκατακλιθῆναι προσομολογεῖν. (Idem brevius narratur apud Diog. L. IV. 2. segm. 3. Cfr. Jacobs in Museo Attico Vol. III. p. 26.)

6) Cod. τῷ.

7) Laur., qui hoc apophth. ultimo loco posuit: ὁ αὐτὸς Ξενοφῶν.

ιοὶς ἁψαμένους καίει μόνον, οἱ δὲ καλοὶ καὶ τοὺς μακρὰν ἑστῶτας ὑφάπτουσιν, ἡ γὰρ ὄψις λαβὴ τοῦ πάθους ἐστίν.

Ξενοφῶντι [8] θύοντι ἦκέ τις ἐκ Μαντινείας ἄγγελος λέγων τὸν υἱὸν αὐτοῦ τὸν Γρύλλον τεθνάναι· κἀκεῖνος ἀπέθετο μὲν τὸν στέφανον, διετέλει δὲ θύων, ἐπεὶ δὲ ὁ ἄγγελος προσέθηκε τῷ προτέρῳ λόγῳ, ὅτι νικῶν τέθνηκε, πάλιν ὁ Ξενοφῶν ἐπέθετο τὸν στέφανον.

Ξενοφῶν ἔλεγε τὴν πενίαν σοφίαν αὐτοδίδακτον· ὃ γὰρ ἐκείνη τοῖς λόγοις πείθει, αὐτὴ τοῖς ἔργοις ἀναγκάζει.

* Ὁ αὐτὸς ἔλεγεν, οὐ τὸ μὴ λαβεῖν τὰ ἀγαθὰ, οὕτω χαλεπὸν, ὡς τὸ λαβόντα στερηθῆναι.

Ἀρχὴ τοῦ $\overline{ο}$ στοιχείου.

Τὸ $\overline{ο}$ μετὰ τοῦ $\overline{α}$.

Ὁ ἁλιεὺς [1] πληγεὶς νοῦν φύσει· ἐπὶ τῶν μετὰ τὸ παθεῖν μανθανόντων.

Τὸ $\overline{ο}$ μετὰ τοῦ $\overline{δ}$.

Ὁ Διὸς [2] Κόρινθος· ἐπὶ τῶν πάλαι μὲν εὐπραγησάντων, ὕστερον δὲ οὐ καλῶς ἀπαλλαξάντων.

Ὁ δ' ἀνὴρ κἀνόμωτος πιστεύειν ἄξιος.

8) Diog. Laërt. II. segm. 54. aliis verbis.

1) Apost. Cent. XIII. 98. Macar. habet: Ὁ βωμὸς πρὸς τὸ ἱερὸν· ἐπὶ τῶν ἀλλήλοις ἀξίων καὶ ὁμοίων. — Ὀβολοῦ τάριχος, δύο δ' ὀβολῶν ἀρτύματα· ἐπὶ τῶν, ἵνα μικρὰ κατορθώσωσι, πλείονα δαπανώντων.

2) Apost. Cent. XIII. 97. Plat. Euthyd. p. 292. E. ἀλλ' ἀτεχνῶς τὸ λεγόμενον ὁ Διὸς Κόρινθος γίγνεται, ubi Heind. Cfr. p. 182. Διὸς Κόρ.

Ὁδὸν [3] *ὀρθὴν βαδίζει· ἐπὶ τῶν ὀρθῶς καὶ ἴσως βιούντων.*

Ὁ δύο [4] *πτῶκας διώκων οὐδέτερον λαμβάνει. Δημώδης καὶ δήλη.*

Ὁ δυοῖν ἐπιθυμήσας οὐδετέρου ἔτυχεν· ὁμοία.

Ὁδοῦ [5] *παρούσης τὴν ἀτραπὸν ζητεῖς· ἐπὶ τῶν καταλιμπανόντων τὰ δῆλα καὶ ζητούντων τὰ ἀφανῆ.*

Τὸ ο μετὰ τοῦ ε.

Ὁ ἔχων [6] *πολὺ πέπερι τίθησι κἀν λαχάνοις· ἐπὶ τῶν εὐπόρως καὶ ἀφθόνως βιούντων.*

Ὁ ἔχων [7] *ἵππου χρήματα ταχύτατα ἱππεύει. Δημώδης.*

Ὁ [8] *Ζεὺς κολαστὴς τῶν ἄγαν ὑπερφρόνων.*

Ὁ ἥλιος [9] *τὸν οὐκ ἀετιδέα· λείπει τὸ ἐλέγχει· ἐπὶ δοκιμῆς.*

Ὁ [10] *θυμὸς ἀλγῶν ἀσφάλειαν οὐκ ἔχει.*

Τὸ ο μετὰ τοῦ ι.

Οὔτε [46] Ῥώμη πεσεῖται Σκηπίωνος ἑστῶτος, οὔτε Σκηπίων ζήσει τῆς πόλεως πεσούσης· ἐπὶ τῶν ὑπὲρ πατρίδος ἠρημένων ἀποθανεῖν.

Οὐ [47] πατρικὰ αὐλεῖ μέλη· ἐπὶ τῶν οὐχ ὁμοίως τοῖς πατράσι βιούντων.

λεις, ἐγὼ δὲ προσθείην ἐκ τῆς κωμῳδίας ὦ χρυσὸν ἀγγείλας ἐπῶν.

38) Apost. Cent. XV. 50. Codd. οὔ ποτ' ἐκ σκίλλης.

39) Apost. Cent. XV. 45.

40) Apost. Cent. XV. 26. Arsen. τί om. unde in hunc locum delatum est prov.

41) Apost. Cent. XV. 27.

42) Apost. Cent. XV. 32.

43) Apost. Cent. XV. 33.

44) Cfr. Aristoph. Plut. 149. καὶ τὰς γ' ἑταίρας φασὶ τὰς Κορινθίας ὅταν μὲν αὐτάς τις πένης πειρῶν τύχῃ, οὐδὲ προσέχειν τὸν νοῦν· ἐὰν δὲ πλούσιος, τὸν πρωκτὸν αὐτάς εὐθὺς ὡς τοῦτον τρέπειν, ubi Schol. Vide O. Mueller. Dor. II. p. 289.

45) Apost. Cent. XV. 37.

46) Apost. Cent. XV. 38.

47) Apost. Cent. XV. 41.

Οὐδ' ὅσον [48] *κνήσασθαι τὸ οὖς σχολὴν ἔχει· ἐπὶ τῶν πράγμασι πολλοῖς συμπεπλεγμένων.*

Οὗτος ὁ [49] *καθήμενος ἱσταμένῳ ἔοικεν· ἐπὶ τῶν σπουδαίων καὶ διὰ τὸ σπεύδειν μὴ βουλομένων ἀμερίμνως καθῆσθαι.*

Οὐκ ὤμαν [50] *τὰν εὐχὰν ἄλλας μείζονος εὐχᾶς δεῖσθαι· Λακεδαιμόνιος εὐξάμενος ἀπὸ τοῦ Λευκάτα ῥίπτειν ἑαυτὸν ἀνέβη καὶ ὑπέστρεψεν ἰδὼν τὸ ὕψος· ὀνειδιζόμενος δὲ τοῦτ' εἶπεν.*

Οὐ τὸν στρατηγὸν, ἀλλὰ τὸν τρώσαντα. Τιμόθεος εἶπε· τῶν ῥητόρων προαγόντων τὸν Χάρητα καὶ ἀξιούντων τοιοῦτον εἶναι τὸν Ἀθηναίων στρατηγόν.

Οὐχὶ καὶ αἱ χελῶναι διὰ μιᾶς πᾶσαι πλέαι· ἐπὶ τῶν διά τινος εὐεργετουμένων· φασὶ γὰρ, ὁπόταν μία χελώνη πίῃ, αἱ λοιπαὶ ἀπὸ τοῦ οὔρου αὐτῆς ποτίζονται.

Οὐ φελλίας ὁ ἀγὼν, οἷον οὐ στεφανίτης, ἀλλὰ χρηματίτης· ἔλεγον δὲ ἐπὶ τῶν ἀργύριον τελούντων.

Οὐ φροντὶς [51] *Ἱπποκλείδῃ· ὁ Τισάνδρου Ἱπποκλείδης μέλλων γαμεῖν Ἀγαρίστην τὴν Κλεισθένους τοῦ*

Macar. *οὐ π. μέλη αὐλεῖ· ἐ. τ. ὀ. ὁμ. τοῖς γονεῦσιν, ἀλλὰ χεῖρον βιούντων.*

48) Apost. Cent. XV. 43. Macar. *σχολὴν ἄγει.* In reliquis consentit.

49) Apost. Cent. XV. 7.

50) Plut. Apophth. Lacon. p. 236. D.

51) Apost. Cent. XV. 44. ex Herod. VI. 129. Lucian. Herc. *ὥστε ἰσχὺς μὲν καὶ τάχος καὶ κάλλος, καὶ ὅσα σώματος ἀγαθὰ, χαιρέτω — — καὶ ὁ Ἱπποκλείδης οὐ φροντιεῖ.* Philopatr. (si quidem Lucianus dialogi auctor) *οὐ φροντὶς Ἱπποκλείδῃ, κατὰ τὴν παροιμίαν.* Macar. habet: *Οὐθαρ ἀρούρης. — — Οὐχ εὕδει ποιμήν. — Οὐκ ἂν γένοιτο χωλὸς εὐσχήμων ἀνὴρ· ἐπὶ τῶν ἀπρεπῶς τι ποιούντων. — Οὐδὲν ὄφελος ἀποῤῥήτου καὶ ἀφανοῦς Μούσης. — Οὐδὲν πέπονθας δεινὸν, ἂν μὴ προσποιῇ· ἐπὶ τῶν ὑποκρινομένων δεινὰ πεπονθέναι. — Οὐδὲ κύαθον τόλμης ἔχει· ἐπὶ τῶν ἀνάνδρων. — Οὔτε ψύχεται, οὔτε θερμαίνει· ἐπὶ τῶν μηδὲν λυσιτελούντων. — Οὐ πρέπει γαλῇ κροκωτὸς οὐδὲ πορφύρα· πρὸς τοὺς ὑπὲρ τὴν πάλαι τύχην κοσμεῖσθαι θέλοντας. — Οὐδ' οὗτος Ἑρμῆς, οὐδ' ἐκεῖνος Ἡρακλῆς·*

Σικυωνίου θυγατέρα, τοῦ τυράννου ἐν αὐτῇ τῇ τῶν γά-μων ἡμέρᾳ ἀπωρχήσατο περιττῶς· μεταβουλευσαμένου δὲ τοῦ Κλεισθένους καὶ Μεγακλεῖ τῷ Ἀλκμαίωνος τὴν θυ-γατέρα δόντος, πρὸς δὲ τὸν Ἱπποκλείδην φανερῶς εἰπόν-τος, ὅτι ἀπώρχηται τὸν γάμον τῆς Ἀγαρίστης, ὑποτυ-χὼν ἔφη, οὐ φροντὶς Ἱπποκλείδῃ.

Τὸ ο μετὰ τοῦ φ.

Ὁ φεύγων [1] μύλον ἄλφιτα φεύγει· ἐπὶ τῶν ἑκουσίως ἀποβαλλομένων τὰ σφίσι πρόσφορα.

Ὄφεως ὄμμα [2]· ἐπὶ τῶν ὀξὺ καὶ καταπληκτικὸν ὁρώντων.

Ὁ φαλλὸς τῷ θεῷ [3]· ἐπὶ τῶν ἀπονεμόντων ἑνίοις τὰ εἰκότα καὶ πρόσφορα.

Ὀχλεῖς μάτην [4] με κῦμ' ὅπως· ἐπὶ τῶν ἀναι-σθήτως ἐχόντων ἡ παροιμία· ὡς γὰρ κῦμα προσκροῦον ἀεὶ παραλίαις πέτραις οὐδὲν ἀνίει, εἰ μὴ μάτην ποιεῖ, οὕτως οὐδ' αὐτὸς ὀχλῶν μοι ἀνήσεις τι, ὥστε ἃ χρῄζεις ἀκοῦσαι.

πρὸς τοὺς διαμαρτάνοντας, ἐν οἷς οἴονται κατορθοῦν. — Οὐκ ἀεὶ ποταμὸς ἀξίνας φέρει ἐπὶ τῶν οὐκ ἀεὶ τὰ αὐτὰ δωρου-μένων. — Οὐδ' ἀηδόνιον κα-τέδαρθον· πρὸς τοὺς φιλαγρύ-πνους. — Οὐ ταὐτὰ κώπης ἔρ-γα καὶ ἀναξυρίδος· ἀπὸ πο-νοῦντος πρὸς τρυφῶντα. — Οὐ χρὴ λέοντος σκύμνον ἐν πόλει τρέφειν. (Aristoph. Ran. 1431.) *— Οὐδεὶς ἑκὼν πονηρὸς, οὐδ' ἄκων μάκαρ· ἐπὶ τῶν κατὰ προαίρεσιν ζώντων. — Οὐδεὶς πεινῶν καλὰ ᾄδει. — Οὐδεὶς κομήτης, ὅστις οὐ βιννη-τιᾷ· ὡς ἐν διαβολῇ. — Οὗτος τοῦ σελήνου δεῖται· ἐπὶ τῶν πάνυ γερόντων καὶ ἐξησθενηκό-των· ἐν γὰρ τοῖς πένθεσι σελή-νου στεφάνους ἐφόρουν. — Οὐ-δὲν κακὸν ῥᾳδίως ἀπόλλυ-ται. — Οὐδ' ὅσον ἐν μαλά-χῃ τε καὶ ἀσφοδέλῳ μεγ' ὄνειαρ· ἐπὶ τῶν οὐδὲν ἀχαρῆ χρησίμων γενομένων. — Οὐ ποιήσεις λεῖον τὸν τραχὺν ἐχῖνον· ἐπὶ τοῦ ἀδυνάτου. — Οὔτε τὸν καρκῖνον ὀρθὰ βαδίζειν διδάξεις. — Οὐκ ἔστιν ἐν νηῒ πεσόντα ξύ-λου ἁμαρτεῖν· πρὸς τὸν ἐκ παντὸς τρόπου τυγχάνειν βου-λόμενον.*

1) Apost. Cent. XV. 52.
2) Apost. Cent. XV. 56.
3) Apost. Cent. XV. 57.
4) Apost. Cent. XV. 58.

Ὁ χρήσιμ' εἰδὼς οὐχ ὁ πολλ' εἰδὼς σοφός.

Ὀχληρὸν [5] ὁ χρόνος ὁ πολὺς, ὦ γῆρας βαρύ,
Ὡς οὐδὲν ἀγαθὸν, δυσχερῆ δὲ πολλ' ἔχεις
Τοῖς ζῶσι καὶ λυπηρά· πάντες εἰς σε δὲ
Ἐλθεῖν ὅμως εὐχόμεθα, καὶ σπουδάζομεν.

Τὸ ο μετὰ τοῦ ψ.

Ὄψ' ἦλθες [6], ἀλλ' ἐς κολωνὸν ἵεσο· ἐπὶ τῶν εἰς τοὺς καιροὺς ὑβριζόντων.

Ὄψον ἄριστον πόνος τῷ γήρᾳ· ὅτι δεῖ πονεῖν ἐν νεότητι, ἵνα πρὸς γῆρας ἔχῃ.

Ὄψα τε οἷα ἐδουσι διοτρεφέες βασιλῆες [7].

Α Π Ο Φ Θ Ε Γ Μ Α Τ Α.

Ὅμηρος Ἡσιόδῳ ἐρωτήσαντι, πόσον τὸ τῶν Ἑλλήνων πλῆθος ὃ κατὰ τὴν Τροίαν ἐστράτευσεν, εἶπεν·

Ἕπτ' ἔσσαν μαλεροῦ πυρὸς ἐσχάραι, ἐν δὲ ἑκάστῃ
Πεντήκοντ' ὀβελοὶ, περὶ δὲ κρέα πεντήκοντα,
Τρὶς δὲ τριηκόσιοι περὶ ἓν κρέας ἦσαν Ἀχαιοί.

* *Ὁ αὐτὸς εἶπεν*

ἐν ἰμάντι κατεστίχεθαι τὰ ἐρωτικά. Ἰλιάδος ξ'.

Ἔνθ' ἐνὶ μὲν φιλότης, ἐν δ' ἵμερος ἐν δ' ὀαριστὺς, ἐπειδὴ πληγῶν ἄξια δρῶσιν οἱ ἐρῶντες, ἢ ὅτι δεσμοῖς ἐοίκασι καὶ βρόχοις οἱ ἔρωτες καὶ τὰ τῶν ἐρώντων πάθη, ἢ ὅτι ἄχρι τοῦ δέρματος διϊκνεῖται τὰ ἐρωτικὰ

5) Stob. T. 116. 8. *Μενάνδρου.* Apogr. Dresd. *τὸ γῆρας*

6) Ap. Cent. XV. 55. Macar. habet: *Ὁ φαλακρὸς τὸν κτένα εὑρών, οὐκ ἐμὸν τὸ χρῆμα ἔφη· ἐπὶ τοῦ ἀχρήστου.* Cfr. Phaedr. Fab. IV. 55. ed. Berger. — *Ὁ χρυσὸς οὐ μιαίνεται· ἐπὶ τῶν μὴ καχυμένων.* — *Ὀχληρὸς δὲ ξένος ὄψιος μολών· αἴτη Εὐριπίδου ἐστίν.* — *Ὄψις ἀδήλων τὰ φαινόμενα· ἐπὶ τῶν τὰ μέλλοντα ἐπὶ τῶν παρελθυθότων στοχαζομένων.* — *Ὄψε θεῶν ἀλέουσι μύλοι, ἀλέουσι δὲ λεπτά.*

7) Od. Γ. 480.

πάθη, τήκοντα τοὺς ἐρῶντας καὶ ἀποξύοντα διὰ τῆς στύψεως τὰ μέλη.

* Ὁ αὐτὸς Ἰλιάδος π.

Κεῖται Σαρπηδὼν Λυκίων ἀγὸς ἀσπιστάων,
Ὃς Λυκίην εἴρυτο δίκῃσί τε καὶ σθένεϊ ᾧ.

Ταῦτα γὰρ σώζει τὸ μὲν πόλιν καὶ οἰκήτορας, τὸ δὲ ἀπεῖργον τοὺς πολεμίους· καὶ Αἰσχύλος·

Ὅπου γὰρ ἰσχὺς συζυγοῦσι καὶ δίκη,
Ποῖα ξυνωρὶς τῶνδε καρτερωτέρα.

τὴν δίκην δὲ προτάσσει, ὡς μᾶλλον τῶν ἄλλων ἁρμόζουσαν βασιλεῖ.

* Αὐτοῦ νεκύων κατατεθνειώτων εἰπόντος, ὁ παλαιὸς ἐκεῖνος ἀστεῖος, ὁ τοὺς χλωροὺς ἀνθρώπους νεκροὺς ὀνομάσας, εἶποι ἂν ἐντεῦθεν λαβεῖν τὴν ἀρχήν, ὡς τῶν τοιούτων παρ᾽ αὐτῷ νεκρῶν οὐ τεθνεώτων· ἱστορεῖ γάρ τινά Ἀθήναιος βαρὺν δοκοῦντα, ὅτι ἔσκωπτε τύπον τινὰ ὡς νοσερὸν, φάναι πρὸς τοὺς αἰτιωμένους ἐποίκους, ὡς καὶ πῶς ἂν πόλιν ἐρεῖ νοσώδη, ἔνθα καὶ οἱ νεκροὶ περιπατοῦσιν.

* Ὅτι ἡ ἀλήθεια κάλλιστον καὶ ἐν θεοῖς ὑπάρχει μέγιστον, δηλοῖ διὰ τῶν ἐπῶν τούτων Ὅμηρος.

Τοῦτο γὰρ ἐξ ἐμέθεν γε μεθ᾽ ἀθανάτοισι μέγιστον
Τέκμωρ, οὐ γὰρ ἐμὸν παλινάγρετον οὐδ᾽ ἀπατηλὸν,
Οὐδ᾽ ἀτελεύτητον, ὅ τι κεν κεφαλῇ κατανεύσω.

Τριῶν γὰρ αἰτιῶν οὐσῶν, δι᾽ ἃς ἄνθρωποι παραβαίνουσιν ὑποσχέσεις καὶ ψεύδονται, ἢ γὰρ ἐξαπατῶν τις ἔφησεν, ἢ φήσας ὕστερον μετενόησεν, ἢ βουλόμενος ἐξησθένησεν, τούτων δὲ τὸ μέν ἐστι φαύλης προαιρέσεως, τὸ δὲ ἀσθενοῦς κρίσεως, τὸ δὲ ἐνδεοῦς δυνάμεως, πάντα δὲ ὁ θεὸς ἐκπέφευγε, τῷ φιλαγάθῳ τὸ ἀπατηλὸν, καὶ τῷ βεβαίῳ τὸ παλινάγρετον, καὶ τῷ τελεσιουργῷ τὸ ἀτελεύτητον.

Οἰνοπίδου.

Οἰνοπίδης εἶπε τὸν νοῦν παραίτιον δαίμονα· τοῖς μὲν πεπαιδευμένοις ἀγαθὸν, τοῖς δὲ ἀπαιδεύτοις κακὸν εἶναι.

Ὁ αὐτὸς ὁρῶν μειράκιον πολλὰ βιβλία κτώμενον ἔφη, μὴ τῇ κιβωτῷ ἀλλὰ τῷ στήθει.

Ὁ αὐτὸς ἔλεγε τὰ βιβλία τῶν μὲν μεμαθηκότων ὑπομνήματα, τῶν δὲ ἀμαθῶν μνήματα.

Ὁ αὐτὸς [1] ἔλεγεν ὁποῖα ἡ φύσις τοῦ ἀνθρώπου ἐστὶ, τοιοῦτον εἶναι καὶ τὸν λόγον ἀνάγκη.

Οἰνοπίωνα [2].

Οἰνοπίων ἦν παῖς τῆς Ἀριάδνης τῆς Μίνωος, ᾧ Χῖον ἐγχειρίσαι φασὶ τὸν Ῥαδάμανθυν. Τοῦτον δὲ μυθολογοῦσι υἱὸν Διονύσου γενόμενον μαθεῖν παρὰ τοῦ πατρὸς τὴν οἰνοποιΐαν.

ΙΣΤΟΡΙΑΙ.

Περὶ Οἰνέως.

Οἰνεὺς Αἰτωλίας δυνάστης, τὰς ἀπαρχὰς τῶν ἐτησίων καρπῶν τοῖς θεοῖς θύων Ἄρτεμιν μόνην παρέλιπεν· ἡ δὲ θεὸς ὀργισθεῖσα μέγα τοῖς Αἰτωλοῖς συὸς χρῆμα ἔπεμψεν, ὃς οὐ μόνον τὴν χώραν, ἀλλὰ καὶ τοὺς ἐνοικοῦντας διέφθειρε· Καλυδώνιοι δὲ καὶ Πλευρώνιοι προῆλθον ἐπὶ τοῦτον. Μελέαγρος δὲ ὁ Οἰνέως πρῶτος ἐπιτυχὼν, γέρας τε τοῦ ὑὸς ἀκροθίνια λαβὼν τὴν κεφαλὴν καὶ τὸ δέρας, Ἀταλάντῃ δι' ἔρωτα δωρεῖται· καὶ γὰρ αὕτη συνεξῆλθεν αὐτοῖς ἐπὶ κυνηγεσίαν· οἱ δὲ Θεστίου

1) Laur. om.

2) Abest ab impr. et Laur.

μὲν παῖδες, ἀδελφοὶ δὲ τῆς Μελεάγρου μητρὸς, Ἀλθαίας, ὀργίλως διατεθέντες [3], ἐπὶ τούτῳ ἐπεβούλευον τῷ Μελεάγρῳ· ὁ δὲ προγνοὺς, οὓς μὲν ἀπέκτεινεν, οὓς δὲ εἰς φυγὴν τραπῆναι παρεσκεύασεν· διόπερ οἱ Πλευρώνιοι τοῖς Καλυδωνίοις ἐπεστράτευσαν· Μελέαργος δὲ κατ' ἀρχὰς τῇ μητρὶ μηνίων, οὐκ ἐβοήθει τῇ πατρίδι· πορθουμένης δὲ ἤδη τῆς πόλεως, πεισθεὶς ὑπὸ Κλεοπάτρας τῆς γυναικὸς προελθὼν, οὓς μὲν ἀνεῖλεν, οὓς δὲ ἠνάγκασεν ἐκεῖσε κατὰ κρημνῶν ἐνεχθῆναι· Ἀλθαία δὲ μηνιῶσα τῷ παιδὶ τὴν ὑπὸ τῶν μοιρῶν δεδομένην δᾷδα κατέφλεξεν· ἦν δὲ πεπρωμένον ἐκείνης ἐκκαείσης καὶ τὸν Μελέαγρον ἀποθανεῖν· φθαρέντος δὲ τοῦ παιδὸς Ἀλθαία μετανοήσασα ἑαυτὴν ἀναιρεῖ.

Περὶ Οἰδίποδος [4].

Λιπὼν Κόρινθον Οἰδίπους πατρὸς νόθος
Πρὸς τῶν ἁπάντων λοιδορούμενος ξένων,
Ἦλθε πυθέσθαι Πυθικῶν θεσπισμάτων.
Ζητῶν ἑαυτὸν καὶ γένους φυτοσπόρον·
Εὑρὼν δὲ τλήμων ἐν στενοῖς ἁμαξιτοῖς
Ἄκων ἔπεφνε Λάϊον γεννήτορα
Σφιγγὸς δὲ θανάσιμον ἐκλύσας μέλος
Ἠισχυνε μητρὸς ἀγνοουμένης λέχος·
Λοιμὸς δὲ Θήβας εἶλε καὶ νόσος μακρά.
Κρέων δὲ πεμφθεὶς Δελφικὴν πρὸς ἑστίαν,
Ὅπως πύθηται τοῦ κακοῦ παυστήριον,
Ἤκουσε φωνῆς μαντικῆς θεοῦ πάρα,
Τὸν Λάϊειον ἐκδικηθῆναι φόνον.
Ὅθεν μαθὼν ἑαυτὸν Οἰδίπους τάλας
Λισσαῖς τε χερσὶν ἐξανάλωσε κόρας,
Αὐτή τε μήτηρ ἀγχόναις διώλετο.

3) Cod. διατιθέντες.
4) Est ὑπόθεσις Oedipi tyranni, ab Aristophane Grammatico in versus redacta.

Περὶ Πέλοπος καὶ Οἰνομάου. Ἀπολλοδώρου.

Ἐν δὲ δύω δίφροι πεπονήατο δηριόωντε·
Καὶ τὰ μὲν προπάροιθε Πέλοψ ἴθυνε τινάσσων
Ἡνία· σὺν δὲ οἱ ἔσκε παραιβάτις [5] Ἱπποδάμεια·
Τὸν δὲ μεταδρομάδην ἐπὶ Μυρτίλος ἤλασεν ἵππον.
Σὺν τῷ δ' Οἰνόμαος προτενὲς δόρυ χειρὶ μεμαρπώς,
Ἄξονος ἐν πρύμνης παρὰ κελαδὸν ἀγνυμένοιο,
Πίπτεν ἐπεσσυμένος Πελοπήϊα νῶτα δαΐξαι.

Ἀρχὴ τοῦ $\overline{\pi}$ στοιχείου.

Τὸ $\overline{\pi}$ μετὰ τοῦ $\overline{\alpha}$.

Πάλαι [1], *ποτ' ἦσαν ἄλκιμοι Μιλήσιοι· ἐπὶ τῶν πρὶν μὲν εὐπραγούντων, ὕστερον δὲ δυσπραξάντων· τάττεται δὲ καὶ ἐπὶ τῶν πρότερον μὲν χρωμένων τισὶν ὅπως δή ποτε, ὕστερον δὲ μὴ φροντιζόντων αὐτῶν, ὡς ὁ ἐν Ἀριστοφάνει νέος μεμήνικε τῇ γραΐ* [2].

Πάντα [3] *θεῖν ἐλαύνεται· ἐπὶ τῶν εὐπόρων.*

Πάντα τὸν βοῦν ἔφαγε κεἰς τὴν οὐρὰν ἀπέκαμεν· ἐπὶ τῶν τελεσάντων τὸ πλεῖον μέρος τινὸς ἔργου, τοῦ λοιποῦ δὲ καὶ βραχέος ὀλιγωρούντων.

Πάντα [4] *κάλων σείειν· ἐπὶ τῶν πάσῃ προθυμίᾳ χρωμένων· παρῆκται δὲ ἀπὸ τῶν τὰ ἄρμενα χαλώντων.*

5) Cod. παραιβάτης.

1) Apost. Cent. XV. 59. et Laur. historiam latius exponunt. Macar. ἐπὶ τῶν πρότερον μὲν ἐπ' ἀνδρίαν δόξαν ἐχόντων, ἐλαττωθέντων δὲ ὕστερον.

2) Versus sunt: ἤτοι πάλαι ποτέ μοι ἄκοντι χρησίμη ὑπῆρχες· διὰ τὴν ἔνδειαν, νῦν δ' οὐκέτι σου φροντίδα (Laur. φρόντα) ποιοῦμαι.

3) Apost. Cent. XV. 60. addit quaedam.

4) Apost. Cent. XV. 62. iis-

Πάναβρος [5] *Σαρδανάπαλος· ἐπὶ τῶν τρυφώντων καὶ πολυόλβων.*

Παρὰ [6] *τὰ δεινὰ φρονιμάτερος· ὁμοία τῇ· ἐξ ὧν ἔπαθες ἔμαθες* [7].

Πᾶν μοι [8] *τὸ χρέος κρόμμυα, καὶ τὸ τίμημα σκόροδα· ἐλλείπει τὸ εἴη· ἐπὶ τῶν ὀλίγα ὀφειλόντων καὶ εὐτελῆ.*

Πάντα ὀκτώ [9]*· οἱ μὲν Στησίχορόν φασιν ἐν Κατάνῃ ταφῆναι πολυτελῶς πρὸς ταῖς ὑπ' αὐτοῦ Στησιχορείαις πύλαις λεγομέναις· καὶ τοῦ μνημείου ἔχοντος ὀκτὼ κίονας καὶ ὀκτὼ βαθμοὺς καὶ ὀκτὼ γωνίας· οἱ δὲ ὅτι Ἀλήτης* [10] *κατὰ χρησμὸν τοὺς Κορινθίους συνοικίζων ὀκτὼ φυλὰς ἐποίησε τοὺς πολίτας καὶ ὀκτὼ μέρη τὴν πόλιν· εἴρηται δὲ ἐπὶ τῶν παγίων καὶ βεβαίων.*

Πάντα [11] *εἴσω πίπτει· ἐπὶ τῶν μὴ περί τινων πλείστου ἀξίων κατ' ἀξίαν εἰπόντων· τὸ γὰρ εἴσω πίπτον περιέχεται καὶ τὸ περιεχόμενον ἅπαν μικρότερον τοῦ περιέχοντος.*

Παρὰ [12] *κωφὸν ἀποπαρδεῖν· ἐπὶ τῶν ἀναισθήτων.*

dem verbis Suid. Macar. *πάντα λίθον καὶ πάντα κάλων κινεῖ· ἐπὶ τῶν πάσῃ χρωμένων προθυμίᾳ.* Cfr. Aristoph. Equ. 756. *νῦν δεῖ σε πάντα δὴ κάλων ἐξιέναι σεαυτοῦ.* Lucian. Scyth. c. 11. *οὐχ ἕδρας τοίνυν, οὐδ' ἀμβολᾶς ἔργον, ὡς ὁ Κεῖός φησιν, ἀλλὰ χρὴ πάντα μὲν κάλων κινεῖν.* Julian. Ep. 52. p. 437. A. *πάντα κινοῦσιν ἀκοσμίας κάλων.* Clem. Strom. VII. p. 292. 32. *καὶ πάντα μᾶλλον ὑπομένουσι, καὶ πάντα, φασὶ, κάλων κινοῦσι.* Cfr. Elmsl. ad Eur. Med. 280. Heind. ad Plat. Protag. p. 338. A.

5) Apost. Cent. XV. 63.

6) Apost. Cent. XV. 64.

7) Frequenter Graeci hac paronomasia utuntur: Xen. Cyrop. III. 1, 17. *πάθημα τῆς ψυχῆς λέγεις εἶναι τὴν σωφροσύνην, οὐ μάθημα.* Achill. Tat. IV. 14. *ἔφθανε τὸ παθεῖν πρὸ τοῦ μαθεῖν*, ubi Jacobs. Synes. Dion. p. 48. A. ed. Paris. 1631. *καθάπερ Ἀριστοτέλης ἀξιοῖ τοὺς τελουμένους οὐ μαθεῖν τί δεῖ, ἀλλὰ παθεῖν καὶ διατεθῆναι.* Macarii prov. supra p. 216. *ἐὰν μὴ πάθῃς, οὐ μὴ μάθῃς.*

8) Apost. Cent. XV. 64.

9) Apost. Cent. XV. 67.

10) Apost. Ἀχήτης.

11) Apost. Cent. XV. 72.

12) Apost. Cent. XV. 75. Macar. *παρὰ κωφὸν ἀποπαρδεῖν*,

Παρὰ [13] *χελώνης ὄστρακον· ἐπὶ τοῦ μὴ μεταδιδόντος ὡς οὐδὲ ἡ χελώνη μεταδοίη τοῦ ἰδίου ὀστράκου.*

Πατροκλέους [14] *φειδωλότερος· ἐπὶ τῶν πλουσίων μὲν, φειδωλῶν δὲ καὶ μικροπρεπῶν· οὗτος γὰρ ἐξότου περ ἐγένετο πλούσιος ἢ καὶ ἐγεννήθη, οὐκ ἐλούσατο. Ἀριστοφάνης· ἢ ἐπὶ ῥυπώντων καὶ αὐχμηρῶν.*

Πάτταλος [15] *παττάλῳ προσκρούεται· ὅταν τὸ κακὸν ὑπὸ κακοῦ θεραπεύηται.*

Παύσωνος [16] *πτωχότερος· οὗτος ζωγράφος ἦν καὶ ἐπὶ πενίᾳ διατεθρύλλητο.*

Πάντα [17] *χρήματα· ἐπὶ τῶν συγκεχυμένων πραγμάτων, ἐλήφθη δὲ ἐκ τοῦ Δημοκρίτου τοῦ φυσικοῦ.*

Πάνθ' [18] *ὑπὸ μιᾶς μύκονος· ἐπὶ τῶν μιᾷ δίκῃ καταδικασθέντων.*

Παναθηναίων [19] *κατόπιν· ἐπὶ τῶν βραδυνόντων.*

Παρθένοις [20] *ἓξ ἐφάμιλλος· ἐπὶ τῶν εὐψύχων καὶ σωφρόνων· τὰς Ἐρεχθέως θυγατέρας οὕτως ἔλεγον καὶ ἐτίμησαν δὲ τὸν ἀριθμὸν ἓξ.*

Πάθος [21] *κόρης ἱπποµανοῦς· ἐπὶ τῶν διαφθειρομένων καὶ ἀφόρητα δῆθεν ὑφισταμένων· οὗτος γὰρ τοῦ γένους τῶν Κοδριδῶν ὢν ὃς καὶ τελευταῖος ἐβασίλευσε τὴν θυγατέρα καθεῖρξεν ἐν χωρίῳ τινὶ μεθ' ἵππου μαινομένου, διότι λαθραίῳ μίξει τὴν παρθενίαν αὐτῆς ἐλυμήνατο καὶ ὁ ἵππος τὴν κόρην βίαν ἐποιήσατο·*

ἢ παρὰ κωφοῦ θύρας ᾄδειν· ἐπὶ τῶν μὴ προσεχόντων.

13) Apost. Cent. XV. 71. Macar. *ἐπὶ τοῦ οὐκ ἂν μεταδόντος, ὥσπερ οὐδὲ χελώνη μεταδοίη τοῦ ἰδίου ὀστράκου.*

14) Apost. Cent. XV. 74. Aristoph. Plut. 84. *ἐκ Πατροκλέους ἔρχομαι, ὃς οὐκ ἐλούσατ', ἐξ ὅτουπερ ἐγένετο.*

15) Apost. Cent. XV. 75.

16) Apost. Cent. XV. 76. Cfr. Interpp. ad Aristoph. Plut. 602.

17) Apost. Cent. XV. 77. Eustath. Opusc. p. 312. l. 30. *ἐπ' αὐτοῦ γὰρ παρετέθη· ὡς εἶναι τὸ παράθεμα πάνθ' ὁμοῦ χρήματα ταῦτα· χύτραν, πινακίσκον, ἄρτον, προσόψημα.*

18) Apost. Cent. XV. 79.

19) Apost. Cent. XV. 80. et Laur. de Panathenaeis quaedam addunt.

20) Apost. Cent. XV. 84. et Laur. plura addut.

21) Apost. Cent. XV. 86.

ἀφ' οὗ πάριππος καὶ κόρη ὁ τόπος ἐν ᾧ τὸ πάθος ὑπέστη καλεῖται.

Παταικίωνος [22] *συκοφαντικώτερος· οὗτος ἀπὸ συκοφαντίας τὸν βίον ποιούμενος καὶ προσκρούειν ἐπιτηδεύων τοῖς εὐδοκιμοῦσι τῶν πολιτῶν τέλος φωραθεὶς ἀνηρτήθη.*

Τὸ π μετὰ τοῦ ε.

Πεισάνδρου [1] *δειλότερος.*

Πενία δὲ [2] *τὴν σοφίαν ἔλαχε.*

Πελαργικοὶ [3] *νόμοι, καὶ ἀντιπελάργωσις ἡ διὰ τὸ τρέφειν τοὺς γονεῖς.*

22) Apost. Cent. XV. 90. *Παντακίωνος.* Apogr. Dresd. *Πατακίωνος.* Scripsi *Παταικίωνος*, hoc enim nomen hominis malitia famosi in comoediis antiquis frequens. Vide Wyttenb. ad Plut. de aud. poët. p. 21. F. et quos ille laudat, Menage ad Diog. Laërt. VI. 39. Vales. ad Harpocrat. p. 62. Macar. habet: *Πάγην ἱστὰς ἐν πάγῃ ληφθήσῃ. — Παρὰ μὲν πεδίον, παρὰ δὲ ἵππος. Τοῦτό φασι τὸν Θετταλὸν τύραννον εἰπεῖν, προκαλούμενον Βοιωτοὺς εἰς πόλεμον. — Παρὰ χωλὸν οἰκῶν κἂν ἐπισκάζειν μαθήσῃ· πρὸς τοὺς παραπολαύοντας τῶν χαλεπῶν. — Παρὰ βοῦς ἀροτριᾷ· ἔοικεν ἐπ' αἰσχρότητι πρὸς τὰς γυναῖκας εἰρῆσθαι. — Πάντα ἀγαθοὶ τολμῶσι καὶ πάντα κακοὶ τολμῶσι. — Πάντα πλουσίοις καλά, κοὐδὲν αὐτοῖς πρᾶγμα. — Πάντων τοι μέτρον ἐστὶ τὸ ἐπιεικές. — Πάγη παρ' οὐδὲν· πρὸς τοὺς δι' ἀκοῆς θηρῶντάς τινας. — Πάππος ἀκάνθης· ἐπὶ τοῦ μηδενός· πάππος γάρ ἐστι τὸ φυόμενον ἐκ τῆς ἀκάνθης, ὃ προσπνέων ὁ ἄνεμος σκεδάζει πανταχοῦ. — Πάντα λυπεῖ τὸν στυφλόν. — Πάντ' εἰς τὴν κερδαίνουσαν πήραν ὠθεῖν· ἐπὶ τῶν ἐκ παντὸς τρόπου κερδαίνειν βουλομένων. — Πάσης ἅπτεσθαι κώπης· παρεγγυᾷ διὰ παντὸς ἔχεσθαι ἔργου. — Παρὰ ποταμὸν φρέαρ ὀρύττειν· ἐπὶ τῶν μάτην πονούντων. — Πᾶσα γῆ πατρίς. — Παρὼν ἀποδημεῖ· ἐπὶ τῶν αἴσθησιν ἑαυτῶν οὐδεμίαν παρεχομένων. — Παρακύπτων λίθος· ἐπὶ τοῦ δήλου.*

1) Apost. Cent. XV. 92.

2) Apost. Cent. XV. 7.

3) Apost. Cent. XV. 93. Macar. *ἐπὶ τῶν τὰς εὐεργεσίας ἀμειβομένων, παρόσον οἱ τῶν πελαργῶν νεοττοὶ τοὺς πατέρας τρέφουσι γεγηρακότας.*

Πολίτευμα. Ἐφορεία· ἐκ τῶν πολιτικῶν φυλετῶν λαχόντων.

Πεζὴ βοήθεια[1], κατὰ γῆν καὶ ἐπίκαιρος· ἐκ τῶν κατὰ στρατιωτικὸν ἐπὶ ὁπλίτου, πλὴν τῶν ἐπὶ ἵππου ἐν τῷ στρατιώτου.

Ἱππικὸν[2]· ἵππος καὶ ἀναβὰς ἐκ Νίκης, ἐλαύνει δεξιᾷ.

Πελτάσται[3]· λογχίται· ἐπὶ τῶν ἀνδρῶν· Κλεοπάτρα· ἐπὶ τῶν γύναικα παῖδα βαστάζει καὶ Περσέα, ἐν τῇ δεξιᾷ λόγχη· ἐν ἀριστερᾷ ἀσπίδα· ἐπὶ τῶν γύναικα ἐφίππου κέντρον κατὰ χεῖρα· ἐν ἀριστερᾷ ἡνίοχος· ἐπὶ τῶν ἀνδρῶν· ἐπὶ τῶν ἀνδρῶν· ἐπὶ τῶν ἀνδρῶν

Πεύκης τρόπον [13]· *ἐπὶ τῶν πανωλεθρίᾳ ἀπολλυμένων· ἐπεὶ ἡ πεύκη κοπεῖσα οὐκ ἀνίησιν ἔτι βλαστόν.*

Πέτρας ἔψειν [14] *ἐπιχειρεῖς· ἐπὶ τῶν ἀδυνάτων.*

Πεινῶσαν [15] *ἀλώπεκα ὕπνος ἐπέρχεται· ἐπὶ τῶν πανούργων.*

Τὸ π μετὰ τοῦ η.

Πηγάσου ταχύτερος [1]· *φασὶν ὅτι Βελλεροφόντην ὑπόπτερος ἵππος Πήγασος ἔφερεν· ἐμοὶ δὲ ἵππος οὐδέποτε δοκεῖ δύνασθαι ἵπτασθαι, οὐδ᾽ εἰ πάντα τὰ πτηνῶν πτερὰ λάβῃ· εἰ γάρ ποτε τοιοῦτον ζῴον ἦν, καὶ νῦν ἂν εἴη· τοῦτον δέ φασι καὶ τὴν Ἀμισοδάρου Χίμαιραν ἀνελεῖν· ἦν δὲ ἡ Χίμαιρα, ὥς φασιν, ἔμπροσθεν μὲν λέων, ὄπισθεν δὲ δράκων, μέση δὲ χίμαιρα· ἔνιοι δὲ δοκοῦσι τοιοῦτον γενέσθαι θηρίον, τρεῖς ἔχον κεφαλάς· ἀδύνατον δὲ λέοντα καὶ αἶγα ὁμοίᾳ τροφῇ χρῆσθαι, καὶ τὸ θνητὴν* [2] *ἔχον φύσιν πῦρ ἀναπνέειν εὔηθες· ποίαις δὲ τῶν κεφαλῶν τὸ σῶμα ἐπηκολούθει. Τὸ δὲ ἀληθὲς οὔ-*

νου σκιᾶς μάχονται οἱ φιλοσοφοῦντες. Cfr. Ast ad Plat. Phaedr. c. 42. et supra p. 385. *ὄνου σκιὰ*, et infr. *ὑπὲρ ὄνου σκιᾶς.*

13) Apost. Cent. XVI. 6. Macar. *ἐπὶ τῶν πανωλεθρίᾳ διαφθειρομένων, παρόσον ἡ πεύκη τμηθεῖσα οὐκέτι ἀναφύει.*

14) Apost. Cent. XV. 99. *πέτρας ἔψεις· καὶ* nr. 100. *πέτρας σπείρεις· ἐπὶ τ. ἀ.* Vide supra p. 336. *λίθον ἕψεις.* Macar. *πέτρας σπείρεις ἐπὶ τῶν μάτην πονούντων.* Plat. Legg. VIII. p. 839. E. *τοῦ μὲν ἄρρενος ἀπεχομένους μὴ κτείνοντάς τε ἐκ προνοίας τὸ τῶν ἀνθρώπων γένος, μηδ᾽ εἰς πέτρας τε καὶ λίθους σπείροντας.*

15) Apost. Cent. XVI. 8. addit: *ἢ ἐπὶ τῶν πεκτῶν τῶν δι᾽ ἀπορίαν τροφῆς ὑπνούντων· ἀλώπεκα δὲ εἶπε παρόσον οἱ πένητες πολλὰς τέχνας ἐπιτηδεύουσι.* Macar. addit: *Περσικὴ τιμωρία· ἐπὶ τοῦ ἀργαλέου καὶ ἀποτόμου. — Πεινῶντι δὲ ὕπνος οὐκ ἐπέρχεται. — Πεινῶντος ἀνδρὸς ἰσχνὰ τὰ ἀντικνήμια. — Πεινῶντι πᾶν ἐστι χρῆμα ἐδώδιμον.*

1) Apost. Cent. XVI. 10.

2) Codd. *θνητόν* sed Atticismum, de quo Markl. ad Eur. Suppl. 151. Lobek ad Aj. 323. Coray ad Heliod. II. p. 58. Boisson. ad Philostr. Her. p. 295. et 318. ad Aristaen. p. 218. Jacobs ad Philostr. Imag. p. 220. disputant, dubitavi hoc lo-

τως. Βελλεροφόντης ἦν Φρύγιος ἀνὴρ, τὸ γένος Κορίνθιος, καλὸς καὶ ἀγαθὸς, ὃς πλοῖον κατασκευάσας μακρὸν ἐληΐζετο τὰ παραθαλάσσια χωρία· ὄνομα ἦν τῷ πλοίῳ Πήγασος, ὡς καὶ νῦν ἕκαστον τῶν πλοίων ὄνομα ἔχει· ὅμοιον δὲ δοκεῖ πλοῖον μᾶλλον ἢ ὄνομα ἵππῳ εἶναι Πήγασος· βασιλεὺς δὲ Ἀμισόδαρος ᾤκει ἐπὶ τῷ Ξάνθῳ ποταμῷ· ὄρος δὲ ἦν ὑψηλὸν ὑπ' αὐτῷ, ᾧ ὄνομα Τέλμισός [3]· πρὸς ὃ δὴ ὄρος προβάσεις εἰσὶ δύο ἔμπροσθεν, ἐπὶ πόλεως τῶν Ξανθίων· τρίτη δὲ ὄπισθεν τῆς Καρίας, τὰ δ' ἄλλα κρημνοί· ἐν δὲ τῷ μέσῳ αὐτῶν χάσμα ἐστὶ τῆς [4] γῆς μέγα· ἐξ οὗ δὴ καὶ πῦρ ἀναδίδοται· ἐπὶ τούτοις δέ ἐστιν ἕτερον ὄρος, ᾧ ὄνομα Χίμαιρα· τότε δὲ ἦν, ὡς λέγουσιν οἱ προσχώριοι, κατὰ μὲν τὴν πρόβασιν οἰκῶν λέων ἔμπροσθεν, ὄπισθεν δὲ δράκων, οἳ δὴ καὶ ἔσινον τοὺς νομέας καὶ τοὺς ὑλοτόμους· τότε δὴ καὶ Βελλεροφόντης ἐλθὼν τὸ ὄρος ἐνέπρησε, καὶ ἡ Τέλμισσὸς κατεκάη καὶ τὰ θηρία ἀπώλετο· ἔλεγον οὖν οἱ προσχώριοι Βελλεροφόντην [5] ἀφικόμενον μετὰ Πηγάσου τὴν Ἀμισοδάρου Χίμαιραν ἀπολέσαι· τούτου δὲ γεγονότος προσανεπλάσθη ὁ μῦθος.

Τὸ $\overline{\pi}$ μετὰ τοῦ $\overline{\iota}$.

Πῖθ' ἑλλέβορον [6]· ἐπὶ τῶν ἑλλεβόρου δεομένων ὥστε ἰαθῆναι μανιωδῶν ὄντων. Λουκιανὸς ἐν τῷ Μενίππου διαλόγῳ· λῆρεῖς ὦ Τάνταλε καὶ ὡς ἀληθῶς ποτοῦ δεῖσθαι δοκεῖς· ἀκράτου γε ἑλλεβόρου νὴ Δία.

Πίθηκος [7] ὁ πίθηκος, κἂν χρύσεα ἔχῃ σύμβολα.

co statuere, ubi propter verba proxima τὸ — ἔχον facilis fuit error, ut infra: ἕτερος ὄρος, ᾧ ὄνομα Χίμαιρα.

3) Apogr. Dresd. Τελμισσός sed infra: Τελμισός. Laur. constanter Τελμισός.

4) Codd. τῶν τῆς γῆς· delevi τῶν.

5) Apogr. Dresd. Βελλεροφόντη. Constat fluctuare in his accusativis libros, vide Siebel. ad Paus. I. 1. p. 5. Boisson. ad Philostr. Her. p. 495. Elmsl. Review of Marklands Supplices 928. Laur. Βελλεροφόντη ἀφικόμενοι.

6) Aristoph. Vesp. 1480.

7) Apost. Cent. XVI. 17. Macar. addit: ἐπὶ τῶν μηδὲν ἐξ

Τὸ π̄ μετὰ τοῦ λ̄.

Πλίνθον [8] *πλύνεις· ἐπὶ τῶν ἀδυνάτων.*

Πλείους [9] *προσκυνοῦσι τὸν ἥλιον ἀνατέλλοντα ἢ δύνοντα· ἐπὶ τῶν δι' ἀρετὴν τιμωμένων ἐν τῇ νεότητι ἢ τῷ γήρᾳ.*

Πλατάνη [10] *δοκιμάσει· ἔστι δὲ φύλλον τῆς μύκωνος, ἢ ἀνεμώνης· δι' αὐτῆς γοῦν ἐσημειοῦντο τὴν τῶν ἐρωμένων στοργήν, τιθέντες ἐπί τε τοῦ ἀντίχειρος καὶ τοῦ λιχανοῦ καὶ ἀντικόπτοντες· καὶ εἰ μὲν ἤχησεν ἐστέργοντο· εἰ δ' οὔ* [11]*, τὸ ἀνάπαλιν.*

Τὸ π̄ μετὰ τοῦ ο̄.

Πολλῶν [1] *ἀχύρων ὀλίγον καρπὸν ἀνήγαγον· ἐπὶ τῶν πολλὰ ποιούντων, ὀλίγα δὲ καρπουμένων.*

Πολλὰ [2] *μοχθήσαντες ὁμοίως ἐμέν· ἐπὶ τῶν μηδὲν ἐκ σπουδῆς ὠφεληθέντων καὶ διὰ παιδείαν οὐδὲν πλέον τῶν ἄλλων προτιμωμένων.*

Πολλῶν [3] *ἐγὼ θρίων ψόφους ἀκήκοα· ἐπὶ τῶν μὴ ποιουμένων λόγον τῶν εἰς αὐτοὺς γενομένων*

ἐπεισάκτου κόσμου ὠφελουμένων. Lucian. adv. indoct. c. 4. *πίθηκος γὰρ ὁ πίθηκος, ἢ παροιμία φησὶ, κἂν χρύσεα ἔχῃ σύμβολα.* Mac. habet: *Πίθηκος ὄμφακος σιτούμενος· παρόσον πονηρὸν μὲν τὸ ζῶον, πονηρὰ δὲ σιτεῖται. — Πιθήκῳ πάτταλον· ἐπὶ τῶν κατ' ἀξίαν τι πασχόντων.*

8) Apost. Cent. XVI. 18. Eustath. Opusc. p. 11. B. ed. Tafel. *ἔτι λοῦσαι ῥύπου ἀπογυμνῶν ἑαυτὸν, εἰ καὶ ἄλλως πλίνθον, ὅ φασι, πλύνεις. οὕτω ποιῶν.*

9) Apost. Cent. XVI. 19.

10) Apost. Cent. XVI. 21. *πλατάγη.*

11) Apost. et apogr. Dresd. *εἰ δ' οὖν.* Posui, sensu postulante, *εἰ δ' οὔ.* Macar. habet: *Πλοῦτος κεραμέως· ὃ μὴ βέβαιος, ἀλλὰ σαθρὸς καὶ διάκενος.*

1) Apost. Cent. XVI. 24.

2) Lucian. Hermotim. 69. *πολὺ ποῤῥωτέρω γεγόναμεν, ἢ πρότερον ἦμεν, καὶ κατὰ τοὺς παροιμιαζομένους πολλὰ μοχθήσαντες ὁμοίως ἐσμέν.*

3) Apost. Cent. XVI. 54. *πολλῶν ἐγὼ θηρίων ἀκήκοα ψόφους· ἐπὶ τῶν πεπειραμένων ἐν πράγμασιν· ἢ ἐπὶ τῶν φοβούντων οὐ δεόντως.* Etiam Macar. *πολλῶν θηρίων ἐγὼ ψόφους ἀκήκοα· ἐπὶ τῶν κενῶν ἀπειλῶν.* Ita permutatur *θηρίον* et *ῥίον.* Jacobs

ἀπειλῶν· ἀπὸ μεταφορᾶς τῶν τῆς συκῆς φύλλων, ἀποτελούντων μὲν ἐν τῷ καίεσθαι κτύπον, ταχὺ δὲ σβεννυμένων.

Πολλοὶ θριοβόλοι, παῦροι δέ τε μάντιες ἄνδρες.

Πολλ᾽ οἶδ᾽ [4] *ἀλώπηξ ἀλλ᾽ ἐχῖνος ἓν μέγα.*

Πολλαῖς [5] *πληγαῖς δρυοῦ δαμάζεται· πρὸς τοὺς δυσαλώτους.*

Πολλαὶ [6] *κυνὸς ἄρξενος εὐναί· ἐπὶ τῶν κατωφερῶν εἰς τὰ ἀφροδίσια.*

Πολλὰ [7] *μεταξὺ πέλει κύλικος καὶ χείλεος ἄκρου· ἐπὶ τῶν εἰς χρόνον μακρὸν γενήσεσθαι μελλόντων· ἄμπελον γάρ τινος φυτεύοντος εἷς τῶν οἰκετῶν εἶπε τὸν στίχον τοῦτον.*

Πολλοί [8] *τοι ναρθηκοφόροι, παῦροι δέ τε βάκχοι· ἐπὶ τῶν δοξαζόντων εἶναι λαμπρῶν, μὴ ὄντων δέ.*

Πόντος ἀγαθῶν [9]*· ἐπὶ τῶν πολλὰ ἀγαθὰ ἐχόντων.*

Πονηρὰ [10] *κατὰ τρυγόνα ψάλλεις· ἐπὶ τῶν ἐπιπόνως ζώντων.*

Ποταμὸς πρὸς θάλατταν [11] *ἐρίζει· ἐπὶ τῶν ἀνοήτων καὶ ἀδυνάτων.*

ad Philostr. p. 521. Aristoph. Vesp. 436. *ὡς ἐγὼ πολλῶν ἀκούσας οἶδα θρίων τὸν ψόφον.*

4) Apost. Cent. XVI. 45. Macar. *πολλὰ μὲν ἀλώπηξ, ἀλλ᾽ ἐχῖνος ἓν μέγα.*

5) Apost. Cent. XVI. 26. Macar. consentit.

6) Apost. Cent. XVI. 27.

7) Apost. Cent. XVI. 28. plura addit ex Diogeniano. Macar. *ἐπὶ τῶν τὰ ἄδηλα ἐλπιζόντων· πέλει* apogr. Dresd. om.

8) Apost. Cent. XVI. 46. Macar. *πολλοὶ ναρθηκοφόροι, παῦροι δὲ Βάκχοι· ἐπὶ τῶν προσποιουμένων τι εἰδέναι καὶ μὴ εἰδότων.* Clem. Strom. V. 3. p. 655. *φιλόσοφον μὲν οὖν, ἣν δ᾽ ἐγὼ, πλῆθος ἀδύνατον γενέσθαι·*

Πολλοὶ μὲν ναρθηκοφόροι, Βάκχοι δέ τε παῦροι κατὰ τὸν Πλάτωνα. (Phaedone, ubi cfr. Wyttenb.) Boisson. ad Marin. p. 112.

9) Apost. Cent. XVI. 43. Vide supra p. 12.

10) Apost. Cent. XVI. 48.

11) Apost. Cent. XVI. 49. Apogr. Dresd. *πρὸς* om.

Πολλῶν [12] *παν*ηγύρεων *Διὸς βαλάνους ἔφαγον· ἐπὶ τῶν ἐμπείρων.*

Ποικιλώτερος [13] *ὕδρας· ἐπὶ τῶν δολερῶν.*

Πολύποδος [14] *ὁμοιότης· ἐπὶ τῶν ἐξομοιούντων ἑαυτούς τισιν ἢ χρηστοῖς ἢ φαύλοις.*

Τὸ $\overline{\pi}$ *μετὰ τοῦ* $\overline{\rho}$.

Πρεσβύτερος [1] *Κόδρου· ἐπὶ τῶν πάνυ παλαιῶν· ἀπὸ τοῦ βασιλεύσαντος Ἀθήνησι Κόδρου.*

Προδίκου [2] *σοφώτερος· οὗτος ἦν καὶ σοφὸς λίαν καὶ ἀκριβὴς δικαστὴς καὶ διαιτητής.*

Προσήκει [3] *τοῖς τέκνοις ἐντὸς θυρῶν λοιδορεῖσθαι· ἐπὶ τῶν τὰς οἰκείας αἰσχύνας μὴ ὁρώντων,*

12) Apost. Cent. XVI. 52.

13) Ap. Cent. XVI. 53. Macar. addit: *ἤτοι θαυμαζομένων.*

14) Apost. Cent. XVI. 56. Macar. *Πολύποδος τρόπον· Πολύποδος ὁμοιότης, πρὸς τοὺς ἐξομοιοῦντας ἑαυτούς, οἷς ἂν πλησιάζωσιν.* Id. *Πολύπους ὥσπερ πέτρας ἔχεται, ἐπὶ τῶν λιπαρῶς τισι προσκαθημένων.* Cfr. Theogn. 419. ed. Welck.

Πουλύπου ὀργὴν ἴσχε πολυπλόκου, ὅς ποτὶ πέτρῃ
Τῇ προσομιλήσῃ, τοῖος ἰδεῖν ἐφάνη.

Aelian. V. H. I. 1. *ὑπὸ ταῖς πέτραις κάθηνται, καὶ ἑαυτοὺς εἰς τὴν ἐκείνων μεταμορφοῦσι χροιάν, καὶ τοῦτο εἶναι δοκοῦσιν, ὅπερ οὖν καὶ πεφύκασιν αἱ πέτραι,* ubi Perizon. Plut. de discern. adul. p. 52. F. *τὰς δὲ κόλακος, ὥσπερ πολύποδος τροπὰς ῥᾷστα φυλάξειεν ἄν τις* etc. Cfr. Wyttenb. ad p. 96. F. Clem. Paedagog. III. 11. p. 300. *νυνὶ δὲ οὐκ οἶδ' ὅπως συμμεταβάλλονται τοῖς τόποις καὶ τὰ σχήματα καὶ τοὺς τρόπους, καθάπερ καὶ τοὺς πολύποδας ταῖς πέτραις φασὶν ἐξομοιουμένους, αἷς ἂν προσομιλῶσιν, τοιούτους φαίνεσθαι καὶ τὴν χροιάν.* Pseudo-Phocyl. 44.

Μὴ δ' ὡς πετροφυὴς πολύπους κατὰ χῶραν ἀμείβου.

Macar. add.: *Πολλὰ ψεύδονται ἀοιδοί· ἐπὶ τῶν κέρδους ἕνεκα καὶ ψυχαγωγίας ψευδῆ λεγόντων.* Cfr. Lucian. Dial. M. IV. 5. *Πολλῶν ὁ λιμὸς γίνεται διδάσκαλος.* — *Πολλοί σε μισήσουσιν ἂν σεαυτὸν φιλῇς. Πολλάκι τοι καὶ μωρὸς ἀνὴρ κατὰ μοῖραν ἔειπεν.* — *Πολλάκι δὴ ξύμπασα πόλις κακοῦ ἀνδρὸς ἀπημύρα* (Cod. *αὐπημύρα*).

1) Apost. Cent. XVI. 59. Macar. *πρεσβ. Κόδρου ἤτοι Κρόνου· ἐπὶ τῶν ἀρόδρα παλαιῶν.*

2) Apost. Cent. XVI. 62. *Προδίκου τοῦ Κίου σοφ.* Cfr. Arist. Nub. 361.

3) Apost. Cent. XVI. 69.

ἀλλ᾽ ἑτέροις λοιδορουμένων· Οὐέρρου [4] *γὰρ υἱὸν ἔχοντος οὐκ εὖ κεχρημένον ἐφ᾽ ὥρᾳ τῷ σώματι, τὸν δὲ Κικέρωνα λοιδοροῦντος εἰς μαλακίαν καὶ κίναιδον ἀποκαλοῦντος εἶπε τοῦτο Κικέρων.*

Πρὸς [5] *σῆμα μητρυιᾶς κλαίει· ἐπὶ τοῦ ἀφροντίστου ἢ προσποιουμένου.*

Πρὸς [6] *κέντρα λακτίζεις· ἐπὶ τῶν ἑαυτοὺς βλαπτόντων.*

Προβάτων [7] *οὐδὲν ὄφελος, ἂν ποιμὴν μὴ παρῇ· ὅτι κακὸν ἡ ἀναρχία.*

Πρότερον [8] *χελώνη παραδραμεῖται δασύποδα· περὶ πράγματος ἀνομοίου καὶ ἀδυνάτου τάττεται.*

Πρὸ [9] *τῆς νίκης ἐγκώμιον ᾄδεις· ἐπὶ τῶν προλαμβανόντων τὰ πράγματα.*

Πρὸς [10] *Κρῆτα κρητίζει· ἀντὶ τοῦ πρὸς ψεύστην ψεύδεσι χρῆται.*

Πρὸς λέοντα [11] *δορκάδες συνάπτουσι μάχας· ἐπὶ τῶν ἐριζόντων πρὸς κρείττονας.*

4) Cod. *Ἱέρου*. Apost. *Ἱεροῦ*. Recte Pantin. *Οὐέρρου*. Vide Plut. Apophth. Rom. Vol. VIII. p. 165. Hutt.

5) Apost. Cent. XVI. 85. Macar. *ἢ προσποιουμένου* om.

6) Apost. Cent. XVI. 86. Macar. *πρὸς κέντρα λακτίζειν· ἐπὶ τῶν μείζοσιν ἀντιτεινόντων.* Notum prov. ex Act. Apost. IX. 5. Cfr. Aesch. Prom. 330. *Οὔκουν ἔμοιγε χρώμενος διδασκάλῳ.* *Πρὸς κέντρα κῶλον ἐκτενεῖς,* ubi Schüz et Blomf.

7) Apost. Cent. XVI. 77. *παρ. οὐ. ὄφ. ἐὰν ποιμὴν ἀπῇ· ἐπὶ τοῦ. ἀναγκαίου.*

8) Apost. Cent. XVI. 76.

9) Apost. Cent. XVI. 75. Plat. Theaet. p. 164. C. *φαινόμεθά μοι ἀλεκτρυόνος ἀγεννοῦς δίκην, πρὶν νενικηκέναι — — ᾄδειν*, ubi Heind.

10) Apost. Cent. XVI. 84! *Πρὸς Κᾶρα χαρίζεις, ὡς καὶ τὸ πρὸς Κρῆτα κρητίζεις.* Macar. *πρὸς Κρῆτα κρητίζεις· ἐπὶ τῶν πρὸς τοὺς ὁμοίους ψευδομένων. Πρὸς Κᾶρα χαρίζεις ὁμοίον.* Eustath. Opusc. p. 287. l. 49. *ἐκρήτιζε δὲ ἄρα πρὸς Κρῆτα ἐκεῖνος.* Plut. Aemil. Paul. c. 23. *τοὺς μὲν οὖν ἐπισταμένους ἀκριβῶς αὐτὸν οὐκ ἔλαθε κρητίζων πρὸς Κρῆτας.* Lysand. c. 20. *πρὸς Κρῆτα δ᾽ ἄρα, τὸ τοῦ λόγου, κρητίζειν ἠγνόει τὸν Φαρνάβαζον.*

11) Apost. Cent. XVI. 87. Macar. *πρὸς λέοντα δορκὰς ἅπτεται μέχης· ἐπὶ τῶν πρὸς τοὺς κρείττονας ἐριζόντων.* Id.

Τὸ π μετὰ του τ.

Πτερυγίζειν [1]· *ἐπὶ τῶν ἐπηρμένων καὶ ἀνύσαι τι μὴ ἰσχυόντων εἴληπται ἐκ μεταφορᾶς τῶν ἐπιβαλλομένων μὲν ἐπιπέτεσθαι νεοσσῶν, μὴ δυναμένων δὲ, καὶ εἰς γῆν πιπτόντων.*

Πτολεμαΐς δίκη [2]· *ἐπὶ τῶν ἀναβαλλομένων· πρεσβύτις δὲ ἦν ἡ Πτολεμαΐς, ἄχρις οὗ ἀποθάνοι δίκας λέγουσα· καὶ ἀεὶ ὑπερτιθεμένη διὰ τοῦ μηδέποτε βούλεσθαι ἀπαλλαγῆναι τοῦ δικάζεσθαι.*

Πτίσσε πτίσσε [3] *τὸν Ἀναξάρχου θύλακον, οὐ γὰρ πτίσσεις Ἀνάξαρχον· οὗτος συσχεθεὶς ὑπὸ Ἀρχελάου τοῦ τυράννου καὶ βληθεὶς ἐν ὅλμῳ ἐπτίσσετο μοχλῷ ξυλίνῳ· πτίσσεσθαι δέ ἐστι τὸ δίκην πτισσάνης τύπτεσθαι* [4]· *ἔνθεν καὶ πτισσάνη παρὰ τὸ πτίσσεσθαι· πτισσόμενος δὲ οὕτως ἔφη, αἰνιττόμενος οἷα φιλόσοφος δῆθεν τοῦ σώματος μηδένα λόγον ποιεῖσθαι.*

Πτωχοῦ [5] *φίλοι οὐδὲ οἱ γεννήτορες.*

Πτωχοῦ [6] *πήρα οὐ πίμπλαται· ἐπὶ τῶν ἀπλήστων.*

Πτωχοῦ βέλτιόν ἐστι κατὰ πτόλιν ἢὲ κατ᾽ ἀργοὺς δαῖτα πτώσσειν.

habet praeterea: *Πρὶν τοὺς ἰχθῦς λαβεῖν τὴν ἅλμην νυκτός· ἐπὶ τῶν τοὺς καιροὺς προλαμβανόντων. — Πράσου φύλλῳ τὸ τῶν ἐρώντων δέδεται βαλάντιον· ὅτι οἱ ἐρῶντες πολλὰ ἀναλίσκουσιν. — Πρᾴότερος περιστερᾶς· ἐπὶ τῶν πάνυ ἐπιεικῶν. — Προσέχεται δ᾽ ὥσπερ λεπάς· ἐπὶ τῶν τινος ἐχομένων. — Πρὸς δύο οὐδὲ Ἡρακλῆς. — Προσμέρου κύνες· ἐπὶ τῶν σφόδρα ἀγρίων.*

1) Apost. Cent. XVI. 88. Aristoph. Plut. 575. *ἀλλὰ φλυαρεῖς καὶ πτερυγίζεις*, ubi vide interpp.

2) Apost. Cent. XVI. 89.

3) Apost. Cent. XVI. 92. Vide supra inter apophth. Anaxarchi. p. 105.

4) *τύπτεσθαι* apogr. Dr. om.

5) Apost. Cent. XVI. 93.

6) Apost. Cent. XVI. 94. Macar. *ἐπὶ τῶν ἀπλήστων* om. Ex Callimacho: vide Fr. CCCLX.

Τὸ π μετὰ τοῦ υ.

Πύθια καὶ Δήλια [7]· *ἐπὶ τῶν ταχέως ἀπολλυμένων· φασὶ Πολυκράτην, τὸν Σάμου τύραννον, Πύθια καὶ Δήλια ποιήσαντα ἅμα ἐν Δήλῳ πέμψαι εἰς θεοῦ χρησόμενον, εἰ τὰ τῆς θυσίας ἄγει κατὰ τὸ ὡρισμένον· τὴν δὲ Πυθίαν ἀνελεῖν, ταῦτά σοι καὶ Πύθια καὶ Δήλια, βουλομένη δηλοῦν, ὅτι ἔσχατα· μετ' ὀλίγον γὰρ χρόνον αὐτὸν ἀπολέσθαι συνέβη. Ἐπίκουρος δὲ ἔν τινι τῶν πρὸς Ἰδομενέα ἐπιστολῶν ταῦτά φησι.*

Πυθίων ὕστερος ἦκες [8]· *Πλάτων· ἀλλ' ἢ τὸ λεγόμενον κατόπιν ἑορτῆς ἥκομεν.*

Πυθαγορικοὺς [9] *κυάμους μὴ ἔσθιε· ἀντὶ τοῦ μὴ ἀδίκει· οὗτοι γὰρ δι' αἰνιγμάτων τὰ τῆς φιλοσοφίας ἐμάνθανον δόγματα· παρεδίδοτο δὲ μετὰ τὰ ἄλλα καὶ τοῦτο τὸ αἴνιγμα, κυάμους μὴ ἐσθίειν, τουτέστι μὴ προδιδόντας τὸ δίκαιον δωροδοκεῖσθαι χρήμασιν· οἱ γὰρ Ἀθήνησι δικασταὶ τὸ παλαιὸν ἀντὶ ψήφων κυάμοις ἐχρῶντο πρὸς κατάκρισιν ἐν τοῖς δικαστηρίοις· φασὶν οὖν ἐκ τῶν κυάμων τῶν ἐκ τοῦ δικαστηρίου μὴ δεῖν ἐσθίειν.*

Πυλωρὸς κακός [10]· *ἐπὶ τῶν μὴ καλῶς φυλασ-*

7) Apost. Cent. XVI. 95.

8) Apost. Cent. XVI. 97. aliena quaedam addit.

9) Apost. Cent. XVI. 97. Cfr. Clem. Strom. III. 3. p. 521. *ταύτῃ μυστικῶς ἀπαγορεύουσι κυάμοις χρῆσθαι, οὐχ ὅτι πνευματοποιὸν, δύσπετον, καὶ τοὺς ὀνείρους τεταραγμένους ποιεῖ τὸ ὄσπριον· οὐδὲ μὴν ὅτι ἀνθρώπου κεφαλῇ ἀπείκασται κύαμος, κατὰ τὸ ἐπύλλιον ἐκεῖνο,*

Ἴσον τοι κυάμους τρώγειν, κεφαλάς τε τοκήων·

μᾶλλον δὲ ὅτι κύαμοι ἐσθιόμενοι ἀτόκους ἐργάζονται τὰς γυναῖκας, ubi vide Potter. Diog. Laërt. VIII. segm. 24. *τῶν δὲ κυάμων ἀπηγόρευεν ἔχεσθαι, διὰ τὸ πνευματώδεις ὄντας, μᾶλλον μετέχειν τοῦ ψυχικοῦ· καὶ ἄλλως, κοσμιωτέρας ἀπεργάζεσθαι τὰς γαστέρας, μὴ παραληφθέντας*, Segm. 34. *φησὶ δὲ Ἀριστοτέλης ἐν τῷ περὶ τῶν κυάμων, παραγγέλλειν αὐτὸν ἀπέχεσθαι τῶν κυάμων, ἤτοι ὅτι αἰδοίοις εἰσὶν ὅμοιοι, ἢ ὅτι Ἅιδου πύλαις (ἀγόνατον γὰρ μόνον), ἢ ὅτι φθείρει, ἢ ὅτι τῇ τοῦ ὅλου φύσει ὅμοιον, ἢ ὅτι ὀλιγαρχικὸν, κληροῦνται γοῦν αὐτοῖς.*

10) Apost. Cent. XVI. 100.

αὐτοὺς· ἔτερπόμην γὰρ ἐγὼ ἀκούων αὐτῶν τοῦ τε πλάσαντος τοιαῦτα καὶ ἅμα τοῦ σπανίως ἀγαπῶντος, σπανίως ἐπαινοῦντος ἑκάστοτε, ὡς λέγουσιν, ἢ θαυμάζοντος ἔργα.

Μεῖναι. Ἀλλὰ ἐκεῖνος ἀπὸ τοῦ ἀγαθοῦ ἐπὶ τὰ κακὰ ἐπεκτείνει· ἀπὸ τῆς πλάσεως ἐπὶ τὸν πλάστην· ἀπὸ τοῦ ποιήματος ἐπὶ τὸν ποιητήν· ἀπὸ τοῦ ἀνθρώπου ἐπὶ τὸν θεόν· ἀπὸ τοῦ τὰ τῶν ἀνθρώπων τὰ χείρω, ἢ τὰ ἐν τοῖς ἀνθρώποις χείρω ἐπαινοῦντος ἐπὶ τὸν ἐπαινοῦντα τὰ τῶν ἀνθρώπων χείρω· ἀπὸ τοῦ σπανίως ἐπαινοῦντος ἐπὶ τὸν σπανίως ἢ μηδὲν ἐπαινοῦντα· ἀπὸ τοῦ ἐπαινοῦντος ἐπὶ τὸν μηδὲν ἐπαινοῦντα. Μεμφόμενος ἀφορμὴν ἐποιήσατο· ἀπὸ τοῦ ἐπαινοῦντος ἐπὶ τὸν μεμφόμενον.

ΔΙΟΓΕΝΟΥΣ Α.

Βασανιστὴς.

Βασανιστὴς, ὁ βλασφημῶν περὶ τῶν ἀφανῶν ἀνευ τοῦ ἐμφανῶν τινων αἰτίου· οἷον ἀστὴρ ἔστιν ὁ δεῖνα· καὶ πῶς; ὅτι τοιὸς ἐστιν, ὅτι κάθηται, καὶ ποιεῖ τοῦτο καὶ ἐκεῖνο· καθὼς ἐποίει Ἀρίστιππος.

---

[1] Apoll. Conv. VIII. 2. Ἀρίστιππος ὁ Κυρηναῖος. Cf. Diog. Laert. II. 65. Ἀρίστιππος ὁ Σωκρατικός. Cf. *Hor. Ep.* I. 17. 13. *Aristippum decuit color et status et res.* Cf. *Ep.* I. 1. 18. *Ep.* I. 17. 23. *Ep.* I. 18. 9. *Ep.* I. 19. 19. *Ep.* II. 2. 59. *Ep.* II. 3. 284. *Ep.* II. 4. 73. *Ep.* II. 5. 5. *Ep.* II. 6. 4. *Ep.* II. 7. 98. *Ep.* II. 16. 39. *Ep.* II. 18. 44. *Ep.* II. 18. 101. *Ep.* II. 18. 102. *Ep.* II. 18. 105. *Ep.* II. 18. 106. *Ep.* II. 18. 107. *Ep.* II. 18. 108. *Ep.* II. 18. 109. *Ep.* II. 18. 110. *Ep.* II. 18. 111. *Ep.* II. 18. 112. *Ep.* II. 18. 113. *Ep.* II. 18. 114. *Ep.* II. 18.

Ἐπαινοῦντος δὲ αὐτοῦ ἐν Τεγέᾳ μετὰ τὴν φυγὴν τοὺς Λακεδαιμονίους εἶπέ τις, διατί οὖν οὐκ ἔμενες ἐν Σπάρτῃ, ἀλλ᾽ ἔφυγες, ὅτι οὐδ᾽ ἰατροὶ, ἔφη, παρὰ τοῖς ὑγιαίνουσιν, ὅπου δ᾽ οἱ νοσοῦντες, διατρίβειν εἰώθασιν.

Ἰατροῦ [1] ἐπισκεπτομένου αὐτὸν, καὶ εἰπόντος οὐδὲν κακὸν ἔχεις, οὐ γάρ σοι ἰατρῷ, ἔφη, χρῶμαι.

Μεμφομένου δέ τινος αὐτὸν τῶν φίλων, διότι ἰατρόν τινα κακῶς λέγει, πεῖραν σὺκ ἔχων αὐτοῦ, οὐδὲ ἀδικηθείς τι, ὅτι, εἶπεν, εἰ ἔλαβον αὐτοῦ πεῖραν οὐκ ἂν ἔζων.

Παιδαρέτου.

Παιδάρετος λέγοντός τινος ὅτι πολλοί εἰσιν οἱ πολέμιοι, οὐκοῦν, ἔφη, ἡμεῖς εὐκλεέστεροι ἐσόμεθα, πλείους γὰρ ἀποκτενοῦμεν.

* Ὁ αὐτὸς οὐκ ἐγκριθεὶς εἰς τοὺς τριακοσίους, ἥτις ἦν ἐν τῇ πόλει πρωτεύουσα τιμὴ τῇ τάξει, ἱλαρὸς καὶ μειδιῶν ἀπῄει, χαίρειν λέγων, εἰ τριακοσίους ἡ πόλις ἔχει πολίτας, ἑαυτοῦ βελτίονας.

Πολυαίνου.

Πολύαινος ἔφη, ὅσῳ ἄν πλέον εὐεργετήσῃς τὸν φίλον, τοσούτῳ μᾶλλον τὸ σαυτοῦ συμφέρον ποιήσεις· ἀντιστρέφει γὰρ πάλιν εἰς ἡμᾶς ἡ ἀπ᾽ ἐκείνων ἔννοια.

Περικλέους [2].

Περικλῆς ὑπό τινος τῶν φίλων παρακαλούμενος ἐν πράγματί τινι οὐχ ὁσίῳ δοκοῦντι βοηθήσειν ἐκείνῳ ἔφη, δεῖ με συμπράττειν τοῖς φίλοις ἀλλὰ μέχρι βωμιῶν.

1) Laur. ἰατροῦ δ᾽ ἐπισκ.

2) Laur. hoc nomen om. Cfr. Aul. Gell. N. A. I. 3. Pericles — quum amicus eum rogaret, ut pro re causaque ejus falsum dejeraret, his ad eum verbis usus est:

Δεῖ με συμπράττειν φίλοισιν, ἀλλὰ μέχρι τῶν θεῶν.

* Ὁ αὐτὸς, ὁπότε μέλλοι στρατηγεῖν ἀναλαμβάνων τὴν χλαμύδα πρὸς ἑαυτὸν ἔλεγε· πρόσεχε Περίκλεις, ἐλεύθερων μέλλεις ἄρχειν Ἑλλήνων καὶ Ἀθηναίων.

* Ὁ αὐτὸς μέλλων [3] ἀποθνήσκειν ἑαυτὸν ἐμακάριζεν, ὅτι μηδεὶς Ἀθηναίων ἱμάτιον μέλαν δι' αὐτὸν ἐνεδύσατο.

* Ὁ αὐτὸς ἐκέλευε τοὺς Ἀθηναίους τὴν Αἴγιναν ὥσπερ λήμην ἀφαιρεῖν τοῦ Πειρεῶς.

* Ὁ αὐτὸς [4] Ἀλκιβιάδου ἐλθόντος ἐπὶ θύρας αὐτοῦ, καὶ εἰπόντος αὐτῷ μὴ σχολάζειν, ἀλλὰ σκοπεῖν ὅπως ἀποδώσῃ λόγους Ἀθηναίοις, οὐ βέλτιον ἔφη, σκοπεῖν ἦν, ὅπως μὴ ἀποδώσω.

Εὐπόλιδος.

Περικλέης Οὐλύμπιος ἠστραπτεν, ἐβρόντα,
Συνεκύκα τὴν Ἑλλάδα, πειθώ τις ἐκάθιζεν
Ἐπὶ τοῖς χείλεσιν· οὕτως ἐκήλει καὶ μόνος
Τῶν ῥητόρων τὸ κέντρον ἐγκατέλιπε τοῖς ἀκροωμένοις [5].

Περιάνδρου.

* Περίανδρος ἐρωτηθεὶς, διατί οὐκ ἀποτίθεται τὴν ἀρχὴν, εἶπεν, ὅτι τῷ κατ' ἀνάγκην ἄρχοντι καὶ τὸ ἑκουσίως ἀποστῆναι κίνδυνον φέρει.

Περίανδρος Κυψέλλου Κορίνθιος ἔφη.

Μελέτα τὸ πᾶν [6] καλὸν ἡσυχία [7]· ἐπισφαλὲς προπέτεια [8].

Κέρδος αἰσχρὸν [9] φύσεως κατηγορία. Δημοκρατία κρείσσων τυραννίδος [10]. Αἱ μὲν [11] ἡδοναὶ θνηταὶ, αἱ δ'

3) Plut. Per. 38.
4) Alcibiadis apophthegma Plut. Alc. 7.
5) Sequitur in impr. Ἀριστοφάνους
Ὦ πένητες καὶ γεωργοὶ τἀμά τις
ξυνέτω ῥήματα
et septem vv. sqq. ex Pace.
6) Diog. Laërt. I. segm. 99.
7) Segm. 97.
8) Segm. 97.
9) φύσεως κατηγορία Diogenes non habet.
10) Segm. 97.
11) Ibid. sed Diog. αἱ μὲν ἡδοναὶ φθαρταὶ, αἱ δὲ τιμαὶ ἀθ.

ἀρεταὶ ἀθάνατοι. Εὐτυχῶν μὲν μέτριος [12] ἴσθι, ἀτυχῶν δὲ φρόνιμος· φειδόμενον κρεῖττον ἀποθανεῖν ἢ ζῶντα ἐνδεῖσθαι. Σεαυτὸν ἄξιον παρασκεύαζε τῶν γονέων· ζῶν μὲν ἐπαινοῦ, ἀποθανὼν δὲ μακαρίζου· φίλοις [13] εὐτυχοῦσι καὶ ἀτυχοῦσιν ὁ αὐτὸς ἴσθι. Ὃ ἂν [14] ἑκὼν ὁμολογήσῃς πονηρὸν, παράβαινε. Λόγων [15] ἀπορρήτων ἐκφορὰν μὴ ποιοῦ.

Λοιδόρει ὡς ταχὺ φίλος ἐσόμενος. Τοῖς μὲν νόμοις παλαιοῖς χρῶ, τοῖς δ' ὄψοις προσφάτοις. Μὴ μόνον [16] τοὺς ἁμαρτάνοντας κόλαζε, ἀλλὰ καὶ τοὺς μέλλοντας κώλυε. Δυστυχῶν κρύπτε, ἵνα μὴ τοὺς ἐχθροὺς εὐφράνῃς.

Πιττακὸς Μιτυληναῖος

τάδε ἀπεφθέγξατο [17]. Ἐγγύη πάρα δ' ἄτα· φίλων παρόντων καὶ ἀπόντων μέμνησο.

Μὴ τὴν ὄψιν καλλωπίζου, ἀλλ' ἐν τοῖς ἐπιτηδεύμασιν ἴσθι καλός. Μὴ πλούτει κακῶς. Μή σε διαβαλλέτω λόγος εἰς τοὺς πίστεως κεκοινωνηκότας. Κολακεύειν γονεῖς μὴ ὄκνει. Μὴ προσδέχου τὸ φαῦλον. Οἵους ἂν ἐράνους ἐνέγκῃς τοῖς γονεῦσι, τούτους αὐτὸς ἐν τῷ γήρᾳ παρὰ τῶν τέκνων προσδέχου· χαλεπὸν τὸ εὖ γνῶναι· ἥδιον τὸ ἐπιθυμίας τυχεῖν. Ἀνιαρὸν ἀργία. Κακὸν ἀκρασία. Δίδασκε καὶ μάνθανε τὸ ἄμεινον. Ἀργὸς μὴ ἴσθι. Μηδ' ἂν πλουτῇς τὴν εὐτυχίαν κρύπτε. Φθόνου χάριν μὴ οἰκτείρου. Μὴ πᾶσι πίστευε.

* Πιττακὸς ἀδικηθεὶς ὑπό τινος καὶ ἔχων ἐξουσίαν αὐτὸν κολάσαι, ἀφῆκεν, εἰπών, συγγνώμη τιμωρίας ἀμείνων· τὸ μὲν γὰρ ἡμέρου φύσεώς ἐστι, τὸ δὲ θηριώδους.

12) *Εὐτυχῶν μὲν* addidi ex Diogene.
13) Segm. 98.
14) Apogr. Dresd. *ὃν ἂν ἑ. ὁμολογήσεις.* Diog. segm. 98. *ὃ ἂν ὁμολογήσῃς, διατήρει.*
15) Segm. 98.
16) Diog. Laërt. segm. 98. *μὴ μόνον τοὺς ἁμαρτάνοντας, ἀλλὰ καὶ τοὺς μέλλοντας κόλαζε.*
17) Diog. Laërt. nihil horum habet.

* Ὁ αὐτὸς τοὺς ἀγαθοὺς τῶν ἀνθρώπων θεοῦ τι μέρος ἔλεγεν ἔχειν.

Πλουτάρχου [18].

Πλούταρχος ἔφη, οὔτε πίπτοντός ἐστιν ὀρθοῦν, οὔτε διδάσκειν ἀγνοοῦντος, οὔτε ἀκοσμοῦντος κοσμεῖν, ἢ τάττειν ἀτακτοῦντος ἢ ἄρχειν μὴ ἀρχομένου.

Πυθαγόρου.

Πυθαγόρας ἔλεγε, δεῖ φυγαδεύειν πάντα τρόπον καὶ ἐκκόπτειν τὴν νόσον ἀπὸ τοῦ σώματος, τὴν ἀπαιδευσίαν ἀπὸ τῆς ψυχῆς, τὴν ἀσέλγειαν ἀπὸ τῆς γαστρὸς, τὴν στάσιν ἀπὸ πόλεως, τὴν διαφωνίαν ἀπὸ τῆς οἰκίας καὶ κοινῇ ἀπὸ πάντων τὸ ἀκρατές.

* Ὁ αὐτὸς ἐρωτώμενος, τί ἐστι φίλος, ἔλεγεν, ἄλλος ἐγώ [19].

* Ὁ αὐτὸς εἶπεν, εἰσιέναι εἰς τὰς πόλεις πρῶτον τρυφὴν, ἔπειτα κόρον, εἶτα ὕβριν, παρὰ δὲ ταῦτα ὄλεθρον.

* Ὁ αὐτὸς τῶν πόλεων ἐκείνην εἶπεν ἀρίστην, τὴν ἄνδρας ἀγαθοὺς ἔχουσαν.

* Ὁ αὐτὸς τούτους ἔφη καθιστάναι ἄρχοντας, οἵτινες ἐκ παίδων καλῶς ἤχθησαν, καὶ εἰς ἡλικίαν ἐλθόντες μὴ γεγόνασι προδόται τῆς αὐτῶν ἡλικίας, λημμάτων χάριν.

* Ὁ αὐτὸς ἔλεγε τὴν μέθην μανίας εἶναι μελέτην.

* Ὁ αὐτὸς ἔφη, ζητεῖν δεῖ καὶ καὶ ἄνδρα καὶ τέκνα καὶ φίλους τοὺς κατὰ τὴν ἀπαλλαγὴν τοῦ βίου παραμένοντας.

* Ὁ αὐτὸς ἔφη, ἃ μὴ δεῖ ποιεῖν, μηδὲ ὑπονόει ποιεῖν.

18) Hoc et sq. Laur. om. Cfr. Wyttenb. ad Plut. de Mult. Amic. p. 93. E.

19) Clem. Strom. II. 9. p. 430. 31. ὁ δὲ ἑταῖρος ἕτερος ἐγώ.

* Ὁ αὐτὸς εἶπεν·

Ἀείσω συνετοῖς, θύρας δ' ἐπίθεσθε βέβηλοι.

* Ὁ αὐτὸς ἔλεγε, ξένος ἀνὴρ δίκαιος οὐ μόνον πολίτου ἀλλὰ καὶ συγγενοῦς διαφέρει.

* Ὁ αὐτὸς ἔλεγε, μεγάλην παιδείαν νόμιζε, δι' ἧς δυνήσῃ φέρειν ἀπαιδευσίαν.

* Ὁ αὐτὸς εἶπεν, οἱ μὴ κολάζοντες τοὺς κακοὺς, βούλονται ἀδικεῖσθαι τοὺς ἀγαθούς.

* Ὁ αὐτὸς ἐρωτηθεὶς, τί ποιοῦσιν ἄνθρωποι θεῷ ὅμοιον, ἔφη, ἐὰν ἀληθεύωσιν· οἱ δὲ μάγοι ἀποφαίνονται τοῦ μεγίστου τῶν θεῶν, ὃν Ὡρομάγδην καλοῦσιν, ἐοικέναι τὸ μὲν σῶμα φωτὶ, τὴν δὲ ψυχὴν ἀληθείᾳ.

* Ὁ αὐτὸς εἶπεν, ἢ σιγὴν καίριον ἔχε, ἢ λόγον ὠφέλιμον.

* Ὁ αὐτὸς ἔφη, καλόν ἐστι συζῆν γυναικὶ θυμώδει χάριν ἀσκήσεως, καὶ γὰρ τοὺς ἱππέας ἐθίζεσθαι δεῖ τραχέσιν ἵπποις κεχρῆσθαι· τούτων γὰρ κρατήσαντες καὶ τῶν ἄλλων ῥᾳδίως κρατήσουσιν.

* Πινδάρου.

Πινδάρου γράψαντος, Ἑλλάδος ἔρεισμ' Ἀθῆναι [20], Λάκων ἔφη· καταπεσεῖν ἂν τὴν Ἑλλάδα ὀχουμένην ἐρείσματι τοιούτῳ.

* Πλάτωνος.

Πλάτων [21] ὀργισθείς ποτέ τινι τῶν δούλων, χάριν ἔχειν τοῖς θεοῖς ἔλεγεν αὐτὸν, ὅτι ὀργίζεται· κολασθῆναι γὰρ ἂν πάντως, εἰ μὴ ὠργίζετο.

20) Fragm. Dithyramb. 4. ed. Dissen. Locus saepe a veteribus autoribus laudatus: Luc. Demost. Encom. 10. οὐκ Ἀθῆναι μὲν αὐτῷ πατρὶς, αἱ λιπαραὶ, καὶ ἀοίδιμοι, καὶ τῆς Ἑλλάδος ἔρεισμα.

21) Stob. T. 20. 45.

Ὁ αὐτὸς ἄλλοτε [22] ὀργιζόμενος τῷ οἰκέτῃ, ἐπιστάντος Ξενοκράτους, λαβὼν ἔφη τοῦτον μαστίγωσον, ἐγὼ γὰρ ὀργιζόμαι· φασὶ δὲ αὐτὸν καὶ ἐπανατεινόμενον τὴν χεῖρα τῷ παιδὶ, ἑστάναι χρόνον πολὺν μετέωρον ταύτην ἔχοντα. καὶ τὴν αἰτίαν ἐρωτώμενον φῆσαι [23] κολάζειν τὸν ἐξ αὐτοῦ προορμήσαντα θυμόν.

Ὁ αὐτὸς λοιδορούμενος ὑπό τινος, λέγε, ἔφη, κακῶς, ἐπεὶ καλῶς οὐκ ἔμαθες.

Ὁ αὐτὸς εἶπεν, πᾶς ὁ ὑπὲρ γῆν καὶ ὑπὸ γῆν χρυσὸς ἀρετῆς οὐκ ἀντάξιος.

Ὁ αὐτὸς εἶπεν, ἐσχάτη ἀδικία δοκεῖν δίκαιον εἶναι, μὴ ὄντα.

Ὁ αὐτὸς εἶπε, πενίαν ἡγητέον εἶναι, μὴ τὸ τὴν οὐσίαν ἐλάττω ποιεῖν, ἀλλὰ τὸ τὴν ἀπληστίαν πλείω.

Ὁ αὐτὸς Ἀντισθένους ἐν τῇ διατριβῇ ποτε μικρολογήσαντος, ἀγνοεῖς, εἶπεν, ὅτι τοῦ λόγου μέτρον ἐστὶν οὐχ ὁ λέγων, ἀλλ᾽ ὁ ἀκούων.

Ὁ αὐτὸς ἔφη, πιόντα τὸν ἄνθρωπον ἵλεω τότε ἢ πρότερον γενέσθαι, ἀγαθῶν τε ἐλπίδων καὶ δυνάμεως πληροῦσθαι, παῤῥησίας γὰρ μεστοῦται, καὶ ἐλευθερίας πάσης καὶ ἀφοβίας, καὶ τοῦ πρᾶξαί τι ἀόκνως ἔχει· ὅθεν Λακεδαιμόνιοι ἀκρατοποτοῦντες ὁπλίζονται.

Ὁ αὐτὸς ἔφη, πᾶσα ἐπιστήμη, χωριζομένη δικαιοσύνης καὶ τῆς ἄλλης ἀρετῆς πανουργία, ἀλλ᾽ οὐ σοφία φαίνεται.

Ὁ αὐτὸς εἶπε, μεθύων κυβερνήτης καὶ πᾶς παντὸς ἄρχων ἀνατρέπει πάντα, εἴτε πλοῖον, εἴτε ἅρμα, εἴτε στρατόπεδον, εἴτε ὅ τι ποτὲ εἴη τὸ κυβερνώμενον ὑπ᾽ αὐτοῦ.

Ὁ αὐτὸς ἔφη· ἐπιστήμῃ γὰρ δεῖ κρίνεσθαι, ἀλλ᾽ οὐ πλήθει τὸ μέλλον καλῶς κριθήσεσθαι.

22) Idem in Apophth. Cod. Vat. CLI. legitur. Ibid. Πολλάκις διψήσας ὁ Πλάτων ἐκ τοῦ φρέατος ἀνιμᾶτο ὕδωρ, καὶ ἐξέχεεν εἰς γῆν, κολάζων τὴν ἐπιθυμίαν.

23) Vat. φῆναι.

* Πλειστάρχου.

Πλείσταρχος Λεωνίδου συνηγόρου τινὸς γελοῖα λέγοντος, οὐ φυλάξῃ, ἔφη, ὦ ξένε, συνεχῶς γελοιάζων, ὅπως μὴ γελοῖος γένῃ, ὥσπερ καὶ οἱ συνεχῶς παλαίοντες παλαισταί;

Ὁ αὐτὸς, λέγοντός τινος, ὅτι κακολόγος τις αὐτὸν ἐπῄνει, θαυμάζω, εἶπεν, εἰ μή τις αὐτῷ εἶπεν, ὅτι ἀπέθανον, ζῶντα γὰρ ἐκεῖνος οὐδένα καλῶς λέξαι δύναται.

* Πλειστώνακτος.

Πλειστώναξ, ὁ Παυσανίου, Ἀττικοῦ τινος ῥήτορος ἀμαθεῖς ἀποκαλοῦντος τοὺς Λακεδαιμονίους, ὀρθῶς, ἔφη, λέγεις, ἡμεῖς γὰρ Ἑλλήνων μόνοι οὐδὲν κακὸν μεμαθήκαμεν παρ᾽ ὑμῶν.

* Πολυδώρου.

Πολύδωρος, ὁ Ἀλκαμένους, ἀπειλοῦντός τινος τοῖς ἐχθροῖς συχνὰ, οὐ συνίης, ἔφη, τὸ πλεῖστον καταναλίσκων τῆς τιμωρίας.

Ὁ αὐτὸς ἐρωτηθεὶς, διατί Σπαρτιάται κατὰ πόλεμον κινδινεύουσιν ἀνδρείως, ὅτι, ἔφη, αἰδεῖσθαι τοὺς ἡγεμόνας ἔμαθον, οὐ φοβεῖσθαι [24].

Ἀρχὴ τοῦ ρ στοιχείου.

Τὸ ρ μετὰ τοῦ α.

Ῥαδαμάνθυος [1] ὅρκος· ἐπὶ τῶν ἐπὶ δικαιοσύνῃ

24) Impr. addunt: *Πατροκλέους* septem vv. qui inc. *καὶ νῦν τὰ δεινὰ ταῦτα καὶ τὰ πολλ᾽ ἔπη.*

1) Apost. Cent. XVII. 7. addit: *λέγεται καὶ Ῥαδαμάνθυος χρίσις.* Macar. *ἐπὶ τῶν κατὰ μικροῦ τινος ὀμνυόντων, ἦγουν κριοῦ,*

μαρτυρουμένων· ὁ δὲ ὅρκος ἦν κατὰ χηνὸς ἢ κυνὸς ἢ πλατάνου ἢ κριοῦ ἤ τινος ἄλλου τοιούτου, οἷς ἦν μέγιστος ὅρκος ἅπαντι λόγῳ κύων ἔπειτα χήν· τοιοῦτοι δὲ καὶ οἱ Σωκράτους ὅρκοι.

Ῥᾴδια [2] πάντα θεῷ τελέσαι καὶ ἀνήνυτον οὐδέν.

Ῥανὶς [3] ἐνδελεχοῦσα κοιλαίνει πέτραν.

Ῥαχίας [4] λαλίστερος· ἐπὶ τῶν ἀδολέσχων· ταῖς γὰρ ῥαχίαις συνεχῶς εἰσβάλλοντα τὰ κύματα ψόφον ἀποτελοῦσι.

Τὸ ῥ μετὰ τοῦ ε.

Ῥεχθὲν [5] δέ τε νήπιος ἔγνω· ἐπὶ τῶν ἀνοήτων.

Ῥεῖα [6] θεὸς κ' ἐθέλων καὶ τηλόθεν ἄνδρα σαώσαι.

Τὸ ῥ μετὰ τοῦ η.

Ῥηγίνου [7] δειλότερος· ἐπὶ τῶν καθ' ὑπερβολὴν δειλῶν· καὶ δειλίτερος τοῦ παρακύπτοντος· Ξέναρχος γὰρ ὁ Σώφρονος ἐκφαυλίζει τοὺς Ῥηγίνους ὡς δειλούς, ὑπὸ Διονυσίου [8] τοῦ τυράννου πεισθείς.

Ῥῇδιον [9] δὲ θεοῖσι τοι οὐρανὸν εὐρὺν ἔχουσιν,
Ἠμὲν κυδῆναι θνητὸν βροτὸν ἠδὲ κακῶσαι.

Τὸ ῥ μετὰ τοῦ ο.

Ῥοδίων χρησμός [10]· ἐπὶ τῶν περιεργότερον πυν-

κύκνου, λαχάνων καὶ τῶν ὁμοίων. Ῥαδαμάνθυος κρίσις· ἐπὶ τῶν δικαιοτάτων.

2) Lini versus, vide Gaisf. Poët. min. T. III. p. 265.

3) Apost. Cent. XVII. 9. plura addit. Aristaen. Ep. I. 17. ῥανὶς γὰρ ὕδατος ἐνδελεχῶς ἐπιστάζουσα καὶ πέτραν οἶδε κοιλαίνειν, ubi Boisson.

5) Apost. Cent. XVII. 12. addit: Ὁμήρου. Aristid. ὑπὲρ τῶν τεττ. p. 235. ἀλλ' ἡ μὲν παροιμία καὶ Ὁμηρός (Il. P. 37.) φησι, ῥεχθὲν δέ τε νήπιος ἔγνω.

6) Od. Γ. 231.

7) Apost. Cent. XVII. 15.

8) Apogr. Dresd. et Apost. Διονύσου. Macar. habet: Ῥήγματα ἀντὶ σχημάτων· ἐπὶ τοῦ παραπολαύοντός τινος, διὸ πράττει. Id. Ῥήματα ἀντὶ ἀλφίτων.

9) Od. Π. 212.

10) Apost. Cent. XVII. 17.

ϑανομένων· Ῥόδιοι γὰρ τῇ Λινδίᾳ Ἀθηνᾷ ϑύοντες καθ' ἑκάστην ἡμέραν διετέλουν τῷ ναῷ εὐωχούμενοι· οὐκ ἦν δὲ αὐτοῖς ἔθος ἀμίδα εἰσφέρειν· ἠρώτησαν οὖν, εἰ τοῦτο δέοι ποιῆσαι [11]*· συγκαταινέσαντος δὲ πάλιν ἀνεπυνθάνοντο, χαλκῆν δὲ ἢ ὀστρακίνην· ὁ δὲ ὀργισθεὶς ἀπεφήνατο μηδὲ ἑτέραν.*

Ῥόδον ἀνεμώνῃ [12] *συγκρίνεις· ἐπὶ τῶν τὰ ἀνόμοια συμφυόντων* [13] *καὶ συγκρινόντων.*

Ῥόδα [14] *μ' εἴρηκας· ἀντὶ τοῦ, ἐμοὶ τὰ παρὰ σοῦ εἰρημένα ῥόδα ἐστί.*

Ῥόδον [15] *παρελθὸν μηκέτι ζήτει πάλιν· ἐπὶ τῶν κυδαινόντων τινάς.*

Ῥόδιοι [16] *τὴν ϑυσίαν· ἐπὶ τῶν ἐν ἱεροῖς βλασφημούντων.*

ΑΠΟΦΘΕΓΜΑΤΑ.

Ῥωμαῖος [17] *ὑπὸ τῶν φίλων νουθετούμενος, ὅτι σώφρονα καὶ πλουσίαν καὶ ὡραίαν ἀπεπέμψατο, τὸ καλλίγιον αὐτοῦ προτείνας καὶ γὰρ τοῦτο, ἔφη, καλὸν ἰδεῖν καὶ κοινὸν, ἀλλ' οὐδεὶς οἶδεν ὅπου μὲ ϑλίβει· δεῖ τοίνυν μὴ προικὶ μηδὲν μηδὲ κάλλει τὴν γυναῖκα πιστεύειν, ἀλλ' ἐν οἷς ἅπτεται μάλιστα τοῦ ἀνδρὸς, ὁμιλίᾳ καὶ ἤϑει καὶ*

Macar. Ῥόδιοι γὰρ et sqq. om. Idem exstat inter apophth. impr.

11) ἠρώτησαν — ποιῆσαι Codd. et impr. om., recepi ex Apost.

12) Apost. Cent. XVII. 18. Theocr. Id. V. 93.

Ἀλλ' οὐ σύμβλητ' ἐστὶ κυνόσβατος οὐδ' ἀνεμώνα
Πρὸς ῥόδα, τῶν ἄνδηρα παρ' αἱμασιαῖσι πεφύκη.

Macar. ἐπὶ τῶν τὰ ἀνόμοια συμβαλλόντων.

13) Apost. συμβαλλόντων.

14) Apost. Cent. XVII. 19. Aristoph. Nub. 910.

15) Apost. Cent. XVII. 21. παρελϑών. In fine addit: ἢ ἐπὶ τῶν μεταμελομένων περί τι καὶ μὴ δυναμένων τι ἀνύσαι.

16) Apost. Cent. XVII. 22.

17) Plut. Praec. Conjugal. c. 22.

σύμπεριφορᾷ, ταῦτα μὴ σκληρὰ μηδὲ ἀνιῶντα καθ' ἡμέραν, ἀλλ' εὐάρμοστα καὶ ἄλυπα καὶ προσφιλῆ παρέχειν.

Οἱ ἐκ Μουσῶν οὗτοί εἰσι [18].

Ῥῆσος Εὐτέρπης. Ὀρφεὺς Καλλιόπης ἢ Κλειοῦς. Λίνος Τερψιχόρης. Θρᾷξ Θαλείας. Παλαίφατος Ἐρατοῦς. Θάμυρις Μελπομένης. Σειρῆνες Πολυμνείας.

Ῥευστὸν [19] *τὸν κόσμον ὡς ἀραχνώδη νόει.*

Ῥεῖται γὰρ καὶ παρέχεται ὡς χόρτος πᾶσα φύσις.

Ῥήτωρ πονηρὸς τοὺς νόμους λυμαίνεται

Ἀγνὸς δὲ ῥήτωρ εὔκρατος ἁρμονία.

Ἀρχὴ τοῦ σ στοιχείου.

Τὸ σ μετὰ τοῦ α.

Σαλαμινία [1] *ναῦς· ἐπὶ τῶν ταχέων· δύο δὲ ἦσαν νῆες παρὰ τοῖς Ἀθηναίοις καὶ ὑπηρέτιδες ταχυδρόμοι· ἡ Πάραλος καὶ ἡ Σαλαμινία, ὧν ἡ μὲν Σαλαμινία τοὺς ἐγκαλουμένους εἰς κρίσιν ἦγεν, ἣν καὶ ἐπὶ Ἀλκιβιάδην φησὶ πεμφθῆναι Θουκυδίδης· ἡ δὲ Πάραλος τὰς θεωρίας ἀπῆγε, τουτέστι τὰ εἰς θεωρίαν πεμπόμενα.*

Σαρδαναπάλου [2] *βίος· Καλλισθένης ἐν δευτέρᾳ τῶν Περσικῶν δύο φησὶ γεγονέναι Σαρδαναπάλους, ἕνα μὲν δραστήριον καὶ γενναῖον, ἄλλον δὲ μαλακόν· ἐν Νίνῳ δ' ἐπὶ τοῦ μνήματος αὐτοῦ τοῦτ' ἐπιγέγραπται·*

Σαρδανάπαλος ὁ [3] *Ἀνακυνδαράξου παῖς Ταρσόν τε*

18) Recepi ex impr., quae postea proverbia quaedam continent.

19) Hoc et sqq. Laur. non habet.

1) Apost. Cent. XVII. 24. Cfr. Interpr. ad Aristoph. Av. 147.

2) Apost. Cent. XVII. 26. Macar. *Σαρδανάπαλος· ἐπὶ τῶν ἁβροδιαίτων.*

3) Verba *Σαρδανάπ. ὁ* et

καὶ Ἀγχιάλην ἔδειμεν ἡμέρῃ μιῇ σὺ δ' ἔσθιε, πῖνε, ὄχευε, ὡς τάγε ἄλλα οὐδὲ τούτου ἐστὶν ἄξια, τουτέστι τοῦ τῶν δακτύλων ἀποκροτήματος. Τὸ γὰρ ἐφεστὼς τῷ μηρίματι ἄγαλμα ὑπὲρ τῆς κεφαλῆς ἔχον τὰς χεῖρας πεποίηται, ὥστ' ἀνακροτεῖν τοῖς δακτύλοις· ταὐτὸν καὶ ἐν Ἀγχιάλῳ τῇ πρὸς Ταρσὸν ἐπιγέγραπται ἥτις νῦν καλεῖται Ζεφύριον.

Σαρδάνιος [4] γέλως· ἐπὶ τῶν ἐπ' ὀλέθρῳ σφῶν αὐτῶν γελώντων.

Σαυτὸν [5] ἐπαινεῖς ὥσπερ Ἀστυδάμας ποτέ.

Τὸ σ μετὰ τοῦ ε.

Σελίνου [6] στέφανος πένθιμος· τὸ γὰρ σέλινον

mox σὺ δ' apogr. Dresd. non habet. — Veterum autorum loci, huc pertinentes, inveniuntur apud O. Muellerum de Sandone et Sardanapalo, in Museo Rhenano III. 1. p. 29. Ad dictionem οὐδὲ τούτου cfr. Valck. ad Herod. III. 46.

4) Apost. Cent. XVII. 28. addit: καὶ Λήμων μὲν διαδοθῆναι, ὅτι οἱ Σαρδῶνα κατοικοῦντες αἰχμαλώτων τοὺς καλλίστους καὶ πρεσβυτέρους ὑπὲρ ἑβδομήκοντα ἔτη τῷ Κρόνῳ ἔθυον γελῶντας ἕνεκα τοῦ τὸ ἔπανδρον ἐμφανῆναι, τουτέστιν ἀνδρεῖον· ἢ ὅτι Σάρδιον βοτάνη ἐστὶ δηλητήριος, ἥτις ἅπαν τὸ σῶμα τοῦ φαγόντος αὐτὴν σπασμῷ ὑποβάλλει· ὡς καὶ τῶν χειλέων συσταλέντων γυμνοῦσθαι τοὺς ὀδόντας· καὶ γέλωτος φαντασίαν παρέχειν τοῖς ὁρῶσιν· ὅθεν ἔνιοι ἐν ὕβρει ὀνομάζουσι τὸν Σαρδώνιον γέλωτα· ἔστι δὲ καὶ λίθος οὕτω καλούμενος. Macar. Σαρδόνιος γέλως· ἐπὶ τῶν ἐπ' ὀλέθρῳ σφῶν αὐτῶν γελώντων. Cfr. Böttiger Kunst-Mythologie Pars I. p. 358. Wyttenb. ad Plut. de superstit. p. 169. d. Paus. X. 17, 13. ἡ πόα δὲ ἡ ὀλέθριος σελίνῳ μέν ἐστιν ἐμφερὴς, τοῖς φαγοῦσι δὲ γελῶσιν ἐπιγίνεσθαι τὴν τελευτὴν λέγουσιν· ἐπὶ τούτῳ δὲ Ὅμηρός τε καὶ οἱ ἔπειτα ἄνθρωποι τὸν ἐπὶ οὐδενὶ ὑγιεῖ Σαρδάνιον γέλωτα ὀνομάζουσι. Plat. Pol. I. 337. A. καὶ ὃς ἀκούσας ἀνεκάγχασέ τε μάλα σαρδάνιον, ubi de varia scriptura disputat Cl. Schneider. Lucian. Jup. c. 16. Σαρδώνιον ἐπιγελῶν.

5) Apost. Cent. XVII. 29. plura apposite addit. Cfr. Julian. ep. 12. p. 381. D. ἐπῄνεσα γάρ ἐμαυτὸν, ὥσπερ ὁ Ἀστυδάμας. — Macar. habet: Σαμιακὴ λύρα· ἐπὶ τῶν εἰς τρυφὴν ἐκκεχυμένων. — Σαρδιανὸς κάπηλος· ἐπὶ τῶν εἰς τὰ χείρω μεταβαλλόντων. — Σαπρότερος τρυγός· ἐπὶ τοῦ σφόδρα φαύλου.

6) Apost, Cent. XVII. 30. καὶ Πλούταρχος et sqq. non habet.

πένθεσι προσήκει, ὡς ἔφη Δοῦρις ἐν τῷ περὶ ἀγώνων, καὶ Πλούταρχος ἐν συμποσίῳ, καὶ τοὺς ἐπισφαλῶς νοσοῦντας δεῖσθαι τοῦ σελίνου φαμέν.

Σεσέλλισαι [7] κατ᾽ Αἰσχίνην· ἀντὶ τοῦ μάτην ἐπῆρσαι· ἀπ᾽ Αἰσχίνου τοῦ Σέλλου· ὃς ἦν κομπαστὴς καὶ ἀλαζὼν ἔν τε τῷ διαλέγεσθαι καὶ ἐν τῷ προσποιεῖσθαι πλουτεῖν. Λυκόφρων δ᾽ ἀπέδωκε τὸ σελλίζεσθαι ἀντὶ τοῦ ψελλίζεσθαι.

Σὲ δ᾽ [8] οἰωνίσαιτ᾽ ἄν τις ἰδών· παρόσον οἱ παλαιοὶ οἰωνίζοντο ἐκ τοῦ συναντῆσαι πρώτῳ ἐν τῇ ὁδῷ εἰδεχθεῖ ἢ εὐειδεῖ καὶ σκοτεινδύτῃ ἢ λευχειμονοῦντι [9].

Τὸ σ μετὰ τοῦ η.

Σήπινον [10] γερόντιον· ἐπὶ τῶν ἀσθενῶν.

Σηκοῖς ἐνστρέφῃ Τροφωνίου.

Σήψει [11] καὶ πέτρην ὁ πολὺς χρόνος οὐδὲ σιδήρου Φείδεται, ἀλλὰ μιῇ πάντ᾽ ὀλέκει δρεπάνῃ.

Τὸ σ μετὰ τοῦ ι.

Σικελὸς [1] ὀμφακίζεται· ἐπὶ τῶν διὰ μικρὰ ὑποπτευόμενα κέρδη μεγάλως βλαπτομένων· δύναται δὲ καὶ ἐπὶ τῶν τὰ ὠραιότερα ἐκλεγομένων τάσσεσθαι.

Σικελικὴ [2] τράπεζα· ἐπὶ τῶν ἄγαν τρυφηλῶν.

— Plut. Timol. c. 26. τὰ μνήματα τῶν νεκρῶν εἰώθαμεν ἐπιεικῶς στεφανοῦν σελίνοις· καὶ παροιμία τις ἐκ τούτου γέγονε, τὸν ἐπισφαλῶς νοσοῦντα δεῖσθαι τοῦτον τοῦ σελίνου.

7) Apost. Cent. XVII. 34.

8) Apost. Cent. XVII. 35. post ἰδὼν habet: ἐπὶ τῶν εἰδεχθῶν.

9) Mosc. λευχημονοῦντι.

10) Apost. Cent. XVII. 36.

11) Apost. Cent. XVII. 37. addit: ἐξ ἐπιγράμματος.

1) Apost. Cent. XVII. 38. Macar. ἐπὶ τῶν μηδενὸς ἄξια κλεπτόντων — Apogr. Dresd. ὀμφαλίζεται. Plut. Praec. Conj. p. 138. D. οἱ δὲ τὰς πρώτας τῶν παρθένων διαφορὰς μὴ ὑπομίναντες, οὐδὲν ἀπολείπουσι τῶν διὰ τὸν ὄμφακα τὴν σταφυλὴν ἑτέροις προϊεμένων, ubi Wyttenb. Boisson. ad Aristaen. Ep. V. 7.

2) Apost. Cent. XVII. 42. Lucian Dial. Mort. IX. 2. τράπεζαι ὑπὲρ τὰς ἐν Σικελίᾳ, Aristid. ὑπὲρ τῶν τεττ. p. 125. καὶ τὴν Σικελικὴν τράπεζαν προξενῶν.

Σίλφιον [3] *Βάττου· ἐπὶ τῶν ἄγαν τιμωμένων.*

Τὸ σ μετὰ τοῦ κ.

Σκιὰ [4] *ἀντὶ τοῦ σώματος· ἐπὶ τῶν δοκούντων κρατεῖν τι, οὐδὲν δ' ὅμως κρατούντων.*

Σκεδάσου [5] *κατάρα· ἐπὶ τῶν ἐπιτυχῶς καταρωμένων τισί.*

Σκύτους ἕνεκα δέρεται κύων, κεῖνος δὲ σκυτοτραγεῖ· ἐπὶ τῶν γευσαμένων κακίας τινὸς, καὶ οὕτω μὴ ἀποπαυομένων ἐκείνης [6].

Τὸ σ μετὰ τοῦ μ.

Σμικρῷ [7] *ποδὶ μεγάλα ὑποτίθης ὑποδήματα· λέγεται ἐπὶ τῶν ῥητόρων μᾶλλον τῶν τὰ μικρὰ αὐξανόντων.*

Plat. Pol. III. p. 404. D. *Συρακοσίαν δὲ, ὦ φίλε, τράπεζαν καὶ Σικελικὴν ποικιλίαν ὄψου, ὡς ἔοικας, οὐκ αἰνεῖς.*

3) Apost. Cent. XVII. 43. plura addit. Cfr. supra p. 137. Macar. habet: *Σιβυλλιᾷ ὁ γέρων· ἐπὶ τῶν παραγεγηρακότων.* — *Σιβύλλης ἀρχαιότερος· ὅμοια.* — *Σικυώνιος ἐπαπέδυ· ἐπὶ τῶν τολμηρὸν μέν τι ποιούντων, οὐδὲν δὲ ἀνυόντων.* — *Σικυώνιος δραπέτης· ὅμοια.* — *Σικελὸς στρατιώτης μισθὸν διωθεῖται· ἐπὶ τῶν ἀπωθεῖσθαι προσποιουμένων, ἃ μηδεὶς αὐτοῖς δίδωσιν.*

4) Apost. Cent. XVII. 45.

5) Apost. Cent. XVII. 46. ita interpretatur: Scedasum Leuctrensem, cujus tres filiae a Lacedaemoniis hospitibus stupro facto interfectae erant, omnibus Lacedaemoniis prope ipsum filiarum sepulcrum calamitatem imprecatum esse, easque diras Leuctrica clade esse impletas.

6) Macar. habet: *Σκυθῶν ἐρημία· ἐπὶ τῶν ἐρήμων καὶ ἐξηγριωμένων τόπων.* — *Σκιὰν δέδοικεν· ἐπὶ τῶν σφόδρα δειλῶν.* — *Σκιᾷ μορμολύττεσθαι· ἐπὶ τῶν κενῶς ἐκφοβούντων.* — *Σκαμβὸν ξύλον οὐδέποτ' ὀρθόν· πρὸς τοὺς ἀκάμπτους καὶ σκληρούς.* — *Σκύθην* (Cod. *σκύτην*) *βλέπει· ἐπὶ τῶν ὑφορωμένων πείσεσθαί τι κακὸν, καὶ διὰ τοῦτο σκυθρωπῶν.* — *Σκιᾶς εἴδωλον· ἐπὶ τοῦ σφόδρα ἀσθενοῦς.* (Pind. Pyth. VIII. 136. *σκιᾶς ὄναρ ἄνθρωπος.*) — *Σκορπίους βέβρωκεν· ἐπὶ τῶν ὀργίλων.*

7) Apost. Cent. XVII. 55. Cfr. Plut. Apophth. Lacon. p. 208. C. de Agesilao: *ἐπαινοῦντος δέ τινος ῥήτορα ἐπὶ τῷ δυνατῶς αὔξειν τὰ μικρὰ πράγματα,*

Σοὶ μὲν [8] κακῶς λέγειν, ἐμοὶ δὲ κακῶς ποιεῖν· Κλεομένους πρὸς τοὺς τῶν Ἀργείων λοιδοροῦντας αὐτὸν ὡς ἐπίορκον καὶ ἀσεβῆ.

Σοφόν [9] γέ τοί τι πρὸς τὸ βουλεύειν ἔχει,
Τὸ γῆρας, ὡς δὴ πολλ' ἰδόν τε καὶ παθόν.

Τὸ σ μετὰ τοῦ υ.

Συνεκποτέον [1] ἐστί σοι καὶ τὴν τρύγα· ἐπὶ τοῦ ἀρξαμένου τινὸς πράγματος εἶτα ὀλιγωρήσαντος.

Συγκρητισμὸν [2] ἔχεις· εἴρηται ἐπὶ τῶν δι' ἀνάγκην συμμάχων γινομένων ἀλλήλοις· οἱ Κρῆτες γὰρ καθ' ἑαυτοὺς στασιάζοντες, ὅτε στρατὸν ξενικὸν ἑώρων ἐπιστρατεύοντα τῇ ἑαυτῶν πατρίδι συμμαχίαν καὶ ὁμαιχμίαν ἠσπάζοντο, ὅπερ συγκρητισμὸς ἐκλήθη.

Συγγνώμη [3] πρωτοπείρῳ· ἐπὶ τῶν ἐν τοῖς πρώτοις ἁμαρτανόντων.

Συβαριτικὴ τράπεζα [4]· ἐπὶ τῶν ἄγαν τρυφαλῶν.

οὐδὲ σκυτρτόμον, ἔφησεν, ἡγοῦμαι σπουδαῖον, ὃς μικρῷ ποδὶ ὑποδήματα μεγάλα περιτίθησι. Clem. Paedag. III. 8. p. 277. 16. μέτρον δὲ, καθάπερ ὁ ποὺς τοῦ ὑποδήματος, οὕτω καὶ τῆς κτήσεως ἑκάστου τὸ σῶμα, ubi Potter. — Macar. habet: σμῆνος ἡδονῶν· ἐπὶ πλήθους εὐδαιμονίας.

8) Plut. Apophth. Lacon. p. 223. C. πρὸς δὲ τοὺς λοιδοροῦντας αὐτὸν τῶν Ἀργείων, ὡς ἐπίορκον καὶ ἀσεβῆ, τοῦ μὲν κακῶς λέγειν, ἔφη, ὑμεῖς κύριοι, τοῦ δὲ κακῶς ὑμᾶς ποιεῖν ἐγώ.

9) Stob. T. 115. 15. Ἀντιφάνους ἐκ Φιλοκτήτου. Apogr. Dresd. τοι omittit, pro ἔχει praebet ἐστι, et fine proximi versus ἰδών τε καὶ μαθών. — Macar. addit: Σοφοκλέους μέλη· ἐπὶ τῶν ἡδύτατα λεγόντων· τὰ γὰρ Σοφόκλεια μέλη κομιδῇ ἡδέα. — Σοφὸν ὁ βοῦς ἔφασκε δ' ἀστράβην ἰδών, οὐ προσήκειν αὐτῷ τὸ σκεῦος. — Σοφοὶ τύραννοι τῶν σοφῶν συνουσία. — Σποδὸν φεύγων εἰς πῦρ ἐμπέπτωκα. — Σπάρταν ἔλαχες ταύτην κόσμει· ἐπὶ τῶν τὰ χείρονα λαγχανόντων.

1) Apost. Cent. XVII. 61. Macar. ὅτι χρὴ οὐ μόνον τῶν ἡδέων κοινωνεῖν ἀλλὰ καὶ τῶν λυπηρῶν.

2) Apost. Cent. XVII. 78.

3) Apost. Cent. XVII. 89.

4) Cfr. Aelian. V. H. I. 19. ὁ μὲν δημώδης λόγος καὶ εἰς πάντας ἐκφοιτήσας λέγει, Συβαρίταις καὶ αὐτῇ τῇ Συβάρει αἰτίαν τῆς ἀπωλείας γενέσθαι τὴν πολλὴν τρυφήν. Exempla affert idem IX. 24. XIV. 28. Quo factum, ut Σύβαρις pro luxuria usurparetur: Philostr. Heroic. Init. Σύ-

Σὺν τῷ κυνὶ [5] *τὸν ἱμάντα· ἐπὶ τῶν πάντα ἀπολωλεκότων.*

Συρακουσίων [6] *τράπεζα· ἡ πολυτελής.*

Σύκον μεθ' ἰχθύν, ὄσπριον μετὰ κρέα.

Σύλλου [7] *φιλία καὶ Μετέλλου τοῦ Πίου· ἐπὶ φίλων ἀκραιφνῶς καὶ ἀδόλως φιλούντων ἀλλήλους. Σύλλας γὰρ ὁ Εὐτυχὴς ἀναγορευθεὶς τῶν μεγίστων εὐτυχιῶν ἐποιεῖτο δύο, τὴν Πίου Μετέλλου φιλίαν καὶ τὸ μὴ κατασκάψαι τὰς Ἀθήνας, ἀλλὰ φείσασθαι τῆς πόλεως.*

Σὺ [8] *ἐν σεαυτῷ τὰ φάρμακα ἔχεις· ἐπὶ τῶν δι' ὥραν ἐπισπωμένων τοὺς ἄνδρας ἐφ' ἑαυτὰς λέγεται καὶ ἐπ' ἄλλων ἀρετῶν. Φίλιππος* [9] *γὰρ ἤρα Θεσσαλῆς γυναικὸς αἰτίαν ἐχούσης καταφαρμακεύειν αὐτόν· ἐσπούδασεν οὖν ἡ Ὀλυμπιὰς λαβεῖν αὐτὴν ἄνθρωπον ὑποχείριον· ὡς δὲ εἰς ὄψιν ἐλθοῦσα τό τε εἶδος εὐπρεπὴς ἐφάνη καὶ διελέχθη πρὸς αὐτὴν οὐκ ἀγενῶς οὐδ' ἀσυνέτως, χαιρέτωσαν, εἶπεν ἡ Ὀλυμπιὰς, αἱ διαβολαὶ, σὺ γὰρ ἐν σεαυτῇ τὰ φάρμακα ἔχεις.*

Συνῆλθον [10] *Ἀτταγᾶς καὶ Νουμήνιος· ἐπὶ δύο κλεπτῶν τοῦτο.*

βαρις Ἰωνικὴ τὴν Φοινίκην κατέσχεν ὁμοῦ πᾶσαν, ubi Boisson. Doxopater Homiliae in Aphthon. *ἱστέον δὲ, ὅτι ἡ Σύβαρις πόλις ἐστὶ τῆς Σικελίας, τὴν τῶν ἐδεσμάτων πολυτέλειαν σπουδάσασα, ὅθεν καὶ παροιμία, Συβαριτικὴ τράπεζα.* Theodor. Hyrtac. in Boiss. Anecd. Tom. III. p. 37. *τράπεζαν μὲν Συβαριτικὴν παραβάλλουσι τοῖς ἐστιωμένοις.* Macar. *Σύβαρις διὰ πλατείας πλατύνων· ἐπὶ τῶν ἀλαζονείᾳ ὑπερβαλλόντων· τοιοῦτοι γὰρ οἱ Συβαρῖται.*

5) Apost. Cent. XVII. 63.

6) Apost. Cent. XVII. 66. Macar. *ἐπὶ τῶν ἁβροδιαίτων καὶ τρυφηλῶν· τοιοῦτοι γὰρ οἱ Συρακούσιοι.* Lucian. Demost. Encom. c. 15. *οὐκ ἔχων ὅτου πρῶτον τὴν γνώμην λάβοις, καθάπερ οἱ λίχνοι πάσχουσι περὶ τὰς Συρακουσίους τραπέζας.*

7) Apost. Cent. XVII. 68.

8) Apost. Cent. XVII. 71.

9) Ex Plutarcho Praec. Conj.

10) Apost. Cent. XVII. 75. Macar. *ἐπὶ δύο πονηρῶν ἐπὶ ταυτὸ συνελθύντων· φασὶ δὲ γραῦν τοῦτο εἰπεῖν Ἐπιδαύρῳ ἐπὶ δύο κλεπτῶν.*

Σὺν Ἀθηνᾷ [11] καὶ χεῖρας κίνει· χρησμόν τις ἔλαβε τὴν χεῖρα προφέροντα θεὸν καλεῖν.

Συκίνη [12] ἐπικουρία· ἀντὶ τοῦ ἀσθενὴς καὶ ἀνωφελής.

Στρύχνον ἔπινεν· ἀντὶ τοῦ μανιώδης ἐγένετο· ἔστι δὲ βοτάνη, ἧς οἱ γευσάμενοι εἰς μανίαν τρέπονται.

Τὸ σ̄ μετὰ τοῦ φ̄.

Σφάκελός [1] σοι· ὁ διὰ τοῦ μέσου τῶν δακτύλων τῆς χειρὸς γενόμενος χλευασμός· σφάκελον δ' ἔνιοι λέγουσι τὴν σῆψιν τῶν ὀστέων.

Σφηκίαν ἠρέθικας [2]· ἐπὶ τῶν ἑαυτοῖς κακὰ κινούντων.

Σφενδόνη [3] Γύγου· ὁμοία τῇ· κυνῇ Ἄϊδος· ἐπὶ τῶν ἀφανῆ τινὰ καὶ ἀπόκρυφα ποιούντων.

Σφὴξ [4] βομβῶν τέττιγος ἐναντίον· ἐπὶ τῶν ἐριζόντων τοῖς κρείττοσι τάττεται.

11) Apost. Cent. XVII. 77. Macar. σὺν Ἀθηνᾷ καὶ χεῖρα κίνει. nihil amplius.

12) Apost. Cent. XVII. 79. Alciphr. I. 39. ὑπῆρξε καὶ Φίλωνι συκίνη βακτηρία ubi Bergl. et Wagn. Theocr. Id. X. 44. σύκινοι ἄνδρες. Aristoph. Plut. 945. ἐὰν δὲ σύζυγον λάβω τινὰ καὶ σύκινον. Macar. συκίνη βακτηρία καὶ συκίνη ἐπικουρία· ἐπὶ τῶν ἀσθενῶν βοηθούντων. — Συκίνη μάχαιρα· ἐπὶ τῶν ἀσθενεστάτων καὶ εὐτελῶν. — Σύκινος νοῦς· ἐπὶ τῶν ἀνοήτων, παρόσον τὸ σύκινον ξύλον ἀυθενέστατον. Id. praetera habet: Σῦς ἀκοντίῳ βεβλημένος· ἐπὶ τῶν τοὺς ἀδικήσαντας μισούντων· ἐπείπερ οἱ ἀδικηθέντες μισοῦσι τὸν ἀδικήσαντα, καθάπερ σῦς τὸν πλήξαντα. — Σὺν δορὶ, σὺν ἀσπίσιν· ἐπὶ τῶν παντὶ τρόπῳ βοηθούντων. — Σύρβα τούρβα· ἐπὶ τῶν ἀτάκτως καὶ μετὰ θορύβου διαπραττομένων. — Στρέφε λόγον, οὐ γὰρ ἅμαξα· ὅτι ὁ λόγος ῥᾳδίως μεταστρέφεται. — Στρηνιᾷ· ἐπὶ τῶν ἀναίδην σκωπτόντων. — Στησίχορος παλινῳδίαν ᾄδει· ἐπὶ τῶν μεταβαλλομένων ἐπὶ τοῖς βελτίοσιν.

1) Apost. Cent. XVII. 81.

2) Consentit Macar.

3) Apost. Cent. XVII. 83. fabulam ex Platonis Politia addit. Cfr. supra p. 170.

4) Theocr. Id. V. 28. Ὅστις νικάσειν τὸν πλατίον, ὡς τυ, πεποίθει, Σφὰξ βομβέων τέττιγος ἐναντίον. Macar. habet: Σφήττιον ὄξος· ἐπὶ τοῦ ὀργίλου καὶ ὀξέος, οἱ γὰρ Σφήττιοι ἐπὶ τοῦτο κωμῳδοῦνται. — Σφάλ-

Τὸ σ̄ μετὰ τοῦ χ̄.

Σχῆμα [5] καὶ τριώβολον· ἐπὶ τῶν διὰ μικρὸν κέρδος σεμνότητα ὑποκρινομένων.

Σχοῖνον [6] διατρώγειν· ἐπὶ τῶν καλλωπιζόντων ἑαυτούς· οἱ γὰρ τοιοῦτοι εἰώθασι σχοῖνον διατρώγειν ἕνεκα τοῦ λευκοὺς ὀδόντας ἔχειν, παρύσον καὶ τοὺς τοιούτους σχοινοτρώκτας ἐκάλουν.

Τὸ σ̄ μετὰ τοῦ ω.

Σώματος κάλλος ζωῶδες, ἢν μὴ νοῦς ὑπείη· ἀπόφθεγμα Δημοκράτους.

Σωρὸς [7] κακῶν ἀνεφάνη· ἐπὶ τῶν δυσπραγούντων.

Σῶμά μοι δότε καὶ μετεμβήσομαι· μέχρι Πολέμωνος τὰ Πολέμωνος· τοῦτ' εἶπεν ὁ Τιμοκράτης πρὸς τοὺς οἰκείους, ὀλοφυρομένους αὐτὸν ἀποθνήσκοντα· λαμβάνεται δ' ἐπὶ τῶν ἀδύνατα ζητούντων.

ΑΠΟΦΘΕΓΜΑΤΑ.

Σιμωνίδου [1].

Σιμωνίδης ἔλεγε τὴν μὲν ζωγραφίαν ποίησιν σιωπῶσαν, τὴν δὲ ποίησιν ζωγραφίαν λαλοῦσαν.

*Ὁ αὐτὸς ἔλεγε, μηδέποτε αὐτῷ μεταμελῆσαι σιγήσαντι, φθεγξαμένῳ δὲ πολλάκις.

λειν σὺν ἐχθροῖς καὶ φίλους κέρδος φέρει· ὁμοία ταύτῃ· ἀπόλοιτο καὶ φίλος σὺν ἐχθρῷ.

5) Apost. Cent. XVII. 84.

6) Apost. Cent. XVII. 85.

7) Macar. σωρὸς ἀγαθῶν, ὥσπερ θάλαττα ἀγαθῶν· ἐπὶ εὐδαιμονίας. Vide supra p. 12. not. 2.

1) Laur. non habet.

** Ὁ αὐτὸς ἐρωτηθεὶς, πότερον αἱρετώτερος πλοῦτος ἢ σοφία, οὐκ οἶδα, ἔφη, ὁρῶ γὰρ τοὺς σοφοὺς ἐπὶ τὰς τῶν πλουσίων θύρας φοιτῶντας.*

** Ὁ αὐτὸς παρακαλοῦντός τινος ἐγκώμιον ποιῆσαι καὶ χάριν ἕξειν λέγοντος, ἀργύριον δὲ μὴ διδόντος, δύο, εἶπεν οὗτος, ἔχω κιβωτοὺς, τὴν μὲν χαρίτων, τὴν δὲ ἀργυρίου, καὶ πρὸς τὰς χρείας τὴν μὲν τῶν χαρίτων κενὴν εὑρίσκω, ὅταν ζητήσω, τὴν δὲ χρησίμην μόνην.*

** Ὁ αὐτὸς ἐρωτηθεὶς, διατί ἐσχάτου γήρως ὢν φιλάργυρος εἴη, ὅτι, εἶπε, βουλοίμην ἂν ἀποθανὼν, τοῖς ἐχθροῖς μᾶλλον ἀπολιπεῖν, ἢ ζῶν δεῖσθαι τῶν φίλων, κατεγνωκὼς τῆς τῶν πολλῶν φιλίας τὸ ἀβέβαιον.*

Σιμωνίδης [2] *ὁ Θηβαῖος στρεβλοὺς ἔχων τοὺς πόδας καὶ ἀπολέσας τὰ ὑποδήματα ηὔξατο τῷ κλέψαντι ἁρμόσαι.*

Σκιούρου.

Σκίουρος $\overline{\pi}$ *παῖδας ἄῤῥενας ἀπολιπὼν ἐπεὶ τελευτᾷν ἔμελλε δέσμην ἀκοντίων ἑκάστῳ προτείνων ἐκέλευσε κατᾶξαι, διδάσκων ἐκείνους, ὅτι συνεστῶτες ἰσχυροὶ διαμενοῦσιν, ἀσθενεῖς δ' ἔσονται διαλυθέντες καὶ στασιάσαντες.*

Σόλωνος.

Σόλων ἐρωτηθεὶς [3]*, διατί κατὰ τῶν πατροκτόνων νόμον οὐκ ἔθηκεν, εἶπε, διὰ τὸ μὴ ἐλπίσαι.*

Σόλων Ἐξηκεστίδου Ἀθηναῖος [4] *τάδε ἔφη·*

Μηδὲν ἄγαν [5]*· κριτὴς μὴ κάθισο, εἰ δὲ μὴ, τῷ ληφθέντι ἐχθρὸς ἔσῃ. Ἡδονὴν φεῦγε· αὐτὴ γὰρ τίκτει λύπην· φύλασε τρόπου καλοκαγαθίαν ὅρκου πιστοτέραν·*

2) Damoni tribuit Theon. Progymn. p. 208., ubi vide notam. In impr. non est.

3) Laur. om.

4) *τάδε* Laur. om.

5) Clem. Strom. I. 14. p. 251. 18. *πάλιν αὖ Χίλωνι τῷ Λακεδαιμονίῳ ἀναφέρουσι τὸ μη-*

σφρᾴγιζε τοὺς μὲν λόγους σιγῇ, τὴν δὲ σιγὴν καιρῷ· μὴ ψεύδου ἀλλ' ἀλήθευε. Τὰ σπουδαῖα μελέτα· τῶν γονέων μὴ λέγε δικαιότερα· φίλους μὴ ταχὺ κτῶ, οὓς δ' ἂν κτήσῃ, μὴ ταχὺ ἀποδοκίμαζε· ἄρχεσθαι μαθὼν ἄρχειν ἐπιστήσῃ· συμβούλευε μὴ τὰ ἥδιστα, ἀλλὰ τὰ βέλτιστα· τοῖς πολίταις μὴ θρασύνου· μὴ κακοῖς ὁμίλει· χρῶ τοῖς θεοῖς· φίλους εὐσέβει· ὃ δ' ἂν ἴδῃς μὴ λέγε· εἰδὼς σίγα· τοῖς σεαυτοῦ πρᾶος ἴσθι· τὰ ἀφανῆ τοῖς φανεροῖς τεκμαίρου.

* Σόλων ἐρωτηθεὶς, πῶς ἄριστα αἱ πόλεις οἰκοῖντο, ἔφη, ἐὰν οἱ μὲν πολῖται τοῖς ἄρχουσι πείθωνται, οἱ δὲ ἄρχοντες τοῖς νόμοις.

* Ὁ αὐτὸς εἶπεν, ἐκείνην ἄριστα διοικεῖσθαι τὴν πόλιν, ἐν ᾗ τοὺς ἀγαθοὺς ἄνδρας συμβαίνει τιμᾶσθαι, καὶ τὸ ἐναντίον, ἐν ᾗ τοὺς κακοὺς ἀμύνεσθαι.

* Ὁ αὐτὸς ἐρωτηθεὶς, πῶς ἂν μὴ γίγνοιτο ἀδίκημα ἐν τῇ πόλει, εἶπεν, εἰ ὁμοίως ἀγανακτοῖεν οἱ μὴ ἀδικούμενοι τοῖς ἀδικουμένοις.

* Ὁ αὐτὸς ὀνειδιζόμενός ποτε, ὅτι δίκην ἔχων ἐμισθώσατο ῥήτορα, καὶ γὰρ, ἔφη, ὅταν δεῖπνον ἔχω, μάγειρον μισθοῦμαι.

* Αἰγύπτιος ἱερεὺς πρὸς Σόλωνα τάδ' ἔφη·

Ὦ Σόλων, Σόλων, Ἕλληνες ὑμεῖς ἀεὶ παῖδες ἐστέ· γέρων δὲ Ἕλλην οὐδείς, οὐ γὰρ ἔχετε μάθημα χρόνῳ πολιόν.

Σωκράτους.

Σωκράτης, ὁ Σωφρονίσκου καὶ Φαιναρέτης, ἐρωτηθεὶς, τί ἐστιν εὐδαιμονία, ἡδονὴ ἀμεταμέλητος ἔφη.

Ὁ αὐτὸς [5] ἐρωτηθεὶς, τίνες εὐδαίμονες, εἶπεν, οἷς καὶ φρένες ἀγαθαὶ καὶ λόγος πρόσεστιν.

δὲν ἄγαν· Στράτων δὲ ἐν τῷ περὶ εὑρημάτων, Στρατοδήμῳ τῷ Τεγεάτῃ προσάπτει τὸ ἀπόφθεγμα· Δίδυμος δὲ Σόλωνι αὐτὸ ἀνατίθησιν.

5) Stob. T. 105. 19.

Ὁ αὐτὸς διαλεγόμενος καί τινος ἀπαγγείλαντος, ὅτι ὁ υἱὸς αὐτοῦ τέθνηκεν, συμπεραιώσας τὴν διάλεξιν, ἀπίωμεν, ἔφη, Σωφρονίσκῳ τὰ νενομισμένα πληρώσοντες.

Ὁ αὐτὸς [6] ἐρωτηθεὶς, πῶς ἄν τις ἄλυπος διάγοι, τοῦτο ἀδύνατον εἶπεν, οὐ γάρ ἐστι πόλιν ἢ οἰκίαν οἰκοῦντα καὶ ἀνθρώποις ὁμιλοῦντα μὴ λυπεῖσθαι.

Ὁ αὐτὸς ἔλεγε νομίζειν ἀεὶ τοὺς θεοὺς γελᾶν ὁρῶντας τὴν τῶν ἀνθρώπων κενοσπουδίαν· μικρὰ γὰρ τὰ ἀνθρώπινα πάντα ὄντα οὐκ ἴσης σπουδῆς τυγχάνει.

Ὁ αὐτὸς πρὸς τὸν εἰπόντα, ἀποθανοῦμαι, εἰ μή σε τιμωρησαίμην, ἔφη, ἀποθανοῦμαι, εἰ μὴ σὲ φίλον ποιήσω.

Ὁ αὐτὸς [7] παρήνει, φυλάττεσθαι τῶν βρωμάτων, ἃ σα μὴ πεινῶντας ἐσθίειν ἀναπείθει, καὶ τῶν ποτμάτων, ὅσα πείθει μὴ διψῶντας.

Ὁ αὐτὸς ἰδὼν [8] πλούσιον ἀπαίδευτον ἔφη, ἰδοὺ καὶ τὸ χρυσοῦν ἀνδράποδον.

Ὁ αὐτὸς ἐρωτηθεὶς, τί τῶν ζώων κάλλιστόν ἐστιν, ἔφη, ἄνθρωπος παιδείᾳ κεκοσμημένος.

Ὁ αὐτὸς [9] ὀνειδιζόμενος ὑπό τινος, ὅτι βαρβαρίζει, ἔφη, ἐγὼ μὲν τῷ λόγῳ, σὺ δὲ τῷ τρόπῳ.

Ὁ αὐτὸς ἐρωτηθεὶς ὑπό τινος, τίς κατασχεῖν δύναται λόγον ἀπόῤῥητον, ἔφη, ὅστις καὶ διάπυρον ἄνθρακα τῇ γλώσσῃ κατασχεῖν δυνήσεται.

Ὁ αὐτὸς [10] τοὺς μὲν ἄλλους ἔλεγε ζῆν, ἵνα ἐσθίωσιν· ἐγὼ δὲ ἐσθίω, ἵνα ζῶ.

Ὁ αὐτὸς ἐρωτηθεὶς, τί λυπεῖ τοὺς ἀγαθοὺς, ἔφη, εὐτυχία πονηρῶν.

Ὁ αὐτὸς [11] μεμφομένης αὐτῷ τῆς γυναικὸς αὐτοῦ,

6) Mosc. om. Recepi ex Laur. et impr.

7) Stob. T. 101. 20. Xen. Mem. I. 3, 6.

8) Stob. T. 4. 81.

9) Hoc et sq. apophth. ex Laur. et impr. recepi.

10) Diog. Laërt. II. segm. 34. Stob. T. 17. 22. Σωκράτης ἐρωτηθεὶς, τίνι τῶν ἄλλων ἀνθρώπων διαφέρει, εἶπε· καθόσον οἱ μὲν λοιποὶ ζῶσιν, ἵν' ἐσθίωσιν, αὐτὸς δὲ ἐσθίω, ἵνα ζῶ.

11) Xen. Mem. I. 2, 54.

ὅτι οὐ προσίεται τὸν υἱὸν αὐτοῦ ἄχρηστον ὄντα, καὶ λεγούσης, ὅτι ἐξ αὐτοῦ εἴη, ἀποπτύσας, καὶ γὰρ τοῦτο, εἶπεν, ἐξ ἐμοῦ, ἀλλ᾽ οὐ χρήσιμον.

Ὁ αὐτὸς [12] ἠξίου τοὺς νέους συνεχὲς κατοπτρίζεσθαι, ἵν᾽ εἰ μὲν καλοὶ εἶεν ἄξιοι γένοιντο, εἰ δὲ αἰσχροὶ παιδείᾳ τὴν δυσειδίαν ἐπικαλύπτοιεν.

Ὁ αὐτὸς [13] ὄναρ δόξας τινὰ αὐτῷ λέγειν·

Ἥματί κεν τριτάτῳ Φθίην ἐρίβωλον ἵκοιο·

πρὸς Αἰσχίνην ἔφη, εἰς τρίτην ἀποθανοῦμαι.

Ὁ αὐτὸς ἔφη τοὺς μὲν κενοὺς τὸ πνεῦμα διΐστησι, τοὺς δὲ ἀνοήτους τὸ οἴημα.

Ὁ αὐτὸς [14] εἶπε, πολλοῦ ἂν ἄξιον ἦν τὸ πλουτεῖν, εἰ καὶ τὸ χαίρειν αὐτῷ συνῆν· νῦν δὲ ἄμφω ταῦτα κεχώρισται· ἐὰν γὰρ θέλωσι χρῆσθαι τῷ πλούτῳ, τῇ ἡδυπαθείᾳ διαφθείρονται, ἐάν τε τὸ πλουτεῖν φυλάττειν, τῇ φροντίδι, ἐάν τε κτήσασθαι, τῇ ἐπιθυμίᾳ.

Ὁ αὐτὸς ὀνειδιζόμενος ἐπὶ δυσγενείᾳ ὑπό τινος εὐγενοῦς, μοχθηροῦ δὲ, ἐμοὶ μὲν τὸ γένος ὄνειδος, ἔφη, σὺ δὲ τῷ γένει.

Ὁ αὐτὸς ἐπεὶ τὸ κώνειον ἔμελλε πίεσθαι, τῶν ἀμφὶ τοὺς κριτὰς ἐρομένων αὐτὸν, τίνα τρόπον ταφῆναι θέλει, ὅπερ ἂν ὑμῖν, ἀπεκρίνατο, ἢ ῥᾷστον.

Ὁ αὐτὸς ἐρωτήσαντος αὐτὸν Γοργίου, ἣν ἔχοι περὶ τοῦ μεγάλου βασιλέως ὑπόληψιν, ἢ καὶ νομίζει τοῦτον εὐδαίμονα εἶναι, οὐκ οἶδα, ἔφησε, πῶς ἀρετῆς καὶ παιδείας ἔχει, νομίζων τὴν πρώτην εὐδαιμονίαν ἐν τούτοις, οὐκ ἐν τοῖς τυχηροῖς ἀγαθοῖς κειμένην.

Ὁ αὐτὸς ἐρωτηθεὶς, τί ἥδιστον ἐν τῷ βίῳ, ἔφη, παιδεία καὶ ἀρετὴ, καὶ ἱστορία τῶν ἀγνοουμένων.

Ὁ αὐτὸς τοὺς πλεονέκτας εἴκαζε τοῖς ὄρνεσιν, ὧν ἡ μὲν καταπίνει, ὅ τι ἂν προστύχῃ, καὶ ἔστιν ὅτε πνίγεται·

12) Segm. 35.
13) Segm. 35.
14) Hoc et sqq. apophthegmata, usque ad finem ex Laur. et impr. recepi.

αἱ δ' ἄλλαι περιακολουθοῦσιν ἀφελεῖν αὐτὸ σπεύδουσαι, ἵνα παρὰ μέρος πνιγῶσιν.

Ὁ αὐτὸς [15] ἐρωτηθεὶς, πότερον γῆμαι, ἢ μὴ, ἔφη· ὃ ἂν αὐτῶν ποιήσεις, μεταγνώσῃ.

Ὁ αὐτὸς θαυμάζειν ἔλεγε τῶν τὰς λιθίνους εἰκόνας κατασκευαζομένων, τοῦ μὲν λίθου προνοεῖν, ὡς ὁμοιότατος ἔσται, αὐτῶν δ' ἀμελεῖν, ὡς μὴ ὁμοίους τῷ λίθῳ φαίνεσθαι.

Αὐτῷ μέλλοντι τὸ κώνειον πίεσθαι, Ἀπολλόδωρος ἱμάτιον ἐδίδου καλὸν, ἵν' ἐκείνῳ ἀποθάνῃ· καὶ ὃς τῇδ' ἔφη· τὸ ἐμὸν ἱμάτιον ἐκβιῶναι μὲν ἐπιτήδειον, ἐναποθανεῖν δὲ οὐχί.

Ὁ αὐτὸς [16] πρὸς Ἀλκιβιάδην εἰπόντα, ὡς οὐκ ἀνεκτὴ ἡ Ξανθίππη λοιδοροῦσα, ἀλλ' ἔγωγ', ἔφη, συνήθισμαι, καθάπερ εἰ καὶ τροχηλίας [17] ἀκούων συνεχές· καὶ σὺ μὲν, εἶπε, χηνῶν βοώντων ἀνέχῃ· τοῦ δὲ εἰπόντος, ἀλλά μοι ὠὰ καὶ νεοττοὺς τίκτουσι, κἀμοί, φησι, Ξανθίππη παιδία γεννᾷ.

Ὁ αὐτὸς λέγεται, ὅτι εἶδεν ὄνειρον κύκνου νεοττὸν ἐν τοῖς γόνασι σχεῖν, ὃν καὶ παραχρῆμα πτεροφυήσαντα ἀναπτῆναι, ἡδὺ κλάγξαντα, καὶ μεθ' ἡμέραν Πλάτωνα αὐτῷ συστῆναι· τὸν δὲ τοῦτον εἰπεῖν εἶναι τὸν ὄρνιν.

Ὁ αὐτὸς εἶπεν, οἱ φιλίαν παραθεωροῦντες, κἂν τὴν ἐκ τῶν ἠδικημένων ἐκφύγωσι κόλασιν δι' ἀσθένειαν, ἀλλ' οὖν γε τὴν ἐκ τοῦ θεοῦ τιμωρίαν οὐ διακρούονται.

Ὁ αὐτὸς ἔλεγεν, ὁ μὲν χειμὼν σκέπης, τὸ δὲ γῆρας ἀλυπίας δεῖται.

Ξανθίππης αὐτῷ ἐπιτιμώσης, διότι λιτῶς παρεσκευάζετο ὑποδέξασθαι φίλους, ὦ γύναι, εἶπεν, εἰ μὲν ἡμέτεροί εἰσιν, οὐδὲν ἐκείνοις μελήσει, εἰ δὲ ἀλλότριοι, ἡμῖν περὶ αὐτῶν οὐδὲν μελήσει.

15) Diog. segm. 33.
16) Segm. 36. 37.
17) Laur. et impr. χιλίας. Correxi ex Diogene L.

Ὁ αὐτὸς εἶπεν, αἱ πονηραὶ ἐλπίδες, ὥσπερ οἱ κακοὶ ὁδηγοὶ, ἐπὶ τὰ ἁμαρτήματα ἄγουσιν.

Ὁ αὐτὸς ἰδών τινα προχείρως πᾶσι χαριζόμενον καὶ ἀνεξετάστως ὑπηρετούμενον, κακῶς, εἶπεν, ἀπόλοιο, ὅτι τὰς Χάριτας, παρθένους οὔσας, πόρνας ἐποίησας.

Ὁ αὐτὸς εἶπεν· ἐν μὲν τῷ πλεῖν πείθεσθαι δεῖ τῷ κυβερνήτῃ, ἐν δὲ τῷ ζῆν τῷ λογίζεσθαι δυναμένῳ βέλτιον.

Σωσιάδου τῶν ἑπτὰ σοφῶν ὑποθῆκαι [18].

Ἕπου θεῷ. Νόμῳ πείθου. Θεοὺς σέβου. Γονεῖς αἰδοῦ. Ἥττῶ ὑπὲρ δικαίου. Γνῶθι μαθών. Ἀκούσας νόει. Σαυτὸν ἴσθι. Γαμεῖν μέλλων καιρὸν γνῶθι. Φρόνει θνητά. Ἑστίαν τίμα. Ἄρχε σεαυτοῦ. Φίλοις βοήθει. Θυμοῦ κράτει. Φρόνησιν ἄσκει. Πρόνοιαν τίμα. Ὅρκῳ μὴ χρῶ. Φιλίαν ἀγάπα. Παιδείας ἀντέχου. Δόξαν δίωκε. Σοφίαν ζηλοῦ. Καλὸν εὖ λέγε. Ψέγε μηδένα. Ἐπαίνει ἀρετήν. Πρᾶττε δίκαια. Φίλοις εὐνόει. Ἐχθροὺς ἀμύνου. Εὐγένειαν ἄσκει. Κακίας ἀπέχου. Κοινὸς γίνου. Ἴδια φύλασαι. Ἀλλοτρίων ἀπέχου. Εὔφημος ἴσθι. Ἄκουε πάντα. Φίλῳ χαρίζου. Χρόνου φείδου. Ὅρα τὸ μέλλον. Ἔριν μίσει. Οἰκέτας αἰδοῦ. Υἱοὺς παίδευε. Ἔχων χαρίζου. Δόλον φοβοῦ. Εὐλόγει πάντας. Φιλόσοφος γίνου. Ὅσια κρίνε. Γονὺς πρᾶττε. Φόνου ἀπέχου. Εὔχου δυνατά. Σοφοῖς χρῶ. Ἦθος δοκίμαζε. Λαβὼν ἀπόδος. Ὑφορῶ μηδένα. Τέχνῃ χρῶ. Ὃ μέλλεις δός. Εὐεργεσίας τίμα. Φθόνει μηδενί. Φυλακῇ πρόσεχε. Ἐλπίδα αἶνει. Διαβολὴν μίσει. Δικαίως κτῶ. Ἀγαθοὺς τίμα. Αἰσχύνην σέβου. Χάριν ἐκτέλει. Ὄνειδος ἔχθαιρε. Κρίναι δίκαια. Ἀδωροδόκητος δοκίμαζε. Αἰτιῶ παρόντα. Λέγε εἰδώς. Βίας μὴ ἔχου. Ὁμίλει πρᾴως. Πέρας ἐπιτέλει μὴ ἀποδειλιῶν. Υἱοῖς

18) Exstant in Laur. et impr.

μὴ καταθάῤῥει. Γλώσσῃ ἄρχε. Σεαυτὸν εὖ ποίει. Εὐπροσήγορος γίνου. Ἀποκρίνου ἐν καιρῷ. Πόνει μετὰ δικαίου. Πρᾶττε ἀμετανοήτως. Ἁμαρτάνων μετανόει. Ὀφθαλμοῦ κράτει. Βουλεύου χρήσιμα. Ἐπιτέλει συντόμως. Φιλίαν φύλασσε. Εὐγνώμων γίνου. Ὁμόνοιαν δίωκε. Ἄῤῥητα μὴ λέγε. Τὸ κρατοῦν φοβοῦ. Τὸ συμφέρον θηρῶ. Καιρὸν προσδέχου. Ἔχθρας διάλυε. Εὐφημίαν ἄσκει. Ἀπεχθείας φύγε. Πλούτει δικαίως. Δόξαν μὴ λίπε. Κακίαν μίσει. Μανθάνων μὴ κάμνε. Κινδύνευε φρονίμως. Οὓς τρέφεις ἀγάπα. Πρεσβύτερον αἰδοῦ. Νεώτερον δίδασκε. Πλούτῳ ἀπίστει. Σεαυτὸν αἰδοῦ. Προγόνους στεφάνου. Θνῆσκε ὑπὲρ πατρίδος. Τῷ βίῳ μὴ μάχου. Ἐπὶ νεκρῷ μὴ γέλα. Ἀτυχοῦσι συνάχθου. Χαρίζου ἀβλαβῶς. Μὴ ἐπὶ παντὶ λυποῦ. Ἐξ εὐγενῶν γέννα. Ἐπαγγέλλου μηδενί. Φθιμένους μὴ ἀδίκει. Εὖ πάσχε ὡς θνητός. Τύχῃ μὴ πίστευε. Κόσμιος ἴσθι. Ἡβῶν μέσος δίκαιος. Πρεσβύτερος εὔλογος. Τελεύτα ἄλυπος.

Σωστράτου.

Σώστρατος ὁ [19] αὐλητὴς ὀνειδιζόμενος ὑπό τινος ἐπὶ τῷ γονέων ἀσήμων εἶναι εἶπε, καὶ μὴν διὰ τοῦτο μᾶλλον ὤφειλον θαυμάζεσθαι, ὅτι ἀπ᾽ ἐμοῦ τὸ γένος ἄρχεται.

Ὁ αὐτὸς ἔφη, οἱ ἀδελφοὺς παρέντες καὶ ἄλλους φίλους ζητοῦντες παραπλήσιοί εἰσι, τοῖς τὴν ἑαυτῶν γῆν ἐῶσι, τὴν δὲ ἀλλοτρίαν γεωργοῦσι.

Σωτίων.

Σωτίων ἔφη [20], οἱ δελφῖνες μέχρι τοῦ κλύδωνος συνδιανήχονται τοῖς κολυμβῶσι· πρὸς δὲ τὸ ξηρὸν οὐκ ἐξοκείλουσεν· οὕτω δὴ καὶ οἱ κόλακες, ἐν εὐδίᾳ παραμένουσι καὶ τοὺς φίλους εἰς ἀποδημίαν προπέμποντες μέ-

19) ὁ Laur. om.

20) Laur. Σωτίων οἱ δελφῖνες ἔφη.

χρι τῆς λείας παρακολουθοῦσιν· ἐπειδὰν δὲ εἰς τραχεῖαν ἔλθωσιν ἀπίασιν.

Ἀρχὴ τοῦ τ στοιχείου.

Τὸ τ μετὰ τοῦ α.

Τάδ' ἐκ [1] τριποδος· τίθεται ἐπὶ τῶν πάνυ ἀληθῶν· Ἀριστοκλείᾳ γὰρ, τῇ Πυθίᾳ γενομένῃ, μιχθῆναι Πυθαγόραν τὸν ἀδελφὸν, καὶ τῶν ὑπ' αὐτῆς μαντευομένων παρασημειοῦσθαι ὡς ἐκ τρίποδος.

Τὰ Νικησίου [2] δρᾷ· ἐπὶ τῶν μαλακῶν· τοιοῦτος γὰρ ὁ Νικησίας ἦν.

Ταῦρος [3] ὑπερκύψας τὸ Ταΰγετον ἀπὸ τοῦ Εὐρώτα ἔπιεν· ἐπὶ τῶν ἀδυνάτων.

Τάδε [4] Μῆδος οὐ φυλάξει· κατὰ τὴν τοῦ Ξέρξου ἔφοδον τοὺς Ἕλληνας ἀπειρηκότας τὰ ἑαυτῶν ἀναλίσκειν καὶ δαπανᾷν ἐπιλέγοντας· τάδε Μῆδος οὐ φυλάξει.

Ταινάριον [5] κακόν· ἀντὶ τοῦ μέγα καὶ παράνομον εἰς ἱκέτας· οἱ γὰρ Λακεδαιμόνιοι καταφυγόντας τοὺς Εἵλωτας εἰς τὸ Ταίναρον ἀπέκτειναν.

Τὰ Κινύρου [6] τάλαντα· ἐπὶ τῶν τὸ ἴσον καὶ τὸ δίκαιον φυλαττόντων.

Τὰ [7] σῦκα σῦκα, τὴν σκάφην σκάφην λέγει.

1) Apost. Cent. XVII. 86. Macar. *τὰ ἐκ τρίποδος· ἐπὶ τῶν ἀληθῶς λεγομένων.*

2) Apost. Cent. XVII. 87.

3) Apost. Cent. XVII. 88. addit quaedam.

4) Apost. Cent. XVII. 89.

5) Apost. Cent. XVII. 92. Macar. *ἐπὶ τῶν σφόδρα δεινῶν καὶ χαλεπῶν.*

6) Apost. Cent. XVII. 93. Macar. consentit.

7) Plut. Apophth. p. 178. B. *σκαιοὺς ἔφη φύσει καὶ ἀγροίκους εἶναι Μακεδόνας, καὶ τὴν σκάφην λέγοντας* ubi Wyttenb.

Τὰ ὑπὲρ ἡμᾶς οὐδὲν πρὸς ἡμᾶς· ἀντὶ τοῦ μὴ ζήτει τὰ ὑπὲρ δύναμιν.

Τὰς μηχανὰς μετὰ τὸν πόλεμον κομίζει· ἐπὶ τῶν προθυμουμένων βοηθεῖν ὅτε οὐ χρεία.

Ταμίας [8] *ἀγαθός· ἐπὶ τῶν ἀκριβῶς φυλαττόντων τά τε ἴδια, τά τε δημόσια.*

Τὰ μὲν [9] *ἐξ ἀρχῆς οὐ μέμνημαι, τὰ δὲ μέσα οὐ συνίημι, τὰ δ' ἐπὶ πᾶσιν οὐ δοκιμάζω· ἐπὶ τῶν πολλὰ λεγόντων καὶ πάντα οὐδενὸς ἄξια· ὁμοία τῇ* [10]· *τὰ μὲν πρῶτα ἐπιλελάθαμες, τὰ δὲ ὕστερα οὐ συνήκαμες διὰ τὸ τὰ πρῶτα ἐπιλελᾶσθαι.*

Τὰ μέροπος [11] *δρᾷς· ἐπὶ τῶν τἀναντία πάντων ἢ δρώντων ἢ λεγόντων· ὁ γὰρ μέροψ τὸ ὄρνεον ἔμπαλίν, φασι, τοῖς ἄλλος ἅπασι πέταται· τὰ μὲν γὰρ εἰς τοὔμπροσθεν ἵεται καὶ κατ' ὀφθαλμούς, ὁ δὲ εἰς τοὐπίσω· λέγεται καὶ τοῦτο περὶ αὐτοῦ, ὅτι οὐκ ἀναμένει γηράσαντας ἐκφέρειν τοὺς πατέρας, ἀλλ' ἅμα τῷ φῦσαι τὰ ὠκύπτερα τοῦτο ἐργάζεται.*

Ταντάλου [12] *κῆπον τρυγᾷς· ἐπὶ τῶν τὰ ὅμοια ποιούντων, παρόσον σκιὰ καὶ ὀνείρατα αἱ ἡδοναὶ πᾶσαι.*

Τὰ ἐκ [13] *τῶν ἁμαξῶν· ἐπὶ τῶν ἀπερικαλύπτως σκωπτόντων· Ἀθήνησι γὰρ ἐν τῇ τῶν χοῶν ἑορτῇ οἱ κωμάζοντες ἐπὶ τῶν ἁμαξῶν τοὺς ἀπαντῶντας ἔσκωπτόν τε καὶ ἐλοιδόρουν· τὸ δ' αὐτὸ καὶ τοῖς Ληναίοις ὕστερον ἐποίουν.*

Τὰ ἐν [14] *ποσὶν οὐκ οἶδεν· ἐπὶ τῶν ἀμαθῶν.*

Τὰ Μαγνητῶν [15] *κακά· ἐπὶ τῶν μεγίστων καὶ*

8) Apost. Cent. XVII. 95. addit quaedam de *ταμίαις* Atheniensium.

9) Apost. Cent. XVII. 97.

10) Plut. Apophth. Lac. p. 232. D. *Σαμίων πρεσβευταῖς μακρολογοῦσιν ἔφασαν οἱ Σπαρτιάται* etc. Cfr. Wessel. ad Herod. III. 46.

11) Apost. Cent. XVII. 98.

12) Apost. Cent. XVII. 100.

13) Apost. Cent. XVIII. 2. Macar. *τὰ ἐξ ἁμάξης, ἐπὶ τῶν ῥητὰ καὶ ἄῤῥητα λοιδορούντων.*

14) Apost. Cent. XVIII. 5.

15) Apost. Cent. XVIII. 6. Cfr. Julian. Or. VII. p. 210. D.

ἀλγεινοτάτων κακῶν· παρόσον οὗτοι ἀσεβήσαντες εἰς θεοὺς μεγάλων κακῶν ἐπειράθησαν.

Ταντάλειοι [16] *τιμωρίαι· ἐπὶ τῶν ἀγαθῶν μὲν ἐπιτυχόντων, μὴ συγχωρουμένων δὲ ἀπολαύειν αὐτῶν· ὡς ἔμαθες.*

Τὰ σῦκα [17] *σῦκα λέγω καὶ τὴν κάρδοπον κάρδοπον· ἐπὶ τῶν ἀληθῆ λεγόντων ἀνεπιφθόνως.*

Τὰ πέρυσι [18] *ἀεὶ βελτίω· ἐπὶ τῶν κατόπιν ἐν ταῖς χερσὶ γινομένων· ταπεινούμενοι γὰρ οἱ Ἀθηναῖοι κατὰ τὰ Μακεδονικὰ ἐπεφώνουν τὸ τοιοῦτον.*

Ταρτησία [19] *μύραινα· ἐπ᾽ εὐμεγέθους· ὡς ἐκεῖ γενομένων μεγίστων.*

Τὰ Ταντάλου [20] *τάλαντα· πλούσιος ὁ Φρὺξ Τάνταλος διεβεβόητο, Πλουτοῦς καὶ Διὸς λεγόμενος· κέχρηται δὲ τῇ παροιμίᾳ καὶ Ἀνακρέων ἐν τρίτῃ· γέγονε δὲ παρὰ τὸ ὄνομα τάλαντα, ὡς καὶ παρὰ τῷ κωμικῷ εἴρηται· Ταντάλου τάλαντα ταλαντίζεται.*

Ταῦτά σοι [21] *καὶ Πύθια καὶ Δήλια· ἐπὶ τῶν τελευταῖα ποιούντων.*

Τὰς ἐν Ἅιδου [22] *τριακάδας· τιμᾶται ἡ τριακὰς ἐν Ἅιδου, διὰ τὴν Ἑκάτην· καὶ γὰρ Ἀθηνᾶ καὶ Ἄρτεμις καὶ Ἑκάτη ἓν εἶναι δοκοῦσι.*

Ταῦτα [23] *Κυμαίοις, ἐμοὶ δὲ ὄνος εἴη· ἐπὶ τῶν μετὰ δέους τἀνάξια δεδιότων· φασὶ γὰρ τοὺς Κυμαίους*

κἂν τὰ Μαγνήτων κακὰ etc. Theogn. 725. Welck. *ὕβρις καὶ Μάγνητας ἀπώλεσε καὶ Κολοφῶνα καὶ Σμύρνην* coll. 721. Archiloch. Fr. XXIX. *κλαίω τὰ Θασίων, οὐ τὰ Μαγνήτων κακά,* ubi Liebel.

16) Apost. Cent. XVIII. 7. fabulam exponit.

17) Apost. Cent. XVIII. 8.

18) Apost. Cent. XVIII. 10.

19) Apost. Cent. XVIII. 15. Aristoph. Ran. 475. ubi Schol. et Intrpr.

20) Apost. Cent. XVIII. 14. Macar. *ἐπὶ τῶν ἀφόδρα πλουσίων.*

21) Apost. Cent. XVIII. 16.

22) Apost. Cent. XVIII. 17.

23) Apost. Cent. XVIII. 19. Macar addit: *Τὰ Σαμίων ἄνθη· ἐπὶ τῶν μεθύσων. — Τὰ Σαμίων ὑποπτεύεται· ἐπὶ τῶν δεδιότων κακῶν τινα προσδοκίαν. — Τὰ ἐπὶ Ναυάκου· ἐπὶ τῆς ἀρχαιότητος τῆς πολλῆς.*

ὡς θήριον δεδιέναι τὸν ὄνον· ὀνηλάτην οὖν φυγόντα ὄνον καὶ σκιρτῶντα παίειν καὶ λέγειν τὸ προκείμενον.

Τὸ τ μετὰ τοῦ ε.

Τελενίκου [1] *πενέστερος· ὅθεν καὶ τὸ κενῶσαι τελενικῆσαι λέγουσιν οἱ Σερίφιοι, ἀπὸ τούτου, ὡς τὸ εἰκὸς, πένητος παντελῶς· λέγεται καὶ Τελενίκιος ἠχὼ μεταφορικῶς ἀπὸ τῶν ἀγγείων τῶν μὴ ἐχόντων ἔνδον τι.*

Τενέδιος [2] *συνήγορος· ἀντὶ τοῦ ἀπότομος, δύο γὰρ πελέκεις ἐν ἀναθήμασι τιμῶσι Τενέδιοι, καὶ παροιμία· Τενέδιος πέλεκυς* [3]*, ὅτι βασιλεὺς Τενέδιος μετὰ πελέκεως δικάζων τοὺς ἀδικοῦντας εὐθέως ἀνῄρει.*

Τερεβίνθου [4] *ἀνοητότερος· ἐπὶ τῶν μωρῶν καὶ ἀναισθήτων· ἔστι δὲ τερέβινθος ὁ δρύς.*

Τέττιγα [5] *τοῦ πτεροῦ συνελήφας· ἐπὶ τῶν τὰ σώματα τῶν ἀθυρογλώσσων πυλούντων.*

Τέττιξ [6] *ἀκάνθιος· ἐπὶ τῶν ἀφώνων καὶ ἀμούσων· οὐκ ᾄδουσι γὰρ οἱ ἐκεῖσε τέττιγες.*

Τεττάρων [7] *ὀβολῶν ἄξιος· ὁμοία τῇ· τεταρτημορίου ἄξιος ἤτοι διχάλκου· ἐπὶ τῶν οὐ πολλῆς τιμῆς ἀξίων.*

Τέττιγας [8] *ἐσθίεις· ἐπὶ τῶν διὰ λιχνείαν καὶ τὰ οὐδενὸς ἄξια ἐσθιόντων.*

— *Τὰ γῆς ἔνερθε καὶ τὰ ἐπὶ πέδον· λείπει οἶδεν· ἐπὶ τῶν πολυπραγμόνων.* — *Τὰς Προμηθίου μηχανάς· ἐπὶ τῶν ἐξαπατώντων ἐπὶ τέχνῃ τινί· Προμήθιον γὰρ τόπος ἦν ἐν Σικελίᾳ, ἐν ᾧ οἱ ὀρνιθοσκόποι διέτριβον.*

1) Apost. Cent. XIX. 24.

2) Apost. Cent. XIX. 28. Macar. *Τενέδιος πέλεκυς· ἐπὶ τῶν ἀποτόμως τι καὶ ὠμῶς διαπραττομένων· ἐν γὰρ Τενέδῳ τῇ νήσῳ δύο πελέκεις ἀνέκειντο σεβάσμιοι· δι' ὧν ἀνῃροῦντο οἱ μοιχοί.*

3) Apost. post *πέλεκυς* inserit: *Ἀριστοτέλης μέντοι.* Vide Aristotelis Fragm. sub *Τενεδίων πολιτεία.*

4) Apost. Cent. XVIII. 29.

5) Apost. Cent. XVIII. 32.

6) Apost. Cent. XVIII. 33.

7) Apost. Cent. XVIII. 35.

8) Apost. Cent. XVIII. 36. addit quaedam. Macar. habet: *Τέττιγος ἀκούει· ἐπὶ τοῦ ἀφροντίστου, παρόσον ὁ τέττιγος*

Τέττιγος εὐφωνότερος· ἐπὶ τῶν μελῳδούντων.

Τεττιγοφόρος [9] *εἶ· οἱ Ἀθηναῖοι τέττιγας ἐφόρουν χρυσοῦς· σύμβολον τοῦ γηγενεῖς εἶναι ἢ μουσικούς.*

Τετρὰς [10] *καὶ νουμηνία· ἐπὶ τῶν φύσει ἀργῶν.*

Τέφραν [11] *φεύγων εἰς ἀνθρακιὰν ἔπεσεν· ἐπὶ τῶν ἀπὸ ἡττόνων χείροσι περιπεσόντων κακοῖς.*

Τείχη [12] *Σεμιράμιδος καὶ τείχη Ἰεριχούντια· ἐπὶ τῶν ἀσφαλῶν καὶ δυσαλώτων ἢ θαυμαστῶν.*

Τὸ τ μετὰ τοῦ η.

Τὴν [13] *Ἀκεσαίου σελήνην· ἐπὶ τῶν διαμενόντων καὶ βραδυνόντων· ἦν δὲ Νηλέως κυβερνήτης ὁ Ἀκεσαῖος.*

Τήμερον οὐδεμίαν γραμμὴν ἤγαγον· ἐπὶ τῶν ἀμελούντων τῆς σπουδῆς καὶ τῆς ἑαυτῶν τέχνης· τοῦτο Ἀπελλῆς ὁ ζωγράφος εἴρηκεν.

Τὴν ἐξούλης [14] *δίκην φεύγεις· οἱ δίκῃ νικήσαντες, ὥστε ἀπολαβεῖν τὸ χωρίον ἢ ἀγρὸν ἤ τι τοιοῦτον καὶ μὴ ἐώμενοι ἀνέτρεχον εἰς δικαστήριον αὖθις καὶ εἰσῆγον δίκην, ἥτις ἐκαλεῖτο ἐξούλη· ἐξέλλειν γὰρ οἱ παλαιοὶ τὸ ἀπελαύνειν καὶ κωλύειν ἔλεγον· οἱ δὲ ἀπὸ τοῦ ἐξεῖναι τοῖς ἑλοῦσι κρατεῖν τῶν κτημάτων.*

ἀκούων ἥδεται. — Τέττιγος ᾠδὴν νόμον· ἐπὶ τοῦ μηδενὸς ἀξίου.

9) Apost. Cent. XVIII. 38. Eos, qui de re disputarunt, recenset Krüger ad Dion. Halic. Judic. de Thuc. XIX. 5. adde Jacobs ad Philostr. Im. II. 17. p. 493.

10) Apost. Cent. XVIII. 43. Macar. *ἐπὶ τῶν φόσει ἀργῶν, παρόσον ταύτας τὰς ἡμέρας ἀργὰς ἐνόμιζον.*

11) Apost. Cent. XVIII. 41.

12) Apost. Cent. XVIII. 44. Macar addit: *Τερμέρια κακά· ἐπὶ τῶν σφόδρα δεινῶν καὶ χαλεπῶν, ἀπὸ Τερμέρου τινὸς θηριώδους τὴν φύσιν καὶ λῃστοῦ.* — *Τερπνὸν χρῆμα ἀλλήλοις ἡλικιῶται· ἐπὶ τῶν ὁμηλίκων.* — *Τευμησσία ἀλώπηξ· ἐπὶ τῶν πολλῇ πανουργίᾳ χρωμένων.*

13) Apost. Cent. XVIII. 46.

14) Apost. Cent. XVIII. 50.

Τὴν [15] *αὐτοῦ σκιὰν δέδοικεν· ἐπὶ τῶν σφόδρα δειλῶν.*

Τὴν [16] *ἀμίδα σανδάλῳ ἐπιφράττεις· ἐπὶ τῶν μικροῖς μεγάλα ἐπιχειρούντων.*

Τὴν [17] *ἀπὸ Σκυθῶν ῥῆσιν· ἐπὶ τῶν ὠμῶς καὶ περιφανῶς ἀποκρινομένων· τοιοῦτος γὰρ ἦν ὁ Ἀνάχαρσις Σκύθης ὤν.*

Τὴν [18] *ἡμέραν πᾶσαν σήθει, ὃς οὐ βούλεται ζυμῶσαι.*

Τὴν ἅλμην [19] *κυκᾷς, πρὶν τοὺς ἰχθύας ἑλεῖν· ἐπὶ τῶν πρὸ πολλοῦ παρασκευαζομένων.*

Τῆς [20] *μητρὸς ὡς αἴξ καλεῖται· οἱ γὰρ ἔριφοι ἐν τοῖς αἰπολίοις ἀπὸ τῶν μητρῶν γνωρίζονται, ἀπὸ πατέρων γὰρ ἀδύνατον.*

Τὴν [21] *κατ' ἑαυτὸν ἔλαυνε· ἀντὶ τοῦ ἴσαις ὁμίλει.*

15) Apost. Cent. XVIII. 53. Macar consentit.

16) Apost. Cent. XVIII. 54.

17) Apost. Cent. XVIII. 55. cfr. supra: *ἡ ἀπὸ Σκυθῶν ῥῆσις.*

18) Apost. Cent. XVIII. 57.

19) Apost. Cent. XVIII. 59.

20) Apost. Cent. XVIII. 60.

21) Macar. *Τὴν κατὰ σαυτὸν ἔλα· ἐπὶ τῶν μείζονα ἢ κατὰ τὴν ἑαυτῶν δύναμιν αἱρουμένων πράγματα.* Pittaci sententia. Anthol. Gr. VII. 89. cfr. Plut. de educat. p. 15. T. *τὸ γάρ, Τὴν κατὰ σαυτὸν ἔλα, σοφόν· ὡς οἴγε μαχρῷ κρείττους ἑαυτῶν λαμβάνοντες, οὐ τῶν γυναικῶν ἄνδρες, τῶν δὲ προικῶν δοῦλοι λανθάνουσι γινόμενοι*, ubi Wyttenb. Vide praesertim Callimachi Epigr. I. apud Diog. Laërt. I. 80. Oraculum apud Welcker. Sylloge epigr. p. 254.

Ἐρᾷς δικαίων ἐκ γάμων ἰδεῖν σπορὰν,
Ζάλην μεγίστην φεῦγε, μή τι καὶ βλάβης.

(nonne *βλαβῇς*?). Macar. habet ad hanc litteram: *Τῆς αὐτῆς κεραμίας· ἐπὶ τοῦ ὁμοίου καὶ παραπλησίου. — Τὴν λεοντῆν λάμβανε· ἐπὶ τοῦ γενναῖόν τι πράττειν μέλλοντος. — Τὴν ἀλωπεκῆν ὑπέδυ· ἐπὶ τῶν πανουργίᾳ χρωμένων. — Τὴν αὐτὸς σαυτοῦ θύραν κρούεις; λίθῳ· ἐπὶ τῶν εἰς τὰ δικαῖα πλημμελούντων. — Τὴν ὑπὸ σκότους· ἤγουν τὴν λαθραίαν. — Τῆς δευτέρας ἢ ὑστέρας ἐφόδου· ἐπὶ τῶν ἐκ δευτέρου τισὶν ἔργοις ἐπιχειρούντων. — Τὴν ἐκ τῆς φαρέτρας· ἐπὶ τῶν ἀγαθὴν ἡμέραν ἀγόντων. — Τὴν δὲ αὐτὴν ταύτην καὶ λευκὴν καὶ εἰρηνικὴν λέγουσιν· ἐλήφθη δὲ ἡ παροιμία*

Τὴν [22] *Χάρυβδιν ἐκφυγὼν τῇ Σκύλλῃ περιέπεσον· ὁμοία τῇ ἔφυγον κακὸν, εὗρον ἄμεινον.*

Τὸ τ μετὰ τοῦ ι.

Τίς ἐν Κύδωνος [1]· *ἐπὶ τῶν φιλοφρόνως δεχομένων τοὺς ξένους· ἀπὸ Κύδωνος Κορινθίου φιλοξένως διατεθέντος.*

Τιθωνοῦ [2] *γῆρας· ἐπὶ τῶν πολυχρονίων καὶ ὑπεργήρων τάσσεται· ἱστορεῖται γὰρ ὅτι Τιθωνὸς ἐπιθυμίᾳ τοῦ τὸ γῆρας ἐκδύσασθαι εἰς τέττιγα μετέβαλεν.*

Τί μ᾽ ὠφελήσουσιν [3] *οἱ ῥυθμοὶ πρὸς τ᾽ ἅλφιτα· ἐπὶ τῶν μανθανόντων τι οὐκ αὐτοῖς χρειώδες.*

Τί πρὸς [4] *τὸν Ἑρμῆν· ἀντὶ τοῦ πρὸς τὸν λόγον.*

Τί κοινὸν [5] *κυνὶ καὶ βαλανείῳ· ἐπὶ τῶν ἔν τισι χρείαις ἀνωφελῶν.*

Τί μ᾽ ἔδει μακροῖς αὐλοῖς [6] *αὐλεῖν· ἐπὶ τῶν νονηκότων καὶ μὴ ἀπολαβόντων μισθόν.*

Τίς θύρας [6] *ἀμάρτοι· ἐπὶ τῶν μηδὲν χαλεπὸν καὶ δυσεύρετον ἐχόντων.*

Τιτανῶδες [7] *βλέπει· καταπληκτικὸν φοβερόν.*

ἀπὸ τῶν Σκυθῶν. — Τὴν ἐν Ἄργει ἀσπίδα· ἐπὶ τῶν σωφρόνως βεβιωκότων, ἐπεὶ ἐν Ἄργει τοὺς διαφυλάξαντας (in cod. *τὴν διαφυλάξασαν*, supra lin. *τοὺς — ας*) *τὴν ἐν παισὶν ὥραν κακῶς ἱερὰν ἀσπίδα ἀναλαμβάνοντες ἐπόμπευον. — Τὴν ὕδραν τέμνειν· ἐπὶ τῶν ἀμηχάνων, διὰ τὰ μυθευόμενα περὶ τῶν τῆς ὕδρας φυομένων ἐν τῇ τομῇ κεφαλῶν. — Τὴν ἐπὶ Λύσιδος πολιτείαν· ἐπὶ τῆς ἀναξίας, φασὶ γὰρ Φασηλίτας ψηφίσασθαι τὸν βουλόμενον βασιλίτην μνᾶν δόντα πολιτεύεσθαι· εἶτα πολλῶν ἐγγραφέντων ἀναξίων γενέσθαι τὴν παροιμίαν.*

22) Apost. Cent. XVIII. 52.

1) Apost. Cent. XVIII. 66.

2) Apost. Cent. XVIII. 63. Macar. *ἐπὶ τῶν πάνυ παλαιῶν καὶ πολυχρονίων.*

3) Apost. Cent. XVIII. 65. ex Aristoph. Nub. 644.

4) Apost. Cent. XVIII. 67. Macar. *αὕτη ὁμοία ἐστὶ τῇ· τί πρὸς τὸν Διόνυσον.*

5) Apost. Cent. XVIII. 81. Macar. *τί κυνὶ καὶ βαλανίῳ· ἐπὶ τῶν ἀσυνήθεις λαμβανόντων τόπους. —* Lucian. adv. indoct. c. 5.

6) Apost. Cent. XVIII. 74.

7) Apost. Cent. XVIII. 72. Lucian. Tim. c. 54. *τιτανῶδες βλέπων.* Icaromen. c. 23. *ὁ δὲ Ζεὺς μάλα φοβερῶς δριμύ τε καὶ*

Τίς τῇδε; οἱ σπένδοντες ἔλεγον· τίς τῇδε, ἀντὶ τοῦ, τίς πάρεστιν; οἱ δὲ παρόντες ἐπευφημούμενοι ἔλεγον, πολλοὶ κἀγαθοί· τοῦτο δὲ ἐποίουν οἱ σπένδοντες ἵνα συνειδότες ἑαυτοῖς τι ἄτοπον ἐγχωροῖεν τῶν σπονδῶν.

Τὶ μικρῶν [8] πέρι μεγάλα φροιμιάζῃ· ἐπὶ τῶν μακρολογούντων.

Τίς οὐ γενήσῃ [9] τυγχάνων εἰς Ἀρβέλας· Ἀρβέλαι πόλις Σικελική· εἰεξαπάτητοι δὲ οἱ ἐνοικοῦντες ἐκεῖσε ἐδόκουν εἶναι.

Τὸ τ μετὰ τοῦ ο.

Τὸ Μηλιακὸν [1] πλοῖον· ἐπὶ τῶν ἄγαν εἰσρεόντων καὶ εἰσιόντων· φησὶν Ἀριστοτέλης ἱππότην εἰς ἀποικίαν στελλόμενον τοῖς μὴ βουληθεῖσιν αὐτῷ συμπλεῖν καταράσασθαι [2], μήτε πλοῖα στεγανὰ αὐτοῖς γενέσθαι ποτὲ, καὶ ὑπὸ τῶν γυναικῶν κρατεῖσθαι ἀεί.

Τοῦτο [3] τὸ ὑπόδημα ἔῤῥαψε μὲν Ἰστιαῖος, ὑπεδήσατο δὲ Ἀριστα γόρας· ἐπὶ τῶν σκευωρούντων καὶ συῤῥαπτόντων μηχανὰς κλεπτιστάτας. Ἰστιαῖος Σάμιος μὲν ἦν τὸ γένος, φίλος δὲ γενόμενος Δαρείου τοῦ

τιτανῶδες εἰς ἐμὲ ἀπιδών, φησὶ etc. Philopatr. c. 22. εἶς δὲ δριμὺ καὶ τιτανῶδες ἐνιδών.

8) Apost. Cent. XVIII. 82.

9) Apost. Cent. XVIII. 86. Macar. addit: Τίκτει τοι κόρος ὕβριν, ὅταν κακῷ ἀνδρὶ παρείη· ἐπὶ τῶν ἐν ταῖς ἀτυχίαις ἀφορήτων. — Τί κόθορνος καὶ ῥόπαλον ξυνηλθέτην (Aristoph. Ran. 47.)· ἐπὶ τῶν ἀλλόκοτα διαπραττομένων. — Τίς πατέρα αἰνήσει, εἰ μὴ κακοδαίμονα τέκνα· ἐπὶ τῶν προγονικὰ ἀνδραγαθήματα προφερόντων. — Τί δεῖ παρεῖναι λήκυθον, ἣν ἔτνος παρῇ. — Τί τὸν τάραντα πρὸς με ποικίλλεις ἔχων; αὕτη ὁμοία τῇ, τί πρὸς ἐμὲ τὰ ποικίλα· τάρας δέ ἐστιν ὁ χαμαιλέων τὸ ζῶον. — Τί δ' ἂν κάπηλος παρὰ καπήλιδος λάβοι; ὅτι οὐδὲν ἢ οἶνον. — Τίς καλοῦ μηχανή; ἐπὶ τοῦ μὴ ὁμοίου. — Τίσιν ὁ Ἀπόλλων κεχιθέρικεν; — Τιτᾶνας βοᾷν· ἐπὶ τῶν κεκραγότων τινὰς εἰς βοήθειαν.

1) Apost. Cent. XVIII. 89.

2) Apogr. Dresd. καταράσασθαι.

3) Apost. Cent. XVIII. 95. Vide notam p. 2.

Περσῶν βασιλέως ἐλήφθη ὑπ᾽ αὐτοῦ ἐν Περσίδι, ἐκεῖ δὲ διαιτώμενος ἐπεθύμει ἰδεῖν τὴν οἰκείαν πατρίδα· μὴ ἀπολυόμενος δὲ γράφει τῷ ἰδίῳ ἀνεψιῷ τῷ Ἀριστα-γόρᾳ μελετῆσαι ἀπόστασιν, καὶ πείθει καί τινας τῶν Ἰώνων ἀποστῆναι. Πράττει δὲ οὕτως· λαβὼν πιστὸν οἰκέτην καὶ τούτου τὴν κεφαλὴν ξυρήσας ἐγχαράττει τῇ κεφαλῇ ὃ ἠβούλετο δηλῶσαι· εἶτα μέλανι ἐγκαύστῳ [4] τὴν χάραξιν μελαίνει, καὶ ἀφῆκεν ἀνενεγκεῖν τὰς τρίχας καὶ μετὰ τὸ κομάσαι αὐτὸν ἀποπέμπει, λέγων τῷ οἰκέτῃ, πάλιν ἐκεῖσε ἀποξυρηθῆναι, ἵνα ἀναγνῷ Ἀριστα-γόρας τὰ γράμματα· ἀναγνοὺς τοίνυν ὁ Ἀριαταγόρας καὶ μαθὼν ἐποίησε τὴν ἀπόστασιν σχεδὸν πάντων τῶν Ἰώνων, εἶτα μανθάνει ἐν Περσίδι ὁ βασιλεὺς καὶ σύμβουλος γίνεται τῷ Ἱστιαίῳ ὡς Ἕλληνι, τί δεῖ ποιῆσαι· καὶ συμβουλεύεται παρ᾽ αὐτοῦ Ἱστιαίου, αὐτὸν πέμψαι εἰς τὴν Ἀσίαν, ὡς ἱκανὸν ὄντα διαλῦσαι τὰ περὶ τῆς ἀποστάσεως· ἐλθὼν οὖν ὁ Ἱστιαῖος εἰς τὴν Ἀσίαν καὶ ὡς ὕποπτος γενόμενος ὅλου τοῦ πράγματος παρὰ τοῦ Ἀρταφέρνου τοῦ ὑπάρχου Σάρδεων ἤκουσε· ὑπόδημα δὲ λέγει τὴν ὅλην κατασκευὴν τοῦ πράγματος.

Τὸ σκαμβὸν [5] ξύλον οὐδέποτ᾽ ὀρθόν· αὕτη δημώδης ἐστὶ καὶ φανερά· τάττεται δὲ ἐπὶ τῶν διάστροφα ξύλα ἢ πράγματα πειρωμένων κατευθύνειν καὶ μηδὲν ὠφελούντων.

Τοιοῦτο [6] Θεμιστοκλῆς οὔποτ᾽ ἐπενόησε· διὰ τὸ τειχίσαι τὸν Πειραῖα, ἢ ὅτι σοφίας δόξαν Θεμιστοκλῆς ἀπηνέγκατο· λέγεται ἐπὶ τῶν ἄγαν ἐπαιρομένων ἐπὶ μικροῖς κατορθώμασι.

Τοσοῦτον [7] σχεδὸν ὅσον ἐκ Διονυσίων· ἐπὶ τῶν ἀποδοχῆς ἀξίας τυχόντων.

4) Apost. ἐγκαυχθῷ. Apogr. Dresd. ἐγκαυτῷ. Scripsi ἐγκαύστῳ.

5) Apost. Cent. XIX. 1.

6) Apost. Cent. XIX. 2.

7) Apost. Cent. XIX. 9.

Τὸν ξύοντα [8] *ἀντιξέειν· ἐπὶ τῶν βλαπτόντων ἢ ὠφελούντων τινάς· ἀπὸ μεταφορᾶς τῶν ὄνων· ἀλλήλους γὰρ ἀντικνήθουσιν, ὅθεν καὶ Ἀριστείδης* [9]*· τὸν ξύοντα δ' ἀντιξύειν καὶ τοῖς ὄνοις ἡ παροιμία δίδωσι.*

Τὸν [10] *κολοφῶνα ἐπέθηκας· ἐπὶ μεγάλων πραγμάτων καὶ βεβαίου ψήφου τάσσεται· δώδεκα πόλεις τῆς Ἰωνίας συνήεσαν περὶ τῶν κοινῶν βουλευσόμεναι· καὶ εἴποτε ἴσαι αἱ ψῆψοι ἐγένοντο, οἱ Κολοφώνιοι περιττὴν τὴν νικῶσαν ἐτίθεντο. Σμυρναίους γὰρ ἐλθόντας συνοίκους ἐκέκτηντο, ὑπὲρ ὧν καὶ τὴν ψῆφον ἔθεντο· ὅθεν ἐπὶ τῆς κρατίστης καὶ βεβαίας ψήφου ἡ παροιμία εἴρηται.*

Τὸ κυνὸς [11] *κακὸν οὖς ἀπέτισεν· ἐπὶ ἄλλων μὲν ἁμαρτησάντων, ἄλλων δὲ διδόντων τὴν δίκην.*

Τὸν περὶ ψυχῆς δρόμον τρέχει.

Τὸ [12] *ἐν τῇ καρδίᾳ τοῦ νήφοντος ἐν τῇ γλώσσῃ τοῦ μεθύοντος.*

Τὸν Ὕλαν κραυγάζεις [13]*· ἐπὶ τῶν μάτην πονούντων καὶ κραυγαζόντων· ἐπεὶ τὸν Ὕλαν ἀφανῆ γενόμενον Ἡρακλῆς ἀποβὰς τῆς νεὼς Ἀργοῦς ζητήσας οὐχ εὗρε.*

Τοῦ Διὸς [14] *τὸν σάνδαλον· ἐπὶ τῶν μεγάλα δή τινα προβαλλομένων καὶ καινά.*

8) Apost. Cent. XIX. 43. ultima verba *ὅθεν καὶ* sqq. non habet.

9) *ὑπὲρ τῶν τεττ.* p. 228.

10) Apost. Cent. XIX. 13. Macar. *τὸν κολοφῶνα ἐπέθηκε.* nihil amplius. Expositio sumta est ex Schol. ad Plat. Theaet. p. 153. C. Cfr. supra p. 321. Plat. de legg. II. fine: *ἐπὶ τοίνυν τῇ τῆς μέθης χρείᾳ τὸν κολοφῶνα πρῶτον ἐπιθῶμεν*, et paullo post: *κολοφὼν ἐπὶ τῷ περὶ οἴνου λόγῳ ῥηθέντι εἰρήσθω.*

11) Apost. Cent. XIX. 17. Macar. *ἐπὶ τῶν ἀνθ' ἑτέρων δίκας ἀποτινύντων.*

12) Apost. Cent. XIX. 25. Macar. *ἐπὶ τῆς γλώττης ἐστὶ τοῦ μεθ.*

13) Apost. Cent. XIX. 30. Mosc. *Ὕλλαν.* Disputavit de hac scripturae varietate Boisson. ad Philostr. Her. p. 481. adde Clem. Protrept. II. p. 28.

14) Apost. Cent. XIX. 32.

Τοῦ [15] *σελίνου δεῖται· ἐπὶ τῶν ἰσχυρῶς νοσούντων· καὶ γὰρ εἰώθασι στεφανοῦν σελίνοις τὰ μνήματα.*

Τὸ τ μετὰ τοῦ ρ.

Τραγικὸς [1] *πίθηκος· ἐπὶ τῶν παρ' ἀξίαν σεμνυνομένων.*

Τράγον ἀμέλγειν· ἐπὶ τῶν ἀνάρμοστόν τι ποιούντων καὶ ἀνόητον.

Τρέχει τὴν ἐσχάτην· ἐπὶ τῶν τὰ λοίσθια πνεόντων.

Τρὶς ἓξ [2] *ἢ τρεῖς κύβοι· οἱ μὲν τρὶς ἓξ νίκην, οἱ δὲ τρεῖς κύβοι κενοί.*

Τρυγόνος [3] *λαλίστερος· ἐπειδὴ καὶ αἱ τρυγόνες*

15) Apost. Cent. XIX. 41. Cfr. Macar. supra p. 399. Eidem propria sunt: *Τὸν φρουρὸν χρὴ φρουρεῖν, τὸν ἐρῶντα δ' ἐρᾶν.* — *Τὸ καλὸν φίλον.* — *Τὸν καπνὸν φεύγων εἰς τὸ πῦρ ἐνέπεσεν.* — *Τοῦ πατρὸς τὸ παιδίον· ἐπὶ τοῦ ὁμοίου.* — *Τὸν λύκον τῶν ὤτων ἔχειν· ἐπὶ τῶν ἐν κινδύνῳ καθεστώτων· οὔτε γὰρ κατέχειν οἷόν τε, οὔτε ἀφεῖναι ἀκίνδυνον.* — *Τὸν Μίδου* (Cod. *Μήδου*) *πλοῦτον ἔχειν. ἐν ὑπερβολῇ λέγεται.* — *Τὸν αὐτὸν αἰνεῖν καὶ ψέγειν ἀνδρὸς κακοῦ.* — *Τὸ Αἰσώπου αἷμα· ἐπὶ τῶν δυσαποτρίπτοις ὀνήσεσιν* (scr. *ὀνείδεσιν* coll. p. 30.) *ἢ κακοῖς ἐνεχομένων.* — *Τὸ πολλὰ πράττειν οὐκ ἐν ἀσφαλεῖ βίου· ἐπὶ τῶν πολλὰ πραγματευομένων καὶ ὕστερον εἰς κίνδυνον ἐμπιπτόντων.* — *Τὸ ἡδιόδειον γῆρας· ἐπὶ τῶν πάλαι παλαιῶν.* — *Τὸ Ἀλκισθένους ἱμάτιον· ἐπὶ τῶν πολυτελῶν.* — *Τὸν Ἐνδυμίωνος ὕπνον καθεύδειν· ἐπὶ τῶν ἄγαν ὑπνηλῶν.* (Cod. *ὑπνιλῶν*). — *Τὸν ἵππον ὁ Σκύθης· ἐπὶ τῶν κρύφα μέν τινος ἐφιεμένων, φανερῶς ἀπορουμένων καὶ διαπτυόντων αὐτό.* — *Τοῖς εὐτυχοῦσι καὶ τρίμηνα παιδία.* — *Τὸ αὐτῆς ὄνειδος ἢ κύων ἄλλοις φέρει.* — *Τοῖς σαυτοῦ περοῖς* (leg. *πτεροῖς*) *ἥλως.*

1) Apost. Cent. XIX. 62.

2) Apost. Cent. XIX. 53. Cfr. supra p. 280. Plato de legg. XII. fine, *τὸ λεγόμενον, ὦ φίλοι, ἐν κοινῷ καὶ μέσῳ ἔοικεν ἡμῖν κεῖσθαι, καὶ εἴπερ κινδυνεύειν περὶ τῆς πολιτείας ἐθέλομεν ἁπάσης, ἢ τρὶς ἓξ, φασιν, ἢ τρεῖς κύβους βάλλοντας, πάντα ποιητέον.*

3) Apost. Cent. XIX. 61. addit quaedam. Cfr. Eustath. ad Il. X. 377. *ἐστὶ δὲ τρύζειν τὸ πολυλογεῖν ἢ πολυφωνεῖν· ἐξ οὗ καὶ τρυγὼν, ἣν ἡ παροιμία ἐπὶ σκώμματι τῶν πολυλογούντων παραλαμβάνει, λαλίστερους πρό-*

οὐ μόνον τῷ στόματι, ἀλλὰ καὶ τοῖς ὀπισθίοις μέλεσιν ἠχοῦσιν.

Τροχὸς [4] *τὰ ἀνθρώπινα· ἤγουν εὐμετάβολα.*

Τὸ τ μετὰ τοῦ υ.

Τυφλότερος [5] *ἀσπάλακος· τοῦτο τὸ ζῶον οὐκ ἔχει ὀφθαλμούς· φησὶ δ' αὐτὸ Στησίμβροτος ὑπὸ τῆς γῆς τυφλωθῆναι, διὰ τὸ φθείρειν τοὺς καρπούς· ἔχει δὲ ὀδόντας μιαρωτάτους καὶ ῥύγχον ὥσπερ γαλῆς καὶ πόδας ὡς ἄρκτου.*

Τυφλὸς [6] *τὰ ὦτα τόν τε νοῦν τά τ' ὄμματ' εἶ.*

Τυφλὸν [7] *ὄνειρον· ἐπὶ τῶν ἀπατηλῶν.*

Τυφλογέρων [8]· *ἐπὶ τῶν τυφλομανῶν γερόντων.*

Τὸ τ μετὰ τοῦ ω.

Τῶν [9] *ἐαρινῶν φύλλων πλείονες εἰσιν οἱ συκοφάνται.*

Τῶν [10] *δ' ὄνων οὔ μοι μέλει.*

γόνων καλοῦσαι. Clem. Strom. I. 3. p. 328. 24. *ἀμφὶ τὴν διάκρισιν τῶν ὀνομάτων — — τὸν πάντα πονούμενοι βίον, τρυγόνων ἀναφαίνονται λαλίστεροι.* Alciphr. Ep. III. 29. *μακάριε τῆς γλώσσης καὶ λαλίστερε τρυγόνος.* ubi Wagn. Macar. *Τριγόνος* (sic) *λαλίστερος· ἐπὶ τῶν φλυάρων.*

4) Ap. Cent. XIX. 63. Macar. *τροχοῦ περιστίχοντος* (sic) *ἄλλοτε ἡ ἑτέρα ἀψὶς ἄνωθέν ἐστιν, ἄλλοτε ἡ ἑτέρα· ὅτι ἐπὶ τοῦ αὐτοῦ οὐδὲν μένει.* Sumsit ex Fragm. incert. apud Plut. Consol. ad Apollon. p. 103. T.

Τροχοῦ περιστείχοντος ἄλλοθ' ἑτέρα
Ἀψὶς ὑπερθε γίγνετ', ἄλλοθ' ἑτέρα.

Anacr. IV. 7. *Τροχὸς ἅρματος γὰρ οἷα Βίοτος τρέχει κυλισθείς.* Pseudo-Phocyl. 25. *Κοινὰ πάθη πάντων, ὁ βίος τροχὸς, ἄστατος ὅλβος.*

5) Apost. Cent. XIX. 63.

6) Apost. Cent. XIX. 70. cfr. Soph. Oed. T. 371. *τυφλὸς τὸν νοῦν.* Plut. Pomp. p. 60. *μύσας τῷ λογισμῷ.* Coray ad Heliod. IV. 18. p. 104. Aristoph. Plut. 581. *ἀλλ' ὦ Κρονικαῖς λήμαις ὄντως λημῶντες τὰς φρένας ἄμφω.*

7) Apost. Cent. XIX. 67.

8) Apost. Cent. XIX. 68. *Τυφογέρων.*

9) Apost. Cent. XIX. 72. Hexametrum fieri Pantinus notat, si legatur:

Πλείονες εἰαρινῶν φύλλων εἰσ' οἱ συκοφάνται.

10) Apost. Cent. XIX. 77.

Τῶν [11] καλῶν καὶ τὸ μετόπωρον καλόν ἐστιν. Εὐριπίδης τὸν καλὸν Ἀγάθωνα περιλαμβάνων ἐν τῷ συμποσίῳ καὶ καταφιλῶν ἤδη γενειῶντα πρὸς τοὺς φίλους εἶπε· μὴ θαυμάσητε, τὸ παροιμιῶδες τοῦτο εἰπών.

Τῷ θρίῳ [12] τὴν ἔγχελυν· θρίον τὸ φύλλον τῆς συκῆς. Τραχὺ γάρ ἐστιν, αἱ δὲ ἐγχέλυς ὀλισθηραί· πρὸς τὸ λαμβάνειν οὖν αὐτὰς κατάλληλον.

Τῶν ἀχαρίστων αἱ δωρεαὶ ἀνατρέπονται.

Τῷ γὰρ [13] πονοῦντι καὶ θεὸς συλλαμβάνει.

Τῶν γὰρ καλῶν παράλειψις οὐχ ἧττον ἢ τῶν βλαβερῶν ἡ πρᾶξις ἀνιαρόν ἐστι καὶ ταραχῶδες.

Τῷ πονοῦντι δ' ἐκ θεῶν
Ὀφείλεται τέκνωμα τοῦ πόνου κλέος.

ΑΠΟΦΘΕΓΜΑΤΑ.

Τιμολέων [1].

Τιμολέων ὁ Κορίνθιος τὸν στρατὸν πρὸς τοὺς πολεμίους ἐπάγων κατὰ τύχην ὑποζυγίων σέλινα κομιζόντων εἰς τὰς στιβάδας ἔφη δέχεσθαι τὸν οἰωνισμὸν τῆς νίκης, τὸν γὰρ Ἰσθμικὸν στέφανον ἐκ σελίνου συνίστασθαι· οἱ δὲ στρατιῶται παραγγείλαντος τοῦ Τιμολέοντος ἐκ τῶν σελίνων πλέξαντες στεφάνους καὶ ταῖς κεφαλαῖς περι-

11) Apost. Cent. XIX. 74.
12) Apost. Cent. XIX. 76.
13) Stob. T. 29. 54. *Εὐριπίδου Ἱππολύτου.* Macar. habet: *Τυφλὸς ὁ πλοῦτος· ἐπὶ τῶν ἀναξίως εὐπραγούντων.* — *Τυρρηνικὸν σανδάλιον· ἐπὶ τοῦ πολυτελοῦς.* — *Τυρρηνικὸς ἀνδριάς· ἐπὶ τοῦ ἀκριβοῦς.* — *Τυδεὺς ἐκ συφορβίου· ἐπὶ ἀπαιδεύτου ἄξιωμα ἔχοντος.*

1) Laur. non habet. Plut. Timol. c. 26.

θέντες προῆγον μετὰ χαρᾶς ὡς τῶν θεῶν σημαινόντων αὐτοῖς τὴν νίκην, ὅπερ καὶ συνέβη γενέσθαι.

Τύννιχος.

Τύννιχος Θρασυβούλου τοῦ παιδὸς ἀποθανόντος εὐρώστως ἤνεγκε καὶ ἐπίγραμμα εἰς τοῦτον ἐγένετο·

Τᾷ Πιτάνᾳ Θρασύβουλος ἐπ᾽ ἀσπίδος ἤλυθεν ἄπνους
Ἑπτὰ πρὸς Ἀργείων τραύμασι δεξάμενος.
Δεικνὺς ἀντία πάντα, τὸν αἱματοέντα δ᾽ ὁ πρέσβυς
Θεὶς ἐπὶ πυρκαϊὴν Τύννιχος εἶπε τάδε.
Λειλοὶ κλαιέσθωσαν· ἐγὼ δέ σε τέκνον ἄδακρυς
Θάψω, τὸν καὶ ἐμὸν καὶ Λακεδαιμόνιον.

* Τηλέκρου.

Τήλεκρος ὁ βασιλεὺς πρὸς τὸν ἀδελφὸν ἐγκαλοῦντα τοῖς πολίταις, ὡς ἀγνωμονέστερον αὐτῷ προσφερομένοις ἢ ἐκείνῳ, σὺ γάρ, εἶπεν, οὐκ οἶδας ἀδικεῖσθαι.

Ὁ αὐτὸς πρὸς τὸν εἰπόντα, ὅτι ὁ πατὴρ λέγει κακῶς αὐτὸν, εἰ μὴ αὐτῷ, ἔφη, λεκτὸν ἦν, οὐκ ἂν ἔλεγεν.

Ὁ αὐτὸς ἐρωτηθεὶς, διατί ἔθος παρ᾽ αὐτοῖς ἐστι τοὺς νέους τοῖς πρεσβυτέροις ἐξανίστασθαι, ὅπως, ἔφη, περὶ τοὺς μὴ προσήκοντας οὕτως ἔχοντες τιμῆς μᾶλλον τιμῶσι τοὺς γονέας.

Ὁ αὐτὸς πυθομένου τινὸς, πόσην κέκτηται οὐσίαν, ἔφη, οὐ πλείω τῆς ἱκανῆς.

* Τιμοθέου.

Τιμόθεος εὐτυχὴς ἐνομίζετο στρατηγὸς εἶναι, καὶ φθονοῦντες αὐτῷ τινες ἐξωγράφουν τὰς πόλεις, ἐς κύρτον αὐτομάτως ἐκείνου καθεύδοντος ἐνδυομένας. Ἔλεγεν οὖν ὁ Τιμόθεος, ὁ τηλικαύτας πόλεις λαμβάνων καθεύδων, τί με οἴεσθε ποιήσειν ἐγρηγορότα.

Ὁ αὐτός τινος τῶν τολμηρῶν στρατηγῶν τραῦμα τοῖς Ἀθηναίοις δεικνύοντος εἶπεν, ἐγὼ ἠσχύνθην, ὅτι μου στρατηγοῦντος ὑμῶν ἐν Σάμῳ, καταπελτικὸν βέλος εὐθὺς ἔπεσεν.

Ὁ αὐτὸς τὸν Χάρητα προσαγόντων καὶ τοιοῦτον ἀξιούντων εἶναι τὸν Ἀθηναίων στρατηγὸν, οὐ τὸν στρατηγὸν, εἶπεν, ἀλλὰ τὸν τῷ στρατηγῷ τὰ στρώματα κομίζοντα.

* Τροφώνιος καὶ Ἀγαμήδης.

Τροφώνιος καὶ Ἀγαμήδης, ποιήσαντες ἐν Δελφοῖς ναὸν, ᾔτουν παρὰ Ἀπόλλωνος τὸν μισθόν· ὁ δὲ αὐτοῖς ἔφη δώσειν τῇ ἑβδόμῃ ἡμέρᾳ, καὶ ταύτῃ ἀπέθανον. Ἔτι δὲ καὶ Κλέοβις καὶ Βίτων Κυδίππης τῆς μητρὸς αὐτῶν εὐξαμένης τῇ Ἥρᾳ, δοῦναι τοῖς παισὶν, ὅπερ ἂν εἴη κάλλιστον, ὅτι ἑαυτοὺς ὑποζεύξαντες τὴν μητέρα εἰς τὸ ἱερὸν ἀνήγαγον, τὸν βίον παραχρῆμα κατέστρεψαν, εἰς οὓς καὶ τοιόνδε τις ἐπίγραμμα πεποίηκεν.

Οἵδε Βίτων Κλέοβίς τ' ἐνὶ σώμασιν οἰκείοισι,
Ζεύγλην ζευξάμενοι μητέρα ἣν ἀγέτην
Ἥρας εἰς ἱερόν· λαοὶ δέ μιν ἐζήλωσαν,
Οἵνεκ ἐτίμησαν μητέρα τὴν σφετέρην.
Αὐτοῦ δ' εὐνηθέντε λίπον βίον ἐν νεότητι,
Ὡς τόδ' ἄριστον ἐὸν καὶ μακαριστότατον.

Ἀρχὴ τοῦ ῡ στοιχείου.

Τὸ υ μετὰ τοῦ β [1].

Ὕβρις [2] *ὕβριν ἔτικτε καὶ ψόγος ψόγον.*
Ὕβριν [3] *δὲ τίκτει πλοῦτος ἢ φειδὼ βίου.*

1) Macar. incipit: *Ὑακίνθου κῶμος· ἐπὶ τῶν μετὰ δόξης τι πασχόντων.*

2) Apost. Cent. XIX. 79.

3) Stob. T. 93. 3. Apost. Cent. XIX. 82. addit: *Εὐριπίδου.*

Ὕβρις [4] *καὶ οἶνος ἀποκαλύπτειν εἰώθασι φίλοις τὰ ἤθη τῶν φίλων.*

Τὸ ῡ μετὰ τοῦ γ.

Ὑγρὰ νύξ [5]*· ἐπὶ τῶν συμβαινόντων χαλεπῶν.*

Ὑγιαίνειν [6] *μὲν ἄριστον ἀνδρί.*
Δεύτερον δὲ φυὰν καλὸν γενέσθαι,
Τρίτον δὲ πλουτεῖν ἀδόλως.
Σιμωνίδου αὗται αἱ παροιμιώδεις γνῶμαι.

Ὑγιέστερος κολοκύντης· παρόσον ἡ κολόκυνθα ἐν πολλοῖς χρησιμεύει.

Ὑγεία μὲν ἡγεῖται, κάλλος δὲ δεύτερον, τὸ δὲ τρίτον ἰσχύς, τέταρτον δὲ πλοῦτος οὐ τυφλὸς ἀλλ' ὀξὺ βλέπων.

Ὑγίεια καὶ νοῦς ἐσθλὰ τῷ βίῳ δύο.

Τὸ ῡ μετὰ τοῦ δ.

Ὕδρας [7] *κεφαλὰς τέμνεις· ἐπὶ τῶν ἀμηχάνων.*

Ὑδροφορίαν [8] *ἄγεις· ἑορτὴ ἦν πένθιμος Ἀθήνησιν· ἐπὶ τοῖς ἐν τῷ κατακλυσμῷ ἀπολομένοις, ὡς Ἀπολλώνιος.*

Ὕδωρ αὐτοπαγές [9]*· τὸ συνεστηκὸς ἢ τὸ αὐτομάτας πηγὰς ἔχον.*

Ὕδωρ [10] *δὲ πίνων χρηστὸν οὐδὲν ἂν τέκοις· τοῦτο ἐξ ἐπιγράμματος εἶναι μέρος οἱ μὲν Ἀσκληπιάδου, οἱ δὲ Θεαιτήτου φασίν.*

4) Apost. Cent. XIX. 83. addit: *Μενάνδρου.*
5) Apost. Cent. XIX. 80.
6) Stob. T. 103. 9. inscriptum habet *Σκληρίου.*
7) Apost. Cent. XIX. 85. fabulam exponit. Macar. *ὕδραν τέμνεις· ἐπὶ τῶν ἀμηχάνων.*
8) Apost. Cent. XIX. 76.
9) V. Suid. s. v. *αὐτοπαγ.*
10) Apost. Cent. XIX. 77. Cfr. Anthol. Graec. I. p. 206.
Οἶνος τοι χαρίεντι πέλει ταχὺς ἵππος ἀοιδῷ
Ὕδωρ δὲ πίνων οὐδὲν ἂν τέκοι σοφόν.
De significatione vocis *ὑδροπότης* cfr. Jacobs ad versio-

Ὕδωρ παραῤῥέει [11]· *ἐπὶ τῶν ἐπαγγελλομένων παντὶ σθένει σπουδάσειν, ὡς κἂν εἰς ῥέοντα πλοῖα ἐμβῆναι οὐκ ὀκνησάντων.*

Τὸ ῡ μετὰ τοῦ ῑ.

Υἱὸν [12] *τρέφει τις, κἂν πένης τις ὢν τύχῃ,*
Θυγατέρα δ' ἐκτίθησι κἂν ᾖ πλούσιος.

Τὸ ῡ μετὰ τοῦ λ.

Ὕλη ἐστὶ τὸ ὑποκείμενον γενέσει καὶ φθορᾷ καὶ ταῖς ἄλλαις μεταβολαῖς.

Τὸ ῡ μετὰ τοῦ μ.

Ὑμεῖς [13] *οὔτε τρίτοι οὔτε τέταρτοι· ἐπὶ τῶν οὐδενὸς λόγου ἀξίων.*

Ὑμεῖς δαίμονα [14] *αἱρήσεσθε οὐχ ὑμᾶς δαίμων λήψεται· ὅτι ἐκ προαιρέσεως καὶ οὐκ ἐξ εἱμαρμένης τὰ ἀνθρώπινα κατά τε Ὀλυμπιόδωρον καὶ Ἀμμώνιον.*

nem german. Dem. Philipp. II. p. 368. Horat. Ep. I. 19.

Nulla placere diu nec vivere carmina possunt,
Quae scribuntur aquae potoribus.

11) Apost. Cent. XIX. 78.

12) Apost. Cent. XIX. 79. et 80. Stob. T. 77. 7. *Ποσειδίππου Ἑρμαφροδίτου.*

13) Ap. Cent. XIX. 81. Vide Clem. Str. VII. 18. p. 901. 25. *Ὑμεῖς δ', ὦ Μεγαρεῖς (φησὶν ὁ Θέογνις) οὔτε τρίτοι οὔτε τέταρτοι, Οὔτε δυωδέκατοι, οὔτ' ἐν λόγῳ, οὔτ' ἐν ἀριθμῷ,* ubi Potter. Cfr. Theocr. Id. XIV. 48.

Ἄμμες δ' οὔτε λόγω τινὸς ἄξιοι, οὔτ' ἀριθματοὶ
Λύστανοι Μεγαρῆες, ἀτιμοτάτη ἐνὶ μοίρᾳ.

Callim. Epigr. XXVI. 6. *τῆς δὲ ταλαίνης νύμφης ὡς Μεγαρέων, οὐ λόγος οὔτ' ἀριθμός.*

14) Apost. Cent. XIX. 82. Olympiodori locus reperitur in Commentario ad Alcibiad. *πρᾶξις ε'.* p. 45. ed. Creutz. et ad Phaedonem, *ἐπιχειρημάτων διαφόρων ρ'*, ut indicavit mihi Finckhius meus.

Τὸ ν μετὰ τοῦ π.

Ὑπὲρ [1] τὸν κατάλογον· ἐπὶ τῶν γεγηρακότων.

Ὑπὲρ [2] τὰ Καλλικράτους· ἐπὶ πλουσίων, πλούσιος γὰρ οὗτος ἐν Κορίνθῳ.

Ὑπερβερεταῖος [3]· ἐπὶ τῶν ὑπερχρονίων· ὁ γὰρ τελευταῖος μὴν ἔστιν οὗτος.

Ὑπὲρ [4] τὰ ἐσκαμμένα πηδᾷς· ὅμοιον τῷ· ὑπερβάθμιον πόδα τείνεις.

Ὑπὲρ [5] τῶν ὅλων ἀναῤῥίπτεις τοὺς κύβους· οἱονεὶ ὑπὲρ τῶν ὅλων ἀγωνίζῃ καὶ κινδυνεύεις.

Ὑπὲρ [6] τὸν Ὑπέρβολον· φιλόδικος οὗτος ἦν.

Ὑπὲρ [7] ὄνου σκιᾶς· ἐπὶ τῶν ὑπὲρ μηδενὸς χρησίμου φιλοτιμουμένων.

Ὑπ᾽ αἰδοῦς [8] δ᾽ οὐ λίαν ἀσπάζομαι· ἐπὶ τῶν ἄγαν σωφρόνων.

1) Apost. Cent. XIX. 83. στρατιώτης ἐκ καταλόγου. Julian. Or, I. p. 29. 13. εἰς καταλόγους τῶν στρατευμάτων ἐγγράφονται p. 34. C. Cfr. Krüger ad Dionys. Hal. Judic. de Thuc. XVIII. 6. et quos ille laudat.

2) Apost. Cent. XIX. 86.

3) Apost. Cent. XIX. 89.

4) Apost. Cent. XIX. 92. addit: εἴρηται ὑπὸ πεντάθλου τοῦ Κροτωνιάτου· ὃς πεντήκοντα πόδῶν ὄντων πρότερον τῶν ἐσκαμμένων, πρῶτος αὐτὸς ὑπερέβαλε τοῖς πηδήμασιν, ὡς τὸ ἐπίγραμμα λέγει·

Πέντ᾽ ἐπὶ πεντήκοντα πόδας πήδησε Φάϋλλος,
Δισκεύειν δ᾽ ἑκατὸν πέντ᾽ ἀπολειπόμενον.

Macar. ὑπὲρ τὰ ἐσκαμμένα, ὑπὲρ τὰ Καλλικράτους· ἐπὶ τῶν καθ᾽ ὑπερβολήν τι ποιούντων, ἢ ἐπὶ τῶν τοὺς πρωτεύοντας ἔν τισιν ὑπεραιρόντων. Clem. Strom. V. 13. p. 696. σκιρτᾷ τε καὶ πηδᾷ ὑπὲρ τὰ ἐσκαμμένα, ἧ φασιν αἱ γυμνασταί. Cfr. Boisson. ad Marin. p. 1.

5) Apost. Cent. XIX. 94. Cfr. supra p. 56. sub prov. ἀνεῤῥίφθω κύβος.

6) Apost. Cent. XX. 3. Aristoph. Equ. 1304. ἄνδρα μοχθηρὸν, πολίτην ὀξίνην Ὑπέρβολον, ubi Bergl. Id. ad Ran. 570.

7) Apost. Cent. XX. 4.

8) Apost. Cent. XIX. 98. addit: τοῦτ᾽ ἔφησεν Εὐριπίδης ἐν τραγωδίᾳ Ἐρεχθειδῶν ὧδέ πη λέγων·

Ἀλλ᾽ ὦ τέκνον μοι δὸς χεῖρ᾽ ὡς θίγῃ πατὴρ
Ὑπ᾽ αἰδοῦς δ᾽ οὐ λίαν ἀσπάζομαι·
Γυναικόφρων γὰρ θυμὸς ἀνδρὸς οὐ σοφοῦ.

Ὑπέρου περιστροφή [9]· *ἐπὶ τῶν τὰ αὐτὰ ποιούντων πολλάκις καὶ οὐδὲν ἀνυόντων.*

Ὑπὲρ τὸν Ἐπιμενίδην [10] *κεκοίμησαι.*

Ὑπηνέμια [11] *τίκτει· τὰ ψευδῆ καὶ ἀβέβαια.*

Ὑπόχαλκον [12] *τὸ χρυσίον· ἐπὶ τῶν κεκιβδηλευμένων.*

Ὑπὲρ κάρα [13] *πτύει· ἐπὶ τῶν ἐπαιρομένων καὶ ὑπερηφάνων.*

Ὑποβολιμαῖος εἶ· ἐπὶ τῶν εὐτελῶν, ἀπὸ τῶν ὑποβαλλομένων παιδίων καὶ χαμαιῤῥιφῶν, ἅπερ ἑαυτῳ ἀποβάλλουσιν ἢ ὑποβάλλουσιν αἱ γυναῖκες.

Ὑπὸ [14] *παντὶ λίθῳ σκορπίος· λείπει τὸ εὕδει· λέγεται ἐπὶ τῶν κακοήθων καὶ ἐριστικῶν.*

Τὸ $\overline{\upsilon}$ *μετὰ τοῦ* $\overline{\sigma}$.

Ὑς [1] *ὑπὸ ῥόπαλον· ἡ παροιμία παρὰ Δεινολόχῳ· ἐπὶ τῶν ἑαυτοὺς εἰς ὄλεθρον ἐμβαλλόντων.*

Ὑς [2] *ἐκώμασεν· ἐπὶ τῶν ἀσέμνως τι ποιούντων, καὶ παρ᾽ ἀξίαν ἐπαιρομένων ἐπί τισιν εὐπραγίαις.*

Ὑς [3] *ποτ᾽ Ἀθηναίαν ἔριν ἤρισεν· ἐπὶ τῶν τοῖς κρείττοσι φιλονεικούντων.*

9) Apost. Cent. XIX. 95. Plat. Theaet. p. 209. E. *καὶ οὕτως ἡ μὲν σκυτάλης ἢ ὑπέρου ἦ, ὅτου δὴ λέγεται περιτροπὴ πρὸς ταύτην τὴν ἐπίταξιν οὐδὲν ἂν λέγοι*, ubi Heind.

10) Lucian. Timon c. 6. *τὸν βαθὺν τοῦτον ὕπνον ἀποσεισάμενος* (*ὑπὲρ. τ. Ἐ. γὰρ κεκ.*). Cfr. c. 4.

11) Apost. Cent. XX. 2. Aristoph. Av. 695.

Τίκτει πρώτιστον ὑπηνέμιον
Νὺξ ἡ μελανόπτερος ὠόν, ubi interpp. De *ὀχείαις ὑπηνεμίοις* vide Wyttenb. ad Plut. de audit. p. 58. E. ad Eunap. p. 140. Bergl. ad Alciphr. II. 2. Coray ad Heliod. III. p. 124.

12) Apost. Cent. XX. 1.

13) Apost. Cent. XIX. 100. Macar. *ὑπὲρ κάρα πτύειν· ἐπὶ τῶν ὑπερηφανευομένων.*

14) Macar. *ἐπὶ πολυπλῆθίᾳ τῶν πανταχοῦ ὄντων πονηρῶν ἀνθρώπων.*

1) Apost. Cent. XX. 5. addit plura.

2) Apost. Cent. XX. 7.

3) Apost. Cent. XX. 8. ex Theocrito Id. V. 22. Cfr. Cic. ad Fam. IX. 18. sus Minervam.

„Der Adjutor" soll nicht dauernd bleiben; wer dauernde Hilfe braucht, ist ein Krüppel. Wir wollen keine Krüppel, sondern freie, selbständige Menschen. Darum: Fort mit dem Adjutor!

§3. Carol und §2.

Carol und §2 sind Gegensätze. Carol ist übertrieben; §2 übertreibt nicht. Carol ist ein Schwindler; §2 ist ein ehrlicher Mann. Carol ist ein Lump; §2 ist ein anständiger Mensch.

§1. Carol und §2.

Carol ist ein schlechter, ungerechter Regierer. §1 regiert gerecht, human, liberal.

Carol ist ein Verräter; §1 ist ein treuer Patriot.

ABONNEMENTS-

EINLADUNG.

Unsere Zeitschrift ist ein Kampfblatt für Recht und Freiheit. Sie kämpft gegen Unterdrückung und Ungerechtigkeit, gegen Lüge und Heuchelei, gegen Verrat und Schwindel.

Darum, Leser, abonnieren Sie unsere Zeitschrift! Sie kostet nur 1 Leu im Monat. Sie kostet nur 12 Leu im Jahr. Sie kostet nur 6 Leu für ein halbes Jahr.

Wer unsere Zeitschrift abonniert, ist ein Freund der Wahrheit und der Gerechtigkeit. Wer unsere Zeitschrift abonniert, ist ein Feind der Lüge und der Heuchelei.

Darum, Leser, abonnieren Sie unsere Zeitschrift!

Ἀρχὴ τοῦ φ στοιχείου.

Τὸ φ μετὰ τοῦ α.

Φαλλικὸν [1] ποίημα ἤτοι αὐτοσχέδιον, ἐπὶ τῷ φαλλῷ ᾀδόμενον· ἦν δὲ ὁ φαλλὸς δέρμα ἐσχηματισμένον εἰς αἰδοῖον, ὃ περιετίθεσαν οἱ Ἕλληνες ἑαυτοῖς εἰς τιμὴν τοῦ Διονύσου καὶ ἥδον· ὁ γὰρ Διόνυσος σύκινον αἰδοῖον πελεκήσας περιῆψεν εἰς τὸν ἑαυτοῦ τράχηλον, ἀφοσιούμενος τὸν ἔρωτα τοῦ ἐρωμένου, ὃς ἀπέθανε πρὸ τῆς μίξεως.

Φαλάριδος [2] ἀρχὴ καὶ Ἐχέτου· ἐπὶ τῶν ἀπηνῶς ἀρχόντων.

Φάων ὑπάρχεις [3] τῷ κάλλει καὶ τὸν τρόπον· ἐπὶ τῶν ἐρασμίων καὶ ὑπερηφάνων· τοῦ γὰρ Φάωνος ἐρασθῆναί φασι τὴν Σαπφώ, οὐ τὴν ποιήτριαν, ἀλλὰ τὴν Λεσβίαν καὶ ἀποτυγχάνουσαν ῥίψαι ἑαυτὴν ἀπὸ τῆς Λευκάδος πέτρας· τῷ δὲ Φάωνι βίος ἦν περὶ πλοῖον εἶναι καὶ θάλατταν· πορθμὸς ἦν θάλασσα· ἔγκλημα δὲ οὐδὲν παρ᾽ οὐδενὸς ἐνομίζετο· ἐπεὶ καὶ μέτριος ἦν, καὶ παρὰ τῶν ἐχόντων μόνον ἐδέχετο· θαῖμα ἦν τοῦ τρόπου παρὰ τοῖς Λεσβίοις, ἐπαινεῖ τὸν ἄνθρωπον ἡ θεὸς, Ἀφροδίτην λέγουσι τὴν θεόν· καὶ ὑποδῦσαι θεὰν ἀνθρώπου γυναικὸς ἤδη γεγηρακυίας μορφήν [4]· τῷ Φάωνι διαλέγεται περὶ πλοῦ· ταχὺς ἦν ἐκεῖνος καὶ θεραπεῦσαι καὶ διακομίσαι, καὶ μηδὲν ἀπαιτῆσαι [5]· τί οὖν ἐπὶ τούτοις ἡ θεός; ἀμεῖψαί φασι τὸν ἄνθρωπον καὶ ἀμείβεται νεό-

1) Apost. Cent. XX. 12. Apogr. Dresd. *φαλλίκιον*. Post *ᾀδόμενον*. Aposts addit: *λέγεται ἐπὶ τῶν ἐρώντων*.

2) Apost. Cent. XX. 13. historiam multis exponit.

5) Apost. Cent. XX. 15.

4) Apogr. Dresd. *ὑποδῦσα θέαν* omiss. *μορφὴν*.

5) Apogr. Dresd. *διανομῆσαι* et *ἀπατῆσαι*.

τητι καὶ κάλλει τὸν γέροντα [6]· οὗτος ὁ Φάων ἐστὶν, ἐφ' ᾧ τὸν ἔρωτα αὐτῆς ἡ Σαπφὼ πολλάκις αἷμα ἐποίησεν.

Φασηλιωτῶν [7] θῦμα· ἐπὶ τῶν εὐτελῶν τίθεται. Φασηλιώτας γὰρ τάριχον τῷ Κολάβρῳ θύειν φησὶν ὁ Καλλίμαχος.

Τὸ φ μετὰ τοῦ ε.

Φέρει [8] καὶ ὄρνις γάλα· ἐπὶ τῶν ἄγαν εὐδαιμόνων.

Φάρμακα [9] πολλὰ μὲν ἐσθλὰ μεμιγμένα, πολλὰ δὲ λυγρά.

Φάτταν ἀντὶ περιστερᾶς, ἑταίραν ἀντὶ νύμφης.

Φεῦ [10] φεῦ, παλαιὸς αἶνος ὡς καλῶς ἔχει,
Οὐκ ἂν γένοιτο χρηστὸς ἐκ κακοῦ πατρός.

Φεῦ [11] ὅσῳ τὸ θῆλυ δυστυχέστερον γένος
Πέφυκεν ἀνδρῶν, ἔν τε τοῖσι γὰρ καλοῖς
Πολλῷ λέλειπται κἀπὶ τοῖς αἰσχροῖς πλέον.

Τὸ φ μετὰ τοῦ ι.

Φιλοτιμοῦνται [1] ὡς Μεμφῖται τοῖς τῆς Ἴσιδος πλοκάμοις· καὶ Θηβαῖοι τοῖς τοῦ Γηρυόνου ὀστοῖς καὶ Τεγεάται τῷ τοῦ Καλυδωνίου δέρματι.

Φιλίππου [2] ἀλεκτρυών· ὄνομα στρατηγοῦ· ἐπὶ τῶν ἐν μικροῖς κατορθώμασιν ἀλαζονευομένων.

Φιλέψιος [3] ὅδε τὸν τρόπον· ἐπὶ τῶν φιλοπαι-

6) Lucian. Dial. Mort. IX. 2. *μῶν καὶ σύ τινα ὥσπερ ὁ Φάων τὴν Ἀφροδίτην ἐκ Χίου διεπόρθμευσας, εἶτά σοι εὐξαμένῳ ἔδωκε νέον εἶναι, καὶ καλὸν ἐξ ὑπαρχῆς, καὶ ἀξιέραστον;*

7) Apost. Cent. XX. 14. — Macar. habet: *Φακῆ δὲ κἂν θέρει κἂν χειμῶνι φακῆ· ἐπὶ τῶν αὐτῶν ὄντων.*

8) Apost. Cent. XX. 16.

9) Od. IV. 230.

10) Stob. T. 90. 5. *Εὐριπίδου Δίκτυϊ.*

11) Stob. T. 75. 24. *Εὐριπίδου Ἰνοῦς.* Macar. *Φενακίζεις φέναξ· ἐπὶ τῶν τοὺς ὁμοίους ἐξαπατώντων.*

1) Apost. Cent. XX. 20.

2) Apost. Cent. XX. 23. Macar. *ὄνομα στρατηγοῦ* om. in reliquis consentit.

3) Apost. Cent. XX. 24.

γμόνων· οὗτος γὰρ μεταξὺ τῶν δημηγοριῶν μύθους ἔλεγε· κεκωμῴδηται δὲ εἰς πανουργίαν.

Φιλονεικότερος τῶν ἀλεκτρυόνων.

Φιλεῖ δ' ἑαυτοῦ πλεῖον οὐδεὶς οὐδένα.

Τὸ φ μετὰ τοῦ ο.

Φοινίκων [4] συνθῆκαι· οἱ τὴν Καρχηδόνα κτίσαντες Φοίνικες ὅτε προσέπλευσαν τῇ Λιβύῃ ἐδεήθησαν τῶν ἐγχωρίων δέξασθαι αὐτοὺς νύκτας καὶ ἡμέρας· ἐπιτυχόντες δὲ τούτου οὐκ ἐβούλοντο ἀπαλλάσσεσθαι ὡς συντιθέμενοι νύκτας καὶ ἡμέρας μένειν· διὸ λέγεσθαι τοῦτο ἐπὶ τῶν ἐνεδρευτικῶς συντιθεμένων. Τὰ δ' ὅμοια καὶ Δήμων ἐπὶ Μεταποντίνων ἱστορεῖ.

Φοίνικος [5] παλαιότερος· μακρόβιον γὰρ τὸ ζῶον.

Φοινικήϊα [6] γράμματα, ἤγουν ἀρχαιότατα.

4) Apost. Cent. XX. 27. Macar. ἐπὶ τῶν ἐπιβουλευόντων τισὶ διά τινος συνθήματος· νύκτα γὰρ καὶ ἡμέραν αἰτήσαντες καὶ λαβόντες παρὰ Καρχηδονίων ἤθελον μένειν, ἔστ' ἂν ἄλλοτι παρὰ νύκτα καὶ ἡμέραν γένηται.

5) Lucian. Hermotim. c. 53. εἰ μὴ Φοίνικος ἔτη βιώη.

6) Apost. Cent. XX. 29. plura addit. Cfr. Clem. Strom. I. 16. p. 362. 1. Subjungo apospasma codicis Vaticani 711. Fol. 97. B. χρὴ εἰδέναι, ὅτι πρότερον οἱ Ἕλληνες Φοινικοῖς· ἐχρῶντο γράμμασιν. ὕστερον δὲ ἐλθὼν ὁ Παλαμήδης, ἀνὴρ εὖ εἰδὼς καὶ πάσης ἐπιστήμης ἔμπλεως, ἀρξάμενος ἀπὸ τοῦ α' δέκα ἕξ μόνα στοιχεῖα εὗρε τοῖς Ἕλλησιν· α. β. γ. δ. ε. ι. κ. λ. μ. ν. ο. π. ρ. σ. τ. καὶ υ. Προσέθηκε δὲ αὐτοῖς καὶ Κάδμος Μιλήσιος γράμματα τρία, θ. φ. χ. Διὸ καὶ πολλῷ τῷ χρόνῳ τοῖς δέκα ἐννέα ἐχρῶντο, ὅθεν οἱ ἀρχαῖοι μὴ ἔχοντες τὸ ψ· τὴν ψαλίδα πασαλίδα ἔλεγον· ἀλλὰ καὶ πολλὰ ὀνόματα ἄλλως ἐξεφώνουν καὶ ἔγραφον· μετὰ ταῦτα Σιμωνίδης ὁ Χῖος ἐλθὼν προσέθηκε δύο η καὶ ω μέγα. Ἐπίχαρμος δὲ ὁ Συρακούσιος εὗρε τὰ τρία ζ. ξ. φ. καὶ οὕτως ἐπληρώθη τὰ εἴκοσι τέσσαρα στοιχεῖα· ὅθεν μιμησάμενος ὁ Ὅμηρος τὸν ἀριθμὸν τῶν εἴκοσι δύο βιβλίων τῶν παρ' Ἑβραίοις, εἰς τὸν τῶν εἴκοσι δύο στοιχείων τυπωθέντα ἀριθμὸν, καὶ αὐτὸς τὴν ἰδίαν ποίησιν τῆς Ἰλιάδος τῶν εἴκοσι τεσσάρων ῥαψῳδιῶν διὰ τῶν εἴκοσι τεσσάρων στοιχείων ἐποίησεν· οὕτω δὲ καὶ τὴν Ὀδύσσειαν. Πότε τὰ εἴκοσι τέσσαρα στοιχεῖα λέγονται γράμματα, καὶ πότε στοιχεῖα· ὅτε μὲν γρά-

Φορμίωνος [7] *στιβάς· ἐπὶ τῶν εὐτελῶν.*

Φοινίκων [8] *αὖθις ἐπιθυμεῖ· ὅτι τὰ παθήματα τοῖς ἀνθρώποις μαθήματα γίνεται.*

Φοίβου [9] *ποτ᾽ οὐκ ἐῶντος ἔσπειρε τέκνα· ἐπὶ τῶν ἐχόντων θυγατέρας ἀμορφοτάτας.*

Φρουρᾶς [10] *ᾄδων· ἐπὶ τῶν ἀγρυπνούντων.*

Φρουρεῖν ἢ πλουτεῖν· ἐπὶ τῶν κερδαίνειν ἐφιεμένων.

Φράσω [11] *σου τοῖς σοροπηγοῖς τὴν μανίαν· ἐπὶ τῶν ἄξια θανάτου πραττόντων.*

Φρούδου γὰρ ἤδη τοῦ κακοῦ μείων λόγος.

Φρὺξ [12] *μηδὲν ἧττων Σπινθάρου· οὗτος ὁ Σπίνθαρος κωμῳδεῖται ὡς βάρβαρος καὶ Φρύξ.*

Φρυνίχου [13] *παλαίσματα· ἐπὶ τῶν πονηρῶν καὶ δολίων. Φρύνιχος στρατηγὸς Ἀθηναίων, οὗ στρατηγοῦντος Ἀθηναῖοι ἡττήθησαν, καὶ πολλὰ αὐτῷ ὡς προδόντι τὸν πόλεμον προσεκρούσθησαν.*

Φρυνώνδας [14] *ἄλλος· ἐπὶ τῶν πονηρῶν· καὶ Ἀριστοφάνης ἐν Ἀμφιαράῳ, ὦ μιαρὲ καὶ Φρυνώνδα καὶ πονηρὲ σύ· λέγεται δὲ καὶ ἐπὶ μάγων, ὡς Εὔδημός φησιν.*

Τὸ $\overline{\varphi}$ *μετὰ τοῦ* $\overline{\upsilon}$.

Φυλακὴν [1] *γυμνῷ ἐπιτάττεις· φανερὰ ἡ παροιμία· τίς γὰρ γυμνὸς φυλάττων ὑποσταίη βέλη καὶ λίθους καὶ ξίφη.*

Φύσει [2] *γὰρ ἐχθρὸν τὸ δοῦλον τοῖς δεσπόταις.*

φονται, λέγονται γράμματα· ὅταν δὲ ἀναγινώσκονται, λέγονται στοιχεῖα.

7) Apost. Cent. XX. 50.

8) Apost. Cent. XX. 51.

9) Apost. Cent. XX. 52.

10) Apost. Cent. XX. 55. Aristoph. Nub. 721.

11) Apost. Cent. XX. 54. Ar. Nub. 846.

12) Apost. Cent. XX. 56.

13) Apost. Cent. XX. 40. Ar. Ran. 689. *κεἴ τις ἥμαρτε σφαλείς τι Φρυνίχου παλαίσμασιν*, ubi Schol. et Bergl. Macar. *Φρυνίχου πάλαισμα· ἐπὶ τῶν πονηρῶν καὶ δολίων ἀνθρώπων.*

14) Apost. Cent. XX. 39.

1) Apost. Cent. XX. 41.

2) Apost. Cent. XX. 42. Rhet.

Φύσει [3] *γυνὴ δυσήνιόν τι* [4] *καὶ πικρόν.*
Φύσις ἀνθρώπων ἀσκοὶ πεφυσημένοι.

Τὸ φ μετὰ τοῦ ω.

Φώκου ἔρανος [5]*· ἐπὶ τῶν εὐωχίας συνταττόντων ἐπὶ τῷ ἑαυτῶν κακῷ. Φῶκος γάρ τις θυγατέρα ἔχων ἐπίγαμον* [6] *ἀνεβάλλετο τὸν γάμον, ἐφ' ᾧ ὀργισθέντες οἱ μνηστῆρες ἀπέκτειναν αὐτόν.*

Φωνά [7] *τοί τις ἐντὶ καὶ οὐδὲν ἄλλο· ἐξ ἀποφθέγματος. Τίλλας γὰρ Λάκων εἶπε τοῦτο ἀηδόνα λαβών, καὶ βραχεῖαν σάρκα εὑρών.*

ΑΠΟΦΘΕΓΜΑΤΑ.

Φαλαίκου [1].

Φάλαικος, ὁ τῶν Φωκέων στρατηγὸς, διαβληθεὶς ὅτι πολλὰ τῶν ἱερῶν χρημάτων κέκλοφεν ἐξέπεσε τῆς ἀρχῆς· ἐπεχείρησαν γὰρ οἱ περὶ αὐτὸν στρατηγοὶ Φιλόμηλος, Οἰόμαρχος, Φάϋλος καὶ τὸν ναὸν ὀρύττειν τοῦ Ἀπόλλωνος, εἰπόντος τινὸς, ὡς ἐν αὐτῷ θησαυρὸς εἴη, πολὺν ἔχων ἄργυρόν τε καὶ χρυσόν· καὶ τὰ περὶ τὴν ἑστίαν καὶ τὸν τρίποδα φιλοτίμως ἀνέσκαπτον· ὁ δὲ μη-

Graec. Tom. II. p. 135. Ald. *πονηροὶ τὸν τρόπον ὡς ἐπὶ τὸ πλεῖστον καὶ ἀκόλαστον* (sc. servi) *οὐχ ἥκιστα, ὅτι τοῖς δεσπόταις ἀεὶ ἐχθρὸν καὶ πολέμιον, κἂν χρηστοῖς δεσπόταις δουλεύωσιν.* Cfr. Lindenbr. ad Terent. Andr. I. 1. 135.

3) Apost. Cent. XX. 43. Stob. T. 73. 46. *Μενάνδρου.*

4) *τι* recepi ex Apost., Gaisf. recepit *ἐστί.* Apogr. Dresd. neutrum habet.

5) Apost. Cent. XX. 45.

6) Apogr. Dresd. *ἐπὶ γάμον.*

7) Apost. Cent. XX. 46. Macar. habet: *Φωκαέων ἀρά· ἐπὶ τῶν ἰσχυρῶς καταρωμένων, ἢ ἐπὶ τῶν μεταγινωσκόντων ἐφ' οἷς ἔπραξαν.*

1) Laur. non habet.

νύσας τὸν Θησαυρὸν μάρτυρα παρείχετο τὸν ἐπιφανέστατον καὶ ἀρχαιότατον τῶν ποιητῶν Ὅμηρον, ἐν οἷς λέγει [2],

Οὐδ' ὅσα λάϊνος οὐδὸς ἀφήτορος ἔνδον ἐέργει
Φοίβου Ἀπόλλωνος Πυθοῖ ἐνὶ πετρηέσσῃ.

Φ α λ ά ρ ι δ ο ς.

Φάλαρις Λαοδάμαντος Ἀστυπαλαιεὺς [3] εἶπεν, ἐγὼ μὲν μίαν εὐγένειαν, ἀρετὴν, οἶδα, τὰ δ' ἄλλα πάντα τύχην· καὶ γένοιτ' ἂν ὁ μὲν ἐκ φαύλων ἀγαθὸς, καὶ βασιλέων καὶ πάντων εὐγενέστερος· ὥστε ψυχῆς ἔπαινον αὔχει καὶ Συρακουσίους, μὴ προγόνων τεθνηκυῖαν εἰς ἀδοξοτέρους προγόνους εὐγένειαν.

Φάλαρις, θυγάτηρ πέφυκεν, ἔφη, μᾶλλον ἀρρένων παίδων περὶ πλείστου ποιεῖσθαι γονέας.

Ὁ αὐτὸς εἶπε, τὴν ἀῤῥωστίαν τοῦ σώματος θεραπεύειν τὴν τέχνην, τὴν δὲ ψυχῆς νόσον ἰατρὸν ἰᾶσθαι θάνατον.

Φ ε ρ ε κ ύ δ η ς.

Φερεκύδης Βάδιος Σύριος παρὰ τὸν αἰγιαλὸν τῆς ψάμμου περιπατῶν καὶ ναῦν σὺριοδρομοῦσαν ἰδὼν εἶπεν, ὡς οὐ μετ' οὐ πολὺ καταδύσεται καὶ ἐν ὀφθαλμοῖς [4] αὐτοῖς κατέδυ.

Ἔτι [5] ἐκ φρέατος ὕδωρ ἀνιμηθεὶς καὶ πιὼν προεῖπεν, εἰς τρίτην ἡμέραν σεισμὸν ἐσεῖσθαι καὶ γέγονεν.

Ἀνιὼν δέ ποτε εἰς Μεσσήνην [6] τῆς Ὀλυμπίας συνεβούλευσε τῷ Περιλάῳ ξένῳ ἐξοικῆσαι μετὰ τῶν οἰκείων, καὶ ὃς οὐκ ἐπείσθη, μετ' οὐ πολὺ δ' ἑάλω Μεσσήνη.

Ἔτι τοῖς Λακεδαιμονίοις ἐκέλευσεν, ὥς φησι Θεόπομπος ἐν Θαυμασίοις, μήτε χρυσὸν τιμᾷν μήτε ἄργυρον,

2) Il. *I.* 404.
3) Laur., in quo solo hoc apophth. exstat, Ἀστυπαλιεύς.
4) Syllabae μοῖς inscriptum ων. Matth. Laur. ὀφθαλμῶν.
5) Impr. ὁ αὐτός.
6) Codd. et impr. Μεσήνην et in fine Μεσήνη.
7) Mosc. προσάξαι αὐτῷ. Emendavi ex Laur. et impr.

προστάξαι δ' αὐτῷ [7] ὄναρ τοῦτο τὸν Ἡρακλέα, ὃν καὶ τῆς αὐτῆς νυκτὸς τοῖς βασιλεῦσι κελεῦσαι Φερεκύδῃ πείθεσθαι.

* Οὗτος συγχρονίσας τοῖς ἑπτὰ σοφοῖς, καὶ Πυθαγόραν διδάξας, οὐκ ἔσχε καθηγητὴν, κτησάμενος τὰ Φοινίκων ἀπόκρυφα βιβλία.

Φ ι λ ο ξ έ ν ο υ.

Φιλόξενος ὁ ποιητὴς εἰπόντος τινὸς, διατί Σοφοκλῆς χρηστὰς παρεισάγει τὰς γυναῖκας, αὐτὸς δὲ φαύλας, εἶπεν, ὅτι Σοφοκλῆς μὲν, οἵας δεῖ εἶναι τὰς γυναῖκας λέγει, ἐγὼ δὲ οἵαι εἰσι.

Φ ι λ ί π π ο υ.

Φίλιππος [8] πρὸς Καλλισθένην Ὀλύνθιον παῤῥησιαστικώτερον αὐτῷ λαλοῦντα καὶ μὴ πειθόμενον ἐπιπλήξας εἶπεν·

Ὠκίμορος δή μοι τέκος ἔσσεαι οἷ' ἀγορεύεις·

καὶ δὴ καὶ ἐγένετο· δόξας γὰρ Ἑρμολάῳ συμμετεσχηκέναι τῆς εἰς Ἀλέξανδρον ἐπιβουλῆς ἐν σιδηρᾷ περιήγετο γαλεάγρᾳ φθειριῶν καὶ ἀκόμιστος, καὶ τέλος λέοντι παραβληθεὶς οὕτω κατέστρεψεν.

* Ὁ αὐτὸς ἐξέπεμψεν ἐπὶ τὸ κοινὸν τῶν Βοιωτῶν πρέσβεις, ὧν ἦν ἐπιφανέστατος Πύθων. Οὗτος γὰρ διαβεβοημένος ἐπὶ τῇ τοῦ λόγου δεινότητι, καὶ συγκριθεὶς παρὰ τοῖς Βοιωτοῖς κατὰ τὴν περὶ τῆς συμμαχίας δημηγορίαν πρὸς Δημοσθένην, τῶν μὲν ἄλλων ἐπρώτευσε, τούτου δ' ἐφάνη καταδεέστερος, καὶ Δημοσθένης αὐτὸς, ὡς μέγα τι κατειργασμένος ἐν τοῖς συγγεγραμμένοις ὑπ' αὐτοῦ λόγοις σεμνύνεται τῇ πρὸς τὸν ῥήτορα τοῦτον δημηγορίᾳ, ἐν οἷς λέγει [9]· τότ' ἐγὼ μὲν τῷ Πύθωνι θρασυνομένῳ καὶ πολλῷ ῥέοντι καθ' ὑμῶν οὐχ ὑπεχώρησα.

8) Laur. nonnisi hoc apophth. continet.

9) Dem. pro cor. p. 272.

* Ὁ αὐτὸς μετὰ τὴν ἐν Βοιωτίᾳ μάχην τρόπαιον στήσας καὶ τοὺς νεκροὺς εἰς ταφὴν συγχωρήσας, ἐπινίκια τοῖς θεοῖς ἔθυε, καὶ τοὺς ἀνδραγαθήσαντας κατὰ τὴν ἀξίαν ἐτίμησε· λέγουσι δέ τινες, ὅτι καὶ παρὰ τὸν πότον πολὺν ἐμφορησάμενος ἄκρατον, καὶ μετὰ τῶν φίλων τὸν ἐπινίκιον ᾄδων κῶμον διὰ μέσων τῶν αἰχμαλώτων ἐβάδιζεν, ὑβρίζων διὰ λόγων τὰς τῶν ἀκληρούντων δυστυχίας. Δημάδην δὲ τὸν ῥήτορα κατ᾽ ἐκεῖνον τὸν χρόνον ἐν τοῖς αἰχμαλώτοις ὄντα, χρήσασθαι παῤῥησίᾳ, καὶ λόγον ἀποφθέγξασθαι, δυνάμενον ἀναστεῖλαι τὴν τοῦ βασιλέως ἀσέλγειαν. Φασὶ γὰρ εἰπεῖν αὐτὸν, βασιλεῦ, τῆς τύχης σοι περιθείσης πρόσωπον Ἀγαμέμνονος, αὐτὸς οὐκ αἰσχύνῃ πράττων ἔργα Θερσίτου. Τὸν δὲ Φίλιππον τῇ τῆς ἐπιπλήξεως εὐστοχίᾳ κινηθέντα τοσοῦτον μεταβαλέσθαι τὴν ὅλην διάνοιαν, ὥστε τοὺς μὲν στεφάνους ἀποῤῥῖψαι, τὰ δὲ συνακολουθοῦντα κατὰ τὸν κῶμον σύμβολα τῆς ὕβρεως ἀποτρίψασθαι, τὸν δ᾽ ἄνδρα τὸν χρησάμενον τῇ παῤῥησίᾳ θαυμάσαι, καὶ τῆς αἰχμαλωσίας ἀπολύσαντα πρὸς ἑαυτὸν ἀναλαβεῖν ἑτοίμως· τέλος δ᾽ ὑπὸ τοῦ Δημάδους καθομαληθέντα ταῖς Ἀττικαῖς χάρισι πάντας ἀπολῦσαι τοὺς αἰχμαλώτους ἄνευ λύτρων.

Ὁ αὐτὸς πρὸς Πέρσας ἐπανελέσθαι βουλόμενος πόλεμον ἐπηρώτησε τὴν Πυθίαν· ἡ δὲ ἔχρησεν αὐτῷ τὸν χρησμὸν τοῦτον·

Ἕστεπται μὲν ὁ ταῦρος, ἔχει τέλος, ἔστιν ὁ θύσων.
ἐσήμαινε δ᾽ ὅτι ἐν πανηγύρεσι καὶ θεῶν θυσίαις ἐστεμμένος σφαγήσεται· ὁ δὲ πρὸς τὸ ἴδιον συμφέρον ἐξεδέχετο, ὡς τοῦ μαντείου προλέγοντος τὸν ἱερείου τρόπον τυθήσεσθαι [10].

Ὁ αὐτὸς Εὐθυκράτην καὶ Λασθένην τοὺς προεστηκότας τῶν Ὀλυνθίων διαφθείρας χρήμασι διὰ τούτων προδοθεῖσαν τὴν Ὄλυνθον εἷλεν.

10) Impr. τεθύσεσθαι.

Ὁ αὐτὸς βουλόμενος ἑλεῖν τινα πόλιν ὀχυρότητι διαφέρουσαν, εἰπόντος αὐτῷ τινὸς τῶν ἐγχωρίων ἀνάλωτον αὐτὴν ἐκ βίας ὑπάρχειν, ἐπηρώτησεν, εἰ οὐδ' ὁ χρυσὸς τὸ τεῖχος ὑπερβῆναι δυνατός ἐστιν [11]· ἦν γὰρ εἰληφὼς πεῖραν, ὅτι τὰ τοῖς ὅπλοις ἀδύνατα χειρωθῆναι τῷ χρυσῷ ῥᾴδιόν ἐστι καταπολεμῆσαι· ἐγκατασκευάζων οὖν ἐν ταῖς πόλεσι προδότας διὰ τῆς δωροδοκίας καὶ τοὺς δεχομένους τὸ χρυσίον ξένους καὶ φίλους ὀνομάζων ταῖς πονηραῖς ὁμιλίαις διέφθειρε τὰ ἤθη τῶν ἀνθρώπων.

** Ὁ αὐτὸς Ἀθηναίους μακαρίζειν [12] ἔλεγεν, εἰ καθ' ἕκαστον ἐνιαυτὸν αἱρεῖσθαι δέκα στρατηγοὺς εὑρίσκουσιν· αὐτὸς γὰρ ἐν πολλοῖς ἔτεσιν ἕνα μόνον στρατηγὸν εὑρηκέναι, Παρμένωνα.*

** Ὁ αὐτὸς πολλῶν κατορθωμάτων καὶ καλῶν ἐν μιᾷ ἡμέρᾳ προσαγγελθέντων αὐτῷ, ὦ τύχη, εἶπε, μικρόν τί μοι κακὸν ἀντὶ τοσούτων καὶ τηλικούτων ἀγαθῶν ποίησον.*

** Ὁ αὐτὸς τοῖς τῶν Ἀθηναίων δημαγωγοῖς ἔφη χάριν ἔχειν, ὅτι λοιδοροῦντες αὐτὸν βελτίονα ποιοῦσι καὶ τῷ λόγῳ καὶ τῷ ἤθει· πειρῶμαι γὰρ αὐτοὺς ἅμα καὶ τοῖς λόγοις καὶ τοῖς ἔργοις ψευδομένους ἐλέγχειν.*

** Ὁ αὐτὸς τῆς κλειδὸς αὐτῷ κατεαγείσης ἐν πολέμῳ, καὶ τοῦ θεραπεύοντος ἰατροῦ πάντως τι καθ' ἡμέραν αἰτοῦντος, λάμβανε, ἔφη, ὅσα βούλει, τὴν γὰρ κλεῖν ἔχεις.*

** Ὁ αὐτὸς δυοῖν ἀδελφοῖν Ἀμφοτεροῦ καὶ Ἑκατεροῦ ὄντοιν, τὸν μὲν Ἑκατερὸν ἔμφρονα καὶ πρακτικὸν ὁρῶν, τὸν δὲ Ἀμφοτερὸν εὐήθη καὶ ἀβέλτερον, ἔφη, τὸν μὲν Ἑκατερὸν ἀμφότερον εἶναι, τὸν δὲ Ἀμφοτερὸν οὐδέτερον.*

** Ὁ αὐτὸς ληφθέντων τῶν πολλῶν αἰχμαλώτων ἐπίπρασκεν αὐτούς, ἀνεσταλμένῳ τῷ χιτῶνι, καθήμενος οὐκ*

11) Cfr. supra p. 73. sub prov. *ἀργυρέαις λόγχ.*

12) Impr. *μακαρίζων.*

εἰ πρεπῶς· εἰς οὖν τῶν πωλουμένων ἀνεβόησε, φεῖσαί μου Φίλιππε, πατρικὸς γάρ εἰμί σου φίλος· ἐρωτήσαντος δὲ τοῦ Φιλίππου, πόθεν, ὦ ἄνθρωπε, γενόμενος καὶ πῶς, ἐγγὺς, ἔφη, φράσαι σοι βούλομαι προσελθών· ὡς οὖν προσήχθη, μικρὸν, ἔφη, κατωτέρω τὴν χλαμύδα ποίησον, ἀσχημονεῖς γὰρ οὕτω καθήμενος, καὶ ὁ Φίλιππος, ἄφετε αὐτὸν, εἶπεν, ἀληθῶς γὰρ εὔνους ὢν καὶ φίλος ἐλάνθανεν.

* Ὁ αὐτὸς πυθόμενος ἐγκαλεῖν αὐτῷ τὸν Ἀλέξανδρον, ὅτι παῖδας ἐκ πλειόνων ποιεῖται γυναικῶν, οὐκοῦν, ἔφη, πολλοὶς ἔχων περὶ τῆς βασιλείας ἀνταγωνιστὰς γενοῦ καλὸς κἀγαθὸς, ἵνα μὴ δι' ἐμὲ τῆς βασιλείας τύχῃς, ἀλλὰ διὰ σεαυτόν. Ἐκέλευε δ' αὐτὸν Ἀριστοτέλει προσέχειν καὶ φιλοσοφεῖν, ὅπως, ἔφη, μὴ πολλὰ τοιαῦτα πράξῃς, ἐφ' οἷς ἐγὼ πεπραγμένοις μεταμέλομαι, διὸ καὶ ἐν τῇ γεννήσει αὐτοῦ οὕτω πρὸς Ἀριστοτέλην ἔγραψεν.

Φίλιππος Ἀριστοτέλει χαίρειν [13].

Ἴσθι μοι γεγονότα υἱόν· πολλὴν οὖν τοῖς θεοῖς χάριν ἔχω, οὐχ οὕτως ἐπὶ τῇ γεννήσει τοῦ παιδὸς, ὡς ἐπὶ τῷ κατὰ τὴν σὴν ἡλικίαν αὐτὸν γεγονέναι· ἐλπίζω γὰρ αὐτὸν ὑπὸ σοῦ τραφέντα καὶ παιδευθέντα ἄξιον ἔσεσθαι καὶ ἡμῶν καὶ τῆς τῶν πραγμάτων διαδοχῆς.

Φωκίων.

Φωκίων ἔφη, οὔτε ἐξ ἱεροῦ βωμὸν, οὔτε ἐκ τῆς ἀνθρωπίνης φύσεως ἀφαιρετέον τὸν ἔλεον [14].

* Ὁ αὐτὸς ὑπ' οὐδενὸς οὔτε γελῶν ὤφθη, οὔτε δακρύων.

Ὁ αὐτὸς, ἐκκλησίας γιγνομένης πρὸς τὸν εἰπόντα, σκεπτομένῳ ὦ Φωκίων ἔοικας, ὀρθῶς, ἔφη, τοπάζεις.

13) Epistola haec etiam in codd. continetur, quamvis absint praecedentia.

14) Codd. ἔλαιον.

σκέπτομαι γὰρ, εἴ τι δύναμαι περιελεῖν, ὧν μέλλω λέγειν πρὸς Ἀθηναίους.

* Μαντείας γενομένης Ἀθηναίοις, ὡς εἷς ἐστιν ἀνὴρ ἐν τῇ πόλει ταῖς πάντων ἐναντιούμενος γνώμαις, καὶ τῶν Ἀθηναίων ζητεῖν κελευόντων, ὅστις ἐστὶ, καὶ βοώντων, Φωκίων ἑαυτὸν ἔφησε τοῦτον εἶναι, μόνῳ γὰρ ἑαυτῷ μηδὲν ἀρέσκειν, ὧν οἱ πολλοὶ πράττουσι καὶ λέγουσιν.

* Ὁ αὐτὸς λέγων ποτὲ γνώμην πρὸς τὸν δῆμον εὐδοκίμει καὶ ὡς [15] πάντας ὁμαλῶς ἑώρα τὸν λόγον ἀποδεχομένους, ἐπιστραφεὶς πρὸς τοὺς φίλους εἶπε, μὴ κακόν τι λέγων ἐμαυτὸν λέληθα;

* Ὁ αὐτὸς, Δημοσθένους εἰπόντος, ἀποκτενοῦσί σε Ἀθηναῖοι ἐὰν μανῶσι, ναὶ εἶπεν, ἐμὲ μὲν ἐὰν μανῶσι, σὲ δὲ ἂν σωφρονῶσιν.

* Ὁ αὐτὸς Ἀριστογείτονος τοῦ συκοφάντου μέλλοντος ἀποθνήσκειν ἐν τῷ δεσμωτηρίῳ κατακρίτου γεγονότος καὶ δεομένου τὸν Φωκίωνα πρὸς αὐτὸν ἐλθεῖν, τῶν δὲ φίλων οὐκ ἐθελόντων πρὸς ἄνθρωπον πονηρὸν βαδίζειν, καὶ ποῦ τις ἂν, εἶπεν, ἥδιον Ἀριστογείτονι λαλήσειεν.

* Ὁ αὐτὸς αἰτοῦντος Ἀλεξάνδρου τριήρεις, καὶ τοῦ δήμου κελεύοντος ὀνομαστὶ παριέναι τὸν Φωκίωνα καὶ συμβουλεύειν, ἀναστὰς ἔφη· συμβουλεύω τοίνυν ὑμῖν, ἢ κρατεῖν τοῖς ὅπλοις αὐτοὺς, ἢ φίλους εἶναι τῶν κρατούντων.

* Ὁ αὐτὸς Ἀλεξάνδρου τοῦ Μακεδόνος ἑκατὸν τάλαντα χρυσίου αὐτῷ πεπομφότος, ἤρετο τοὺς κομίσαντας, τί δήποτε πολλῶν Ἀθηναίων ὄντων, αὐτῷ μόνῳ Ἀλέξανδρος πέπομφε· φησάντων δὲ, ὅτι ἡγεῖταί σε καλὸν καὶ ἀγαθὸν, οὐκοῦν ἐάτω με καὶ εἶναι καὶ δοκεῖν τοιοῦτον· καὶ ταῦτα τοῖς κομίσασιν εἰπὼν ἀπεπέμψατο μὲν τὰ χρήματα, Ἀλεξάνδρῳ δὲ γέγραφεν, εἰ βούλοιτο αὐτῷ

15) ὡς abest ab impr.

χαρίσασθαι, ἀπολῦσαι τοὺς ἐν Σάρδεσιν αἰχμαλώτους, ὅπερ ἐκεῖνος πεποίηκεν.

Ἱστορία Φοίνικος καὶ Ἀμύντορος.

Φοίνιξ ὁ Ἀμύντορος ἐξέπεσε τῆς οἰκείας γῆς διὰ ταύτην τὴν αἰτίαν· τοῦ πατρὸς αὐτοῦ παλλακίδα μέν, ὀνόματι Κλυτίαν, ἀγαπῶντος, Ἱπποδάμειαν δὲ, ἐξ ἧς τὸν Φοίνικα ἔτεκε, στυγοῦντος, δεηθείσης τῆς μητρὸς τῇ παλλακίδι τοῦ πατρὸς Κλυτίᾳ ἐμίγη· γνοὺς δὲ ὁ Ἀμύντωρ, ἐπηράσατο τῷ παιδὶ τέκνων ἀγωνίας· δείσας δὲ Φοίνιξ τὸν πατέρα, καὶ τὰς ὑπ' αὐτοῦ γενομένας ἀρὰς φεύγει πρὸς Πηλέα· ὅστις ὑποδεξάμενος αὐτὸν διὰ τὴν συγγένειαν, δίδωσιν αὐτῷ τὴν Δολοπίαν χώραν καὶ Ἀχιλλέα τὸν υἱὸν μικρὸν ὄντα εἰς ἀνατροφὴν παραδίδωσιν.

Ἀρχὴ τοῦ $\overline{\chi}$ στοιχείου.

Τὸ $\overline{\chi}$ μετὰ τοῦ $\overline{\alpha}$.

Χαλεπὰ [1] τὰ καλά· Πιττακὸν ἀποτιθέμενον τὴν ἀρχὴν πρὸς τοὺς θαυμάζοντας εἰπεῖν, χαλεπὸν ἐσθλὸν ἔμμεναι. Σόλωνα [2] δὲ μαλακίαν αὐτοῦ καταγνόντα φάναι, χαλεπὰ τὰ καλά· φασὶ δὲ Περίανδρον τὸν Κορίνθιον κατ' ἀρχὰς μὲν εἶναι δημοτικὸν, ὕστερον δὲ τὴν προαίρεσιν μεταβαλόντα τυραννικὸν γενέσθαι· ὅθεν ἡ παρ-

1) Apost. Cent. XX. 47. Cfr. Plut. de educat. p. 6. C. Sympos. VII. p. 147. cum notis Wyttenb. Macar. consentit usque ad vv. *φασὶ δὲ Περίανδρον* et sqq. quae om. Plat. Protag. p. 339. A. *λέγει γάρ που Σιμωνίδης πρὸς Σκόπαν, τὸν Κρέοντος υἱὸν τοῦ Θετταλοῦ, ὅτι ἄνδρα ἀγαθὸν μὲν ἀληθέως γενέσθαι χαλεπόν.* et paullo post: *ὀλίγον δὲ τοῦ ποιήματος εἰς τὸ πρόσθεν προσελθὼν ἐπελάθετο καὶ Πιττακὸν τὸν ταὐτὰ λέγοντα ἑαυτῷ, ὅτι χαλεπὸν ἐσθλὸν ἔμμεναι.*

2) Apogr. Dresd. Σόλων.

οιμία· οἱ δὲ τὰ χαλεπὰ ἀντὶ τοῦ ἀδύνατα τιθέασι, ὡς μηδὲ ἐκείνου δυνηθέντος τηρῆσαι τὴν ἑαυτοῦ γνώμην.

Χαλεπὸν [3] *τὸ εὖ γνῶναι· τὰπόφθεγμα Πιττακοῦ.*

Χαλεπὸν [4] *χορίου κύνα γεῦσαι· ἐπὶ τῶν ἐπὶ μικρῶν κακῶν χωρούντων εἰς μεγάλα· τὸ ἔλυτρον τοῦ ἐμβρύου χορίον καλεῖται· οἱ δὲ κύνες γευσάμενοι τούτου καὶ τοῖς ἐμβρύοις διὰ τὸ λίχνον ἐπιβουλεύουσιν.*

Χαλάσω [5] *τὴν ἱερὰν ἄγκυραν· ἐπὶ τῶν ἐν κινδύνοις φευγόντων εἴς τινα δυνατόν.*

Χαμαιλέοντος [6] *εὐμεταβολώτερος.*

Χαίροις [7] *Ὑψιπύλη φίλη.*
Τοὺς ἐμοὺς κορύμβους πλέκω,
Οὔ σοι λέγω περὶ τούτον.

Οὐμὸς ἄκοιτις ἐνταῦθα. Ἡ παροιμία τάττεται ἐπὶ τῶν λεγόντων ἀσύμφωνα καὶ ακατάλληλα· ὁμοία τῇ, ἐγὼ σκόροδά σοι λέγω, σὺ δὲ κρόμμυά μοι λέγεις [8].

Χαίρει [9] *ταῖς κατάραις τὸ κύμινον· ἐπὶ τῶν μηδὲν ἀπὸ κατάρας βλαπτομένων.*

3) Apost. Cent. XX. 48.

4) Apost. Cent. XX. 56. Macar. *Χαλεπὸν χορίου κύνα γεύειν· τὸ ἔλυτρον τοῦ ἐμβρ.* Cetera ut Apost.

5) Macar. *ἐπὶ τῶν* (Cod. *τῶν* non habet) *εἰς ἀσφάλειαν ἐρχομένων.* Aristid. *ὑπὲρ τῶν τεττ.* p. 194. *καὶ ὥσπερ τῆς ἱερᾶς ἀγκύρας τῆς ἐκείνου φωνῆς ἐχόμενοι.* Lucian Jup. trag. c. 51. *ἄκουσον δὴ τὴν ἱεράν, φασιν, ἄγκυραν.* Fugitiv. c. 15. — Plut. Coriol. 32. *ἐπανελθόντων δὲ τῶν πρέσβεων ἀκούσασα ἡ βουλὴ καθάπερ ἐν χειμῶνι πολλῷ καὶ κλύδωνι τῆς πόλεως ἄρασα τὴν ἀφ' ἱερᾶς ἀφῆκεν.*

6) Apost. Cent. XX. 53. plura addit. Cfr. Plut. de discern. adul. p. 53. D. *ὁ δὲ κόλαξ ἀτεχνῶς τὰ τοῦ χαμαιλέοντος πέπονθεν· ἐκεῖνός τε γὰρ ἁπάσῃ χροιᾷ πλὴν τοῦ λευκοῦ συναφομοιοῦται.* cum nota Wyttenbachii. cui adde Julian. Caes. p. 309. A. *Ὀκταβιανὸς, πολλὰ ἀμείβων, ὥσπερ οἱ χαμαιλέοντες χρώματα.*

7) Apost. Cent. XX. 51.

8) Mosc. addit: *σὺ δὲ κρόμμυα ἀποκρίνῃ*, quae verba ex glossemate nata videntur.

9) Apost. Cent. XX. 57.

Χαῖρ᾽ [10] *ὦ φίλον φῶς· γυναῖκα βουλομένην ἀκολασταίνειν σβέσασαν* [11] *τὸν λύχνον φασὶ τοῦτο εἰπεῖν· ἕτεροι δὲ γραῦν.*

Χαιρεφῶν [12] *αὐτόχρημα· ἐπὶ τῶν ὠχρῶν* [13] *καὶ ἰσχνῶν καὶ ἐπὶ τῶν διεστώτων ἐκ τῶν ἀδελφῶν σφίσι· οὗτος γὰρ σφόδρα ἤχθρευσε τῷ ἀδελφῷ, οὓς ὁ Σωκράτης συνῆγε λέγων, ὡς οὐδὲν ὀφθαλμῶν ὄφελος εἴη, εἰ μὴ συμφωνοῖεν, οὐδὲ χειρῶν, οὐδὲ ποδῶν.*

Χαραδριὸς ἕτερος [14]*· ἐπὶ τῶν ἀποκρυπτομένων· ἐπεὶ γὰρ οὗτος τοὺς ἰκτεριῶντας ὠφελεῖ ὀφθεὶς τοῦτο οἱ πωλοῦντες κρύπτουσιν, ἵνα μή τις πρὸ τοῦ ὠνήσασθαι ἰαθῇ· οἱ δέ φασιν, οὐ τοὺς ἰδόντας τὸν χαραδριὸν, ἀλλὰ τοὺς φαγόντας τῆς νόσου παύεσθαι· ἀλλ᾽ οἵτοι μὲν οὕτως· ὁ δέ γε Αἰλιανὸς ἄλλως περὶ χαραδριοῦ φυσιολογεῖ* [15].

Χάρητος [16] *ὑπόσχεσις· ἐπὶ τῶν προχείρως ἐπαγγελλομένων, μηδαμῶς δὲ ἢ δυσκόλως παρεχόντων. Χάρης γὰρ ὁ στρατηγὸς Ἀθηναίων εὐχερής τε καὶ ἕτοιμότατος πρὸς τὰς ὑποσχέσεις ἐγένετο μὲν, οὐκ ἐπετέλει δέ γε.*

Χάρης [17] *ᾠδὸν ὄρθιον· ἐπὶ τῶν εὐφώνων· ὁ γὰρ Χάρης αὐλητὴς Θηβαῖος ἦν· ὄρθιος δὲ αὐλητικὸς νόμος οὕτω καλούμενος ἔντονος καὶ ἀνάτασιν ἔχων· καὶ Ὅμηρος* [18].

Ἔνθα στᾶσ᾽ ἤϋσε θεὰ μέγα τε δεινόν τε
Ὄρθι᾽ Ἀχαιοῖσιν [19].

Χαρὰν [20] *πυραύστου χαίρεις· ἐπὶ τῶν διὰ μικρὰν ἡδονὴν ἑαυτοὺς φθειρόντων.*

10) Apost. Cent. XX. 60.
11) Apogr. Dresd. *σβέσαντα.*
12) Apost. Cent. XX. 61.
13) Cfr. Aristoph. Nub. 103.
14) Apost. Cent. XX. 58.
15) XVII. 3.
16) Apost. Cent. XX. 59. Macar. *ἐπὶ τῶν εὐχείρως ἐπαγγελλομένων.*
17) Apost. Cent. XX. 63.
18) Il. *Α.* 10.
19) Apogr. Dresd. *μέγα δεινόν τ᾽ ὄρθι᾽ Ἀχαιοῖς.*
20) Apost. Cent. XX. 65. addit quaedam.

Τὸ χ μετὰ τοῦ ε.

Χελώνη μυῶν [1] *· ἐπὶ τῶν ἀφροντίστων τινός· τῷ δὲ Ἀγαμέμνονι τῆς Θερσίτου παῤῥησίας ἔλαττον ἔμελλεν ἢ χελώνῃ μυῶν.*

Χειμὼν [2] *ὀρνιθίας· σφοδρὸς, ἐν ᾧ τὰ ὄρνεα φθείρεται· λέγεται καὶ ἄνεμος ὀρνιθίας.*

Χειρώνειον [3] *ἕλκος· ἤτοι ἀνήκεστον.*

Χείλεα [4] *μέν τ' ἐδίην'* [5]*, ὑπερῴην δ' οὐκ ἐδίηνεν· ἐπὶ τῶν μικρὰ δῶρα διδόντων.*

Χειμάσει [6] *ποτὲ καὶ ἐφ' ἡμᾶς ἡ ἀπὸ τῶν ὀρῶν νεφέλη· ἐπὶ τῶν προσδεχομένων τινὰ κακὰ μετ' ὀλίγον ἐλευσόμενα.*

Χεῖρας ἔχει [7] *Φιλοποίμην καὶ σκέλη, γαστέρα δὲ οὐκ ἔχει· ἐπὶ τῶν πολλοὺς μὲν ἱππεῖς καὶ ὁπλίτας ἐχόντων, χρημάτων δὲ οὐκ εὐπορούντων· Κόϊντος εἶπε πρὸς Φιλοποίμενα· καὶ γὰρ καὶ τῇ φύσει τοῦ σώματος τοιοῦτος ἐτύγχανε.*

Χελώνην [8] *Πηγάσῳ συγκρίνεις· ἐπὶ τῶν τὰ ἀνόμοια συγκρινόντων.*

Τὸ χ μετὰ τοῦ θ.

Χθόνια [9] *λουτρὰ, τὰ τοῖς νεκροῖς ἐπιφερόμενα, ἐκόμιζον γὰρ εἰς τάφους λουτρά.*

1) Apost. Cent. XX. 66.
2) Apost. Cent. XX. 67. Mabar. *χειμ. ὀρν., ἤγουν σφοδρός·* cetera ut Apost.
3) Apost. Cent. XX. 68. Apogr. Dresd. *χειρώνιον.*
4) Apost. Cent. XX. 69.
5) Apogr. Dresd. *ἐδίηνεν.*
6) Apost. Cent. XX. 70. plura addit.
7) Apost. Cent. XX. 71.
8) Apost. Cent. XX. 72.
9) Apost. Cent. XX. 73. Macar. *ἐκόμιζον γὰρ* et sqq. om.

Τὸ χ μετὰ τοῦ ι.

Χῖος [10] παραστὰς οὐκ ἐᾷ Κῷον λέγειν· παρόσον οἱ Χῖοι λογιώτεροι τῶν Κῴων ἦσαν καὶ δυνατώτεροι.

Τὸ χ μετὰ τοῦ ο.

Χοὰς ἕξ [11] χωρήσει· ἐπὶ τῶν παραπλήγων, τουτέστιν ὁ ἐγκέφαλος αὐτοῦ· ἅμα δὲ ὡς ἐπὶ κεράμου ἢ ἀσκοῦ, ὃς ἐὰν σμηχθῇ πλέον χωρεῖ τῶν ἐμπεφρακότων ἀποβεβλημένων.

Χορὸς [12] ἀργούντων· ἐπὶ τῶν ἄτοπά τινα διαπραττομένων.

Χοῖνιξ [13] κνωδάλου· ἐπὶ τῶν μεγάλοις μέτροις κεχρημένων.

Χορὸν δίδωμι [14]· ἐν ἴσῳ τῷ εὐδοκιμεῖν καὶ νικᾶν· παρὰ γὰρ τοῖς Ἀθηναίοις χοροῦ ἐτύγχανον κωμῳδίας [15] καὶ τραγῳδίας ποιηταὶ οὐ πάντες, ἀλλ' οἱ εὐδοκιμοῦντες καὶ δοκιμασθέντες ἄξιοι.

Χοροῦ μὲν ἀναρμοστία ποιεῖ γέλωτα, πολιτῶν δὲ ἀναρμοστία ποιεῖ δάκρυα.

Τὸ χ μετὰ τοῦ ρ.

Χρήματ' ἀνὴρ [1], πενιχρὸς δ' οὐδέποτ' ἐσθλός· ἐπὶ τῶν διὰ πλοῦτον εὐημερούντων· αὕτη δὲ

10) Eustath. ad Od. 1. τῶν κατὰ τοὺς ἀστραγάλους βόλων ὁ μὲν τὰ ἓξ δυνάμενος Κῷος, καὶ ἕξίτης ἐλέγετο, ὁ δὲ ἓν, Χῖος, ὅθεν καί τις παροιμία· Χῖος παραστὰς Κῷον οὐκ ἐάσω· ἧς μέμνηται Στράττις ἐν τῷ· Χῖος παραστὰς οὐκ ἐᾷ Κῷον λέγειν. Ἔνθα ἐνθυμητέον καὶ τὸ τοῦ Κωμικοῦ· πέπτωκεν ἕξω τῶν κακῶν οὐ Χῖος ἀλλὰ Κεῖος. (Ran. 970.) Suid. Κῷος πρὸς Χῖον· ὁ μὲν γὰρ Χῖος ἐδύνατο ἕν, ὁ δὲ Κῷος ἕξ.

11) Apost. Cent. XX. 76.

12) Apost. Cent. XX. 77.

13) Apost. Cent. XX. 78.

14) Apost. Cent. XX. 79. de dictione χορὸν δίδωμι et χορὸν λαμβάνειν vide Intrpr. ad Aristoph. Ran. 94.

15) Apogr. Dresd. γὰρ inserit post κωμῳδίας.

1) Apost. Cent. XX. 83. ver-

ἀποφθεγματική ἐστιν, ὡς καὶ ἡ· ἀρχὴ ἄνδρα δείκνυσι, καὶ ἡ· κατὰ σαυτὸν ἔλα, καὶ ἡ· γνῶθι σαυτόν.

Χρὴ [2] *μὴ τὸ κακὸν διὰ κακοῦ ἀμύνασθαι.* ὁ *Ἀμίλκας τοὺς τὸν ἀδελφὸν ἀνελόντας συλλαβὼν εἷς τε τὸν ἕκάστου πατήσας τράχηλον, εἶτα μέντοι ἀπολύσας, ἔφησε τοῦτο, ἀποχρῶσαν δίκην λαβὼν* [3] *ἐπειπὼν ταύτην ἐπὶ τῷ ἀδελφοῦ φόνῳ.*

Χροΐ δῆλα [4]· *φασὶ Φερεκύδην τὸν σοφὸν φθειριασίᾳ τελευτῆσαι. Πυθαγόρου γὰρ παραγενομένου καὶ πυνθανομένου, πῶς διακέοιτο, προβάλλοντα τῆς θύρας τὸν δάκτυλον εἰπεῖν, χροΐ δῆλα· καὶ τοὐντεῦθεν παρὰ τοῖς φιλοσόφοις ἡ λέξις ἐπὶ τῶν χειρόνων τάττεται· οἱ δὲ καὶ ἐπὶ τῶν βελτίστων χρώμενοι διαμαρτάνουσι.*

Χρυσὸς Κολοφώνιος [5]· *οἱ Κολοφώνιοι τὸν κάλλιστον χρυσὸν εἰργάζοντο· καὶ γὰρ πολύ φασι παραλλάττειν τοῦ ἄλλου τὸν Κολοφώνιον χρυσόν.*

Χρυσῷ [6] *καταπάττων ἡμᾶς οὐ γινώσκεις· ἐπὶ τῶν εἰκῆ λοιδορουμένων· ἐπιφέρει γὰρ, νῦν δὲ κόσμος τοῦτ' ἐστί μοι.*

Χρυσοῦς [7] *ἐν Ὀλυμπίοις στῆθι· ἤγουν ἐν ταῖς πανηγύρεσι λευχειμόνει.*

Χρυσὸς οἷδε δοκιμάζεσθαι πυρὶ,
Ἡ δὲ πρὸς φίλους εὔνοια καιρῷ κρίνεται.

ba καὶ ἡ κατὰ σαυτὸν etc. non habet.

2) Apost. Cent. XX. 85.

3) Syllabae ων inscriptum ειν. Matth. λαβεῖν Apost.

4) Apost. Cent. XX. 87.

5) Apost. Cent. XX. 99.

6) Apost. Cent. XX. 93. Arist. Nub. 912. χρυσῷ πάττων μ' οὐ γιγνώσκεις.

7) Lucian. Pseudol. c. 15. χρυσοῦς, φασιν, ἐν Ὀλυμπίᾳ στάθητι. Tim. c. 51. χρυσοῦν ἀναστῆσαι τὸν Τίμωνα, ubi Hemsterh. Theocr. Epigr. 17. χάλκεόν νιν ἀντ' ἀλαθινοῦ — ἀνέθηκαν Epigr. 20. τοῦτον δ' αὐτὸν ὁ δᾶμος (ὡς σαφ' εἰδῇς) ἔσταθ' ἐνθάδε, χάλκεον ποιήσας. Alciphr. I. 50. ubi Bergler. Philostr. Her. p. 52. χαλκοῦς γὰρ πολλαχοῦ ἕστηκε, ubi Boisson. Clem. Protrept. p. 2. 21. χαλκοῦν ἀναστήσας Πυθοῖ τὸν Εὔνομον αὐτῇ τῇ κιθάρᾳ. Cfr. Welcker. Sylloge Epigr. Graec. p. 210. Reisk. Ind. in Demost. s. v. χαλκοῦς.

Χρυσοῦ [8] *λαλοῦντος πᾶς ἀπραχτείτω λόγος,*
Πείθειν γὰρ οἶδε καὶ πέφυκε μὴ λέγειν.
Χρυσίῳ παρὰ βαρβάροις οἱ κακοῦργοι ἐδέδεντο.

Τὸ χ μετὰ τοῦ υ.

Χύτραις [9] *λημᾶν καὶ κολοκύνταις· ἐπὶ τῶν ἀμβλυωπούντων.*

Χύτραν [10] *ποικίλλειν, καὶ χύτραν κοσμεῖν· ἐπὶ τῶν ἀδυνάτων.*

Χυτρεοῦς θεὸς [11], *καὶ χυτρεοῦς ἄνθρωπος, ὀστράκινος εὐτελής.*

Τὸ χ μετὰ τοῦ ω.

Χωρὶς [12] *τὰ Μυσῶν καὶ Φρυγῶν ὁρίσματα· ἐπὶ τῶν ἐναντίων· ὁμοία τῇ· χωρὶς τὰ Μερδᾶς καὶ Σιλωὰμ ῥεύματα.*

Χώρα [13] *καὶ νόμος· ὁμοία τῇ· πόλις καὶ τύπος.*

Χωρὶς [14] *τό τ' εἰπεῖν πολλὰ καὶ τὸ καίρια.*

ΑΠΟΦΘΕΓΜΑΤΑ.

Χάρης τοὺς ἀπόῤῥητον λόγον ἐκφέροντας ἀδικεῖν ᾤετο καὶ πρὸς οὓς ἐκφέρουσι· μισοῦμεν γὰρ οὐ μόνον

8) Apost. Cent. XX. 90.

9) Ap. Cent. XX. 94. Ar. Nub. 327. *νῦν γέ τοι ἤδη καθορᾷς αὐτὰς, εἰ μὴ λημᾷς κολοκύνταις*, quem imitatus Lucian. *πρὸς ἀπαίδευτον* c. 23. *χύτραις λημῶντες* dicit.

10) Apost. Cent. XX. 95.

11) Apost. Cent. XX. 96. Ar. Nub. 1475.

12) Apost. Cent. XX. 97. Plut. Praec. San. p. 122. C. *Χωρὶς γὰρ, ἔφη, τὰ φιλοσόφων καὶ ἰατρῶν, ὥσπερ τινων Μυσῶν καὶ Φρυγῶν, ὁρίσματα*, ubi Wyttenb. Macar.

Χωρὶς τὰ Μυσῶν καὶ Φρ. ὁρίσματα.

Χωρὶς τὰ Μερ. καὶ Σιλ. ῥεύματα.

Sequitur in eodem: *Πενιχρὸς δ' οὐδέποτ' ἐσθλός· ἐπὶ τῶν διὰ πλοῦτον εὐημερούντων.*

13) Apost. Cent. XX. 98.

14) Apost. Cent. XX. 99.

τοὺς ἐκλαλήσαντας, ἀλλὰ καὶ τοὺς ἀκούσαντας ἃ μὴ βουλόμεθα.

Χαρώνδου.

Χαρώνδας [1] ἔν τινι νομοθεσίᾳ τάδε ἔφη· ὁ παισὶν αὐτοῦ μητρυιὰν ἐπάγων μήτ᾽ εὐδοκιμείσθω, μήτε μετεχέτω λόγου παρὰ τοῖς πολίταις, ὡς ἐπείσακτον κακὸν κατὰ τῶν ἑαυτοῦ πραγμάτων πεπορισμένος, εἴτ᾽ ἐπέτυχες γάρ, φησι, γήμας τὸ πρότερον εὐημερῶν κατάπαυσον, εἴτ᾽ οὐκ ἐπέτυχες, μανικὸν τὸ πείρας δευτέρας λαβεῖν πάλιν· ταῖς γὰρ ἀληθείαις ὁ δὶς ἐν τοῖς αὐτοῖς πράγμασιν ἁμαρτάνων ἄφρων ἂν δικαίως νομισθείη.

Χίλωνος.

Χίλων Δαμαγήτου Λακεδαιμόνιος ἐρωτηθείς, τί χαλεπώτατον, τὸ γινώσκειν ἑαυτὸν, ἔφη· χρήσιμον γὰρ εἰς νουθεσίαν τῶν ἀλαζόνων, εἰ ὑπὲρ τὴν ἑαυτῶν δύναμιν φλυαροῦσιν.

Ὁ αὐτὸς [2] εἶπεν ἐν λιθίναις ἀκόναις ὁ χρυσὸς ἐξετάζεται, διδοὺς βάσανον φανερὰν, ἐν δὲ χρυσῷ ἀνδρῶν ἀγαθῶν τε κακῶν τε νοῦς ἔδωκεν ἔλεγχον.

Ὁ αὐτὸς [3] ἔφη θυμοῦ κρατεῖν.

Ὁ αὐτὸς [4] λυπουμένου τινὸς ἐπὶ τοῖς αὐτοῦ κακοῖς, εἶπεν, εἰ τὰ πάντα κατανοήσεις ἧττον ἐπὶ τῶν σεαυτοῦ δυσφορήσεις.

Ὁ αὐτὸς τάδε προσέταττε. Γλώσσης κρατεῖν καὶ μάλιστα ἐν συμποσίῳ. Μὴ κακολογεῖν τοὺς πλησίον, εἰ δὲ μὴ, ἀκούσεσθαι, ἐφ᾽ οἷς λυπηθήσεσθαι. Μὴ ἀπειλεῖν μηδενὶ, γυναικῶδες γάρ. Ταχύτερον ἐπὶ τὰς ἀτυχίας τῶν φίλων ἢ ἐπὶ τὰς ἀτυχίας πορεύεσθαι. Γάμον

1) Laur. Χαρώνδας ὁ νομοθέτης.

2) Diog. Laërt. I. Segm. 71. εἶπεν impr. et Mosc. om. recepi ex Laur.

3) Legitur hoc inter proxime sequentia, quae sumta sunt ex Diog. Segm. 70. In impr. hoc loco deest.

4) In Mosc. deest.

εὐτελῆ ποιεῖσθαι. Τεθνηκότα μὴ κακολογεῖν. Γῆρας τιμᾶν. Φυλάττειν ἑαυτόν. Ζημίαν αἱρεῖσθαι μᾶλλον ἢ κέρδος αἰσχρὸν, ἡ μὲν γὰρ ἅπαξ ἐλύπησε, τὸ δὲ διὰ παντός. Ἀτυχοῦντι μὴ ἐπιγελᾶν. Ἰσχυρὸν ὄντα πρᾶον εἶναι, ὅπως οἱ πλησίον αἰδῶνται μᾶλλον, ἢ φοβῶνται. Μανθάνειν τῆς αὐτοῦ οἰκίας καλῶς προστατεῖν. Τὴν γλῶτταν μὴ προτρέχειν τοῦ νοῦ. Θυμοῦ κρατεῖν. Μαντικὴν μὴ ἐχθαίρειν. Μὴ ἐπιθυμεῖν ἀδυνάτων. Ἐν ὁδῷ μὴ σπεύδειν. Λέγοντα μὴ κινεῖν τὴν χεῖρα, μανικὸν γάρ. Νόμοις πείθεσθαι. Ἠρεμίᾳ χρῆσθαι. Ἐγγύη [5] πάρα δ' ἄτα.

Χορίκιος.

Χορίκιος ἔφη, τὸ ἐκ φύσεως ἀγαθὸν ἀδόκιμον, τὸ δὲ ἐκ προαιρέσεως, ἐπαινετόν [6].

Χρυσίππου.

Χρύσιππος [7] Ἀπολλωνίου Σολεὺς ἢ Ταρσεὺς ὀνειδισθεὶς ὑπό τινος, ὅτι οὐχὶ παρὰ Ἀρίστωνι μετὰ πολλῶν σχολάζοι, εἰ τοῖς πολλοῖς, εἶπε, προσεῖχον, οὐκ ἂν ἐφιλοσόφησα.

Χρύσιππος εἰπόντος αὐτῷ τινος, ὁ φίλος σε λάθρα λοιδορεῖ, εἶπε, μὴ ἔλεγχε αὐτὸν, ἐπεὶ φανερῶς αὐτὸ μέλλει ποιεῖν.

Ὁ αὐτὸς, ὅτι σε λοιδοροῦσι, τινὸς εἰπόντος, ἀλλ' ἐγὼ, ἔφη, οὕτω διάξω, ὥστε ἀπιστεῖσθαι αὐτούς.

Πρὸς [8] τὸν ἐξανιστάμενον Κλεάνθους διαλεκτικὸν καὶ προτείνοντα αὐτῷ σοφίσματα, πέπαυσο, εἶπε, περι-

5) Segm. 73. De sensu sententiae disputatur in Excerptis ex Diod. Sic ed. Mai. nr. XX. Cfr. supra p. 217.

6) In impr. sequitur: *Χορῶν τριῶν ὄντων κατὰ τὰς τρεῖς ἡλικίας ἐν Λακεδαίμονι* etc. quod supra inter provv. *Ἄμμες πότ' ἦμεν.*

7) In Mosc. deest: primum locum obtinet in Laur. quartum in impr. ubi incipit: *ὁ αὐτὸς* etc.

8) Diog. VII. Segm. 182.

ἕλκων τὸν πρεσβύτερον ἀπὸ τῶν πραγματικωτέρων· ἡμῖν δὲ τὰ τοιαῦτα πρότεινε τοῖς νέοις.

Πάλιν [9] *ἐπεί τις ζητῶν καταμόνας αὐτῷ διελέγετο εὐσταθῶς, ἐπεὶ δὲ θεωρῶν προσιόντα ὄχλον ἤρχετο φιλονεικεῖν, ἔφη, οἵμοι κασίγνητε ὄμμα σου ταράσσεται· ταχὺς δὲ μετέθου λύσσαν, ἀρτίως φρονῶν.*

Χρύσιππος [10] *ἐν ταῖς οἰνώσεσιν ἡσύχαζε παραφερόμενος τοῖς σκέλεσιν, ὥστ᾽ εἰπεῖν τὴν δούλην, Χρυσίππου μόνα τὰ σκέλη μεθύει. Οὕτω* [11] *δ᾽ ἦν φρονηματίας, ὥστε ἐρομένου τινὸς, τίνι συστήσω τὸν υἱὸν, εἰπεῖν, ἐμοὶ, καὶ γὰρ εἰ ὑπελάμβανον, εἶναί τινα ἐμοῦ βελτίονα, παρ᾽ αὐτῷ ἂν ἐγὼ ἐφιλοσόφουν· ὅθεν φασὶν ἐπ᾽ αὐτοῦ λεχθῆναι·*

Οἷος πέπνυται, τοὶ δὲ σκιαὶ ἀΐσσουσι.
Καὶ εἰ μὴ γὰρ ἦν Χρύσιππος, οὐκ ἂν ἦν στοά.

** Χρύσιππος ἐρωτηθεὶς, διατί οὐ πολιτεύεται, εἶπε, διότι, εἰ μὲν πονηρὰ πολιτεύηται, τοῖς θεοῖς ἀπαρέσκει, εἰ δὲ χρηστὰ, τοῖς πολίταις.*

Χρύσιππος ἠρώτα τοιούσδε τινὰς λόγους· εἴ τίς ἐστιν ἐν Μεγάροις, οὐκ ἔστιν ἐν Ἀθήναις· ἄνθρωπος δὲ ἔστιν ἐν Μεγάροις, οὐκ ἄρα ἐστὶν ἄνθρωπος ἐν Ἀθήναις.

Εἴ τι λαλεῖς, τοῦτό σοι διὰ στόματος ἔρχεται· ἅμαξαν δὲ λαλεῖς, ἅμαξά σου ἄρα διὰ τοῦ στόματος ἔρχεται.

Εἴ τι [12] *οὐκ ἀπέβαλες, τοῦτο ἔχεις· κέρατα οὐκ ἀπέβαλες, κέρατα ἄρα ἔχεις.*

9) Ex Laur. et impr. rec.
10) Diog. segm. 183.
11) Ex Laur. et impr. rec.
12) Hoc et duo praecedentia ex Diog. L. segm. 187.

Ὁ λέγων [13] τοῖς ἀμυήτοις τὰ μυστήρια [14] ἀσεβεῖ, ὁ ἱεροφάντης λέγει τοῖς ἀμυήτοις, ἄρα ἀσεβεῖ.

Ἔστι τις κεφαλὴ, ἐκείνην δ' οὐκ ἔχεις, ἔστι δέ τις κεφαλὴ, οὐκ ἄρα ἔχεις κεφαλήν.

* *Χαιρήμων ἔφη, οὐ ζῶσιν οἵ τι μὴ συνιέντες.*

* *Χαρίλλου.*

Χάριλλος ὁ βασιλεὺς ἐρωτηθεὶς, διατί νόμους ὀλίγους οὕτω Λυκοῦργος ἔθηκεν, ἀπεκρίνατο, τοὺς χρωμένους ὀλίγοις λόγοις μὴ δεῖσθαι νόμων πολλῶν.

Ὁ αὐτὸς τῶν Εἱλώτων τινὸς θρασύτερον αὐτῷ προσφερομένου, νὴ τὼ σιὼ, εἶπε, κατέκτανόν τεν εἰ μὴ ὠργιζόμαν.

Ὁ αὐτὸς πρὸς τὸν πυθόμενον, διατί κομῶσιν, εἶπεν, ὅτι τῶν κόσμων ἀδαπανώτατος οὗτός ἐστιν.

Ὁ αὐτὸς πυνθανομένου τινος, διατί τὰς μὲν κόρας ἀκαλύπτους, τὰς δὲ γυναῖκας ἐγκεκαλυμμένας εἰς τοὐμφανὲς ἄγουσιν, ὅτι, ἔφη, τὰς μὲν κόρας ἄνδρας εὑρεῖν δεῖ, τὰς δὲ γυναῖκας σώζειν τοὺς ἔχοντας.

Ὁ αὐτὸς ἐρωτηθεὶς, τίνα νομίζει πολιτείαν ἀρίστην, ἔφη, ἐν ᾗ ἂν περὶ ἀρετῆς πλεῖστοι πολιτευόμενοι πρὸς ἀλλήλους, ἄνευ στάσεως ἀγωνίζονται.

* *Χαβρίου.*

Χαβρίας ἔλεγε κάλλιστα στρατηγεῖν τοὺς μάλιστα γιγνώσκοντας τὰ τῶν πολεμίων.

Ὁ αὐτὸς δίκην φεύγων προδοσίας μετὰ Ἰφικράτους, ἐπιτιμῶντος αὐτῷ τοῦ Ἰφικράτους, ὅτι κινδυνεύων εἰς τὸ γυμνάσιον βαδίζει, καὶ τὴν εἰωθυῖαν ὥραν ἀριστᾷ, τοιγαροῦν, εἶπεν, ἂν ἄλλο τι γνῶσι περὶ ἡμῶν Ἀθηναῖοι, σὲ μὲν αὐχμῶντα καὶ ἄσιτον, ἐμὲ δὲ ἠριστηκότα καὶ ἀλλειμμένον ἀποκτενοῦσιν.

13) Hoc et sq. segm. 186.
14) Apogr. Dresd. ἀμυήτης | omisso τὰ μυστήρια. idem in Laur. et in impr. deest.

Ὁ αὐτὸς εἰώθει λέγειν, ὅτι φοβερώτερόν ἐστιν ἐλάφων στρατόπεδον, ἡγουμένου λέοντος, ἢ λεόντων ἐλάφου.

Ἀρχὴ τοῦ ψ στοιχείου.

Τὸ ψ μετὰ τοῦ α.

Ψάφωνος [1] *ὄρνιθες· ἐπὶ τῶν μεγίστην δόξαν ἑαυτοῖς θηρωμένων· ἐν Λιβύῃ ἀνὴρ Λίβυς, Ψάφων ὄνομα, ἐρασθεὶς εὐδαιμονίας οὐ ταπεινῆς, μὰ Δία, οὐδὲ τῆς περιθεούσης ταύτης, ἀλλὰ ἤθελε γὰρ θεὸς εἶναι δοκεῖν· ξυλλαβὼν οὖν τῶν ᾠδικῶν ὀρνίθων πολλοὺς, ἐδίδασκεν ᾄδειν τοὺς ὄρνιθας· μέγας θεὸς Ψάφων, καὶ ἠφίει αὖθις ἐπὶ τὰ ὄρη· οἱ δὲ* [2] *αὐτοί τε ἥδον καὶ οἱ ἄλλοι ὄρνιθες ἐθιζόμενοι τῇ φωνῇ, Λίβυες δὲ θείαν νομίσαντες εἶναι τὴν φήμην ἔθυον Ψάφωνι καὶ ἦν αὐτοῖς θεὸς, ὑπὸ ὀρνίθων χειροτονούμενος.*

Τὸ ψ μετὰ τοῦ ε.

Ψευδῶν [3] *πλέ᾽ ἀτραάφαξις· ἀντὶ τοῦ πλήρης ψευσμάτων· ἀτράφαξις δέ ἐστιν εἶδος λαχάνου, ὃ ταχέως εἰς μέγεθος αὔξεται· εἴρηται δὲ ἐπὶ τῶν μετεωριζομένων καὶ ὑψουμένων.*

Ψεύδεσιν Ἄρης φίλος. Εὐριπίδου.

Ψεκὰς ἢ δρόσος [4]· *οὕτως ἐκαλεῖτο Ἀντίμαχος πτυελώδης ὤν· οὗτος δὲ μελῶν ἦν ποιητής· οὕτω δὲ*

1) Apost. Cent. XX. 100. Idem exstat inter apophth. impr. Sumptum est ex Maximo Tyr. Dissert. XXXV. 4.

2) Codd. impr. et Max. Tyr. *οἱ αὐτοί.* — Macar. *Ψ ά λ ω ν κ ε ν ή ν· ἐπὶ τῶν μάταια κοπιώντων.*

3) Apost. Cent. XXI. 3.

4) Apost. Cent. XXI. 4. Verba *ἐδόκει δὲ Ἀντιμ.* etc. non habet. — Macar. *Ψ ε κ ὰ ς ἡ*

ἐκαλεῖτο, διότι προσέρρυαινε τοῖς ὁμιλοῦσι διαλεγόμενος· ἐδόκει δὲ Ἀντίμαχος ψήφισμα πεποιηκέναι ὅτι τὸ ἱερὸν πῦρ οὐκ ἔξεστι φυσῆσαι, δεῖ δὲ κωμῳδεῖν ἐξ ὀνόματος, ὡς μὴ καθαρεύοντα ἀνωνύμως.

Ψεκάδες [5] ὄμβρον γεννῶσαι λιμνάζουσιν ὕδατα· ἐπὶ τῶν κατὰ μικρὸν ἐπὶ τὰ μείζω χωρούντων.

Ψευδόπυρα [6] οἷον τὰ σά· ταῦτα διὰ νυκτὸς γίνεται πρὸς τὴν τῶν πολεμίων κατάπληξιν, ἵνα δείξωσιν, ὅτι πλῆθος πολὺ στρατοπέδου ἐστίν.

Ψιττακὸς τοὺς ἀγαθοὺς τῶν ἀνθρώπων θεοῦ τι μέρος ἔλεγεν ἔχειν.

Τὸ ψ μετὰ τοῦ υ.

Ψύρα [7] τὸν Διόνυσον· τὰ ψύρα εἰτελὴς νῆσός ἐστι καὶ μικρὰ, πλησίον Χίου, μὴ δυναμένη οἶνον ἐνεγκεῖν· λέγομεν οὖν τὴν παροιμίαν ἐπὶ τῶν ἐν συμποσίῳ ἀνακειμένων καὶ μὴ πινόντων· λέγεται δὲ καὶ ἐπὶ τῶν εἰτέλειαν σημαινόντων.

Ψυχῆς μέγας χαλινός ἐστιν ὁ νοῦς.
Ψυχῆς [8] γὰρ οὐδέν ἐστι τιμιώτερον.
Ψυχὴ δίδου σύγ' ἡδονὴν καθ' ἡμέραν,
Ὡς τοῖς θανοῦσι πλοῦτος οὐδὲν ὠφελεῖ.

Τὸ ψ μετὰ τοῦ ω.

Ψωριῶσα κάμηλος πολλῶν ὄνων ἀνατίθε-

ἀρόσος, nihil amplius. Id. Ψήξει καὶ πέτρην ὁ πολὺς χρόνος.

5) Apost. Cent. XXI. 2. verba λιμνάζουσιν ὕδατα non habet. Apogr. Dresd. παρὰ μικρόν. melius h. l. κατὰ μικρὸν quod praebet Apost.

6) Apost. Cent. XXI. 6. Verba ἵνα δείξωσιν et sqq. non habet. Macar. Ψευδόπυρα, ὅσα διὰ νυκτὸς γίνεται, πρὸς τὴν τῶν πολεμίων κατάπληξιν. — Ψευδόπλουτος, ψεῦδος πίστωμα, ψευδεπίγραφος δίκη.

7) Apost. Cent. XXI. 7.

8) Stob. T. 119. 10. Εὐριπίδου. Macar. habet: Ψυχὴ πρόμαντις.

ται φορτία· ἐπὶ τῶν ἐν γήρᾳ μὲν ὄντων ἢ δυστυχίαις, πολλῶν δὲ ἄμεινον ἐχόντων.

Ψωλὸν γενέσθαι δεῖ σε μέχρι μυρρίνου.

Ἀρχὴ τοῦ ὦ στοιχείου.

Τὸ ὦ μετὰ τοῦ α.

Ὦ ἄνα [1] Λητοῖς υἱὲ, Διὸς τέκος, οἵποτε σεῖο
Λήσομαι ἀρχόμενος οὐδ' ἀποπαυόμενος,
Ἀλλ' αἰεὶ πρῶτόν τε καὶ ὕστατον ἔν τε μέσοισιν
Ἀείσω, σὺ δέ μευ κλῦθι καὶ ἐσθλὰ δίδου.

Τὸ ὦ μετὰ τοῦ β.

Ὦ βασιλεῦ καὶ τόδε ἐς θυμὸν βάλλε, ὡς τοῖσι μὲν χρηστοῖσι τῶν ἀνθρώπων κακοὶ δοῦλοι φιλέουσι γίγνεσθαι, τοῖσι δὲ κακοῖσι χρηστοί. Ἡροδότου.

Τὸ ὦ μετὰ τοῦ γ.

Ὦ [2] γάμοι γάμοι· ἐπὶ τῶν δυστυχῶν.
Ὦ [3] γῆρας, ὡς ἅπασι τοῖς ζητοῦσί σε
Ψέγειν ἀφορμὰς παραδίδως τοῦ πράγματος.

Τὸ ὦ μετὰ τοῦ δ.

Ὤδινεν [4] ὄρος καὶ ἔτεκε μῦν· ἐπὶ τῶν μεγάλα λεγόντων, εἶτα ἀποτελούντων μικρά.

Ὦ δαιμόνι' ἀνδρῶν μὴ μεγάλα λίαν λέγε.

1) Eosdem versus Arsenius in fine apophthegmatum impessorum posuit, primo ita transformato:

Χριστὲ ἄναξ, παῖ παρθενομήτορος, οὔποτε σεῖο κ. τ. λ.

2) Apost. Cent. XXI. 9. Ex Soph. Oed. T. 1405.

3) Stob. T. 116. 16. *Ἀντιφάνους.*

4) Macar. *Ὤδινεν ὄρος, εἶτα μῦν ἀπέτεκεν, ὅταν ἐλπίσας τις*

Εὐριπίδου.

Ὦ [5] δέσποτ', οὐδεὶς οἶδεν ἄνθρωπος γεγὼς
Οὔτ' εὐτυχοῦς ἀριθμὸν, οὔτε δυστυχοῦς.

Τὸ ω̄ μετὰ τοῦ η̄.

Ὦ Ἡράκλεις, τί μαίνῃ· ἐπὶ τῶν θυμουμένων.

Ὦ Ἡράκλεις [6] ἀπόλωλεν ἀνδρὸς ἀρετά. Ἀρχίδαμος ὁ Ἀγησιλάου ἰδὼν βέλος τότε πρῶτον ἐκ Σικελίας κομισθὲν εἰς Λακεδαίμονα ἀναβοήσας ἔφη τοῦτο· τί δ' ἄν φαίη εἰ τὴν νῦν βολίδα ἑώρα.

Τὸ ω̄ μετὰ τοῦ θ̄.

Ὦ θνητὰ [7] πράγματ', ὦ γυναικεῖαι φρένες,
Ὅσον νόσημα τὴν Κύπριν κεκτήμεθα.
Ὦ θνητῶν [8] ἀνδρῶν καὶ ταλαιπώρων γένος,
Ὡς οὐδέν ἐσμεν, πλὴν σκιαῖς ἐοικότες,
Βάρος περισσὸν γῆς ἀναστρεφόμενοι.

Τὸ ω̄ μετὰ τοῦ ῑ.

Ὦι [9] ἱκανὸν οὐδὲν, τούτῳ γε αἰσχρὸν οὐδέν· Τιμόθεος ὁ Κόνωνος εἶπε τοῦτο πρὸς Ἀριστοφῶντα τὸν Ἀζηνιέα πάντων ἄριστα ἔχοντα λόγον, πλήν γε ἄσωτον ὄντα.

μεγάλα μικροῖς ἐντύχῃ. Consentiens cum Apost. Cent. XXI. 12. — εἶτα μὴν ἀπέκτεινεν· ὅταν ἐλπίσας τις μεγάλα μικροῖς ἐντύχῃ, ταύτην φαμέν. De Agesilao, statura parvo, qui auxilio ipsi venerat, dixit Tarchis, Aegypti rex: ὤδινεν ὄρος, Ζεὺς ἐφοβεῖτο τὸ δ' ἔτικτεν μῦν. Athen- XIV. p. 253. T. V. Schw. Plut. Ages. c. 36. Lucian. quomod. hist. conscr. c. 23. εὐθὺς γοῦν οἱ ἀκούσαντες ἐπιφθέγγονται αὐτοῖς τό· ὤδινεν ὄρος.

5) Stob. T. 105. 13. *Εὐριπίδου ἐκ Χρυσίππου.*

6) Apost. Cent. XXI. 10. Plut. Apophth. Lacon. p. 219. A.

7) Stob. T. 73. 25. *Εὐριπίδου.*

8) Stob. T. 98. 1. Apogr. Dresd. incipit: *θνητῶν ἀνδρῶν.*

9) Apost. Cent. XXI. 15.

Τὸ ω̄ μετὰ τοῦ κ̄.

Ὦ κρονικαῖς [10] λήμαις λημῶντε τὰς φρένας ἄμφω.
Ὤικτειρ' [11] ἀκούσας, οἰκτρὰ γὰρ τὰ δυστυχῆ.

Τὸ ω̄ μετὰ τοῦ μ̄.

Ὠμηστὴς [12] Διόνυσος· ἐπὶ τῶν ὠμότατα καὶ ἀπανθρωπότατα πραττόντων· τούτῳ γὰρ ζῶντας ἀνθρώπους ἔθυον οἱ πάλαι.

Ὦ μῶρε [13], θυμὸς ἐν κακοῖς οὐ ξύμφορος.
Ὤμοσεν [14] ἀλλὰ λέγουσιν ἀληθέα, τοὺς ἐν ἔρωτι
Ὅρκους μὴ δύνειν οὔατ' ἐς ἀθανάτων.

Τὸ ω̄ μετὰ τοῦ ν̄.

Ὢν [15] τοῖς θεοῖς ἄνθρωπος εὔχεται τυχεῖν,
Τῆς ἀθανασίας κρεῖττον οὐδὲν εὔχεται.

Πυθαγόρου.

Ὢν ἕνεκα ζῆν ἐθέλεις, τούτων χάριν καὶ ἀποθανεῖν μὴ κατόκνει.

Ὢν πρόχειρος ὁ πορισμὸς, τούτων ἡ κτῆσις εὐκαταφρόνητος.

Τὸ ω̄ μετὰ τοῦ ο̄.

Ὦ οἷα [1] κεφαλὴ καὶ ἐγκέφαλον οὐκ ἔχει· ἐπ' ἀνδρῶν μεγαλοπρεπῶν μὲν τῷ σώματι, κατὰ ψυχὴν δὲ ἀλογίστων.

Ὦ οὗτος [2] κἂν θύλαξ ἔσῃ οὐ προσελεύσο-

10) Aristoph. Plut. 581.
11) Stob. T. 99. 13.
12) Apost. Cent. XXI. 13. Apogr. Dresd. ὠμητής. Cfr. Creuzeri Symbol. III. p. 353. sq.
13) Stob. T. 99. 27. *Σοφοκλέους Οἰδίποδος.*
14) Callim. Epigr. 26. 3. Stob. T. 28. 5.
15) Stob. T. 118. 17. *Ποσειδίππου ἐκ Μύρμηκος.*
1) Apost. Cent. XXI. 14.
2) Apost. Cent. XXI. 17.

μαί σοι· ἐπὶ τῶν ἅπαξ πειραθέντων μοχθηρίας ἑνίων, οὐκέτι δὲ ἐξαπατωμένων τῇ πείρᾳ ταῖς αὐτῶν ὑποκρίσεσιν.

Ὠοῦ ἐξῆλθεν [3]· ἐπὶ τῶν ὡραιοτάτων· ὁ γὰρ Ζεὺς ὁμοιωθεὶς κύκνῳ ἐμίγη τῇ Λήδᾳ καὶ ἐγέννησε δύο ὠά· ἐκ μὲν τοῦ ἑνὸς ὠοῦ οἱ Διόσκουροι ἐγεννήθησαν Κάστωρ καὶ Πολυδεύκης, ἐκ δὲ τοῦ ἑτέρου ἡ Ἑλένη ἡ πάγκαλος, ὅθεν καὶ τὸ ἐξ ὠοῦ ἐγεννήθη.

Τὸ ϖ μετὰ τοῦ π.

Ὤ παῖ [4], σιώπα, πολλ' ἔχει σιωπὴ καλά.
Ὤ πᾶσιν ἀνθρώποισιν ἔχθιστοι βροτῶν,
Σπάρτης ἔνοικοι, δόλια βουλευτήρια,
Ψευδῶν ἄνακτες μηχανορράφοι κακῶν
Ἑλικτὰ κοὐδὲν ὑγιές.
Ὤ πόλις πόλις, ὡς εὐτυχὴς εἶ μᾶλλον ἢ καλῶς φρονεῖς.

Τὸ ω μετὰ τοῦ ρ.

Ὡραιότερος [5] Ὑακίνθου· οὗτος Ἀμυκλαῖον ἦν μειράκιον καὶ καλόν· εἰς τοῦτον εἶδε μὲν ὁ Ἀπόλλων, εἶδε δὲ ὁ Ζέφυρος, καὶ ἄμφω κατείχοντο τῇ μορφῇ καὶ φιλότιμος ἦν, ἀφ' ὧν εἶχεν ἑκάτερος· ἐτόξευε μὲν ὁ Ἀπόλλων, ἔπνει δὲ ὁ Ζέφυρος· μέλη μὲν ἦν τὰ παρ' ἐκείνου καὶ ἡδονή. Φόβος δὲ τὰ παρ' ἐκείνου καὶ ταραχή· ῥέπει πρὸς τὸν δαίμονα τὸ μειράκιον, καὶ Ζέφυρον ὑπὸ ζηλοτυπίας ὁπλίζει πρὸς πόλεμον· μετὰ ταῦτα ἦν γυμνάσια τῷ μειρακίῳ καὶ τιμωρία παρὰ Ζεφύρου· δί-

3) Apost. Cent. XXI. 18. Ad ovum lustrale, puri animi symbolum, proverbium refert Al. de la Borde in explicatione Vas. Lamberg. Tom. I. Tab. XIII.

4) Apost. Cent. XXI. 16. addit: *Μενάνδρου ἢ παραίνεσις.* Stob. T. 33. 3. *Σοφοκλέους Ἀλέασι.*

5) Apost. Cent. XXI. 19. Cfr. Philostr. Jun. XIV.

σκος ἦν ὁ πρὸς τὴν ἀναίρεσιν ἐκείνου διακονήσας; ὑπὸ τούτου μὲν ἀφεθεὶς, ὑπ᾽ ἐκείνου δὲ ἐνεχθείς· καὶ ὁ μὲν ἐτεθνήκει, τὴν γῆν δὲ οὐκ ἦν ἔρημον ὑπομνήματος ἀφεῖναι τὴν συμφοράν, ἀλλὰ τὸ ἄνθος ἀντὶ τοῦ μειρακίου γίνεται· καὶ τοὔνομα δέχεται· λέγουσι δ᾽ ὅτι καὶ ἡ προσηγορία ἐν φύλλοις ἐπιγέγραπται.

Ὥρα [6] σε θυμοῦ κρείσσονα γνώμην ἔχειν.

Ὄργος ἀρχηγὸς ναυπηγίας.

Τὸ ω μετὰ τοῦ σ.

Ὥσπερ ἥρως [7] ἐν ἀσπίδι ξενίσαι βούλομαι· λέγεται ἐπὶ τῶν τοὺς φίλους τοῖς ἑαυτῶν ἔργοις εὐεργετούντων.

Ὡς παῖδα [8] φιλοῦσιν ἐρασταί· ἐπὶ τῶν ἐρωτικῶς διακειμένων.

Ὡς [9] ἀγαθόν ἐστ᾽ ἐπωνυμίας πολλὰς ἔχειν.

Ὡς οὐκ ἔστι λέουσι καὶ ἀνδράσιν ὅρκια πιστά.

Ὡς μέγα τὸ μικρὸν ἐστιν ἐν καιρῷ δοθέν.

Ὡς ἔστι [10] τὸ γαμεῖν ἔσχατον τοῦ δυστυχεῖν.

Ὥσπερ [11] παλαιὰν εἰρεσιώνην καύσεται· ἐπὶ ἰσχνῶν καὶ ξηρῶν καὶ φθειρομένων ταχέως· ἡ δὲ νέα εἰρεσιώνη θαλὸς ἦν ἐλαίας ἐστεμμένος ἐρίοις· καὶ προσκρεμαμένους ἔχων παντοδαποὺς τῶν ἐκ τῆς γῆς καρπῶν· τοῦτον δὲ ἐκφέρει παῖς ἀμφιθαλὴς, καὶ τίθησι πρὸ τῆς θύρας τοῦ Ἀπόλλωνος ἱεροῦ τοῖς Πυανεψίοις.

Ὥσπερ ἂν εἴ τις ἐς ὅλμον ὕδωρ ἐγχέας ὑπέρῳ σιδηρῷ πλήττοι.

6) Stob. T. 20. 37. *Εὐριπίδου Τηλέφου.*

7) Apost. Cent. XXI. 20. Mac. *ὅτι δεῖ καὶ δοκεῖν σὺν τῷ εἶναι.*

8) Apost. Cent. XXI 22. Plat. Phaedr. c. 18. *Ὡς λύκοι ἄρνα φιλοῦσ᾽, ὡς παῖδα φιλοῦσιν ἐρασταὶ*, ubi Ast.

9) Ex Aristoph. Plut. 1164.

10) Stob. T. 68. 27. *Ἀντιφάνους.*

11) Apost. Cent. XXI. 24. plura affert. De *εἰρεσιώνη* vide Potterum ad Clem. Al. IV. 2. p. 566. Bergler. ad Alciphr. III. 37.

Ὡς τοῦ Φινέως [12] τὸν βίον· ἐπὶ τῶν κακῶς ἀποβαλλομένων τὰ ὄντα.

Ὥσπερ [13] ἑωλοκρασίαν μου καταχέεις. Τάττεται ἐπὶ ὕβρεως· οἱ γὰρ νέοι ἑωλοκρασίαν κατεσκεύασαν ἀνδρῶν φιλοσόφων, ἡνίκα συνέπινον ἀλλήλοις· παρ' Ἀθηναίοις ἐπὶ ἑκάστου κρατῆρος οἶνος ἐτίθετο, καὶ εἴ τις ἐκάθευδε μὴ πιὼν τὸν ἴδιον κρατῆρα, πρωῒ κατὰ τῆς ἑαυτοῦ κεφαλῆς ἐξεχέετο καὶ ἐκαλεῖτο τοῦτο ἑωλοκρασία· κυρίως δὲ τὸ χθιζὸν βρῶμα.

Ὠτίων πιστότεροι [14] ὀφθαλμοί· ἐπὶ τῶν ἀλόγως τὰ κρείττω τοῖς μείοσι παραβαλλομένων.

Ὡς πολὺ [15] κάλλιον ὦ φίλαι ἐστὶν ἐν παρατάξει νικῶντα τελευτᾶν ἢ τὰ Ὀλύμπια περιγινόμενον ζῆν. Λάκαινα πομπὴν τελοῦσα πάνδημον, ἤκουσεν ἐπὶ τῆς παρατάξεως νικᾶν τὸν υἱὸν, ἐκ δὲ τῶν τραυμάτων πολλῶν γενομένων θνήσκειν· οὐ περιελομένη οὖν τὸν στέφανον, ἀλλὰ σεμνυνθεῖσα πρὸς τὰς πλησίον τοῦτ' εἶπεν.

Ὠρίων [16] ἐστὶν ἄστρον μέγιστον ἐν τῷ οὐρανῷ κατηστερισμένον οὕτω. Ἐρετριεὺς ὁ Ποσειδῶνος καὶ Ἀλκμήνης μιᾶς τῶν Ἄτλαντος θυγατέρων ᾤκει μὲν ἐν Ταναγρᾳ τῆς Βοιωτίας. Φιλοξενώτατος δὲ γεινόμενος ὑπεδέξατό ποτε καὶ θεούς. Ζεὺς δὲ καὶ Ποσειδῶν καὶ Ἑρμῆς ἐπιξενωθέντες καὶ τὴν φιλοσοφροσύνην ἀποδεξάμε-

12) Apost. Cent. XXI. 25. rem pluribus exponit.

13) Apost. Cent. XXI. 26. Plut. Sympos. p. 145. A. *μένει τὸ πρὸς ἀλλήλους δυσάρεστον, ὥσπερ ἑωλοκρασία τις ὕβρεως, ἢ ὀργῆς ἐν οἴνῳ γενομένης.* ubi Wyttenb.

14) Apost. Cent. XXI. 27. Julian. Ep. 22. p. 389. B. *ὁ λογοποιὸς Θούριος ὦτα εἶπεν ἀνθρώποις ὀφθαλμῶν ἀπιστότερα.* Cfr. Wyttenb. adj Julian. Or. 1. p. 57. c.

15) Plut. Apophth. Lacaen. p. 242. A. Macar addit: *Ὡσὶν ἑστῶσιν· ἐπὶ τῶν πρὸς τὸ ἀκούειν τὰ ὦτα εὐτρεπιζομένων.*

16) Mosc. non habet: exstat in Laur. et impr.

νοι παρήνεσαν αἰτεῖν, ὅ τι ἂν βούλοιτο· ὁ δὲ ἄτεκνος ὢν ἠτήσατο παῖδα· λαβόντες οὖν οἱ θεοὶ τὴν τοῦ ἱερευθέντος αὐτοῖς βοὸς βύρσαν ἀπεσπέρμηναν εἰς αὐτὴν καὶ ἐκέλευσαν κρύψαι κατὰ γῆν, καὶ μετὰ δέκα μῆνας ἀνελέσθαι, ὧν διελθόντων ἐγένετο Οὐρίων, οὕτως ἐνομασθεὶς διὰ τὸ οὐρῆσαι τοὺς θεούς. Εἶτα κατ' εὐφημισμὸν ὠνομάσθη Ὡρίων. Συγκυνηγετῶν δὲ Ἀρτέμιδι, ἐπεχείρησεν αὐτὴν βιάσασθαι· ὀργισθεῖσα δὲ ἡ θεὸς, ἀνέδειξεν ἐκ τῆς γῆς σκορπίον, ὃς αὐτὸν δήξας καὶ πλήξας κατὰ τὸν ἀστράγαλον ἀπέκτεινεν. Ζεὺς δὲ συμπαθήσας αὐτὸν κατηστέρισε· διὸ τοῦ σκορπίου ἀνατέλλοντος ὁ Ὡρίων δύνει. Ἡ ἱστορία παρὰ Εὐφορίωνι.

APPENDIX.

I.

Παροιμίαι Αἰσώπου [1].

Ἄνευ χαλκοῦ Φοῖβος οὐ μαντεύεται· τὴν ἰσχὺν τοῦτο σημαίνει τῶν δωρεῶν.

Ἔνθεν ἐκεῖθεν οὐαὶ, οἷς περιστοιχίζεται κακά.

Ἔσται καὶ χωλῶν δρόμος· τὸ ἄδηλον δηλοῖ.

Ζητῶν Ἑρμῆν γλίψαι Κέρκοπα ἔγλυψα.

Ἢ Ζεὺς ἢ Χάρων· ἢ εὐδαίμονος βίος ἢ τέλος.

Μακρὰς ἐλπίδας μισῶ.

Ὁ ἐγγὺς Διὸς, ἐγγὺς κεραυνοῦ.

Οὐδεὶς καιρὸν βαστάσας ἐξέβη κυρτός.

Ποῦ γὰρ ἡ Ἄρτεμις οὐκ ἐχόρευσεν.

Ἐξ ἅμου σχοινὸν πλέκειν.

Στρογγύλα λέγε, ἵνα καὶ κυλίεται.

Τὸν ἀτυχῆ καὶ πρόβατον δάκνει.

Ὃν ἡ τύχη προπηλακίζει, καὶ πάντων πραγμάτων μάστιγας εὑρίσκει. (Legendum forte ἐκ πάντων).

Τὰ προλήμματα νικήματα.

Φαγέτω μελέων.

1) Descripsi ex cod. Med. Plut. LVIII. Cod. 24. Propter exiguum numerum omnia descripta esse notandum. Unum, quod p. 2. not. 5. attuli, h. l. omisi.

Καὶ μὴ ἀλώπηξ.

Δυστυχείτω καὶ λοιδορείτω με.

Sequuntur *παροιμίαι*: plerumque sine interpretatione, ex quibus eas, quae aliunde minus notae videbantur, excerpsimus: *Οὐδὲν ἱερὸν Ἡρακλεῖ· ἰδὼν τὸν Ἄδωνιν ἱδρυμένον* [2] *ἔφη οὕτως· ἐπὶ τῶν ἀχρήστων ἡ παροιμία.*

Ὅπου οἱ ἔλαφοι τὰ κέρατα ἐκβάλλουσιν· ἐπὶ τῶν ἐργώδεις ποιούντων τὰς διατριβὰς εἴρηται, παρόσον ἐκεῖναι ἐν τραχέσι καὶ δυσβάτοις τόποις τὰς περιτρίψεις ποιοῦσιν.

Ὁ παῖς τὸν κρύσταλλον· ἐπὶ τῶν μὴ κατέχειν τι δυναμένων.

Τί οὐκ ἀπήγξω, ἵν' ἐν Θήβῃσιν ἥρως γίνῃ· κατ' εἰρωνείαν εἴρηται παρὰ Πλάτωνος, παρόσον οἱ ἑαυτοὺς ἀναιροῦντες ἐν Θήβαις οὐδεμιᾶς τιμῆς μετεῖχον.

Sequuntur *παροιμίαι παροιμιώδεις κατὰ στοιχεῖον.*

Σχᾶμα καὶ τριώβολον· τῷ εὑρόντι καινὸν ὀρχήσεως σχῆμα τριώβολον ἐδίδουν ἆθλον.

Τιτᾶνας βοᾷν· ἐπὶ τῶν ἐς βοήθειάν τινας καλούντων εἴρηται.

Sequuntur *φιλόστοργα· δεῖ τὴν ἐπιστολὴν μὴ κατεγλωττισμένην εἶναι, μηδ' ὑπεραττικίζουσαν· ἀλλὰ τῆς μὲν συνηθείας ἀττικωτέραν, τῆς δ' ὑπὲρ τὸ μέτρον Ἀττίδος συνηθεστέραν· ὅτι Ἀττικοὶ νεὼν λέγουσιν, Ἴωνες νηόν, Δωριεῖς Αἰολεῖς ναόν.*

2) Cod. *ἡδρυμένον*, et mox *ἀχρίστων*.

II.

Γνῶμαι κατ᾽ ἐκλογὴν ἐκ τῶν Δημοκρίτου, Ἐπικτήτου καὶ ἑτέρων φιλοσόφων, ποιητῶν καὶ ῥητόρων [1].

Ἀρχέσθω ὁ παρὰ τοῦ θεοῦ λόγος μᾶλλον ἢ τὰ σιτία.

Συνεχέστερον νόει τὸν θεὸν ἢ ἀνάπτνει.

Θεὸς οὐ λῃστός· εἰ δὲ λῃστὸς, οὐ θεός.

Βούλει γνωσθῆναι παρὰ θεοῦ· ἀγνοήθητι μάλιστα παρὰ ἀνθρώποις.

Ἐὰν ἀεὶ μνημονεύσῃς, ὅτι, ὃ ἂν [2] *ἐργάζῃ κατὰ ψυχὴν ἢ σῶμα θεὸς παρέστηκεν ἔφορος· ἐν πάσαις πράξεσιν οὐχ ἁμάρτῃς, ἕξεις δὲ τὸν θεὸν σύνοικον.*

Θεῷ ὅμοιον ἔχει ἄνθρωπος τὸ εὖ ποιεῖν· ὅταν τὸ εὖ ποιεῖν μὴ καπηλεύηται.

Θεὸς δεῖται οὐδενὸς· σοφὸς δὲ δεῖται μόνου θεοῦ.

Θεοῦ ἄξιόν σε ποιήσει τὸ μηδὲν ἀνάξιον ἑαυτοῦ πράττειν.

Κρείττονες αἱ τῶν πεπαιδευμένων ἐλπίδες ἢ ὁ τῶν ἀμαθῶν πλοῦτος.

Μηδὲν ἄγαν.

Λάθε σιώπας.

Ἔγγύα, πάρα δ᾽ ἄτα.

Οὐδεὶς κομήτης [3] *ὅστις οὔ.*

Οὐδεὶς ὄνος τῷ τέλματι.

Γαμεῖν μέλλε, μὴ γάμει δὲ, γαμήσας γὰρ μεταμεληθήσῃ.

1) Descxipta sunt ex Cod. Monac. VIII. Fol. 39. Eadem continentur in Codd. Paris. 1983. 2977.

2) *δ ἄν* scripsi pro *τῷ* quod est in cod.

3) Cod. *κοομήτης*. Alludit ad prov. ex Macario p. 309. allatum: *οὐδεὶς κομήτης, ὅστις οὐ βιννητιᾷ*. Vocem indecoram compilator noster omisit.

Μήτε νομοκλοπέειν ἐθέλῃς, μήτ᾽ ἄρσενα Κύπριν ὀρίνειν.

Ἐν πίθῳ τὴν κεραμίαν μανθάνεις.

Τιμήσεις τὸν θεὶν ἄριστα· ὅταν τῷ θεῷ τὴν διάνοιαν ὁμοιώσῃς δι᾽ ἀρετῆς· ἡ γὰρ ἀρετὴ τὴν ψυχὴν ἕλκει πρὸς τὸ συγγενές.

Οἱ ἄνθρωποι τότε γίνονται βελτίους, ὅταν τῷ θεῷ προσέρχωνται· ὅμοιον δὲ δείκνυσι τῷ θεῷ τὸ εὐεργετεῖν καὶ ἀληθεύειν.

Σοφὸς ἄνθρωπος θεὸν σεβόμενος γινώσκεται ὑπὸ τοῦ θεοῦ· διὸ οὐκ ἐπιστρέφεται, κἂν ὑπὸ πάντων ἀγνοῆται.

Τὰς μὲν πόλεις ἀναθήμασι, τὰς δὲ ψυχὰς μαθήμασι δεῖ κοσμεῖν.

Οὔτε ἵππος εὐγενὴς κρίνοιτο ἂν πολυτέλειαν ἠμφιεσμένος, ἀλλ᾽ ὁ τῇ ψυχῇ λαμπρὸς, οὔτε ἀνὴρ πολυτίμητα κεκτημένος, ἀλλ᾽ ὁ τὴν ψυχὴν γενναῖος.

Ἐν μὲν τοῖς ἐσόπτροις ὁ τῆς ὄψεως, ἐν δὲ ταῖς ὁμιλίαις ὁ τῆς ψυχῆς χαρακτὴρ βλέπεται.

Ἰσχύειν τῇ ψυχῇ αἰροῦ μᾶλλον ἢ τῷ σώματι [4].

Τεθνάναι πολὺ κρεῖττον ἢ δι᾽ ἀκρασίας τὴν ψυχὴν ἀμαυρῶσαι.

Ὑπεράνω τῆς σαρκὸς μὴ γενόμενος τὴν ψυχὴν θάπτεις ἐν τῇ σαρκί.

Ἀνθρώποις ἁρμόδιον ψυχῆς μᾶλλον ἢ σώματος λόγον ποιεῖσθαι.

Ἀρετὴ ἑκάστῳ ἡ οἰκεία τελειότης.

Βίας ἐρωτηθεὶς, τί εἴη ἂν ἄφοβον ἐν τῷ βίῳ, εἶπε, συνείδησις.

Τῆς ἀγνοουμένης ἀρετῆς ὡς τοῦ κατορωρυγμένου χρυσίου ἡ λαμπρότης οὐ φαίνεται.

4) Cod. *τῶν σωμάτων.*

Πᾶς ἄνθρωπος τόσου ἄξιος, ὅσου ἀξίαν γινώσκει σοφίαν.

Ὁ μὲν γεωργὸς γῆν, ὁ δὲ φιλοσοφῶν τὴν ψυχὴν ἐξημεροῖ.

Φρόνησις εὐτυχίαν ὡς τὰ πολλὰ χαρίζεται· τύχη δὲ φρόνησιν οὐ ποιεῖ.

Ἐν μὲν τῷ πολέμῳ πρὸς ἀσφάλειαν χρυσὸς κρείττων, ἐν δὲ τῷ ζῆν λογισμὸς πλούτου.

Ἡ παιδεία εὐτυχοῦσι μὲν κόσμος, ἀτυχοῦσι δὲ καταφόριον.

Χρὴ τὴν μὲν εὐσέβειαν φανερῶς ἐνδείκνυσθαι, πυρὶ δὲ ἀληθείας θαῤῥούντως προϊστασθαι.

Πλεῖστον διαφέρει τὸ νουθετεῖν τοῦ ὀνειδίζειν· τὸ μὲν γὰρ ἤπιόν τε καὶ φίλον, τὸ δὲ σκληρόν τε καὶ ὑβριστικόν· καὶ τὸ μὲν διορθοῖ τοὺς ἁμαρτάνοντας, τὸ δὲ μόνον ἐξελέγχει.

Κρεῖσσον ἰσχυρὸν εἶναι μετὰ σωφροσύνης ἢ εἴσαρκον μετὰ ἀκολασίας.

Πατρὸς σωφροσύνη μέγιστον τέκνοις παράγγελμα.

Νόμοι ἀληθέστατοι οἱ δικαιότατοι.

Νόμῳ καὶ ἄρχοντι καὶ τῷ σοφωτέρῳ εἴκειν κόσμιον.

Ἄριστος κριτὴς ὑπονοείσθω ὁ ταχέως μὲν συνιείς, βραδέως δὲ κρίνων.

Ἄρισται αἱ πόλεις οἰκοῖντ' ἄν, ἐὰν οἱ μὲν πολῖται τοῖς ἄρχουσι πείθωνται, οἱ δὲ ἄρχοντες τοῖς νόμοις.

Ἄριστος ἡγεμὼν ὁ τὸν φίλον δωρεαῖς συνέχων, τοὺς δὲ ἐχθροὺς διὰ τῶν εὐεργεσιῶν φιλοτιμούμενος.

Ποθητὸς εἶναι μᾶλλον ἢ φοβερὸς κατὰ τὸν βίον αἱροῦ, ὃν γὰρ πάντες φοβοῦνται, οὗτος πάντας φοβεῖται.

Αἱροῦ μᾶλλον τοὺς συνόντας αἰδεῖσθαι, ἢ φοβεῖσθαι· αἰδοῖ μὲν γὰρ πρόσεστι σέβας, φόβῳ δὲ μῖσος.

Τὸν ἄρχοντα δεῖ ἔχειν πρὸς μὲν τοὺς καιροὺς λογισμὸν, πρὸς δὲ τοὺς ἐναντίους τὸ τολμᾷν, πρὸς δὲ τοὺς ὑποτεταγμένους εὔνοιαν.

Μηδεὶς τῶν φρονίμων τοῦ ἄρχειν ἀλλοτριούσθω· καὶ γὰρ ἀσεβὲς τὸ ἀποσπᾶν ἑαυτὸν τῆς τῶν δεομένων εὐχαριστείας, καὶ ἀγεννὲς τὸ τοῖς φαύλοις παραχωρεῖν· ἀνοήτων γὰρ τὸ αἱρεῖσθαι· κακῶς ἄρχεσθαι μᾶλλον ἢ κακῶς ἄρχειν.

Χρὴ τὰς ἀρχὰς οὐ σπουδῇ, ἀλλὰ κρίσει τῆς ἀληθείας γίνεσθαι.

Παραδοξότατόν ἐστιν ἀνθρώποις, ἐάν τις ἐξουσίας κυριεύσας ἑαυτὸν γνωρίζῃ.

Ὧν τὰς δόξας ζηλοῖς, τούτων μιμοῦ τὰς πράξεις.

Ἐλέφαντα μὲν τὸ σχῆμα, ἄνδρα δὲ ἡ πρᾶξις κοσμεῖ.

Μικραὶ χάριτες ἐν καιρῷ μέγισταί εἰσι τοῖς λαμβάνουσιν.

Οὐδὲν τῶν ἐν τῷ βίῳ τάχιστα γηράσκει ὡς χάρις.

Ταὐτόν ἐστιν ὄφιν ἐκτρέφειν καὶ πονηρὸν εὐεργετεῖν· ἑκατέρῳ [5] γὰρ ἡ χάρις εὔνοιαν οὐ γεννᾷ.

Τὸν μὴ δυνάμενον γενναίως ἐνεγκεῖν ἀτυχίαν ἴσθι μὴ δύνασθαι ἐπιδεξίως ἐνεγκεῖν εὐτυχίαν.

Ὥσπερ οἱ ἐν εὐδίᾳ πλέοντες καὶ τὰ πρὸς τὸν χειμῶνα ἔχουσιν ἕτοιμα, οὕτως οἱ ἐν εὐτυχίᾳ· καὶ τὰ πρὸς τὴν ἀτυχίαν ἑτοιμάζουσι βοηθήματα.

Καὶ κυβερνήτης ἀγαθὸς ἐνίοτε ναυαγεῖ, καὶ ἀνὴρ σπουδαῖος ἀτυχεῖ.

Ἡ τύχη ἔοικε φαύλῳ ἀγωνοθέτῃ, πολλάκις γὰρ τοὺς μὴ νικήσαντας στεφανοῖ.

Ἐθέλεις λαμβάνειν, δίδου καὶ τοῖς δεομένοις τῶν ἐνόντων σοι, ὁ γὰρ μὴ διδοὺς δεομένοις οὐ λήψεται δεόμενος.

Οὐδεὶς ἐλεύθερος ὁ ἑαυτοῦ μὴ κρατῶν.

Οὐδὲν οὔτε ἡδὺ οὔτε ἀηδὲς τῇ φύσει ὑφέστηκε, πάντα δὲ τῇ συνηθείᾳ γίνεται.

5) Cod. ἑκάτερον.

Βίον αἱροῦ τὸν ἄριστον, τοῦτον γὰρ ἡδὴν ἡ συνήθεια ποιεῖ.

Οὔτε μάχαιραν ἀμβλείαν οὔτε παῤῥησίαν ἄπρακτον ἔχειν δεῖ.

Ὁδὸν μὲν λειοτάτην ἐκλέγεσθαι δεῖ· βίον δὲ τὸν ἀλυπότατον.

Λιμὴν μὲν πλοίῳ ὅρμος, βίῳ δὲ ἀλυπία.

Ταὐτόν ἐστι νεκρὸν ἰατρεύειν καὶ γέροντα νουθετεῖν.

Γῆρας καὶ πενία δί᾽ο τραύματα δυσθεράπευτα.

Κρεῖττόν ἐστι ποδὶ ὀλισθαίνειν ἢ γλώσσῃ.

Λιρετώτερόν ἐστι λίθον εἰκῆ βαλεῖν ἢ λόγον.

Βουλεύου πολλὰ πρὸ τοῦ λέγειν ἢ πράττειν, οὐ γὰρ ἄδεια ἀνακαλέσασθαι τὰ λεχθέντα ἢ πραχθέντα.

Ἵππου μὲν ἀρετὴν ἐν πολέμῳ, φίλου δὲ πίστιν ἐν ἀτυχίᾳ κρῖνε.

Ἐν εὐτυχίᾳ φίλον εὑρεῖν εὐπορώτερον, ἐν δὲ δυστυχίᾳ πάντων ἀπορώτατον.

Παρόντας μὲν τοὺς φίλους δεῖ εὖ ποιεῖν, ἀπόντας δὲ εὔλογεῖν.

Πολλοὶ δοκοῦντες εἶναι φίλοι οὐκ εἰσὶ, καὶ οὐ δοκοῦντες εἰσί.

Πολλοὶ τοὺς φίλους ἐκτρέπονται, ὁπόταν ἐξ εὐπορίας εἰς σπάνιν περιπέσωσιν, οἱ γὰρ πλεῖστοι τῶν χρημάτων, οὐ τῶν ἐχόντων εἰσὶ φίλοι.

Ἀλέξανδρος ἐρωτηθεὶς, ἐν τίνι ἔχει τοὺς θησαυροὺς, δείξας τοὺς φίλους εἶπεν, ἐν τούτοις.

Φεύγειν δεῖ κακῶν φιλίαν καὶ ἀγαθῶν ἔχθραν.

Ὑπ᾽ οὐδενὸς δοκήσει φιλεῖσθαί τις μηδένα φιλῶν.

Ἰατρὸν καὶ φίλον οὐ τὸν ἰδιώτην, ἀλλὰ τὸν ὠφελιμώτερον δεῖ ἐκλέγεσθαι.

Τοῖς μὲν νοσοῦσιν ἰατροὺς, τοῖς δὲ δυστυχοῦσι φίλους δεῖ συμπαρεῖναι.

Μακάριος ἄνθρωπος ὁ μηδενὸς ἐπιθυμῶν.

Αἱροῦ πρότερον τὰς ἐπιθυμίας κολάζειν, ἢ ταῖς ἐπιθυμίαις κολάζεσθαι.

Παιδὸς οὐκ ἀνδρὸς τὸ ἐπιθυμεῖν ἀμέτρως.

Θάνατος καὶ φθορὰ καὶ πάντα ἄλλα δεινὰ πρὸ ὀφθαλμῶν ἔστω σοι καθ' ἡμέραν, καὶ οὐδέποτε οὔτε ἐνθυμήσῃ οὔτε ἄγαν ἐπιθυμήσεις.

Μὴ ταχὺ ἐπὶ σεαυτῷ μεγάλα φρονήσεις, ὅταν τινὰ ἡδονὴν προϊοῦσαν παραιτήσῃ· πολλὰ γὰρ λανθάνομεν ἑαυτοὺς οὐ δεδαμακότες τὴν ἐπιθυμίαν, ἀλλ' ὑπ' αὐτῆς μᾶλλον ἐλεγχόμενοι.

Ἡδονὴν οὐ πᾶσαν, ἀλλὰ τὴν ἐπὶ τὸ καλὸν αἱρεῖσθαι δεῖ.

Φρονίμου μέν ἐστιν ἀντιτάσσεσθαι ταῖς ἡδοναῖς, ἄφρονος δὲ δουλεύειν.

Ὁ κατὰ φύσιν πλοῦτος ἄρτῳ καὶ ὕδατι καὶ τῇ τυχούσῃ τοῦ σώματος σκέπῃ συμπεπλήρωται, ὁ δὲ περιττὸς κατὰ ψυχὴν ἀπέραντον ἔχει καὶ τὴν τῆς ἐπιθυμίας βάσανον.

Ὅσῳ μὲν ἐπὶ τῇ φύσει, πάντες ἐσμὲν πλούσιοι, ὅσῳ δὲ ἐφ' ἡμῖν, πάντες ἐσμὲν πένητες.

Οὐχ ὁ πλουτῶν, ἀλλ' ὁ μὴ χρήζων πλούτου μακάριος.

Οὐ τὸ πένεσθαι αἰσχρὸν, ἀλλὰ τὸ αἰσχρῶς εὐπορεῖν.

Ἀπορῆσαι καὶ τῆς ἐφημέρας τροφῆς ἄμεινον ἢ πρὸς ἀκολασίαν εὐπορῆσαι.

Ὁ τῷ κατὰ φύσιν ἀρκούμενος πλούτῳ τοῦ τὰ πολλὰ κεκτημένου, πλειόνων δὲ ἐπιθυμοῦντος πολύ ἐστι πλουσιώτερος.

Πολλοὶ τῶν ἀνθρώπων λυποῦνται, ὅτι οὐ μόνον τὰ ἑαυτῶν αὐτοὺς κακὰ δάκνει, ἀλλὰ καὶ τὰ τῶν πέλας ἀγαθὰ λυπεῖ.

Ἑαυτὸν τιμωρεῖται πᾶς ὁ μετὰ λύπης βιῶν.

Τοὺς μὲν ἄφρονας ὁ χρόνος, τοὺς δὲ φρονίμους ὁ λόγος τῆς λύπης ἀπαλλάττει.

Ἐπενδύεσθαι δεῖ τῷ μὲν θώρακι χιτῶνα, τῇ δὲ λύπῃ νοῦν.

Υἱὸν ἀποβαλόντι τινὶ καὶ πενθοῦντι φίλῳ γράφων τις παραμυθητικῶς εἶπεν· εἰ ὅτε οὐδέπω ἦν οὐκ ἐλυποῦ, μηδὲ νοῦ, ὅτε οὐκ ἔστι, λυπηθῇς.

Συμφορὰ πᾶσα ἢ ἀδιόρθωτός ἐστιν ἢ εὐδιόρθωτος, κατ᾽ οὐδετέραν δὲ λυπητέον.

Ἃ μὴ βούλῃ κατ᾽ ὀργὴν μήτε ἀκούειν μήτε πάσχειν, ταῦτα ὀργιζόμενος μήτε εἴπῃς μήτε πράξῃς.

Πειρῶ πειθοῖ καὶ λόγῳ μᾶλλον ἢ ὀργῇ τὰ ἡμαρτημένα διορθοῦσθαι.

Μανίαν ἰᾶται φάρμακον, ὀργὴν δὲ οὐδὲν ἄλλο ἢ λόγος.

Εὐκλείδης τοῦ ἀδελφοῦ εἰπόντος κατ᾽ ὀργὴν, οὐ πρότερον ἀποθανεῖσθαι, εἰ μὴ ἀμύνηται αὐτὸν, ἀλλ᾽ ἐγὼ, ἔφη, οὐ πρότερόν ἀποθανοῦμαι, εἰ μή σε φίλτατον ποιήσομαι.

Κρεῖσσον ἀντ᾽ ὀργῆς μακροθυμεῖν πρὸ τοῦ κακῶς πρᾶξαι, ἢ εἰκῇ μεταμελεῖσθαι.

Κρεῖσσον θεῷ ἢ βροτοῖς χάριν φέρειν.
Σοφὸς οὐδεὶς πλὴν ὅν ἂν τιμήσῃ θεός.
Πρὸς τὰς φύσεις χρὴ καὶ τὰ πράγματα σκοπεῖν.
Τῆς δ᾽ ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν
Ἀθάνατοι· μακρὸς δὲ καὶ ὄρθιος οἶμος ἐς αὐτήν,
Καὶ τρηχὺς τὸ πρῶτον, ἐπὴν δ᾽ εἰς ἄκρον ἵκηται,
Ῥῃδίη δ᾽ ἤπειτα πέλει χαλεπὴ περ ἐοῦσα.
Ὡς σεμνὸς ὁ βίος, ἤν τις αὐτὸν ζῇν μάθῃ [6].
Μήποτ᾽ ἐπαινέσῃς, πρὶν ἄνδρα ἴδῃς σώφρονα.

Εἰ μὲν θεοὶ σθένουσιν, οὐκ ἔστι τύχη, εἰ δὲ οὐ σθένουσιν, οὐδέν ἐστιν ἡ τύχη.

Πέρας μὲν γὰρ ἅπασιν ἀνθρώποις ἐστὶ τοῦ βίου θάνατος, κἂν ἐν οἰκίσκῳ τις αὐτὸν καθείρξας τηρῇ.

Ὁ χρηστός ἐστι πανταχοῦ σωτήριος.

6) Cod. ζῇ μάθοι.

Ζηλοῦτε μὴ τοὺς πλεῖστα κεκτημένους, ἀλλὰ τοὺς μηδὲν ἑαυτοῖς κακὸν συνειδότας· μετὰ γὰρ τοιαύτης ψυχῆς ἥδιον ἄν τις δύναιτο τὸν βίον διάγειν.

Παραδοτέον τοῖς νέοις τὰ μαθήματα πρὸς ἐθισμὸν τῆς ἀσωμάτου φύσεως.

Ἀχαλίνων στομάτων ἀνόμου τ᾽ ἀφροσύνης τέλος δυστυχία.

Σιγᾷν μέντοι πολλὰ πολλαχοῦ καλόν.

Περισσὰ πράττειν οὐκ ἔχει νοῦν οὐδένα,
Οἱ γὰρ πνέοντες μέγα τοὺς κρείσσους λόγους
Πικρῶς φέρουσι τῶν ἐλαττόνων ὕπο.

Πᾶν ὅ τι ἂν μέλλῃς ἐρεῖν, πρότερον ἐπίσκοπει τῇ γνώμῃ, πολλοῖς γὰρ ἡ γλῶττα προτρέχει τῆς διανοίας.

Παύροις ἀνθρώπων ἀρετὴ καὶ κῦδος ὀπηδεῖ.

Ὄλβιος ὃς τούτων ἀμφοτέρων ἔλαχε.

Δειναὶ γὰρ αἱ γυναῖκες εὑρίσκειν τέχνας.

Πᾶσα μὲν γυνὴ φιλέει πλέον ἀνδρὸς, αἰδουμένη δὲ κεύθει κέντρον ἔρωτος ἐρωμανέουσα καὶ αὐτή.

Τὴν εὐγένειαν ἣν θέλῃς ἀνασκοπεῖν
Ἐν τοῖς καλῶς φρονοῦσιν εὑρήσεις βροτῶν.

Ἐγὼ γὰρ οὔτ᾽ εἴ τις πενίαν προπηλακίζει, νοῦν ἔχειν ἡγοῦμαι, οὔτ᾽ εἴ τις ἐν ἀφθόνοις τραφεὶς ἐπὶ τούτῳ σεμνύνεται.

Τὸν ἐχθρὸν ἀεὶ προσγέλα καὶ προσαγόρευε· δοκῶν γὰρ εἶναι αὐτῷ φίλος ῥᾷον κακόν τι δράσεις, ἡ γὰρ τελευταία χάρις καιρὸν ἔχουσα κἂν ἐλάττων ᾖ, δύναται μεῖζον ἔγκλημα λῦσαι.

Τῷ λαμβάνειν πάντες ἡττῶνται βροτοί.

Τῶν δυνατῶν πλεῖστος ἐν πόλει λόγος.

Μοχθεῖν ἀνάγκη τοὺς θέλοντας εὐτυχεῖν.

Μή μοι γένοιτο λυπρὸς εὐδαίμων βίος,
Μηδ᾽ ὄλβος ὅστις τὴν ἐμὴν κνίζει φρένα.
Φεῦ φεῦ τὸ γῆρας ὡς ἔχει πολλὰς νόσους.
Δοῦλον ἐσθλὸν τοὔνομα οὐ διαφθερεῖ.

Τράπεζα χωρὶς τῶν λόγων φάτνη πέλει.

Ψεῦδος οὐκ ἐρέσι μάλα γὰρ πεπνυμένος ἐστίν.

Εὐλαβοῦ τὰς διαβολὰς, κἂν ψευδεῖς ὦσιν· οἱ γὰρ πολλοὶ τὴν ἀλήθειαν ἀγνοοῦσι, πρὸς δὲ τὴν δόξαν ἀποβλέπουσιν.

Βίου πονηροῦ θάνατος εὐκλεέστερος.

Διὰ τί μίαν μὲν γλῶσσαν ἔχομεν, ὦτα δὲ δύο; ὅτι διπλασίονα δεῖ ἀκοίειν τοῦ λέγειν.

Πλάτων ὁ φιλόσοφος τοῖς νέοις τρία ταῦτα ὑπετίθει· ἐπὶ μὲν τῆς γνώμης σωφροσύνην ἔχειν, ἐπὶ δὲ τῆς γλώσσης σκοπὴν, ἐπὶ δὲ τῶν ὀφθαλμῶν αἰδῶ.

Ἐσθλῷ γὰρ ἀνδρὶ ἐσθλὰ καὶ διδοῖ θεός.

Κῦρος ὁ βασιλεὺς ἐρωτηθεὶς, τί ἀναγκαιότατον εἴη μάθημα, τὸ ἀπομαθεῖν, ἔφη, τὰ κακά.

Πρὸς τὰς τύχας τὰς φρένας κεκτήμεθα.

Μηδενὶ συμφορὰν ὀνειδίσῃς· κοινὴ γὰρ ἡ τύχη καὶ τὸ μέλλον ἀόρατον.

Εὐλάβεια καλὸν ἔθος τοῖς χρωμένοις.

Ἄλλων ἰατρὸς αὐτὸς ἕλκεσι βρύων.

Οὕτω γὰρ χρὴ καθαρὸν εἶναι τὸν βίον τοῦ σώφρονος ἀνδρὸς, ὥστε μὴ ἐπιδέχεσθαι δόξαν αἰτίας πονηρᾶς.

Οὐκ ἔστιν ἐπιτήδευμα χρησιμώτερον τῆς πραότητος.

Οἱ τ᾽ αὐτῷ κακὰ τεύχει ἀνὴρ ἄλλῳ κακὰ τεύχων· ἡ γὰρ κακὴ βουλὴ τῷ βουλεύσαντι κακίστη.

Ὡς πανταχοῦ γε πατρὶς ἡ βόσκουσα γῆ,

Πατρὶς γάρ ἐστι πᾶσιν, εἰς ἣν πράττῃ τις εὖ.

Μή μοι ἀνὴρ εἴη γλώσσῃ φίλος, ἀλλὰ καὶ ἔργῳ.

Οὐκ ἔστιν οὐδὲν κρεῖσσον ἢ φίλος σαφής.

Αἴρει τὴν παῤῥησίαν τὸ πένεσθαι, πενία γὰρ ἄνδρα ταπεινοῖ.

Ἔξω ὀργῆς πᾶς ἀνὴρ σοφώτατος.

Μή μοι σὺ, πείθειν δῶρα καὶ θεοὺς λόγος,

Χρυσὸς δὲ κρεῖσσον μυρίων λόγων βροτοῖς.

Οὐκ ἔστιν οὐδὲν κρεῖσσον φίλου οἰκείου.

Πονηρὸν μὲν γυνὴ κἂν εὔμορφος ᾖ, ἐὰν δὲ καὶ ἀμορφίαν νοσῇ, διπλοῦν τὸ κακόν.

Κάλλιστόν ἐστι μὴ πλησιάζειν ἔρωτι σαρκικῷ, εἰ δὲ πλησιάσῃ τις ταχέως μακρυνέσθω.

Ἀλέξανδρος ὁ βασιλεὺς πληρώσας ποτὲ ὀστέων πίνακα ἔπεμψε Διογένει τῷ Κυνικῷ φιλοσόφῳ, ὁ δὲ λαβὼν εἶπε· κυνικὸν μὲν τὸ βρῶμα, οὐ βασιλικὸν δὲ τὸ δῶρον.

Ὁ αὐτὸς παρακαλούμενος ὑπό τινος τῶν φίλων τεκνοποιῆσαι, ἔφη, μὴ ἀγωνιᾶτε, καταλείπω γὰρ τέκνα τὰς τῶν ἀγώνων νίκας.

Ὁ αὐτὸς ἐπεὶ Ἀντίπατρος αὐτῷ πολλὰ κατὰ τῆς μητρὸς ἔγραψεν, ἀγνοεῖς, ἔφη, Ἀντίπατρε, ὅτι μητρὸς ἓν δάκρυον πολλὰς διαβολῶν ἐπιστολὰς ἀπολείφει.

Ὁ αὐτὸς παράγγελμα ἔλαβεν, ὅτι, ἐὰν δύνῃ ἐδεῦσαι, μὴ πλεύσῃς.

Καθ' ἑκάστην ἡμέραν διατίθου γυναικὶ ἀπόῤῥητα.

Ὁ αὐτὸς θεασάμενος γέροντα τὰς τρίχας βάπτοντα, ἔφη, μὴ τὰς τρίχας ἀλλὰ τὰ γόνατα βάπτε.

Ἀνάχαρσις ὀνειδιζόμενος ὑπό τινος Ἀττικοῦ, ὅτι Σκύθης ἐστὶν, ἀλλ' ἐμοὶ μὲν ἡ πατρὶς ὄνειδος, σὺ δὲ τῆς πατρίδος, ἔφη.

Ὁ αὐτὸς ἐρωτηθεὶς, τί ἐστιν ἐν ἀνθρώποις ἀγαθὸν καὶ φαῦλον, ἔφη, ἡ γλῶσσα.

Ὁ αὐτὸς κρεῖττον εἶναι ἔφη, ἕνα φίλον ἔχειν πολλοῦ ἄξιον ἢ πολλοὺς μηδενὸς ἀξίους.

Ἀριστοτέλης ἐρωτηθεὶς, ποῦ κατοικοῦσιν αἱ Μοῖσαι, ἔφη, ἐν ταῖς ψυχαῖς τῶν φιλοπόνων.

Ὁ αὐτὸς θεασάμενος μειράκιον καλλωπιζόμενον, οὐκ αἰσχύνῃ, ἔφη, ὅτι τῆς φύσεως ἄνδρα σε ποιησάσης σεαυτὸν τεθήλυκας;

Ὁ αὐτὸς ἐρωτηθεὶς τί ἐστιν ἰσχυρότατον; ἔφη, ἄνθρωπος ἀναίσθητος.

Αἴσωπος ὀνειδιζόμενος ὅτι χαλεπὴν ἔχει τὴν ὄψιν, ἔφη, μή μου τῷ εἴδει, ἀλλὰ τῷ νῷ πρόσεχε.

Βίας ἔλεγεν, ἀτυχῆ εἶναι τὸν ἀτυχίαν μὴ φέροντα, καὶ νόσον ψυχῆς τὸ τῶν ἀδυνάτων ἐρᾶν.

Ὁ αὐτός ποτε συμπλέων ἀσεβέσι, χειμαζομένης τῆς νεώς, κἀκείνων τοὺς θεοὺς ἐπικαλουμένων, σιγᾶτε, ἔφη, μὴ αἴσθωνται ὑμᾶς ἐνθάδε πλέοντας.

Ὁ αὐτὸς ἐρωτηθεὶς, τί ἂν εἴη ἄριστον ἐν τῷ βίῳ, εἶπε, συνείδησις.

Ὁ αὐτὸς ἔλεγε· δύο διδασκαλίας θανάτου εἶναι, τόν τε πρὸ τοῦ γενέσθαι χρόνον, καὶ τὸν ὕπνον.

Γοργίας ὁ ῥήτωρ ἔλεγε· τοὺς φιλοσοφίας μὲν ἀμελοῦντας, περὶ δὲ τὰ ἐγκύκλια μαθήματα γινομένους, ὁμοίους εἶναι τοῖς μνηστῆρσιν, οἳ τὴν Πηνελόπην ἐθέλοντες ταῖς θεραπαινίσιν αὐτῆς ἐμίγνυντο.

Ὁ αὐτὸς τοὺς ῥήτορας ἔφη ὁμοίους εἶναι βατράχοις· τοὺς μὲν γὰρ ἐν ὕδατι κελαδεῖν, τοὺς δὲ ἐν τῇ γῇ.

Διογένης θεασάμενος μειράκιον ἄσωτον τὰ πατρῷα δαπανῆσαν, καί ἔλαιον καὶ ἄρτον ἐσθίον, καὶ ὕδωρ πίνον, ἔφη, εἰ οὕτως κατὰ γνώμην ἠρίστας, οὐκ ἂν οὕτως κατ᾽ ἀνάγκην ἐδείπνεις.

Ὁ αὐτὸς θεασάμενος νεανίσκον καλλωπιζόμενον ἔφη, εἰ μὲν πρὸς ἄνδρας, ἀτυχεῖς, εἰ δὲ πρὸς γυναῖκας, ἀδικεῖς.

Διογένης ἐρωτηθεὶς, διὰ τί τὸ χρυσίον ὠχρόν ἐστιν, ἔφη, ὅτι πολλοὺς ἐπιβούλους ἔχει.

Ὁ αὐτὸς ἀκούσας ὑπό τινος, ὅτι οὐκ ὢν φιλόσοφος προσποιεῖται εἶναι, εἶπε, κατὰ τοῦτο γοῦν κρείττων σου εἰμὶ, τό γε βούλεσθαι.

Ὁ αὐτὸς θεασάμενος μειράκιον εὔμορφον καὶ διὰ τοῦτο φιλούμενον ἔφη, ὦ σπούδασον τοὺς τοῦ σώματος ἐραστὰς ἐπὶ τὴν ψυχὴν μεταγαγεῖν.

Ὁ αὐτὸς ἔφασκεν ἡδονὴν ἀληθῆ εἶναι τὸ τὴν ψυχὴν

ἐν ἱλαρότητι καὶ ἡσυχίᾳ ἔχειν, ἄνευ δὲ τούτου οὐδὲ τὰ Μήδου, οὔτε τὰ Κροίσου χρήματα ὠφέλιμα [7] εἶναι. Ἐὰν δέ τις ἢ ὑπὲρ μικροῦ ἢ ὑπὲρ μεγάλου λυπῆται, οὐκ εὐδαίμων, ἀλλὰ κακοδαίμων.

Διογένης ἀκούσας, ὡς κακὸν τὸ ζῆν, οὔμενουν, ἔφη, κακὸν τὸ ζῆν, ἀλλὰ τὸ κακῶς ζῆν.

Ὁ αὐτὸς ἐρωτώμενος, πῶς ἄν τις ἀμύναιτο τὸν ἐχθρόν, εἶπεν, εἰ σύγε καλὸς καὶ ἀγαθὸς αὐτῷ γένοιο.

Δημοσθένης ὁ ῥήτωρ πυθομένου τινὸς, τί τὸν υἱόν μου διδάξω, εἶπεν, εἰ μὲν μετὰ θεοῦ μέλλοι ζῆν, φιλόσοφον, εἰ δὲ μετὰ ἀνθρώπων, ῥήτορα.

Ὁ αὐτὸς ἐρωτηθεὶς, πόσοι εἰσὶν Ἀθηναῖοι, οἱ μὲν σπουδαῖοι ὀλίγοι, οἱ δὲ φαῦλοι πολλοὶ, ἔφη.

Ὁ αὐτὸς ἰδὼν ἀθλητὴν κακῶς Ἀθηναίους ἰατρεύοντα εἶπεν, εὕρες ὁδὸν, δι' ἧς πολλοὺς καταβαλεῖς.

Ὁ αὐτὸς ἔφη, τὸν κόλακα οὕτω διαφέρειν τοῦ κόρακος· ὅτι ὁ μὲν ζῶντας, ὁ δὲ νεκροὺς ἐσθίει.

Δημήτριος ἐρωτηθεὶς, τί δυσκολώτατον ἐν ἀνθρώποις, σιωπὴ, ἔφη.

Ὁ αὐτὸς φησι, μὴ δεῖν ζητεῖν τοὺς ἀνθρώπους, εἰ ἐκ μεγάλων πόλεών εἰσιν· ἀλλ' εἰ μεγάλης πόλεως ἄξιοι.

Ὁ αὐτὸς τὴν φιλαργυρίαν μητρόπολιν ἔλεγε πάσης κακίας.

Δημόκριτος ἰδὼν φθονερὸν λυπούμενον, ἔφη· ἦ τούτῳ μέγα κακὸν συμβέβηκεν ἢ ἑτέρῳ μέγα ἀγαθόν.

Διαγόρας ἐν τῷ πλέειν ποτὲ χειμαζομένου τοῦ σκάφους καὶ τῶν συνεπιβατῶν λεγόντων, ὅτι διὰ τοῦ ἀνδρὸς τούτου ἀπολλύμεθα, δείξας πλησίον ἕτερον σκάφος κινδυνεῦον ἔφη, μήτι κἀκείνοις Διαγόρας συμπλέει.

Ὁ αὐτὸς ὀνειδιζόμενος, ὅτι δίκην ἔχων ῥήτορα ἐμι-

7) Cod. ὠφέλημα.

σθώσατο, ἔφη, καὶ γὰρ ὅταν δεῖπνον ἔχω, μάγειρον μισθοῦμαι.

Ὁ αὐτὸς ὀνειδιζόμενος ἐπὶ τῷ βαρβαρίζειν ἔφη, ἐγὼ μὲν τῷ λόγῳ, ὑμεῖς δὲ τῷ τρόπῳ.

Ὁ αὐτὸς ἔφη· ὅστις φίλον λυπούμενον ἔφυγεν, οὐδὲ τοῦ χαίροντος ἀπολαύειν ἐστὶν ἄξιος.

Ἐπίκουρος ἐρωτηθεὶς, πότε δεῖ προσομιλεῖν γυναικὶ, ἔφη, ὅταν σαυτὸν ἀσθενέστερον θέλῃς γενέσθαι.

Ὁ αὐτὸς τὴν οἴησιν ἱερὰν νόσον ἔλεγεν.

Ζήνων ὁ φιλόσοφος, λεγόντων τινῶν ὅτι παράδοξα λέγει, εἶπεν, ἀλλ᾽ οὐ παράνομα.

Ὁ αὐτὸς ἐρωτηθεὶς, τί ἐστι φίλος, ἄλλος οἷος ἐγώ.

Ὁ αὐτὸς ἔφη, τὴν μὲν ὅρασιν ἀπὸ τοῦ ἀέρος λαμβάνειν τὸ φῶς, τὴν δὲ ψυχὴν ἀπὸ τῶν μαθημάτων.

Ἡράκλειτος ἔφη, οἴησις προκοπῆς ἐγκοπὴ προκοπῆς.

Ὁ αὐτὸς τὴν παιδείαν ἕτερον ἥλιον εἶναι τοῖς πεπαιδευμένοις ἔλεγε.

Θεόφραστος ἰδὼν στρατόπεδον μέγα ἀστρατήγητον ἔφη, πηλίκον θηρίον κεφαλὴν οὐκ ἔχει.

Ὁ αὐτὸς ἔλεγεν, ὀφείλομεν ἑαυτοὺς ἐθίζειν ἀπὸ ὀλίγων ζῆν, ἵνα μηδὲν αἰσχρὸν ἕνεκα χρημάτων πράττωμεν.

Θεόκριτος ὁ Χῖος, ἀφυοῦς ποιητοῦ ἀκρόασιν ποιουμένου, ἐρωτώμενος ὑπὸ αὐτοῦ, ποῖά ἐστι τὰ καλῶς εἰρημένα, ἔφη, ἃ παρέλιπες.

Ὁ αὐτὸς ἐρωτηθεὶς, τί ἐστι δύσκολον, ἔφη, τὸ ἑαυτὸν γνῶναι· καὶ τί θεῖον, τὸ μήτε ὀργὴν, μήτε τελευτὴν ἔχον, καὶ πῶς ἄριστα καὶ δικαιότατα βιώσομεν, ἐὰν ἃ τοῖς ἄλλοις, ἔφη, ἐπιτιμῶμεν, αὐτοὶ μὴ ποιῶμεν.

Ἰσοκράτης εἰπόντος αὐτῷ τινος, ὅτι ὁ δῆμος ὑπὸ τῶν ῥητόρων ἁρπάζεται, τί θαυμαστὸν, εἰ Κόρακος ἐφευρόντος τὴν ῥητορικὴν οἱ ἀπ᾽ ἐκείνου κόρακές εἰσιν.

Ἰσοκράτης ὁ Ῥωμαϊκὸς ἐρωτηθεὶς, διατί μετὰ τεσ-

σαράκοντα ἔτη γράμματα μανθάνει, ἔφη, οὐχ ἵνα μάθω, ἀλλ᾽ ἵνα μὴ ἄπειρος ἀποθάνω.

Κλεόβουλος ἐρωτηθείς, τίνα δεῖ φυλάττεσθαι, εἶπε, τῶν μὲν φίλων τὸν φθόνον, τῶν δὲ ἐχθρῶν τὴν ἐπιβουλήν.

Καλλίων ὁ τῶν Ἀθηνῶν στρατηγὸς ἐρωτηθείς, πῶς περιέχουσιν οἱ νόμοι τῆς πόλεως, ὡς δ᾽ ἂν βούληται Δημοσθένης, εἶπεν, διορθοῦται γὰρ λόγοις μόνον.

Καλλίμαχος ἀκούσας παρά τινος, ὅτι ὁ δεῖνα ἐπὶ ἐμοῦ τάδε κακά σε ἐλοιδόρει, εἶπεν, εἴπερ μὴ σὺ ἡδέως ἤκουες, οὐκ ἂν ἐκεῖνος ἔλεγε.

Κῦρος ὁ βασιλεὺς θεασάμενός ποτε γυναῖκα εὔμορφον καὶ τῶν παρεστώτων τινὸς εἰπόντος, ὅτι ἔξεστί σοι, εἰ θέλεις, χρήσασθαι βασιλεῖ ὄντι, ἔφη, ἀλλὰ βασιλεῖ μὴ σωφρονεῖν οὐκ ἔξεστιν.

Ὁ αὐτὸς ἐρωτώμενος, τίνι καταλιμπάνεις τὸ βασίλειον, τῷ δυναμένῳ, ἔφη,

Ὁ αὐτὸς ἐρωτηθείς, ποῖος τῶν θανάτων ἐστὶ χαλεπώτερος, ὁ ἐκ τῶν νόμων ἐπαγόμενος, ἔφη.

Λεωνίδης χωλὸν ἔχων τὸ σκέλος ἐπὶ παράταξιν προῆγεν, εἰπόντων δέ τινων, ὅτι πῶς δύνῃ ἐπὶ παρατάξεως στῆναι, οὐ γὰρ φευγόντων, ἀλλὰ ἑστώτων ἡ χρεία, ἔφη.

Λοιδορούμενος Εὐριπίδης ὑπὸ φαλακροῦ ἔφη, σὲ μὲν οὐχ ὑβρίσω, τὰς δὲ τρίχας σου ἐπαινέσω, ὅτι κακὸν κρανίον κατέλιπον.

Μένανδρος τὸν φθόνον πρόνοιαν τῆς ψυχῆς εἶπεν.

Ὁ αὐτὸς ἐρωτηθείς, τί ἐστι κακὸν διδασκαλεῖον, εἶπε, τύφος.

Νικοκλῆς τοὺς ἰατροὺς ἀτυχεῖς [8] ἔλεγεν, ὅτι τὰς μὲν ἐπιτυχίας αὐτῶν ὁ ἥλιος ὁρᾷ, τὰς δὲ ἀποτυχίας ἡ γῆ καλύπτει.

8) Scr. εὐτυχεῖς.

Ἀναξίμανδρος Πραξιάδου, ἐκ τῆς Ἑ. Ἑκαταῖος Ἡγησάνδρου, ἐκ τῆς Ἑ. Ἡρόδοτος Ὀλυξάνδρου, ἐκ τῆς Ἑ. Ἑλλάνικος Δωρίωνος, ἐκ τῆς Ἑ. Ἀντίοχος Ἀρχελάου, ἐκ τῆς Ἑ. Ἀλκμαίων Ἀλκμαίωνος, ἐκ τῆς Ἑ. Ἀλκμαίων Μεγακλέους, ἐκ τῆς Ἑ. Ἀλκμαίων Μεγακλέους, ἐκ τῆς Ἑ.

Ἀναξίμανδρος Πραξιάδου, ἐκ τῆς Ἑ. Ἑκαταῖος Ἡγησάνδρου, ἐκ τῆς Ἑ. Ἡρόδοτος Ὀλυξάνδρου, ἐκ τῆς Ἑ. Ἑλλάνικος Δωρίωνος, ἐκ τῆς Ἑ. Ἀντίοχος Ἀρχελάου, ἐκ τῆς Ἑ. Ἀλκμαίων Ἀλκμαίωνος, ἐκ τῆς Ἑ. Ἀλκμαίων Μεγακλέους, ἐκ τῆς Ἑ. Ἀλκμαίων Μεγακλέους, ἐκ τῆς Ἑ.

Ἀναξίμανδρος Πραξιάδου, ἐκ τῆς Ἑ. Ἑκαταῖος Ἡγησάνδρου, ἐκ τῆς Ἑ. Ἡρόδοτος Ὀλυξάνδρου, ἐκ τῆς Ἑ. Ἑλλάνικος Δωρίωνος, ἐκ τῆς Ἑ. Ἀντίοχος Ἀρχελάου, ἐκ τῆς Ἑ. Ἀλκμαίων Ἀλκμαίωνος, ἐκ τῆς Ἑ. Ἀλκμαίων Μεγακλέους, ἐκ τῆς Ἑ. Ἀλκμαίων Μεγακλέους, ἐκ τῆς Ἑ.

Ἀναξίμανδρος Πραξιάδου, ἐκ τῆς Ἑ. Ἑκαταῖος Ἡγησάνδρου, ἐκ τῆς Ἑ. Ἡρόδοτος Ὀλυξάνδρου, ἐκ τῆς Ἑ. Ἑλλάνικος Δωρίωνος, ἐκ τῆς Ἑ. Ἀντίοχος Ἀρχελάου, ἐκ τῆς Ἑ. Ἀλκμαίων Ἀλκμαίωνος, ἐκ τῆς Ἑ. Ἀλκμαίων Μεγακλέους, ἐκ τῆς Ἑ. Ἀλκμαίων Μεγακλέους, ἐκ τῆς Ἑ.

Ἀναξίμανδρος Πραξιάδου, ἐκ τῆς Ἑ. Ἑκαταῖος Ἡγησάνδρου, ἐκ τῆς Ἑ. Ἡρόδοτος Ὀλυξάνδρου, ἐκ τῆς Ἑ. Ἑλλάνικος Δωρίωνος, ἐκ τῆς Ἑ. Ἀντίοχος Ἀρχελάου, ἐκ τῆς Ἑ. Ἀλκμαίων Ἀλκμαίωνος, ἐκ τῆς Ἑ. Ἀλκμαίων Μεγακλέους, ἐκ τῆς Ἑ. Ἀλκμαίων Μεγακλέους, ἐκ τῆς Ἑ.

ἐπὶ μὲν τῆς γνώμης σωφροσύνην, ἐπὶ δὲ τῆς γλώττης σιγὴν, ἐπὶ δὲ τοῦ προσώπου αἰδῶ.

Πυθαγόρας διψήσας πολλάκις ἐκ τοῦ φρέατος ἐλάμβανε καὶ ἐξέχει εἰς γῆν· κολάζων τὴν ἐπιθυμίαν.

Ὁ αὐτὸς ἔλεγεν, ὅτι ὁ πεπαιδευμένος τριῶν χρῄζει, φύσεως, μελέτης, χρόνου.

Πλάτων τοὺς πλουσίους καὶ ἀπλήστους ὑδροπιῶσιν ἔλεγεν ὁμοίους, οἱ μὲν γὰρ πεπληρωμένοι ὑδάτων διψῶσιν, οἱ δὲ χρημάτων.

Ὁ αὐτὸς ὀργιζόμενος τῷ οἰκέτῃ καὶ μέλλων αὐτὸν μαστιγοῦν, ἐπιστατοῦντος Ξενοκράτου, ἔφη· λαβὼν τοῦτον μαστίγωσον· ἐγὼ γὰρ ὀργίζομαι· φασὶ δὲ αὐτὸν καὶ ἐπανατεινόμενον τὴν βακτηρίαν τῷ παιδὶ ἑστάναι χρόνον πολὺν μετέωρον ταύτην ἔχοντα καὶ τὴν αἰτίαν ἐρωτώμενον φῆσαι, κολάζειν τὸν ἑαυτοῦ προορμήσαντα θυμόν.

Πυθαγόρας νεανίσκον ἰδὼν ἀθλητικὸν οἴνῳ καὶ κρεωφαγίᾳ σάρκα πολλὴν ὑποτρέφοντα εἶπεν, ὦ δαιμόνιε, παῦσαι καθ' ἑαυτοῦ ποιῶν τὸ δεσμωτήριον ὀχυρόν.

Πλάτων ἐρωτηθεὶς, τί ὠφέληται ἐκ τῆς φιλοσοφίας, ἔφη, τὸ αὐτὸν ἐν εὐδίᾳ ἑστῶτας βλέπειν ἄλλους χειμαζομένους.

Χρὴ πρὶν γενέσθαι τὰ δυσχερῆ προνοῆσαι, ὅπως μὴ γένηται, καὶ γενόμενα εὖ θέσθαι.

Ῥωμύλος ἐγκαλούμενος, ὅτι πονηροῖς ἀνθρώποις σύνεστιν, ἔφη, καὶ οἱ ἰατροὶ τοῖς νοσοῦσιν, ἀλλ' ὑγιαίνουσιν.

Σωκράτης ἐρωτηθεὶς, τί ὄφελος τῶν ψευδομένων ἐκ τοῦ ψεύδους, ἔφη, τὸ κἂν ἀληθῆ λέγωσι μὴ πιστεύεσθαι.

Ὁ αὐτὸς ἔφη, ἥδιστόν ἐστιν ἐν τῷ βίῳ παιδεία καὶ ἀρετὴ καὶ ἱστορία τῶν ἀγνοουμένων.

Ὁ αὐτὸς ἔλεγεν, ἐκεῖνον μόνον βασιλέα εἶναι τὸν δυνάμενον ἄρχειν τῶν οἰκείων παθῶν.

Ὁ αὐτὸς ἐρωτηθεὶς ὑπό τινος, πῶς ἂν γένοιτο πλούσιος, εἰ τῶν ἐπιθυμιῶν, εἶπε, κρατήσεις [9].

Ὁ αὐτὸς ἔφη, οἱ τὰ ἀπὸ κακῶν ἔργων εἰς τὰς καλὰς ἀναλίσκοντες λειτουργείας ὅμοιον ποιοῦσι τοῖς ἀπὸ ἱεροσυλίας εὐσεβοῦσι.

Σωκράτης ἐρωτηθεὶς ὑπό τινος, εἰ κατασχεῖν δύναιτό τις λόγον ἀπόῤῥητον, ἔφη, ὅστις διάπυρον ἄνθρακα τῇ γλώσσῃ κατέχειν δυνήσεται.

Ὁ αὐτὸς ἐρωτηθεὶς, τίς σοι πλουσιώτερος εἶναι δοκεῖ, εἶπεν, ὁ ἐλαχίστοις ἀρκούμενος, αὐτάρκεια γάρ ἐστι φύσεως πλοῦτος.

Ὁ αὐτὸς ἔφη, τῆς αὐτῆς ἁμαρτίας εἶναι τὸ διδόναι, οἷς μὴ δεῖ, καὶ τὸ μὴ διδόναι οἷς δεῖ.

Ὁ αὐτὸς ἔφη, ὁποία ἡ φύσις τοῦ ἀνθρώπου ἐστὶ, τοιοῦτος καὶ ὁ λόγος.

Ὁ αὐτὸς ἐσπουδακότα τινὰ τῶν γνωρίμων καταμαθὼν, ὅπως ἂν αὐτῷ ἡ εἰκὼν ὁμοία γένηται, ἔφη πρὸς αὐτὸν, σὺ ὅπως μέν σοι ὁ λίθος ὅμοιος γένηται ἐσπούδακας, ὅπως δὲ μὴ αὐτὸς λίθῳ ὅμοιος γένῃ οὐ φρόντίζεις.

Ὁ αὐτὸς ἰδών τινα ἐπὶ θέαν ἐξιοῦσαν, εἶπεν, οὐχ ἵνα θεάσῃ, γύναι, πορεύῃ, ἀλλ᾽ ἵνα θεαθῇς.

Ὁ αὐτὸς ἀπαγγείλαντος αὐτῷ τινος, ὅτι ὁ δεῖνά σε κακῶς ἔφη, καὶ τυπτέτω με, εἶπε, μὴ παρόντα.

Σόλων ἐρωτηθεὶς, πῶς δεῖ φίλοις χρῆσθαι, εἶπε, παροῦσι μὲν εὖ κεχρῆσθαι, ἀπόντας δὲ εὐλογεῖν.

Σόλων ἐρωτηθεὶς, διὰ τί τὴν τύχην καθημένην οὐ γράφουσιν, εἶπεν, ὅτι οὐχ ἕστηκε.

Στρατόνικος ἰατρὸν κολακεύων ἔλεγεν, ἐπαινῶ σου τὴν ἐμπειρίαν, ὅτι οὐκ ἐᾷς τοὺς ἀῤῥώστους κατασαπῆναι τάχιον αὐτοὺς τοῦ ζῆν ἀπαλλάττων.

9) Cod. κρατήσῃς.

Τοὺς μὲν κενοὺς ἀσκοὺς τὸ πνεῦμα διΐστησι, τοὺς δὲ ἀνοήτους τὸ οἴημα.

Τόπων μεταβολαὶ οὔτε φρόνησιν διδάσκουσιν, οὔτε ἀφροσύνην ἀφαιροῦνται.

Ὑπερίδης ἔφη, δεῖ τὸν ἀγαθὸν ἐπιδείκνυσθαι ἐν μὲν τοῖς λόγοις ἃ φρονεῖ, ἐν δὲ τοῖς ἔργοις ἃ ποιεῖ.

Ὁ αὐτὸς ἔλεγε κακῶν ἀνθρώπων φεύγειν φιλίαν καὶ ἀγαθῶν ἔχθραν.

Φίλιππος τὸν πλούσιον καὶ ἀπαίδευτον ἔφησε, πλοῦτος περιηργυρωμένος.

Ὁ αὐτὸς ἔλεγε τὸν βασιλέα δεῖν μνημονεύειν, ὅτι ἄνθρωπος ὢν ἐξουσίαν εἴληφεν ἰσόθεον, ἵνα προαιρῆται μὲν τὰ καλὰ, φωνῇ δὲ ἀνθρωπίνῃ χρῆται.

Φιλόξενος παρήνει προτιμᾶν τῶν γονέων τοὺς διδασκάλους, ὅτι οἱ μὲν γονεῖς τοῦ ζῆν μόνον, οἱ δὲ διδάσκαλοι τοῦ καλῶς ζῆν αἴτιοι γεγόνασιν.

Ὁ αὐτὸς πρὸς μειράκιον ἐρυθριάσαν ἔφη, θάῤῥει, τοιοῦτον γὰρ ἡ ἀρετὴ ἔχει τὸ χρῶμα.

Χρύσιππος ἐρωτηθεὶς, διὰ τί λιτὸς εἶ ἔχων χρήματα πολλὰ, εἶπε, τὸ μέλλον οὐκ εἰδὼς, ἵνα ἐάν τι γένηται μὴ ξενίζωμαι.

Χαβρίας καταλαβὼν ἐπὶ στρατοπέδου δύο φύλακας ἀπέκτεινε καθεύδοντας, εἰπὼν, οὓς κατέλαβον, τούτους καὶ κατέβαλον.

Φίλων φιλάργυρον ἰδὼν ἐκφερόμενον ἔφη, οὗτος βίον ἀβίωτον βιώσας ἑτέροις βίον κατέλιπε.

Ψυχὴν σώματος ἀναγκαιότερον ἰᾶσθαι, τοῦ γὰρ κακῶς ζῆν τὸ τεθνάναι κρεῖττον.

Ὡρίων ἰδὼν νεανίαν φιλοῦντα ἔφη, κάλλιστον ὄψον[10] τῷ γήρατι ἀρτύεις.

Ὥσπερ οἱ κόρακες παρεδρεύοντες ἐξορύττουσι τοὺς

10) Cod. ὄψιν.

ὀφθαλμοὺς τῶν νεκρῶν, σὕτως οἱ κόλακες τοῖς ἐπαίνοις τοὺς λογισμοὺς διαφθείρουσι τῶν ἀνθρώπων.

Θεανὼ ἔφη, κρεῖττόν ἐστιν ἵππῳ ἀχαλίνῳ ἑαυτὸν πιστεύειν ἢ γυναικὶ ἀλογίστῳ.

Θεανὼ ἔφη, περὶ ὧν λέγειν καλὸν, περὶ τούτων σιωπᾷν αἰσχρὸν, καὶ περὶ ὧν αἰσχρὸν λέγειν, περὶ τούτων σιωπᾷν ἄμεινον.

Ἡ αὐτὴ ἐρωτηθεῖσα, τί ἐστιν ἔρως, ἔφη πάθος ψυχῆς σχολαζούσης.

III.

Τὰ τῶν ἑπτὰ σοφῶν παραγγέλματα [1].

Σόλων ὁ Ἀθηναῖος.

Θεὸν σέβου· γονεῖς αἰδοῦ· φίλοις βοήθει· μηδενὶ φθόνει· ἀληθείας ἀντέχου· ὅρκῳ μὴ χρῶ· νόμοις πείθου· νόει τὸ δίκαιον· θυμοῦ κράτει· ἀρετὴν ἐπαίνει· κακοὺς μίσει· ἡδονὴν φεῦγε τίκτουσαν λύπην· καλοκαγαθίας ὀρέγου· φίλους μὴ ταχέως κτῶ· μὴ ἄρχε πρὸ τοῦ μαθεῖν ἄρχεσθαι· τοῖς πολίταις μὴ θρασύνου· ἰσχύει χρῶ πρὸς πολεμίους, πρὸς δὲ οἰκείους αἰσχύνη· ὃ ἂν μὴ ἴδῃς, μὴ λάλει, ἰδὼν δὲ σίγα.

Χίλων Δαμαγήτου Λακεδαιμόνιος.

Γνῶθι σαυτόν· φρόνει θνητά· ἐγκράτειαν ἄσκει· αἰσχρὰ φεῦγε· χρόνου φείδου· δικαίως κτῶ· πλήθει [2] μὴ ἄρεσκε· σοφίαν κτῆσαι· ἤθη δοκίμαζε· ὑφορῶ μηδὲν, διαβολὴν μίσει· τῷ βίῳ μὴ ἐπαρθῇς, πίνων μὴ λάλει, διαμαρτήσῃς γάρ· μὴ κακολογήσῃς τὸν πλησίον, εἰ δὲ

1) Continentur in Cod. Vat. DCCXI. Fol. 95. Cfr. Boisson. Anecd. Vol. I. p. 135.

2) Cod. πλήθη.

μὴ, ἀκούσῃ ἐφ᾽ οἷς λυπηθήσῃ· ἐπὶ τὰ δεῖπνα τῶν φίλων βραδέως πορεύου, ἐπὶ δὲ τὰς ἀτυχίας ταχύ· γάμους εὐτελεῖς ποιοῦ· πρεσβύτερον σέβου· τὸν τὰ ἀλλότρια περιεργαζόμενον μίσει, ζημίαν αἰροῦ μᾶλλον ἢ κέρδος αἰσχρὸν, τὸ μὲν γὰρ ἅπαξ λυπήσει, τὸ δὲ ἀεί· ἀτυχοῦντι μὴ ἐπιγέλα· τραχὺς ὢν ἥσυχον σεαυτὸν πάρεχε, ὅπως σε αἰσχύνωνται μᾶλλον ἢ φοβῶνται· θυμοῦ κράτει· ἡ γλῶσσά σου μὴ προτρεχέτω τοῦ νοῦ· μὴ σπεῦδε λαλῶν· μὴ λέγων τὴν χεῖρα κίνει, μανικὸν γάρ· μηδὲν ἄγαν.

Κλεόβουλος Λίνδιος.

Πᾶν μέτρον ἄριστον· πίστιν φύλαττε, μηδενὸς κατηγόρει· εἶδος κόλαζε, προόρα τὸ μέλλον, πλεονεξίαν φεῦγε· φοβοῦ τὴν δίκην· καταλαλιὰν μίσει· οἰνοφλυγίαν φεῦγε· συμπόσια μὴ ἀγάπα· γάμει ἐκ τῶν ὁμοίων, ἐὰν ἐκ τῶν κρειττόνων γήμῃς, δεσπότας καὶ οὐκ ἐγγόνους κτήσῃ.

Πιττακὸς Ὑρρα Λέσβιος.

Φίλοις εὐνόει· φοβοῦ τὰ αἰσχρά· δίκην φεῦγε· πᾶσιν ἀρέσκειν θέλε· τῷ κρατοῦντι πείθου· κατὰ δύναμιν εὖ ποίει· φιλοσοφίαν ἄσκει· μηδένα λοιδόρει· τὸν βίον οἰκονόμει· καλὸς εἶναι σπεῖσον· ὃ μέλλεις ποιεῖν, μὴ πρόλεγε, ἀποτυχὼν γὰρ γελασθήσῃ.

Θαλῆς ὁ Ζαμίου.

Τοὺς κρατοῦντας τίμα· ὅμοιος σεαυτῷ γίνου· ἐπαγγέλλου μηδέν· πολίταις μὴ θρασύνου· τὸ παρὸν εὖ ποίει· κακίας ἀπέχου· δοκίμαζε πάντα· δόξαν δίωκε· ἐπιμελοῦ τοῦ βίου· εἰρήνην ἀγάπα· ἐπαινοῦ παρὰ πᾶσι· μὴ τὴν ὄψιν ἀλλὰ τὰ ἐπιτηδείματα καλλώπιζε· χαλεπὸν ἑαυτὸν γνῶναι· ἀργὸς μὴ ἴσθι, μηδ᾽ ἂν πλουτῇς· μὴ πᾶσι πίστευε· μέτρῳ χρῶ.

Περίανδρος Κυψέλου Κορίνθιος.

Πρόνοιαν τίμα· ἐπίτασσε σεαυτῷ· παιδείας ἀντέχου· καλοὺς εὖ λέγε· χάριτας ἀποδίδου.

Βίας Τευτανίδου Πριηνεύς.

Ἔγγυα πάρα δ᾽ ἄτα· λάθε βιώσας· πλοῦτον ἄδικον φεῦγε· δικαίως κτῶ· ἀληθείας ἀντέχου· παρόντας ἔλεγχε· ψιθυρισμοὺς μίσει.

IV.

(Ibid. Fol. 114.)

Θεὸς [1] *τὸ διττὸν* [2] *οὐκ ἔχων τῶν πνευμάτων*
Ἔχει τὸ τριττὸν [3]*, οὐδενὸς τῶν σωμάτων* [4]
Αὐτὸς μετασχὼν οὐ ῥεούσης [5] *τετράδος.*
Αἰσθήσεων [6] *πέφυκεν ἔξω πεντάδος.*
Κίνησιν [7] *οὐ πάσχων δὲ διπλῆς* [8] *ἑξάδος,*
Ἔχει τὸ σεπτὸν τῆς ἀρίστης τριάδος [9].

V.

(Ibid. Fol. 117.)

Ἀλφαβητάριον [1] *πάνυ ὠφέλιμον.*
Ἄνω ψυχῆς ἄνθρωπε τὰς κόρας ἔχε.
Βίου τὰ τερπνὰ μὴ φρένας σου θελγέτω.
Γῆν σαυτὸν ἡγοῦ καὶ σποδὸν, κἂν ἦς μέγας.
Δόξαν θεῷ πρόσαγε κἂν ἦς ἐν λύπαις.
Ἔχθραν μισητὴν τῇ ψυχῇ μὴ προσδέχου.
Ζήλου τὰ καλὰ, τὰ δ᾽ ἐναντία μίσει.

1) *Ἔχει δὲ ὁ θεὸς τὸ ἄκτιστον καὶ τὸ ἄτρεπτον.*

2) *τὸ κτιστὸν καὶ τὸ τρεπτόν.*

3) *τὸ ἀσώματον, τὸ ἄναρχον, τὸ ἀτελεύτητον*: huc etiam referenda videntur verba: *τὸ τρία εἶναι ταῖς ὑποστάσεσιν, εἷς δὲ τὴν φύσιν.*

4) *τῶν σωμάτων τὸ τριττὸν ἔστι τοῦτο· μῆκος, βάθος καὶ πλάτος.*

5) *ῥέουσα τετρὰς ἐστιν, αἷμα, φλέγμα, ξανθὴ χολὴ καὶ μέλαινα.*

7) *ὡς ἄξυλος καὶ ὑπέρζωος.*

8) *ὡς ἀκίνητος καὶ ἀμετάβλητος.*

9) *διπλῆ ἑξάς ἐστι τοῦτο· ἄνω, κάτω ὄπισθέν τε, ἔμπροσθεν· αὖθις πλαγίως.*

10) *τὸ ἀσώματον, τὸ ἄναρχον, τὸ ἀτελεύτητον.*

1) Similia edidit Boisson. in Anecd. Vol. I. p. 161. Cod. *Ἀλβαφιτάριον.*

Ζηλωτὸς ἴσθι, μὴ μισητὸς τὸν τρόπον.
Ἦθος πονηρὸν μὴ λάβῃ σὴ καρδία.
Θύραν τίθου στόματι τοῖς ἀργοῖς λόγοις.
Ἰὸν ψυχῇ σου τοῦ φθόνου μὴ προσδέχου.
Καιρὸν νόμιζε τοῖς πᾶσι πεφυκέναι.
Λόγοις ἀκούειν βδελυροῖς μὴ συντίθου.
Μὴ κατάκρινε τοὺς κατακεκριμένους.
Νοὸς πονηρὰς ἐνθυμήσεις ἐκτρέπου.
Ναοῖς προσέρχου, καὶ θεῷ δόξαν δίδου.
Ξυρὸν καθάπερ μὴ κατεργάζου δόλον.
Ξυρὸς γενοῦ μοι σκεπτικὸς τῶν εὐτόπων.
Ὀκνηρὸς ἴσθι πρὸς μόνα τὰ φευκτέα.
Πόθον μισητὸν τῷ θεῷ σου μὴ πόθει.
Πόθει θεόν σου τὸν ποθοῦντά σε πλέον.
Ῥύμην κατ᾽ ἐχθρῶν τῶν νοουμένων ἔχε.
Ῥοῇ δακρύων ψυχικοὺς ῥύπους πλύνε.
Στερρὸς γίνου πάγιος εἰς τὰ πρακτέα.
Τήκειν ἐπείγου τὰ πάθη τοῦ σαρκίου.
Ὑψηλὸς ἔργοις μὴ φρονήσει μὴ γίνου.
Φίλει μισοῦντας, μή σε φιλοῦντας μόνον.
Χεῖρας ἀδίκους μή τινι προσαγάγῃς.
Ψιθυριγμοὺς ἔκφευγε πλήρεις σκανδάλων.
Ὧδε τρυγήσεις πεπραχὼς σωτηρίαν.

VI.

Στίχοι εἰς γυναῖκα πονηρὰν καὶ κακότροπον [1].

Γυνὴ πονηρὰ ναυάγιον ἀνδρὸς [2], *ἀῤῥένων*
Ἀῤῥωστία σύνοικος οὐκ ἰωμένη.

1) Eosdem versus ex Regia bibliotheca ab Holstenio descriptos edidit Fabric. biblioth. Gr. XIII. p. 576. sub titulo: *Ἰωάννου τοῦ Πεδιασίμου τοῦ Βουλγαρίας Χαρτοφύλακος πόθος. Περὶ γυναικὸς κακῆς.* Floruit hic Pediasimus saeculo post Chr. n. decimo quarto. A codice Vaticano 711, ex quo equidem descripsi, nomen autoris abest.

2) *ἀνδρὸς* Fabr. om.

Καθημερινὴ τῷ συνοίκῳ ζημία,
Γῆρας ἄωρον εὐνέτῃ τρισαθλίῳ.
Στερκτὸν κακὸν, μέριμνα συγκαθημένη.
Νὺξ ἀσέληνος, χειμερινὴ πικρία,
Ὕπουλον ἕλκος, ἐνδομυχοῦσα [3] *φθόνη,*
Πονηρὰ φύσις, ἀκατάλλακτος μάχη.
Βίου σκεδασμὸς, ὑπὸ κόλπον [4] *σκορπίος.*
Ἀνήμερος λέαινα συμπεπλεγμένη.
Πυρίπνοος χίμαιρα μὴ νικωμένη.
Ὕδρα πολυκέφαλος, ἄμαχον τέρας.
Μαινὰς σοβὰς ἄντικρυς ἀκολασίας [5].
Ῥίζα πονηρὰ χειρόνων βλαστημάτων.
Γαστὴρ ἀκρατὴς, ἠκονημένον στόμα.
Πάντολμον ὄμμα, θρύψις ἐξησκημένη.
Ὑποψίας θάλασσα συγκυκωμένη [6],
Κακουργίας θύελλα συστροβουμένη [7],
Συμπληγὰς ἄλλη Σκύλλα, Χάρυβδις, φάγος,
Εὔριπος, ἅλμη [8], *στιὶξ γέμουσα δακρύων.*
Ἀφ' ἑστίας πῦρ, κατακλυσμὸς οἰκίας.
Ἐτώσιον γῆς καὶ δυσάγκαλον βάρος.
Κρημνὸς κοράκων, Ταινάρου χάσμα μέγα,
Τὸ προστυχὸν πᾶν Ἀχέρων παρασύρων.
Ἐριννὺς ὑπόπικρος, Ἅιδης πάμφαγος,
Οἰωνὸς ἀπαίσιος ἀνδρὶ συζύγῳ.
Ὦ τις γυναῖκα τηλικαύτην ἐκφύγῃ [9];

3) Fabr. ἐνδομαχοῦσα.
4) Fabr. ὑπόκολπος.
5) Fabr. ἀκολασία.
6) Fabr. συγκεκωμένη.
7) Fabr. συστροβυμένη.
8) Fabr. ἄλλη.
9) Fabr. ἐκφύγοι.

Ἕτεροι [1] στίχοι εἰς γυναῖκα σώφρονα καὶ ἐνάρετον.

Ἀνδρεία γυνὴ πλοῦς ἀκύμων συζύγῳ,
Εὐρωστία σύμφυλος οὐ συλωμένη.
Καθημερινὸν κέρδος ἐξ ἐργασίας.
Γῆρας λιπαρὸν εὐνέτῃ μακαρίῳ,
Δῶρον θεοῦ, σύνεδρος ἀμεριμνία, 5.
Εὐήλιον φῶς, ἦρος ἡδυθυμία,
Πρώδηλον ἄκος, ἐμφανὴς σωτηρία,
Φύσις ἀγαθὴ, φίλτρον ἐκ τῆς καρδίας,
Βίου πλατυσμὸς, ἀγαθῶν μυρμηκιὰ,
Ἐργατικὸς βοῦς ἀρότης ἐζευγμένος, 10.
Παροιμιακὸν τῆς Ἀμαλθείας κέρας.
Νέφος μυθικὸν, βλῦζον ἀδρὸν χρυσίον.
Εὐσχημοσύνης ἀπραγμάτευτος τύπος,
Βλαστῶν ἀγαθῶν ῥίζα κοσμιωτέρα [2],
Μέτρον κατειδὼς λαιμὸς, εὔφημον στόμα, 15.
Κάτω νενευκὸς ὄμμα, σεμνότης τρόπου,
Κῦμα γαληνὸν ἁπλότατον [3] καρδίας,
Αὔρα πνέουσα πραέως εὐποιΐαν.
Ἐν νυκτὶ φρυκτὸς, ὅρμος ἐν κλυδωνίῳ,
Ἄριστος [4] ἰσθμὸς ἐν παραδείσῳ πίδαξ, 20.
Ποδηγετοῦν φῶς, αἰθρία τῆς οἰκίας,
Γῆς εὔλογον γέννημα, γῆς ἰσαξία,
Σώτειρα προβολῆς, ἀσφαλὴς βίου κλίμαξ.
Ὀλβιόδωρος Νεῖλος ἀργυροῤῥόας.
Σίμβλον μελισσῶν, ἡλίσιον μακάρων. 25.
Αἴσιον οἰώνισμα τῷ συνευνέτῃ.
Ὦ τίς γυναῖκα τηλικαύτην ἐκλάχῃ [5].

1) Fabr. *Περὶ γυναικὸς ἀγαθῆς.*
2) Cod. *κοιμιωτέρα.*
3) Fabr. *ἁπλότης τῆς.*
4) Fabr. *ἄσειστος.*
5) Fabr. *εἰλάχη.*

Addenda et Corrigenda.

Pag. 15. not. 24. adde: Hom. Hymn. in Cer. 200.
— — — 25. adde: Plat. legg. VIII. p. 840. D. Franc. *ἠΐθεοι καὶ ἀκήρατοι γάμων τε ἄγνοὶ ζῶσιν.*
— 19. — 11. adde: Aristoph. Nub. 1364. *μυρρίνην λαβόντα τῶν Αἰσχύλου λέξαι τι.* Cum schol. Süvern, comment. de Aristoph. Nub. p. 28.
— 25. — 6. adde: Fabric. Bibl. Gr. Vol. VII. p. 658. infr. ed. Harl. Nicephori Gregorae epistolam laudat, quae ita incipit: *αἱ δεύτεραί πως φροντίδες, Εὐριπίδης φησί που, σοφώτεραι.*
— 116. — b. l. 3. a. i. segm. 82. ponendum post nr. 41.
— 128. ante *Ἀντιφάνους* pone asteriscum.
— 124. l. 17. *σιλούρῳ. Ἀχρήστου* l. *σιλούρῳ, ἀχρ.*
— 143. not. a. l. 4. Misopag. l. Misopog.
— 169. l. 1. *κονιαρτὸν* l. *κονιορτὸν.*
— 212. l. 18. *ὑφ' ἡμῖν* l. *ἡμῶν.*
— 222. not. 43. adde: Aristoph. Nub. 859.
— 233. not. b. lin. inf. *Μουσοῦν* l. *Μουσῶν.*
— 281. l. 9. a. i. *πιττεύει* l. *πεττεύει.*
— 293. l. 7. pro *Θημιστοκλέης* l. *Θεμιστοκλέης.*
— 305. not. 10. adde: Plat. legg. VI. p. 757. A. Franc. *παλαιὸς γὰρ λόγος ἀληθὴς ὤν, ὡς ἰσότης φιλότητα ἀπεργάζεται, μάλα μὲν ὀρθῶς καὶ ἐμμελῶς.*
— 308. l. 3. *ἀντέγγαψεν* l. *ἀντέγραψεν.*
— 321. not. 7. l. 2. pro p. 154. A. lege p. 153. C.
— 381. l. 8. *ηὐτρέπισαι* l. *ηὐτρέπισται.*
— 444. not. 1. et 2. pro XIX. l. XVIII.
— 446. l. 11. a. i. *ἄρισται* l. *ἄριστα.*

Digitized by Google

This book should be returned to the Library on or before the last date stamped below.

A fine of five cents a day is incurred by retaining it beyond the specified time.

Please return promptly.

Dumbarton
2/8/46

DEC 19 1949

CANCELLED

WIDENER

AUG 14 1998

BOOK DUE

3 2044 020 042 313

Digitized by Google